(28) Interpres, *memoriam*: imo, uti vertimus, *Officium ecclesiasticum exsequiarum*, seu, uti vulgo loquimur, *officium defunctorum*. Vide Glossar. med. Græcit. in Μνημόσυνον, et in Ἔννατα. DUCANG.

re, ut caro cum spiritu, ut res quæ sentiuntur cum iis quæ sensum excedunt. Mihi vero placet, eum qui ad principatum aspirat, ex utraque esse temperatum: ut in musicis instrumentis fieri apud peritos cernimus. Neque enim ii chordas omnes æqualiter intendunt: quippe id inconcinnum et absonum esset: sed aliis ad graviorem, aliis ad acutiorem sonum, aliis plus minusve intensis, variam quamdam et modulatam efficiunt harmoniam. Qui enim soli divinarum rerum speculationi est intentus, in montibus et speluncis debet vivere, utpote qui vitam instituerit societatis plerumque expertem ac plane solitariam et a vulgi consuetudine abhorrentem. Qui vero præter virtutem etiam morum civilitatem et comitatem gratam studiumque societatis excoluit, ac omnigenum rerum usum sibi comparavit, is populum ad res optimas et salutares facile deduxerit. Nam et Servator ac Deus noster, nisi ad humanos affectus se demisisset, et cum publicanis cibum cepisset, et societatis studium præ se tulisset, et quatenus par erat, omnium ingeniis se accommodasset, haud facile, opinor, totas civitates ac populos ad amplectendas res utiles et salutares perduxisset.

VII. Sed illuc redeo. Arsenios igitur patriarcha tanto rerum tumultu circumventus anceps erat ac deliberabat: non tamen ille secum, (quomodo enim id faceret, qui, ut dictum est, nullo rerum usu, nullis consiliorum ambagibus erat instructus?) sed cum proceribus quid agendum esset consultabat, priusquam per insidias **68** Joannes imperatoris filius ferro peteretur. Cæterum minime prospiciebat id consilium, quod nullo usu rerum, nulla prudentia niteretur, facilius ei cui prospectum vellet exitio futurum, quam omnes gladios hostiles: ut progressu orationis declarabitur.

πολλὰ συνεῖναι πεφύκασιν· εἰκτὸν δ' ἂν, εἰ μὴ μαχόμενα τὸ πλέον πρὸς ἄλληλα φαίνοντο, καθάπερ σῶμα καὶ πνεῦμα καὶ ἃ ὅσα τῶν αἰσθητῶν πρὸς γε τὰ ὑπὲρ αἴσθησιν. Ἐμοὶ δ' ἀρέσκει κρᾶσιν ἐξ ἀμφοτέρων ἔχειν, ὅστις ποτέ ἐστιν ὁ βουλόμενος ἄρχειν, καθάπερ κἀν τοῖς μουσικοῖς ὁρῶμεν ὀργάνοις τοὺς αὐτῶν ἐπιστήμονας πράττοντας. Οὐ γὰρ ἰσοτόνως τὰς νευρὰς καθιστῶσιν ἅπάσας· ἄμουσον γὰρ τὸ τοιοῦτον καὶ ἐκμελές· ἀλλὰ τὰς μὲν πρὸς τὸ βαρύτερον τείναντες, τὰς δὲ πρὸς τὸ ὀξύτερον, καὶ τὰς μὲν μᾶλλον, τὰς δ' ἧττον, οὕτω ποικίλην τινὰ καὶ ἔμμουσον καθιστῶσι τὴν ἁρμονίαν. Τῷ γὰρ μόνῃ προσέχοντι τὸν νοῦν τῇ κατὰ Θεὸν θεωρίᾳ ὄρεσι καὶ σπηλαίοις ἐνδιατρίβειν προσήκει, ἀκοινώνητον ὡς τὰ πολλὰ τὸ ἦθος ἀσκήσαντι καὶ πάνυ τοι ἄμικτον καὶ τοῖς πολλοῖς ἠλιοτριωμένον. Ὅστις δὲ μετὰ τῆς ἀρετῆς καὶ πολιτικὸν ἤσκησεν ἦθος καὶ χάριεν καὶ κοινωνικὸν καὶ πεῖραν ἔσχε πραγμάτων παντοίων, οὗτος, ἂν δέῃ, καὶ ὁδηγεῖν ἐς τὰ βέλτιστα καὶ σωτήρια κράτιστος. Ἐπεὶ καὶ ὁ Σωτὴρ ἡμῶν καὶ Θεὸς, εἰ μὴ τοῖς ἀνθρωπίνοις ὑπέκυπτε πάθεσι καὶ τελώναις συνήσθιε καὶ κοινωνικὸν ἐδείκνυτο ἦθος καὶ τοῖς πᾶσι τὰ πάντα μετὰ τοῦ καθήκοντος ἐγίγνετο λόγου, οὐκ ἂν οἶμαι πρὸς τὰ λυσιτελοῦντά τε καὶ σωτήρια ῥᾳδίως ὅσους ἦγε δήμους καὶ πόλεις.

Ζ'. Ἀλλ' ἐκεῖσε ἐπάνειμι. Διηπορεῖτο μὲν οὖν ὁ πατριάρχης Ἀρσένιος, μέσος ἐναπολιφθεὶς τοσούτου θορύβου πραγμάτων, καὶ ἐπεσκοπεῖτο καθ' ἑαυτὸν μὲν ἥκιστα· πῶς γὰρ, πεῖραν πραγμάτων τοιούτων καὶ λογισμῶν λαβυρίνθους οὐκ ἔχων; ὡς εἴρηται· ἐσκοπεῖτο δ' οὖν μετὰ τῶν ἐν τέλει τὸ ποιητέον, πρὶν ἐπίβουλον ὁπλισθῆναι σίδηρον κατὰ τῆς κεφαλῆς Ἰωάννου τοῦ βασιλέως υἱέως. Ἐλάνθανε δὲ ἄρα πάντως αὐτὸν, ὡς ἡ πεῖρα βαθεῖαν καὶ φρένας ποικίλας οὐκ ἔχουσα σκέψις αὐτῇ μᾶλλον ἂν εἴη ταχύτερος ὅλεθρος ὑπὲρ οὗ γίνεται, ἢ πάντα ξίφη πολέμια. Δηλώσει δὲ προϊὼν ὁ λόγος.

CAPUT IV.

Michael Palæologus ob eximias corporis et animi dotes omnibus gratus. Variis præsagiis imperio destinatur. Generis nobilitas. Avi et patris dignitates. Fisci claves a patriarcha accipit. Largitionibus animos nobilium sibi mancipat. Item militum et concionatorum. His auctoribus ipso patriarcha assentiente imperii administrationem suscipit, donec hæres legitimus adolescat. Despotæ titulo ornatur.

I. Commemus Michael Palæologus*, cujus supra mentionem sæpe fecimus, inter proceres erat ceteris superior, vultu perquam hilari, consuetudine commodus, moribus urbanus, ad hæc manu larga et liberali. Quæ res magnum ejus amorem in omnium animis accendebant. Facile itaque cunctos ad se alliciebat, tribunos, centuriones, exercitum, duces, plebem universam, et quidquid senatorum erat. Movebantur etiam præsumpta imperii opinione, ut illi se adjungerent et ejus amore flagrarent. Movebantur autem ejusmodi opinione, nescio unde accepta, sive ex rumoribus contra illum an-

[P. 40] Α'. Ὁ Κομνηνὸς Μιχαὴλ (29) ὁ Παλαιολόγος, περὶ οὗ πολὺν ἀνωτέρω λόγον ἐποιησάμεθα, ἦν μεταξὺ τῶν ἐν τέλει τῶν ἄλλων ἐπέκεινα, πολλὴν ἐπὶ τοῦ προσώπου φέρων τὴν ἱλαρότητα τήν τε ὁμιλίαν χρηστὸς καὶ τὸ ἦθος ἀστεῖος καὶ πρὸς τούτοις τὴν χεῖρα φιλότιμος. Ἃ δὴ πάντα πολλὴν αὐτοῦ τὴν στοργὴν ἀνερρίπιζον ἐν ταῖς ἁπάντων ψυχαῖς· καὶ πάντας ῥᾳδίως ἐφείλκετο, ταξιάρχους, λοχαγοὺς, στρατὸν, στρατηγοὺς, τοὺς ὅσοι τοῦ δήμου, καὶ ὅσοι τῆς συγκλήτου. Ἐνῆγε δὴ τούτους καὶ πρόληψις λογισμῶν βασιλείας προσέχειν αὐτῷ καὶ περιφανῶς αὐτοῦ γε ἔχεσθαι. Ἐνῆγε δ' αὐτοὺς

Variorum notæ.

(29) Acropol. cap. 67, 68. Ducang.

* Anno Christi 1230 Possino.

οὐκ οἶδ' ὁποτέρωθεν, εἴτ' ἐκ τῶν προλαληθέντων κατ' αὐτοῦ, εἴτ' ἐξ ὀνείρων καὶ κληδόνων τινῶν. Φιλεῖ γὰρ καὶ ταῦτα περιπολοῦντα τὸν βίον πείθειν τοὺς πλείστους, οὐ πάνυ τοι σφόδρα ἀλόγως οὐδ' ἀμαθῶς, οὐδ' ὡσάν τινες φαῖεν ἀπειρίαν νοσοῦντες. Πλεῖστα γὰρ καὶ τούτων μαρτύρια καλινδοῦνται παρὰ τοῖς ὅσοι σφίσι προσέσχον τὸν νοῦν.

A lea sparsis, sive ex insomniis aliisve omnibus. Solent enim hujusmodi rebus passim in hac vita obviis plerique commoveri, idque non omnino temere aut inscite, aut ita ut nonnulli imperiti fortasse dixerint. Nam plurima earum testimonia apud eos abundant, qui illas diligentius observarunt.

Β'. Ἦσαν μέντοι καὶ ἀφορμαί τινες ἕτεραι μείζους τῶν ἄλλων, τὴν βασίλειον ταύτην ἀρχὴν ἄνωθεν αὐτῷ μνηστευόμεναι, καθάπερ μεγάλης πηγῆς ἀπορρύσαι τινες εὐγενεῖς ἐς αὐτὸν κατιοῦσαι. Ὧν αὐτός τε καὶ ὅσοι τῶν φίλων δρασσόμενοι τοῖς ὑπὲρ αὐτοῦ τοιούτοις λογισμοῖς μέγα παρεῖχον τὸ δίκαιον. Ἡ γὰρ τῆς μητρὸς αὐτοῦ (30) μήτηρ Εἰρήνη ἡ πρώτη τῶν θυγατέρων ἦν Ἀλεξίου τοῦ βασιλέως· ὃς ἐπειδὴ γονῆς ἄῤῥενος αὐτὸς οὐκ ἠὐμοίρει, ταύτην ἐρυθραῖς ὑποδεδέσθαι κρηπῖσι (31) προσετετάχει, ἵν' εἴη αὐτή τε καὶ ὁ ταύτῃ συζευχθησόμενος τῆς βασιλείας διάδοχος. Ὅθεν συζεύξας αὐτὴν Ἀλεξίῳ τῷ Παλαιολόγῳ καὶ δεσπότην αὐτὸν αὐτίκα τετίμηκε, καὶ εἰ μὴ φθάσας αὐτὸν ὁ θάνατος ἐξῄρει τοῦ τῇδε βίου, αὐτὸς ἂν ἦν ὁ μετὰ τὸν πενθερὸν Ἀλέξιον βασιλεύς. Ἐπεὶ δὲ θανὼν θυγατέρα μόνην καταλελοίπει, ταύτην μετὰ βραχύν τινα χρόνον ἡ μήτηρ ἀνδρὶ συζεύγνυσιν Ἀνδρονίκῳ τῷ Παλαιολόγῳ, ὃν καὶ μέγαν δομέστικον ὁ βασιλεὺς Θεόδωρος τετίμηκεν ὕστερον. Ἐκ τούτων ὁ Κομνηνὸς γεγένηται Μιχαὴλ ὁ Παλαιολόγος, διπλοῦς ὡς εἰπεῖν Παλαιολόγος ὤν, πατρόθεν ἅμα καὶ μητρόθεν. [P. 41] Εἶχε μὲν οὖν κἀντεῦθεν ἀφορμὰς, ὡς εἴρηται, οὐ μικρὰς ἐς τὴν νῦν προκειμένην ὑπόθεσιν. Καὶ ἁπλῶς εἰπεῖν, τοῖς πᾶσι πολλαχόθεν ἐπίσημος ἦν ὁ ἀνὴρ καὶ περίβλεπτος, καὶ ἡ περὶ τούτου φήμη ἠρέμα περιῄει τὰς ἁπάντων κλέπτουσα καὶ γοητεύουσα ἀκοάς.

B

C

II. Suppetebant tamen aliæ majores his rationes, quibus ad hoc imperii fastigium jam inde antiquitus vocaretur : nempe a **69** veteri stirpe velut a magno fonte derivata et ad eum usque descendens nobilitas, qua ipse et amici ejus freti, hujusmodi de eo cogitationibus multum tribuebant. Nam ejus avia materna Irene primogenita filia fuit Alexii imperatoris : qui cum masculam prolem non haberet, illi rubras crepidas induci jussit, ut ipsa, et qui illam duxisset, in imperio sibi succederent. Itaque idem Alexium Palæologum, cui eam nuptum dederat, despotæ titulo ornavit : et hic nisi morte prius sublatus fuisset, post Alexium socerum imperator fuisset. Sed cum mortuus unam tantum filiam reliquisset, eam non multo post mater Andronico Palæologo nuptui collocat, quem deinde Theodorus imperator magnum domesticum fecit. Ex his natus est Comnenus Michael, duplex ut ita dicam Palæologus, paterno simul maternoque genere. Habuit igitur inde quoque, ut dictum est, adjumenta non parva ad eam rem qua de nunc agitur : et ut paucis dicam, omnibus rebus et ab omni parte vir ille illustris erat et suspiciendus, famaque ejus paulatim circumferebatur, omnium auribus sensim obrepens, et eas quasi incantatas deliniens.

Γ'. Ὅ γε μὴν πατριάρχης ἀλλ' οὐδ' αὐτὸς πόῤῥω τῶν ἐκεῖνον φιλούντων ἔκειτο· ἀλλ' εἰ μὴ πλέον τῶν ἄλλων, οὐδενὸς μέντοι ἧττον ἐκεῖνον καὶ αὐτός γε ἐφίλει καὶ μυστηρίων αὐτῷ ἐκοινώνει καὶ, τό γε μεῖζον, τὰς κλεῖς τοῦ βασιλικοῦ πρυτανείου (32) μόνῳ ἐπίστευεν, ὁπότε χρημάτων δέοιτο τὰ στρατιωτικὰ πράγματα καὶ ἡ κοινὴ τῶν ἀναγκαίων χρεία ἀπήτει· ὃ δὴ ἀνυσιμώτατον ἐς τὰ λάθρα μελετώμενα καὶ πέρας ὀξύτατον τοῖς ἐκ πολλοῦ θρυλλουμένοις παρίσχεν. Ἀδείας γὰρ (33) ἐκεῖνος λαβόμενος τοσαῦτα μεταχειρίζεσθαι χρήματα, ἃ εὔξασθαι μὲν ἐνῆν αὐτῷ, ἐλπίσαι δ' οὐκ ἂν ποτ' ἐνῆν, ὅλαις λοιπὸν ἐξήντλει χοίνιξιν ἐς τὰς δεξιὰς τῶν τε προὐχόντων ἐν γένει καὶ τῶν στρατείαις κατειλεγμένων καὶ ὅσοι καὶ γλώττης πειθοῖ καταδημαγωγεῖν τὸν ὄχλον ἐδύναντο. Ἐν οἷς ἦσαν καὶ τοῦ ἱερατικοῦ βήματος οὐκ ὀλίγοι.

D

III. Ne ipse quidem patriarcha ab amore ejus abhorrebat, eumque si non plus quam cæteri, non minus tamen quam quisquam alius diligebat : et arcana consilia cum eo communicabat; et quod majus est, imperatorii fisci claves ei soli credebat, quoties opus erat pecunia ad militares usus aut cum publica **70** necessitas postulabat. Id quod ad clandestina consilia efficacissimum fuit, et celerem iis quæ diu jactata erant finem imposuit. Accepta enim tantæ pecuniæ tractandæ potestate, quam optare ille quidem potuit, sperare autem nunquam ausus fuisset, jam totis modiis eam in manus nobilium et militum effundebat, eorumque etiam qui eloquentia demulcere populum norant. In quibus et sacri ordinis haud pauci erant.

Δ'. Ἐντεῦθεν βουλευτήρια συνεχῆ παρὰ τούτων ἁπάντων συνεκροτεῦντο, τὸν πατριάρχην συνωθοῦντα

IV. Hinc crebra concilia ab his omnibus coacta, quibus patriarcha urgebatur ne cessaret, sed experi-

Variorum notæ.

(30) Vide stemma Palæologorum in Familiis Byzantinis. DUCANG.

(31) Vide quæ annotamus in notis ad Villharduinum et Alexiadem, et in utroque Glossario, ubi de Tzargis. DUCANG.

(32) Partim in urbe Magnesia, partim in Astyzii arce ad Seamandrum, tum fiscus imperatorum asservabatur. Pachymer. lib. 1, cap. 25. DUCANG.

(33) Pachymeres, lib. 1, cap. 25. DUCANG.

giscerelur, eamque rerum curam susciperet, quam tempora postularent. Neque enim eas ejusmodi esse, ut parva diligentia egerent, qua vel omissa, integer earum status maneret; imo in præsenti exitii discrimine versaturas, quemadmodum navis infinitis mercibus onusta, si in medio pelago gubernaculis destituta sit, aut amplum ædificium fundamentis labefactatis. Statim autem in ore erat plerisque Michael Comnenus Palæologus, et prudentia et usu rerum tantæ imperii moli sustinendæ par, donec imperatoris filius ad maturam ætatem pervenisset. His vocibus etiam patriarcha est assensus, eamque sententiam approbavit. Itaque reipublicæ præfuit Comnenus Michael, omni auctoritate præditus, imperatoriis insignibus exceptis. Hoc Michaeli fuit initium et primus gradus ad imperatorium fastigium ascendendi. Ex eo enim res ejus secundis **71** ventis ibant, et plenis, quod aiunt, velis in imperii portum deferebantur.

μὴ ὀμελεῖν, ἀλλὰ διανίστασθαι καὶ τὴν ἀνήκουσαν τοῖς ἐνεστῶσι πράγμασι διδόναι προμήθειαν. Οὐδὲ γὰρ οὐδὲ μικρᾶς δεῖσθαι ταύτης αὐτά, καὶ οἷα ἄν, εἰ παρίοιτο τις, μένειν αὖθις ἐς τὸ καθεστὼς αὐτά, ἀλλ' αὐτίκα μάλα διακινδυνεύειν ἀπολωλέναι, καθάπερ μυριοφόρος ὁλκὰς ἐν μέσῳ πελάγει τῶν οἰάκων ἀφῃρημένη, ἢ ὥσπερ οἰκία μεγάλη κατασεισθέντων τῶν θεμελίων. Καὶ ἦν ἐπὶ γλώττης (34) αὐτίκα τοῖς πλείοσιν ὁ Κομνηνὸς Μιχαὴλ ὁ Παλαιολόγος, ἱκανὸς ἐμβριθείᾳ συνέσεως (35) καὶ ἐμπειρίᾳ πραγμάτων τοσοῦτον ὄγκον βασιλικῆς ἀναδέξασθαι διοικήσεως, μέχρις ἂν ἐς τὴν προσήκουσαν ἡλικίαν ὁ τοῦ βασιλέως φθάσῃ υἱός. Τούτοις σύμψηφον ὁ πατριάρχης ἤδη καὶ ἑαυτὸν ἐποιεῖτο, καὶ ἐκυροῦτο τὰ δεδογμένα λοιπόν. Καὶ ἦν ἐπὶ τῶν κοινῶν πραγμάτων ὁ Κομνηνὸς Μιχαὴλ, πλὴν τῶν βασιλικῶν συμβόλων, πᾶσαν τὴν ἐξουσίαν ἀνειλημμένος. Αὕτη γίνεται τῷ Μιχαὴλ τῆς εἰς βασιλείαν ἀναγωγῆς ἀρχὴ καὶ κατάστασις πρώτη· ἐντεῦθεν γὰρ ἐξ οὐρίας ἤει τούτῳ τὰ πράγματα καὶ πλήρεσιν, ὡς εἰπεῖν, τοῖς ἱστίοις ἐς τοὺς τῆς βασιλείας ἔπλει λιμένας.

V. Paucis diebus elapsis, aliud concilium ejus studiosi convocant, negantes oportere eum qui negotia imperii et reipublicæ administraret, multarumque gentium legationes audiret, dignitate imperatoriæ proxima carere, tum ut suus nationi Romanæ honos constaret, tum etiam ut ea, quæ ille interim constituturus foret, firma essent. His de causis igitur despotæ titulo ornatur tam a patriarcha quam a filio imperatoris.

Ε'. Ὀλίγαι παρῆλθον ἡμέραι καὶ δεύτερον συγχροτοῦσι βουλευτήριον οἱ αὐτοῦ σπουδασταί, οὐ δίον εἶναι φάσκοντες τὸν τὰ βασιλικὰ καὶ κοινὰ διοικοῦντα πράγματα καὶ πρεσβείας πολλῶν ἀναδεδεγμένον ἐθνῶν μὴ καὶ τῆς βασιλείας ἔγγιστα ἔχειν καὶ τὸ ἀξίωμα τιμῆς ἕνεκα τοῦ τῶν Ῥωμαίων γένους [P. 42] καὶ ἅμα βεβαιώσεις τῶν μεταξὺ γινομένων καταστάσεων. Ταῦτ' ἄρα καὶ τὸ τοῦ δεσπότου ἀξίωμα (36) ἔσχετο παρά τε τοῦ πατριάρχου καὶ τοῦ υἱοῦ τοῦ βασιλέως.

CAPUT V.

Michael Angelus Macedoniam et Thraciam statuit invadere. Exercitum cogit. Socios sibi asciscit generos sues, Peloponnesi principem et Manfredum Siciliæ regem. Hi provincias nonaum subactas sorte dividunt. Joannes Sebastocrator, Michaelis Palæologi pater, illis opponitur. Viros principes secum ducit. Thraciæ et Macedoniæ legiones suis adjungit. Proxime hostem castrametatur. Hostes Bellegradum obsident. Virtus suis animum confidunt. Romanum mercitum contemnunt, militum numero imparem, sed divina ope subnixum. Michael Angelus per transfugam decipitur. Proditum se a socis putat. Eos nocte deserit. Socii, cognito Michaelis discessu, ipsi se proditos putant. Turbati et trepidantes a Romanis cæduntur. Princeps Peloponnesi capitur. Rex Siciliæ cum paucis fuga elabitur.

I. Sub hæc, cum Ætoliæ et Epiri princeps Michael despotes audisset, socerum suum Theodorum imperatorem nullo maturæ ætatis successore relicto obiisse, eaque de causa magnis agitari turbis proceres Romanos; cæteris curis omnibus repudiatis speravit se facili labore magno imperio potiturum. Neque enim Romanos eo rerum statu esse, ut si vellet statim Macedoniam et Thraciam invadere, arcere eum possent, magna negotiorum domesticorum mole iis interea incumbente, et omnem eorum curam ab externis rebus abstractam uni sibi vindicante. Igitur magnum e suis provinciis exercitum contrahit, et longe majorem aliunde a fœderatis accipit. Etenim legatione ejus benignissime audita celerrime adsunt Peloponnesi et Achaiæ

Α'. Ἐν τούτοις μέντοι (37) τοῖς χρόνοις ἀκούσας ὁ τῆς Αἰτωλίας τε καὶ Ἠπείρου κρατῶν Μιχαὴλ ὁ δεσπότης, ὡς ὁ συμπένθερος καὶ βασιλεὺς Θεόδωρος ἐτεθνήκει ἐπ' οὐδενὶ διαδόχῳ τελείῳ τῆς βασιλείας, καὶ ὡς πολὺς ἐντεῦθεν θόρυβος ἐπιχωριάζει τοῖς ἐν τέλει Ῥωμαίων, πάσας τὰς ἔξω φροντίδας ἐκκρούων ἤλπισε μικρὰ πονήσας μεγάλης ἀρχὴν γενήσεσθαι κύριος. Μηδὲ γὰρ ἔχειν Ῥωμαίους ὅπως αὐτὸν ἀποσοβήσωσι καταστρέχειν Μακεδονίαν καὶ Θρᾴκην αὐτίκα μάλα βουλόμενον, τῆς οἴκοθεν τέως ἀσχολίας μετὰ πολλοῦ τοῦ κράτους αὖθις ἐπιτεθειμένης καὶ πᾶσαν φροντίδα πρὸς μόνην ἑαυτὴν ἔξωθεν μεθελκούσης. Ὅθεν πολλὴν ἐκ τῆς χώρας αὐτοῦ συνήθροιζε στρατιάν, πολλαπλασίονα δ' ἔξωθεν αὖ κατὰ συμμαχίαν προσελάμβανε. Τὴν γὰρ αὐτοῦ πρεσβείαν

Variorum notæ.

(34) Idem Pachymer. lib. 1, cap. 22, 25. DUCANG.

(35) Vide Arsenii testamentum, editum a Cotelerio. [*Patrol.* t. CXL.] BOIVIN.

(36) Acropol. cap. 77; Pachymer. lib. 1, cap. 27, 28. DUCANG.

(37) Acropol. cap. 77; Pachymer. lib. 1, cap. 30. DUCANG.

ἀσμένως δεξάμενοι τάχιστα ἦκουσιν ὅ τε Πελοποννήσου καὶ Ἀχαΐας πρίγκιψ (38) γαμβρὸς ἐπὶ Ἄννῃ τῇ θυγατρὶ τυγχάνων αὐτοῦ καὶ ὁ τῆς Σικελίας τότε κρατῶν Μαφρὲ, γαμβρὸς καὶ αὐτὸς ἐπὶ Ἑλένῃ τῇ θυγατρὶ τυγχάνων αὐτοῦ, πλῆθος ἐπαγόμενοι στρατιᾶς οὐ πάνυ τοι ῥᾷστα ἀριθμῷ ὑποπίπτειν ἐπαγγελλόμενον. Οὐ γὰρ τοσοῦτον συμμαχήσοντες ἦκον τῷ Μιχαὴλ, ὅσον σφίσιν αὐτοῖς περιποιησόμενοι πλάτος ἀρχῆς καὶ πόλεις ἀλλοτρίας. Καὶ γὰρ τὴν μετὰ τὸν Ἰόνιον κόλπον εὐθὺς ἄχρι Βυζαντίου πᾶσαν Ῥωμαίων ἀρχὴν ἤλπισαν ἕξειν ἀπονητί· καὶ ὡς ἤδη βεβαίως ἔχοντες κλήρῳ ταύτην κατὰ σφᾶς αὐτοὺς διελάγχανον, πρὶν ἅψασθαι ἔργου.

A princeps, ejus gener (nam ipsius filiam Annam in matrimonio habebat), et qui tum in Sicilia regnabat Manfredus, gener ipse quoque, Helena **72** ejusdem filia uxore ducta : uterque copias secum adducens, ut ferebatur, prope innumerabiles. Nec enim tam adjuvandi Michaelis, quam suas ditiones amplificandi causa, et alienas urbes occupandi, aderant. Sperabant scilicet Romanas provincias omnes, ab Ioniō sinu Byzantium usque, se statim absque labore occupaturos : et haud secus ac si jam earum possessionem firmam haberent, sorte illas, priusquam bellum inchoassent, distribuebant.

Β'. Τῆς δὲ λαμπρᾶς ταύτης καὶ θαυμασίας παρασκευῆς ἐν ἀκοῇ καταστὰς [P. 43] ὁ Κομνηνὸς Μιχαὴλ ὁ Παλαιολόγος, ἄρτι τὸ δεσποτικὸν περιεζωσμένος ἀξίωμα καὶ βεβαιοτέραν ἐν τοῖς πράγμασι τὴν τῆς ἐξουσίας περιπεποιημένος ἀρχὴν, πέμπει μηδὲν μελλήσας τὸν αὐτοῦ ἀδελφὸν Ἰωάννην, σεβαστοκράτορα ὄντα, χεῖρα συχνὴν ἐπαγόμενον. Πέμπει δὲ σὺν αὐτῷ καὶ τῶν τῆς συγκλήτου λαμπρῶν οὐκ ὀλίγους συνεργοὺς καὶ συλλήπτορας, ὁπόσοι στρατηγικῆς ἐμπειρίας οὐ πάνυ τοι ἀδαεῖς ὄντες ἐτύγχανον· ἐν οἷς ἦν καὶ Καῖσαρ ὁ ἀμφιμήτριος ἀδελφὸς αὐτοῦ Κωνσταντῖνος καὶ Ἀλέξιος ὁ Στρατηγόπουλος μέγας δομέστικος ὤν· καὶ πρός γε ἔτι Κωνσταντῖνος ὁ Τορνίκιος, ὁ τοῦ σεβαστοκράτορος πενθερὸς, μέγας ὢν πριμμικήριος. Ἦν δὲ τηνικαῦτα ὁ χρόνος (39) μικρὸν μετὰ τροπὰς θερινὰς κατ' αὐτὰς δὴ τὰς Ὠρίωνος καὶ Κυνὸς πλατείας ἐπιτολάς. Καὶ δὴ τὴν ταχίστην διαπεραιωσάμενοι τὸν Ἑλλήσποντον ἦσαν διὰ Θράκης καὶ Μακεδονίας ὁμοῦ καὶ τὰ ἐκεῖθεν συνεφελκόμενοι πάντα Ῥωμαϊκὰ στρατεύματα, ὁπόσα σποράδην κατὰ πόλεις καὶ κώμας καὶ ἀγροὺς ἐσχολακότα τέως διῆγον. Μέλλοντος δ' ὅσον οὐδέπω τοῦ ἡλίου τὰς φθινοπωρινὰς ἰσημερίας ἐπιτελεῖν, φθάνουσι περὶ Ἀχρίδαν τε καὶ Δεάβολιν. Φρούρια ταῦτα Μακεδονίας, πολλὴν παρασχόμενα τὴν ἀσφάλειαν τοῖς χρωμένοις αὐτοῖς. Τούτων μεταξὺ τὸ ἑαυτῶν πηξάμενοι στρατόπεδον ἀκούουσι καὶ τοὺς πολεμίους στρατοπεδεύοντας ἐς τὰ τοῦ Αὐλῶνος ἱππήλατα, ὡς διαιρεῖσθαι τὰ ἀμφοτέρων στρατόπεδα διὰ τοῦ μεταξὺ παρατείνοντος ὄρους καὶ γίνεσθαι τοὺς μὲν Ῥωμαίους ἀρκτικωτέρους, τοὺς δὲ πολεμίους νοτιωτέρους.

II. Hoc illustri et memorabili apparatu Michael Comnenus Palæologus audito, modo despoticum titulum adeptus, et potestate sua ipso administrationis initio stabilita, nihil moratus, fratrem suum Joannem sebastocratorem cum magnis copiis mittit, eique socios et adjutores adjungit viros senatorii ordinis illustres non paucos, qui aliquem rei militaris usum haberent : in quibus etiam Cæsar erat Constantinus, uterinus ejus frater, et Alexius Strategopulus, magnus domesticus : præterea quæ Constantinus Tornicius, sebastocratoris socer, magnus primicerius. Factum hoc est post æstivum solstitium, sub ipsum Orionis et Caniculæ exortum. Igitur Hellesponto celerrime trajecto per Thraciam et Macedoniam proficiscentes, Romanas eorum locorum legiones una secum omnes adducunt, quæ sparsim in urbibus, pagis et agris **73** otium tum agebant. Cum vero jamjam autumnale æquinoctium instaret, ad Achridam et Deabolim perveniunt. Sunt autem ea Macedoniæ præsidia ita munita, ut eos a quibus tenentur tutissimos præstent. Inter utrumque castris positis audiunt, hostes ipsos in Aulonis planitie castrametari, ut ambo exercitus interjecto monte dividerentur, Romanus versus septentrionem, hostilis autem ad meridiem vergens.

Γ'. Οἱ μέντοι πολέμιοι περικαθίσαντες ἐπολιόρκουν τὸ τῶν Βελλεγράδων ὑψηλόν τε καὶ, ὡς εἰπεῖν, ὑπερνέφελον φρούριον, μελέτην ἔχοντες μετὰ τὴν ἐκείνου καταστροφὴν, ὡς ἐξ ὁρμητηρίου λαμπροῦ τινος κεχύσθαι καὶ κατὰ τῆς ἄλλης ἁπάσης δυτικῆς τῶν Ῥωμαίων ἐπικρατείας, καθάπερ τις πλούσιος ποταμὸς ἐξ ὄρους ὑψηλοῦ τινος ἐς τὸ κάταντες ῥαγδαίως καταῤῥάγεις· μάταιοι τῆς ἀπονοίας, ταῦτα ἐλπίζοντες ἃ δὴ οὐ τελέεσθαι ἤμελλεν. Οὐ γὰρ ἴσασιν, ὡς πᾶσα ῥώμη σώματος καὶ πλῆθος ἵππου καὶ ὅπλων ἐπισκευὴ μυρμήκων ἀγέλης οὐδὲν

III. Ac hostes quidem Bellegradum, castellum altissimum et supra nubes fere eminens, circumsedentes oppugnabant : eo consilio ut, postquam illud expugnassent, inde velut ex opportuna quadam statione in omnes alias Romanorum occidentales provincias excurrerent, instar magni fluminis ex alto monte in subjectam vallem cum impetu ruentis : vani quidem illi et dementes, cum ea animis agitarent, quæ non successura erant : ignari nimirum, omne corporum robur, omnem equitatum armorumque apparatum, Deo non adjutante, ab

Variorum notæ.

(38) Pachymer. lib. I, cap. 30, 31. Is fuit Guilelmus de Villa Harduini, Gaufredi Primi Achaiæ et Moreæ principis filius. Vide stemma istius familiæ præfixum notis Historiæ Gaufridi de Villa Harduini et *Historiam Franco-Byzantinam* lib. V, n. 16. DUCANG.

(39) Anno 1259. DUCANG.

agmine formicarum prorsus nihil differre. Itaque arrogantiæ et superbis animis tota re permissa Romanos invadunt, atque adeo cogitationibus vanis convenientem exitum sortiuntur. Romani vero, qui seso absque divina ope nihil esse intelligerent, Deo et cœlesti auxilio, quidquid aggrederentur, unice confisi, dimicare cum longe pluribus non dubitarunt, et illustrem victoriam propitio **74** Numine reportarunt, ut statim dicturi sumus.

IV. Nam cum propius hostem castra posuissent, quemdam mittunt hominem valde idoneum ad committendos inter se et mutuis discordiis conturbandos hostiles exercitus. Neque enim id adeo difficile erat, ut fieri non posset, cum Achaiæ princeps et Siciliæ rex peregrini essent, non ejusdem gentis cujus Angelus Michael. Surgit itaque is confestim, ac per speciem transfugæ ad hostes noctu transit, et clam cum Angelo Michaele principe Ætoliæ congressus, « Scito, inquit, hodie tibi et tuis omnibus magnum periculum impendere. Ambo enim genere tui iidemque socii, tam Peloponnesi et Achaiæ princeps quam Siciliæ rex, clam per legatos pacem Romanis offerunt, si sibi certæ largitiones dentur. Si ergo salus tua curæ tibi est, quam primum tibi prospicito, priusquam illorum fœdera et pacta ad exitum perducantur. » Credit Michael : et re paucis suorum, quibus poterat et tempus sinebat, clam indicata, ante solis ortum fugit, eumque alii atque alii, cum de ejus fuga aliquid susurrari audirent, sequuntur : atque ita sparsim omnes ejus milites alii alios fuga antevertere studentes, in pedes sese conjecerunt.

V. Mane vero socii experrecti, fuga Michaelis cognita (cujus quæ causa esset, nulla conjectura consequi poterant), præ stupore obmutuerunt, **75** et Romanos armis lacessere veriti sunt, tum quod quid ageretur ignorarent, tum quod ipsi pauciores jam essent, qui numerosissimi antea fuerant. Itaque in fugam vertuntur, se a Michaele proditos rati. Eos igitur ita turbatos Romani facto statim impetu adorti maximam partem ceciderunt : cæteros, paucis exceptis, vivos ceperunt, inter quos ipse Peloponnesi et Achaiæ princeps fuit. Siciliæ vero rex cum perpaucis suorum clam effugit.

A οὐδαμῆ διενήνοχε, μὴ συναιρομένου Θεοῦ. Διὸ καὶ ἀλαζονείᾳ τὸ πᾶν ἐπιτρέψαντες καὶ οἰήσει οὕτως ἐχώρουν κατὰ Ῥωμαίων. Ταὐτ' ἄρα καὶ τοῖς ματαίοις λογισμοῖς ἀνάλογον ἐπηκολούθει τὸ τέλος. Οἱ δὲ Ῥωμαῖοι οὐδὲν ἑαυτοὺς λογιζόμενοι πλὴν τῆς θεόθεν ἐπικουρίας Θεῷ καὶ τῇ ἐκεῖθεν ἀρωγῇ πᾶσαν τὴν σφῶν αὐτῶν ἐπιτρέψαντες κίνησιν διαγωνίζεσθαι πρὸς πολλαπλασίους ἐθάρρησαν· καὶ μέντοι καὶ λαμπρὰν συναιρομένου Θεοῦ τὴν νίκην εἰργάσαντο, ὡς αὐτίκα εἰρήσεται.

Δ'. Ἐπεὶ γὰρ ἐγγὺς ἤδη τῶν πολεμίων οἱ Ῥωμαῖοι ἐπήξαντο τὰ στρατόπεδα, πέμπουσί τινα τῶν μάλα ἐπιτηδείων ἐκπολεμῶσαι καὶ συνταράξαι κατ' ἀλλήλων τὰ τῶν πολεμίων στρατεύματα. Οὐ γὰρ ἦν τι τῶν ἀδυνάτων [P. 44] τοῦτό γε ἦν, τοῦ τε τῆς Ἀχαΐας πρίγκιπος καὶ τοῦ ῥηγὸς Σικελίας ἑτεροφύλων ὄντων καὶ οὐχ ὁμογενῶν τῷ Ἀγγέλῳ Μιχαήλ. Διαναστὰς οὖν ἐκεῖνος αὐτόθεν αὐτόμολος δῆθεν ἀπῄει νύκτωρ ἐς τοὺς πολεμίους καὶ προσελθὼν λάθρα τῷ τῆς Αἰτωλίας ἄρχοντι Μιχαὴλ τῷ Ἀγγέλῳ, « Ἴσθι, » φησίν, « ὡς σοί τε καὶ πᾶσι τοῖς ὑπό σε μέγας ἐπῄρτηται κίνδυνος σήμερον· ἀμφὼ γὰρ οἱ σοὶ γαμβροί τε καὶ σύμμαχοι, ὅ τε πρίγκιψ Πελοποννήσου καὶ Ἀχαΐας καὶ ὁ τῆς Σικελίας ῥὴξ λάθρα διαπρεσβεύονται πρὸς Ῥωμαίους περὶ σπονδῶν ἐπὶ δώροις ταχτοῖς. Εἴ σοι τοίνυν ζωῆς μέλει, προνοήθητι τὴν ταχίστην σαυτοῦ, πρὶν εἰς πέρας ἐλθεῖν τὰς ἐκείνων σπονδάς τε καὶ συμφωνίας. » Πείθεται ὁ Μιχαὴλ καὶ διαμηνυσάμενος ἡσυχῇ τῶν οἰκείων ὅπόσους αὐτός τε ἐδύνατο καὶ ὁ καιρὸς ἐχορήγει, φεύγων ᾤχετο πρὶν ἢ ἀνατεῖλαι τὸν ἥλιον. Καὶ τούτου κατόπιν ἄλλος ἐξ ἄλλου τὴν φυγὴν ψιθυριζομένην ἀκούοντες τοῦ Μιχαὴλ σποράδες ἔθεον ἅπαντες οἱ στρατιῶται, τῇ φυγῇ προλαμβάνειν ἕτερος ἕτερον σπεύδοντες.

Ε'. Ἅμα δ' ἕῳ διεγερθέντες οἱ σύμμαχοι καὶ τὴν μὲν φυγὴν μαθόντες τοῦ Μιχαὴλ, τὴν δὲ τῆς φυγῆς αἰτίαν οὐκ ἔχοντες συμβαλεῖν, ἀχανεῖς ἦσαν. Καὶ τὸ μὲν ὅπλα κατὰ Ῥωμαίων κινεῖν ἀπηγόρευον, τοῦτο μὲν καὶ ὡς ἀγνοοῦντες τὰ δρώμενα, τοῦτο δὲ καὶ ὡς βραχύτεροι τὸν ἀριθμὸν ἐκ πάνυ πολλῶν καταστάντες. Ὅθεν καὶ πρὸς φυγὴν ἤδη ἐτρέποντο προδεδομένους ἑαυτοὺς ὑπὸ Μιχαὴλ λογισάμενοι. Τούτοις οὕτω τεταραγμένοις αἰφνιδίως οἱ Ῥωμαῖοι ἐπεισπεσόντες τοὺς μὲν πλείστους ἔργον ἀπέφηναν ξίφους, τοὺς δ' ἄλλους πλὴν ὀλίγων ἐζώγρησαν, μεθ' ὧν ἦν καὶ ὁ πρίγκιψ Πελοποννήσου καὶ Ἀχαΐας. Ὁ δὲ τῆς Σικελίας ῥὴξ διέδρα λαθὼν σὺν ὀλίγοις πάνυ τῶν ἑαυτοῦ.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ

ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΛΟΓΟΣ Δ.

—

NICEPHORI GREGORÆ

BYZANTINÆ HISTORIÆ

LIBER QUARTUS.

—

CAPUT PRIMUM.

Michael Palæologus imperator salutatur. Arsenius moleste fert. Novum jusjurandum ab eo exigit. Eidem diadema imponit. Quibus conditionibus. Victoriæ Macedonicæ nuntius. Honores victoribus delati. Princeps Peloponnesi captum se redimit. Urbes ab eo datæ, quibus præficitur Constantinus sebastocrator. Latinorum Peloponnesiorum clades. Arsenius secedit. Secessionis causa. Nicephorus ei subrogatur. Palæologus Galatam frustrà obsidet. Byzantium præsidiis cingit, unde Latinorum inopia. Idem Niceam redit. Scythæ Syriam et Arabiam occupant. In Asiam quæ est cis Euphratem irrumpunt. Turcici imperii sede potiuntur. Sultanus Azatines Palæologum supplex adit.

[P. 45] Α'. Ἀλλὰ τούτων οὕτως ἔχει τελουμένων, Α ἐπ' τῆς ἀσπίδος ἐνταῦθα περὶ τὴν Μαγνησίαν καθίσαντες Μιχαὴλ τὸν Παλαιολόγον ἀναγορεύουσι βασιλέα (40) οἱ δόξῃ καὶ γένει προὔχοντες. Ὅπερ ἀκηκοὼς ὁ πατριάρχης Ἀρσένιος (41), κατὰ Νίκαιαν τότε διάγων, ξίφους παντὸς χαλεπωτέραν κατὰ καρδίας τὴν λύπην ἐδέξατο· καὶ ἡρεμεῖν ὅλως οὐκ εἶχε δεδιὼς περὶ τοῦ παιδός. Ὅθεν ἀφορισμῷ καθυποβαλεῖν ἐπεχείρησε πρῶτον τόν τε ἀνηγορευμένον καὶ τοὺς ἀναγορεύσαντας. Ἔπειτα ἐπέσχε μετριώτερόν τε καὶ βέλτιον ἡγησάμενος ὅρκοις φρικώδεσιν αὐτοὺς ἀσφαλίσασθαι, μήτε τῇ ζωῇ τοῦ παιδὸς ἐπίβουλον χεῖρα ἐπιβαλεῖν, μήτε στέρησίν τινα καὶ παρευδοκίμησιν τῆς αὐτοῦ βασιλείας ἐνθυμηθῆναι. Καὶ δὴ γίνεται τοῦτο, Καλανδῶν Δεκεμβρίων (42) ἄρτι ἐπιλαμπουσῶν· οὔπω δ' ὅλος Β ἀπηρτίζετο μὴν (43) καὶ αὐτὸς ὁ ταῦτα μὲν δεδιὼς, ἐκεῖνα δ' ἐμπεδῶν καὶ ἀσφαλιζόμενος ὑπὲρ τοῦ

78 I. Quæ cum ibi ita gererentur, viri auctoritate et nobilitate præstantes circa Magnesiam clypeo imponunt Michaelem Palæologum et imperatorem appellant. Quo audito patriarcha Arsenius, qui tum Nicææ versabatur, vehementius doluit quam si ipsius cor gladio transfixum fuisset. Neque ullatenus quieseere poterat, de puero sollicitus. Primum itaque in anima habuit, tam ei qui appellatus esset imperator, quam illis qui appellassent, sacris interdicere. Deinde se ipsum cohibuit, moderatius et melius esse arbitratus eos tremendo jurejurando astringere, ne vel pueri vitæ insidiarentur, vel imperio ejus fraudem injuriamve ullam facere cogitarent. Idque peractum statim Kalendis Decembribus. Nondum autem toto mense transacto, **79** is ipse qui hæc timuerat, et illa ipsa pro puero pepigerat atque caverat, suis manibus in sacro bemate Michaelis Palæologi capiti coronam imponi, et

Variorum notæ.

(40) Acropolita cap. 78; Pachymer. lib. II, cap. 2, 3, 4; Phranzes, lib. I, cap. 4. DUCANG.

(41) Vide Arsenii testamentum. BOIVIN.

(42) Imperator dictus et in clypeum elatus Kal. Decemb. anno 1259, ut infra admotatur. DUCANG.

(43) Michaelem Palæologum ab Arsenio Kalendis ipsis Januariis coronatum esse tradit Ducangius. Gregoras coronatum ait *nondum toto mense elapso* post præstitum jusjurandum: proinde ante Kalendas Januarias coronatum ponit. Nam jusjurandum Kalendis Decembribus præstitum esse dixit paulo supra. Pachymeres, lib. II, cap. 4: Ἑκατομβαιῶνος νουμηνίᾳ jusjurandum præstitum, proclamatum imperatorem, et clypeo impositum, scribit. De eodem coronato agit in capitibus sequentibus. Possinus vero ἑκατομβαιῶνος νουμηνίαν Kalendas Januarias interpretatur, atque adeo post Kal. Januarias coronatum imperatorem putat. Ita chronologis male inter se convenit. Ego Ducangium auctorem secutus, coronati Michaelis Palæologi annum posui 1260, diem vero, Kalendas ipsas Januarias. Mauritius Daviſ Palæologi inaugurati tempus retrogit ad Kalendas Januar. anni 1259, et hanc suam rationem multis argumentis confirmat, quæ in præsenti nec refellere nec omnino approbare instituí. BOIVIN.

imperatorio diademate virum ornat, abreptus ipse quoque sententiis aliorum, qui vel senatorii vel sacerdotalis ordinis erant. Cæterum non perpetuum illi decernit imperium, sed quod, rebus ita cogentibus, ab eo tandiu administrandum esset, donec legitimus imperii hæres et successor adolevisset : tum vero illi soli cessurum eum ultro et solio et omnibus simul imperii insignibus. Atque in hæc verba juratum est sanctioribus quam antehac juramentis.

A παιδὸς, οἰκείαις χερσὶν ἐπὶ τοῦ ἱεροῦ καταστέφει βήματος (44) Μιχαὴλ τὸν Παλαιολόγον· καὶ τῷ βασιλικῷ κοσμεῖ διαδήματι (45), ταῖς γνώμαις τῶν ἄλλων ὅσοι τῆς συγκλήτου καὶ ὅσοι τοῦ ἱερατικοῦ καταλόγου συγκαθελκυσθεὶς καὶ αὐτός. Πλὴν οὐκ αὐτῷ γε διηνεκῆ τὴν αὐτοκρατορικὴν ἀρχὴν (46) χαρίζεται, ἀλλ' ὡς τῶν πραγμάτων τέως ἀναγκαζόντων διοικεῖν αὐτὸν αὐτὴν μέχρις ἂν ἐς ἥβην ὁ γνήσιος τῆς βασιλείας κληρονόμος ὁμοῦ καὶ διάδοχος φθάσῃ. Τότε δ' αὐτὸν ἐκόντα παραχωρεῖν ἐκείνῳ μόνῳ τῶν τε αὐτοκρατορικῶν θρόνων καὶ πάντων ἅμα τῶν βασιλικῶν συμβόλων. Καὶ ἐπὶ τούτοις αὖθις ὅρκοι ἐτελοῦντο φρικωδέστεροι τῶν προτέρων.

II. Porro tunc, velut optimum imperii auspicium, victoria Romanorum occidentalis ei nuntiatur, pauloque post ipsi victoriæ auctores adsunt, Peloponnesi Achaiæque princeps, et multos alios ex hostibus captivos adducentes. Et ii quidem justis laborum præmiis honoribusque afficiuntur. Nam sebastocratori despotica potestas ab imperatore decernitur : magnus domesticus Cæsar, Cæsar vero cum despotæ socero sebastocrator appellatur. Soceri autem illustre discrimen in cæruleis calceis aureæ aquilæ intertextæ constituebant. At Peloponnesi et Achaiæ princeps, redimendæ vitæ et libertatis ergo, tres optimas Peloponnesi civitates imperatori dat, Monembasiam, **80** Mainen ad Leuctra sitam, quæ olim apud Græcos Tænarium promontorium dicebatur, et Spartam, principem Laconiæ urbem : atque ita velut ex inferorum faucibus ereptus, suis restituitur. Urbibus vero illis Peloponnesiis uterinus imperatoris frater Constantinus præficitur, quem, ut modo diximus, e Cæsare sebastocratorem fecerat. Quo cum pervenisset, Latinos Peloponnesios sæpenumero vicit, et multas alias urbes subegit, ex illis tribus tanquam magnis quibusdam castris ad bellum erumpendo.

B [P. 46] Β'. Τηνικαῦτά γε μὴν καθάπερ τις ἄριστος οἰωνὸς τῆς αὐτοῦ βασιλείας ἀγγέλλονται τούτῳ τὰ δυτικὰ τῶν Ῥωμαίων τρόπαια (47), καὶ μετ' ὀλίγον ἥκουσι καὶ οἱ τὰ τρόπαια πεπραχότες αἰχμάλωτον ἄγοντες τόν τε Πελοποννήσου (48) καὶ Ἀχαΐας πρίγκιπα καὶ πλείστους ἄλλους τῶν πολεμίων. Κἀκεῖνοι μὲν ἄξια κομίζονται τὰ γέρα καὶ τῶν πόνων τὰ ἔπαθλα. Ὁ μὲν γὰρ σεβαστοκράτωρ ἐς τὸ δεσποτικὸν ἀνάγεται παρὰ τοῦ βασιλέως ἀξίωμα· ὁ δὲ μέγας δομέστικος ἐς τὸ τοῦ Καίσαρος· ὁ δὲ Καῖσαρ ἅμα τῷ πενθερῷ τοῦ δεσπότου ἐς τὸ τοῦ σεβαστοκράτορος. Ἐποίει δ' ἐπίσημον τὴν ἐκ τοῦ πενθεροῦ διαφορὰν, ὅτι ἐν τοῖς κυανοῖς πεδίλοις (49) καὶ χρυσοῦφεῖς αὐτῷ ἐνηρμόζοντο ἀετοί. Ὁ γε μὴν πρίγκιψ Πελοποννήσου καὶ Ἀχαΐας ὠνούμενος τὴν ἐλευθερίαν μετὰ τῆς ἑαυτοῦ ζωῆς δίδωσι τῷ βασιλεῖ τῶν ἐν Πελοποννήσῳ πόλεων τρεῖς τὰς βελτίους, τήν τε Μονεμβασίαν (50) καὶ τὴν περὶ τὰ Λεῦκτρα Μαίνην, ἢ Ταινάρια πάλαι παρ' Ἕλλησιν ἄκρα ἐκαλεῖτο, καὶ τρίτην τὴν προκαθεζομένην τῆς Λακωνικῆς Σπάρτην. Καὶ οὕτως ὥσπερ ἐξ ᾅδου κευθμώνων ἀπροσδόκητος ἐχαρίζετο τοῖς ἰδίοις. Ἐγκρατὴς δὲ τῶν εἰρημένων στέλλεται πόλεων ἐν Πελοποννήσῳ Κωνσταντῖνος ὁ ἀμφιμήτριος ἀδελφὸς τοῦ βασιλέως, ὃν, ὡς μικρῷ πρόσθεν εἰρήκειμεν, ἐκ Καισάρων σεβαστοκράτορα πεποίηκε. Καὶ ἀπελθὼν ἐκεῖσε πολλὰς εἰργάσατο νίκας κατὰ τῶν Πελοποννησίων Λατίνων· καὶ πολλὰς ἑτέρας προσεκτήσατο πόλεις ὡς ἐξ ὁρμητηρίων μεγάλων τριῶν ἐκείνων ὁπλιζόμενος πόλεων.

C

Variorum notæ.

(44) Wolfius, *in sacro suggestu* : emendavimus, ut et alibi ubi hæc vox occurrit, *in sacro bemate*. Aliud enim est *suggestus* sive *ambo*, aliud *bema* sive sacrarium. Vide *Constantinopolin Christianam*, lib. III, n. 49. DUCANG.

(45) Kalendis Januarii anno Chr. 1260, indict. 3, Nicææ, quæ post receptam a nostris urbem Ῥωμαίων βασίλειον exstitit, ut hic infra ait. Ita Acropolita. DUCANG.

(46) Pachymer., lib. II, cap. 2; Phranzes, lib. I, cap. 4; more scilicet Francorum observato, apud quos tutores prædiorum, quæ nobilium puerorum tutelæ suæ commissorum erant, dominos sese inscribebant, donec ii suæ ætatis fierent ; cujus quidem moris haud nuper ii exemplum dederant, dum Balduio II, adhuc impuberi, Joannem Briennensem comitem ex rege Hierosolymitano tutorem præfecerant, ea lege ut quoad Balduinus ex ephebis excederet, imperatoria dignitate frueretur : de quo apud nostros more multa diximus in *Hist. Franco-Byzantina*, lib. III, n. 15, et in *Gloss. med. Latin.* in v. *Hæres*. DUCANG.

(47) Itaque cum imperator salutatus et clypeo impositus est apud Magnesiam, nondum victoriæ Macedonicæ nuntius advenerat. Hinc ejus victoriæ reportatæ tempus colligi potest, atque ex initio cap. 2, infra. BOIVIN.

(48) Acropolita, cap. 81; Pachymer., lib. I, cap. 31; Phranzes, lib. I, cap. 5; Monachus Paduanus, lib. III, pag. 34; *Histor. Franco-Byzant.* lib. V, n. 16, 17. Is porro princeps fuit Guilelmus Villharduinus, Gaufridi Primi Moreæ et Achaiæ principis filius, cujus supra meminit lib. III, cap. 5. DUCANG.

(49) Vide quæ in hanc rem anotamus in *Gloss. med. Græcit.* in v. Τζάγγη. DUCANG.

(50) Ita etiam Phranzes lib. I, cap. 4. At Monachus Paduanus lib. III, pag. 35, Sabellicus et Blondus solam Monembasiam habent. Constat tamen Spartam unam fuisse ex cessis oppidis, ut exserte testantur Gregoras et Phranzes, cujus episcopus Haimo, sua dignitate ex eo privatus, ad Coronensem episcopatum promotus fuit a Nicolao III papa anno 1278, uti docet ejusdem pontificis Regestum in litteris curialibus epist. 110. Est autem Monembasia Moreæ nunc oppidum, non procul dissitum a Capo Malio, sive Maleo promontorio, hodie *Malvasia*, priscis *Epidaurus Peloponnesi*. DUCANG.

Γ'. Ἐπὶ τούτοις καταλιπὼν τὸν πατριαρχικὸν ὁ Ἀρσένιος θρόνον (51) ᾤχετο ἡσυχάσων ἐς τὸ παράλιον (52) τοῦ Πασχασίου μονύδριον (53). Πρόφασις δ' ἦν τῆς ὑποχωρήσεως ἡ περιφρόνησις Ἰωάννου τοῦ Λάσκαρι τοῦ βασιλέως παιδός. Ἔπεμψε γὰρ αὐτὸν πρὸ βραχέος ὁ βασιλεὺς Μιχαὴλ ὁ Παλαιολόγος ἐν Μαγνησίᾳ φυλάττεσθαι, μήποτε νεωτερισμόν τινα δῆθεν πράξῃ παρά τισιν ἔχουσιν εἰς τοῦτο ἐπιρρεπῶς ἡ αὐτοῦ γε ἐμφάνεια. Καὶ δὴ Νικηφόρος (54) ἀντ' ἐκείνου ἐς τὸν πατριαρχικὸν ἀνάγεται θρόνον, ὁ τῆς Ἐφέσου μητροπολίτης, ὃς ἕνα ἐπιβιοὺς ἐνιαυτὸν ἐτελεύτησεν.

III. Post hæc Arsenius, relicta sede patriarchali, se in maritimum Paschasii monasteriolum quiescendi causa contulit. Causa illius secessionis fuit, quod Joannes Lascaris filius imperatoris contemneretur. Miserat enim eum paulo ante imperator Michael Palæologus Magnesiam custodiendum, ne præsentia ejus quosdam alioqui rerum novarum cupidos commoveret. Proinde Nicephorus Ephesi metropolitanus Arsenii loco in patriarchalem sedem evectus est, qui, uno anno in ea dignitate exacto, mortem obiit.

Δ'. Ὁ μέντοι βασιλεὺς σὺν πολλοῖς τοῖς στρατεύμασι διεπεραιοῦτο εἰς Θρᾴκην ἐπίδοξος ὢν ἐσβαλεῖν καὶ ἐς τὰ τῆς Κωνσταντινουπόλεως προαύλια πεῖρας εἵνεκα πολεμικῆς. Καὶ δὴ μετὰ τὴν ἔξω διατριβὴν παρελάσας ἐπολιόρκει πρῶτον τὸ κατὰ τὴν περαίαν τοῦ Γαλάτου ἐπικεχλημένον φρούριον (55), ὡς ῥᾳδίως ἐντεῦθεν ἁλωσομένης αὐτῷ καὶ τῆς Κωνσταντίνου, εἰ αὐτὸ παραστήσαιτο πρότερον. Ἀλλ' ἦσαν ἄρα τὰ τῶν τοιούτων ἐλπίδων αὐτῷ γρηγορούντων ἐνύπνια. Πλεῖστα γὰρ τῶν λιθοβόλων μηχανημάτων ἀντιπεριστήσας αὐτῷ καὶ πολλὰς ἐπενεγκὼν βίας ἑλεῖν οὐ δεδύνηται. Ὅθεν ὀχυρώσας τὰ πρὸ τῆς Βυζαντίδος φρούρια καὶ ὁπλίτας ἀφεὶς [P. 47] ἐν αὐτοῖς προσετετάχει συνεχεῖς ἐπιδρομὰς καὶ ἐνέδρας ποιεῖσθαι κατὰ τῶν Βυζαντίων Λατίνων, ὡς μηδὲ προκύπτειν ἐᾷν εἰ δυνατὸν αὐτοὺς τῶν τειχῶν. Ὁ δὴ πρὸς τοσαύτην ἤλασε τοὺς Λατίνους πενίαν, ὡς τῇ τῶν ξύλων σπάνει καὶ τὰς τοῦ Βυζαντίου πλείστας καὶ περιφανεῖς οἰκίας καθελεῖν εἰς δαπάνην χρειώδη τοῦ πυρός. Ἐντεῦθεν ἐς Νίκαιαν αὖθις ὑποστρέφει· αὕτη γὰρ ἐγεγόνει Ῥωμαίων βασίλειον μετὰ τὴν τῆς Βυζαντίδος πόρθησιν, καὶ ἣν ἐκεῖ διατρίβων ἐφ' ἱκανόν.

IV. Imperator vero cum magnis copiis in Thraciam transfretavit, ut crederetur in Constantinopolitana suburbia irruptarus, ad tentandam belli fortunam. Et cum foris morari desiisset, ultra provectus, castellum cognomento Galatæ in adverso littore situm primo oppugnavit, quasi ita deinde facile 81 Urbis potiturus, si illud prius occupasset. Sed eæ spes nihil utique aliud fuerunt quam somnia vigilantium. Nam cum illud castellum multis machinis saxa ejaculantibus circumdedisset, et multos conatus adhibuisset, capere tamen haud potuit. Unde Byzantino agro finitima castella munivit; et milites in iis reliquit, ea lege imposita ut crebris incursionibus atque insidiis Byzantinos Latinos infestarent, ne, si fieri posset, illis vel prospicere extra mœnia liceret. Quæ res Latinos ad tantam egestatem redegit, ut ob lignorum inopiam plurimas et pulcherrimas urbis ædes destruerent ad usum ignis necessarium. Inde Nicæam rediit, quæ post Byzantii vastationem regia Romanorum fuit, ibique aliquandiu commoratus est.

Ε'. Ἐν τούτοις μέντοι τοῖς χρόνοις διαβάντες καὶ τὸν Εὐφράτην οἱ Σκύθαι τὴν ἄχρι Παλαιστίνης οἰκειοῦνται Συρίαν καὶ Ἀραβίαν. Μηδὲ γὰρ εἶναι τῶν πάνυ ῥᾳδίων πέρας λαμβάνειν τὴν ἀνθρώπων πλεονεξίαν. μέχρις ἂν ἐπιμένῃ τῇ δεξιᾷ καὶ τῇ αἰχμῇ τὸ δύνασθαι. Καὶ πολλοῖς ἐκεῖ τοῖς λαφύροις περιτυχόντες βριθούσαις ἐπανήκουσι δεξιαῖς, φόρους ἐτησίους, ὅσα καὶ δούλοις ἀθλίοις, τάξαντες τοῖς ἐναπολειφθεῖσιν Ἀραψί τε καὶ Σύροις καὶ Φοίνιξι. Κατὰ μέντοι τὸ ἐπιὸν ἔτος (56) εἰσβάλλουσι καὶ ἐς τὴν ἔνδον Εὐφράτου Ἀσίαν καὶ πᾶσαν ῥᾳδίως καταστρέφουσι καὶ

V. Cæterum his temporibus Scythæ, etiam Euphrate superato, Syriam ad Palæstinam usque subigunt; item Arabiam. Neque enim avaritia humana facile conquiescit, dum conatibus fortuna respondet. Ac multas illic manubias nacti domum redeunt plenis manibus, post imperata annua tributa Syris, Arabibus et Phœnicibus, veluti miseris quibusdam mancipiis. Anno sequenti, etiam in Asiam citra Euphratem (id est, in Asiam Minorem) irrumpunt, eamque prædati facile subigunt, limitibus excursionis et motus illius constitutis versus

Variorum notæ.

(51) Ephræmius de Arsenio:
Καὶ πάντα βαθμὸν ἀνύσας Ἐκκλησίας,
Εἰς ὕψος ἦρθη ποιμεναρχίας μέγα.
Αὐθαιρέτως τούτου δὲ λείποντος θρόνον,
Μονῇ δὲ αὐτὸν εὐαγῶς δεδωκότος,
Νικηφόρος, πρόεδρος ὢν Ἐφεσίων,
Προεδρίαν εἵληφε τῆς Κωνσταντίνου. DUCANG.
Vide Arsenii Testamentum. BOIVIN.

(52) *Tranquillam ac solitariam vitam acturus.* Vide Glossarium Ducangii. BOIVIN.

(53) Cujus monasterii situs describitur a Pachymer. lib. II, cap. 15. DUCANG.

(54) Pachymer. lib. II, cap. 16. DUCANG.

(55) Περαίᾳ, παρὰ τὸ πέραν, quod mare interjacet. Vocatur etiam hodie Pera, ut Joannes Denschwam, vir ornatissimus, mihi retulit, qui diu et Byzantii vixit, et Amasiam usque progressus est: et hos Byzantinæ historiæ libros omnes cum aliis multis singulari industria et studio juvandæ reipublicæ litterariæ comparavit: et ut a me converterentur, atque in publicum ederentur, primus auctor fuit. WOLFIUS. — Male Wolfius, *Castellum Perææ, cognomento Galatæ.* Περαία hoc loco *adversum littus* significat. Quod si castellum illud hodie *Pera* dicitur, non ideirco Gregoræ verbis vis facienda est. BOIVIN. — *Τοῦ Γαλάτου.* Pachymer. lib. II, cap. 20. DUCANG.

(56) An. Chr. 1261. DUCANG.

septentrionem Cappadocia et flumine Thermodonte : ad **82** meridiem Cilicia, et Tauri omnium Asiæ montium maximi jugis, quæ paulo post suum initium in multas partes dividuntur.

VI. Deinde Turcorum quoque regia petiuntur. Quare sultanus Azatines, cum fratre Meleco exsul, ad Romanorum imperatorem Michaelem Palæologum confugit, hospitalitatis non omnino veteris et magnorum officiorum recordationem, veluti certam præclaræ spei pignus, conservans ; quod et ipse eum aliquando excepisset, imminens ab imperatore discrimen fugientem, et plurima terrorum illorum gravissimorum vestigia in animo circumferentem. Quæ cum in memoriam illi revocasset, duorum alterum petit, ut vel opem ferat contra Scythas, vel partem aliquam Romani agri, ac veluti proprii domicilii possessionem certam assignet, in qua cum suis sedem figat. Adducebat enim secum uxorem et liberos, et famulos multos, ac præterea magnas divitias. Imperatori autem, tot undique bellis urgentibus, non committendum esse visum est, ut Romanas copias divideret : terræ autem partem tanto viro, qui multis provinciis imperasset, et regio more ab ineunte ætate educatus esset, assignare, ne id ipsum quidem suspicione carere aut metu in posterum. Necesse enim esse ut subjecti satrapæ ducem suum quærant, et alibi atque alibi dispersi et veluti noctu oberrantes ad eum qui facem præferat ac viam monstret, concurrant, ac tandem Romanos insigni detrimento **83** afficiant. Unde animum ejus velut in æquilibrio nutantem, ac tanquam spei parasitum agebat et versabat.

λητίζοντας, ὅρους ποιησάμενοι τοῦ τοιούτου ὁρόμου καὶ κλόνου πρὸς μὲν ἄρκτους Καππαδοκίαν καὶ ποταμὸν τὸν Θερμώδοντα, πρὸς δὲ μεσημβρίαν τήν τε Κιλικίαν καὶ τὰ μικρὸν μετὰ τὰς ὀρχὰς πολλαχῇ διαιρούμενα μέρη τοῦ Ταύρου, ὃς μέγιστος ἐπεφύκει τῶν κατὰ τὴν Ἀσίαν ὀρῶν.

Ϛ'. Χειροῦνται δ' ἐπὶ τούτοις καὶ τὰ τῶν Τούρκων βασίλεια (57). Καὶ φυγὰς ὁ σουλτὰν Ἀζατίνης ἅμα τῷ ἀδελφῷ Μελὴχ (58) φοιτᾷ πρὸς τὸν βασιλέα Ῥωμαίων Μιχαὴλ τὸν Παλαιολόγον, ἐνέγυρα φέρων πιστὰ μεγάλων ἐλπίδων οὐ πάνυ παλαιᾶς φιλοξενίας καὶ μεγάλης κηδεμονίας ὑπομνήματα· ὁπότε δηλαδὴ καὶ αὐτὸς παρ' αὐτὸν ἦκε, φεύγων τε τοὺς βασιλικοὺς ἐκείνους κινδύνους καὶ πλεῖστα φέρων ἐπὶ τῆς καρδίας τὰ τῶν μεγάλων φόβων ἐκείνων ἴχνη. Τούτων ἀνάμνησιν ἐπ' αὐτοῦ ποιησάμενος αἰτεῖ δυοῖν θάτερον· ἢ συμμαχίαν κατὰ τῶν Σκυθῶν, ἢ γῆς Ῥωμαϊκῆς ἀποτομήν τινα καὶ οἱονεὶ κληρουχίαν εἰς κατοικίαν μονιμωτέραν αὐτοῦ τε καὶ τῶν ἅμα αὐτῷ. Ἦν γὰρ ἐπαγόμενος γυναῖκα καὶ τέκνα καὶ θεραπείαν συχνήν, καὶ πρὸς τούτοις πλοῦτον μάλα μακρὸν καὶ πολυτελῆ. Τῷ μὲν οὖν βασιλεῖ τὰ Ῥωμαίων καταχερματίζειν στρατεύματα, πολλῶν πολλαχόθεν περικυκλούντων πολέμων, οὐ πάνυ τοι ἀσφαλὲς ἐδόκει, τό τε γῆς κληροδοσίαν ἀπονέμειν ἀνδρὶ τοσούτῳ, πολλῶν σατραπειῶν ἀρχηγῷ καταστάντι καὶ ἡγεμονικοῦ τινος ἤθους τροφίμῳ, καὶ τοῦτο δὲ οὐκ ἀνύποπτον ἦν αὐτῷ, οὐδ' ἄνευ φόβων μελλόντων. Ἀνάγκη γὰρ τοὺς ὑπὸ χεῖρα σατράπας ζητῆσαι τὸν ἀρχιγόν· καὶ τοὺς ἔνθεν κἀκεῖθεν διασπαρέντας καὶ φερομένους οἷα πλανήτας ἐν νυκτὶ ἐπὶ τὸν λαμπαδοῦχον καὶ ὁδηγὸν [P. 48] συνδραμεῖν καὶ χρόνῳ γενέσθαι Ῥωμαίοις κακῶν ἀμήχανον· ὅθεν ὡς ἐπὶ τρυτάνης μετεωρίσας αὐτοῦ τὴν ψυχὴν ἦγε καὶ ἔφερεν ἐλπίδων ὥσπερ παράσιτον (59).

CAPUT II.

Michael Etalus pacem rumpit. Cæsar Strategopulus adversus illum missus. Paucos secum milites ducit. Byzantinos jubetur transeundo lacessere. Ubi primum castrametatus. Quos homines obvios habuerit. De divina providentia. Latinorum vires exiguæ. Daphnusia ab iis obsessa. Byzantii recuperandi ratio inita cum proditoribus. Cæsar in urbem noctu intromittitur. Domorum incendia. Latinorum, qui Byzantii imperarunt, enumeratio. Balduini conatus irritus. Fuga. Classis, quæ Daphnusiam obsidebat, Byzantium redit. Latinos fugientes excipit. In Italiam vela dat. Michael Palæologus recuperatæ urbis nuntio quemadmodum affectus. Ut per portam Auream intraverit. Ut imago Deiparæ Hodegetriæ antelata sit. Urbis aspectus ruinis deformatus. Latinorum incuria. Imperator urbem instaurat. Arsenius Ierum patriarcha. Alexii Cæsaris triumphus.

I. Secundus annus exibat, ex quo Michael imperatorio solio potitus occidentalia et Thessalica arma

Α'. Δύο ἐξῆς ἠνύετο ἔτη (60), ἀφ' οὗ τῶν τε βασιλικῶν θρόνων ἐγκρατὴς ὁ Μιχαὴλ ἐγεγόνει καὶ τὸ

Variorum notæ.

(57) Iconium, Turcorum sultani sedem primariam. Vide stemma sultanorum Iconiensium post familias Dalmaticas, n. 15. DUCANG.

(58) Qui antea ad Michaelem profugerat, et ab eo detinebatur, ne si evaderet res novas moliretur. Pachymer. lib. II, cap. 14. DUCANG.

(59) Sententia est, ut parasiti mensis divitum alantur, ita illum spe bona lactatum esse. WOLFIUS.

(60) Acropol. cap. 85, A. C. 1261 ; Pachymer. lib. II, cap. 26. DUCANG. — *Δύο ἐξῆς ἠνύετο* ἔτη*. Verterat Wolfius, *Duo perpetui anni exierant.* Ego malui vertere, *Secundus annus exibat.* Ab æquinoctio autumnali an. 1259, quo finis bello impositus est, ad solstitium æstivum anni 1261, quo belli renovati initium statuitur, non intercesserunt anni duo integri. Verbum ἠνύετο apud Gregoram significat *exibat*, non *exierat*. Sic libro X, cap. 1, Τέταρτον μὲν δὴ καὶ ἑβδομηκοστὸν (loquitur de ætate Andronici senioris) ἔτος ἀπὸ γενέσεως αὐτῷ τελευτῶντι ἠνύετο, *quartus quidem et septuagesimus annus ei morienti exibat. Exibat*, non *exierat*. Nam constat Andronicum non totos 74 annos vixisse. Vide adnotata infra ad Oraculum Trallianum, lib. IV, cap. 5, sect. 9. BOIVIN.

* Ἠνύετο, non ἤνυστο, aut παρεβύη. BOIVIN.

ουτικὸν καὶ Θετταλικὸν ἔπαυτε δόρυ, τὴν μάχην φημὶ τῶν τε Ἀχαρνάνων καὶ Αἰτωλῶν, καὶ τῆς πονηρᾶς ἐκείνης ῥίζης πάλιν ὑπεφύοντο πονηρὰ καὶ ἀκανθώδη βλαστήματα, καὶ πάλιν ὅρκων ἀνατροπαὶ καὶ μάχαι πολεμικαὶ τοῦ ἀποστάτου Μιχαήλ. Πέμπει τοιγαροῦν κατὰ τάχος ἐπ' ἐκεῖνον ὁ βασιλεὺς Καίσαρα τὸν Στρατηγόπουλον, δοὺς αὐτῷ καὶ Βιθυνοὺς μὲν ὁπλίτας μικρὸν ὑπὲρ τοὺς ὀκτακοσίους, τοὺς δ' ἄλλους ὁπόσους ἡ χρεία ζητοίη, στρατολογήσειν αὐτὸν ἔκ τε Θρᾴκης καὶ Μακεδονίας. Προστάττει δ' αὐτῷ καὶ πάρεργον ὁδοῦ ποιήσασθαι μεθ' ὧν ἐπιφέρεται Βιθυνῶν ὁπλιτῶν τὴν διὰ τῶν τοῦ Βυζαντίου προαστείων διάβασιν, θορύβου τινὸς ἕνεκα τῶν ἐν Βυζαντίῳ Λατίνων καὶ τοῦ μὴ πάνυ σχολάζειν αὐτοὺς καὶ ἀναπεπτωκέναι συγχεχωρῆσθαι κἀπὶ πλεῖστον τῶν τειχῶν παρεξιέναι ὁπότε βούλοιντο, ἀλλ' εἶναι περιδεεῖς ἀεὶ καὶ οἷον ἐν εἱρκτῇ φρουρουμένους.

Β'. Καὶ μὲν δὴ διαπεραιωσάμενος τὴν Προποντίδα ὁ Καῖσαρ στρατοπεδεύει περὶ τὸ Ῥήγιον· ἔνθα περιτυγχάνει τισὶν ἀγοραίοις ἀνδράσι (61), λόγοις μεγάλοις καὶ ἀπορρήτοις τῆς πάντα διοικούσης προνοίας, ἣ πλήθει μὲν ἵππου καὶ στρατιᾶς οὐχ ὑπηρετεῖ πολλάκις, βραχείᾳ δέ τινι δυνάμει καὶ πολλὴν ταῖς ἐλπίσι τρυφὴν χορηγεῖν οὐκ ἐχούσῃ συναίρεται μᾶλλον καὶ νίκας μεγίστας παρέχεται. Τῶν μὲν γὰρ τὴν ἐλπίδα κιβδηλεύει τὰ ὅπλα πολλάκις καὶ ἡ τῆς ἄλλης ἴσως παρασκευῆς ἀφθονία, [P. 49] καὶ οὐκ ἐᾷ ῥᾳδίως ἄνω φέρεσθαι πρὸς τὸν ζωῆς καὶ θανάτου Κύριον, ἀλλὰ κατασπᾷ καὶ βαρύνει καὶ περὶ τὴν γῆν ὡς τὰ πολλὰ καλινδεῖσθαι βιάζεται· τῶν δὲ τοὐναντίον ἡ σπάνις τῶν ἀναγκαίων κουφοτέρους ποιεῖ καὶ οἷον αἰθεροδρομεῖν τε ἀναγκάζει καὶ θερμότερον τὴν ἄνωθεν ἐκκαλεῖσθαι δεξιάν. Δι' αὐτό γε μὴν τοῦτο καὶ πολλοὶ μεγάλα ἐλπίσαντες τοὐναντίον ἢ κατὰ τὰς ἐλπίδας ἀπῆλλαξαν. Ἕτεροι δὲ δι' ἀπορίαν καὶ ἑαυτῶν ἀπογνόντες τροπαίων μεγίστων ἐπέτυχον. Ἰδοὺ γὰρ κἀν τῷ παρόντι βασιλεῖς τῶν τριῶν οὐκ ἐλάττους πολλαῖς πολλάκις χιλιάσι στρατοῦ προσβαλόντες τῇ Κωνσταντίνου ἄπρακτοι ἐπανῆκον, οὐδὲ τοῖς τείχεσι καθαρῶς δυντι θέντες ἐγγίσαι. Ἀλλὰ ταύτην ὁ Καῖσαρ εἶλεν αἰχμάλωτον, μηδ' ἄχρι χιλιάδος μιᾶς (62) ἐπαγόμενος στράτευμα, μηδὲ τειχῶν ἀμυντήριον ὄργανον οὐδέν, μηδὲ μηχανημάτων ὄχλον ὀντινοῦν, ἀλλὰ μόνῃ τῇ θείᾳ ἐπικουρίᾳ τὸ πᾶν ἀναρτήσας. Εἶλε δὲ οὕτως.

Γ'. Ἐπεὶ γὰρ τοῖς ἀνδράσιν ἐκείνοις ὁ Καῖσαρ ἐντυχε, Ῥωμαίοις μὲν οὖσι τὸ γένος, αὐτόχθοσι δὲ Κωνσταντινουπόλεως, κατὰ δὲ χρείαν ἄλωνος καὶ καρπῶν συλλογῆς ἔξω διαιτωμένοις τῆς πόλεως, ἤρετο περί τε τῆς τῶν Λατίνων δυνάμεως ὅση καὶ οἵα, καὶ περὶ ὅσων ἄλλων εἰκὸς ἦν περιεργάζεσθαι στρατηγὸν ἄνδρα καὶ πολλῶν ὀλυμπιάδων τοιούτων μεστόν. Οἱ

A reprassérat (de pugna Acarnanum et Ætolorum loquor), cum male illius radicis mala et spinosa germina repullularunt, violatis rursum fœderibus, et bello Michaelis rebellatoris perfidia suscitato. Imperator igitur celeriter adversus illum mittit Cæsarem Strategopulum, Bithynis illi paulum supra æquum datis : reliquos milites, quotquot res postularet, e Thracia et Macedonia cogere jubet. Mandat etiam, ut cum Bithynis militibus obiter per suburbia Byzantii transiret, ad Latinos qui in urbe essent aliqualenus perturbandos, ne prorsus otium agere et resides esse sinerentur, aut longius extra mœnia quoties libitum esset evagarentur; sed in perpetuo metu essent, et tanquam in carcere inclusi.

B

II. Itaque Cæsar Propontide trajecta, castrisque circa Rhegium positis, in circumforaneos quosdam homines incidit, magno arcanoque cuncta gubernantis Providentiæ consilio, quæ sæpe multitudini equorum et exercituum non subservit; exiguis autem viribus, quæ spem non admodum blandam suggerunt, magis adest maximasque victorias largitur. Nam illorum quidem spem arma sæpe et reliqui apparatus magnitudo adulterant, 84 et sursum ferri non sinunt ad vitæ necisque Dominum, sed gravi quodam pondere deorsum pressam versari humi plerumque cogunt. Contra horum fiduciam

C penuria rerum necessariarum expeditiorem facit, ac propemodum ad percurrendum cœlum impellit, et ad supernam dexteram votis ardentioribus evocandam. Hinc est quod multi magna spe concepta contrarium ac speraverant experiuntur : alii vero ex summis angustiis, cum de se ipsis desperassent, maximos triumphos sunt adepti. Ecce enim in præsenti negotio non minus quam tres imperatores cum multis sæpe hominum millibus Constantinopolim aggressi re infecta discesserunt, cum nec ad ipsa mœnia propius accedere licuisset. At Cæsar eamdem cepit, cum ne mille quidem hominum exercitum adduceret, nec ullum tormentum murale, nec machinarum copiam paratam haberet, sed ad solam divinam opem omnia retulisset. Cepit autem

D hoc modo.

Ε'. Ὁ δὲ Βαλδουῖνος διαδρὰς τὸν τῆς Κωνσταντινουπόλεως κίνδυνον καὶ ἀποπεύσας εἰς Ἰταλίαν ἐκήδευσε τῷ ῥηγὶ τῆς Ἰταλίας Καρούλῳ (2), νύμφην ἀγόμενος τῷ υἱῷ τὴν θυγατέρα ἐκείνου· ἐλπίζων ἐκείνῳ συμμάχῳ χρησάμενος τὴν Κωνσταντινούπολιν ἀναλήψεσθαι, μάταιος τῆς τε ἐφέσεως καὶ τῶν ἐλπίδων. Ὁ γὰρ βασιλεὺς πλεῖστον ἐξήρτυσε ναυτικὸν, ἐμπλήσας τριήρεις ὑπὲρ τὰς ἑξήκοντα ἔκ τε ἄλλων καὶ γένους τοῦ Γασμουλικοῦ (3). [P. 58] Ἦσαν δὲ οὗτοι συντεθραμμένοι τοῖς τε Ῥωμαϊκοῖς καὶ Λατινικοῖς ἔθεσιν, ὡς ἔχειν ἐκ μὲν Ῥωμαίων τὸ ἐσκεμμένως ἐς τὰς μάχας ἰέναι, ἐκ δὲ Λατίνων τὸ εὔτολμον. Συνῆν δὲ τούτοις καὶ στρατὸς ἐν τοῖς ὅπλοις θαλάττιος, Λάκωνες ἄρτι προσελθόντες ἐκ Πελοποννήσου τῷ βασιλεῖ, οὓς ἡ κοινὴ παραφθείρασα γλῶσσα Τζάκωνας (4) μετωνόμασεν. Ὁ γοῦν βασιλικὸς στόλος (5) οὕτω λαμπρῶς συγκεκροτημένος ἔπλει κελεύσει τοῦ βασιλέως· καὶ πλεῖστον ἐνεποίει φόβον καὶ θόρυβον τοῖς Λατίνοις. Προσειλήφει δὲ καὶ τὰς ἐν Αἰγαίῳ νήσους μικροῦ πάσας, Λῆμνον καὶ Χίον καὶ Ῥόδον καὶ ὅσαι Λατίνοις ἐδούλευον.

VI. Interim, dum hæc mari geruntur, denuo fidem fregit et finitimam Romanorum ditionem

Ϛ'. Τούτων οὕτως ἀσχολουμένων περὶ τὴν θάλασσαν, ἤρξατο πάλιν παρασπονδεῖν καὶ τὴν ὅμορον

Variorum notæ.

(99) Mera fabula de Joannis subita in imperatoris conspectu morte, ex iis quæ traduntur a Pachymere lib. v, cap. 27. DUCANG.

(1) Ut Pera seu Galata Venetis, Pisanis, et Genuensibus ad habitandum a Michaele concessa sit, multis egimus lib. I *Constantinopolis Christianæ* sect. 22 ; de singulorum vero præfectis hic recensitis, eorumque nominibus, tum ex Pachymere lib. II, cap. 33, et aliis, in Gloss. med. Græcit. DUCANG.

(2) Vide *Historiæ Franco-Byzantinæ* lib. v, n. 48, 49. DUCANG.

(3) Pachymer. lib. IV, cap. 26. Vide *Glossar. med. Græcit.* in hac voce. DUCANG.

(4) Horum Laconum meminit Pachymeres lib. III, cap. 9. Vide pariter idem Glossar. in hac voce. DUCANG.

(5) Pachymer. lib. III, cap. 15. DUCANG.

χώραν Ῥωμαίων δηῶν ὁ Αἰτωλὸς Μιχαήλ· ὅπερ ἀκουσθὲν εἰς λύπην καὶ ὀργὴν τὸν βασιλέα κεκίνηκεν· ὥστε καὶ τὴν ταχίστην αὐτὸν ἀπελθεῖν ἐκεῖσε δι' ἑαυτοῦ κτησάμενον τὰ τῶν ἐκεῖσε πραγμάτων νοσήματα. Οὗ γενομένου καὶ τοῦ βασιλέως ἐν Θετταλίᾳ τὰς διατριβὰς ποιουμένου ἐφάνη σημεῖον ἐξ οὐρανοῦ, μάντις κακῶν καὶ προάγγελος· τὸ δὲ ἦν κομήτης περιφανὴς (6) περὶ τὸ τοῦ Ταύρου δωδεκατημόριον, περὶ τὰ ἑωθινά τε καὶ ὄρθρια τῆς νυκτὸς φαινόμενος μικρὸν ὑπὲρ τὸν ὁρίζοντα· καὶ ὅσον ὁ ἥλιος παρήλαυνεν εἰς τὰ ἑπόμενα, τοσοῦτον καθημέραν καὶ αὐτὸς ἐς πλέον ἠρέμα διίστατο τοῦ ὁρίζοντος, ἕως καὶ αὐτὸ δὴ τὸ μεσουράνημα ἤδη παρήλαξεν. Ὁπότε γὰρ ὁ κομήτης τὰ πρῶτα φαίνεσθαι ἤρξατο, τὴν θερινὴν ὁ ἥλιος ὥραν ἐποίει διιὼν τὸν καρκίνον. Ὁπότε δ' αὐτὸς ἐμαράνθη καὶ ἀφανὴς ἦν, τὰς φθινοπωρινὰς ὁ ἥλιος ἐποίει τροπάς· ὡς γίνεσθαι τὸ ἀπὸ θερινῆς τροπῆς μέχρι τῆς φθινοπωρινῆς τριῶν δωδεκατημορίων διάστημα, ὅπερ ὁ ἥλιος ἤλασε, τοῦ κομήτου περὶ τὸν ταῦρον ἑδραζομένου καὶ ἠρέμα ἑαυτὸν ἀναλίσκοντος. Τοῦτο μάντις κακῶν καὶ προάγγελος ἔδοξεν εἶναι τῷ βασιλεῖ· καὶ αὐτίκα χαίρειν εἰπὼν τὰ Θετταλικὰ ὅλῳ ῥυτῆρι τὴν ἐς Βυζάντιον ἤλαυνεν. Ἐτάραττε γὰρ αὐτὸν οὐ μετρίως καὶ φήμη τις Σκυθικὴ, μελλόντων αὐτῶν ὅπου οὐδέπω ἐς τὴν Ῥωμαίων ἐσβαλεῖν γῆν. Ἀλλὰ πρὶν εἰς Βυζάντιον ἰέναι τὸν βασιλέα, φθάνουσιν ἐς πᾶσαν μικροῦ περιχυθέντες τὴν Θρᾴκην οἱ παρὰ τὸν Ἴστρον οἰκοῦντες Σκύθαι, καθάπερ θάλασσα πλημμυρήσασα καὶ λίαν ἐπὶ πολὺ τοὺς ὅρους ὑπερπηδήσασα. Ταχύδρομον γὰρ τὸ τῶν Σκυθῶν ἔθνος καὶ μιᾶς ὁδὸν ἡμέρας πολλάκις ποιεῖται τὴν τῶν τριῶν. Ἡ δ' αἰτία τῆς αὐτῶν ἐξελαύσεως τοιάδε τις ἦν.

A vastare cœpit Ætolus Michael. Quo audito mœrore et ira affectus imperator quamprimum ipse illuc proficiscitur, ut illis reipublicæ morbis per se ipse mederetur. Cum autem in eo res esset, ac Imperator in Thessalia versaretur, ostentum in cœlo apparuit, vates et nuntius malorum. Erat autem is cometa conspicuus, juxta signum Tauri, **99** noctu sub auroram ac diluculum paulum supra horizontem apparens : et quantum sol ad ulteriora pergebat, tantum in dies et ille ab horizonte sensim discedebat, donec tandem ipsum cœli medium præterirel. Nam cum is primum apparere cœpit, sol eo tempore Cancrum perambulans æstatem efficiebat. Idem, cum cometa languesceret atque extingueretur, autumnale æquinoctium peragebat : ita ut ab æstivo solstitio ad æquinoctium autumnale trium signorum spatium sol percurrerit, cometa interim circa Taurum fixo, ac paulatim evanescente. Is, inquam, malorum vates ac prænuntius imperatori visus est. Statim itaque valere jussa Thessalia, laxis habenis Byzantium contendit. Nam et fama Scytharum, qui mox in Romanos fines irruptiuri essent, haud mediocriter eum turbabat. Sed prius quam in Urbem imperator rediisset, Scythæ Istriani per universam fere Thraciam effunduntur instar exæstuantis maris, et longe extra suos limites evagantis. Est enim expeditissima natio Scytharum, adeo ut sæpe tridui iter uno die conficiant. Excursionis autem eorum causa hæc fuit.

CAPUT VI.

Joannis excæcati soror maritum suum Constantinum Bulgarum adversus Palæologum stimulat. Azatines Turcus eumdem promissis sollicitat. Scythicus exercitus accitu Constantini in Thraciam irrumpit. Palæologus triremes duas nactus fuga elabitur. Scythæ Azatinem liberant. Præda onusti discedunt. Thraciæ vastitas. De Azatinæ uxore, liberis, pecunia et comitibus quid actum sit.

[P. 59] Α'. Κωνσταντίνῳ (7) τῷ τῶν Βουλγάρων ἄρχοντι συνοικεῖν ἔφημεν τὴν θυγατέρα Λάσκαρι τοῦ βασιλέως. Αὕτη τὴν τοῦ ἀδελφοῦ Ἰωάννου ἀκούσασα τύφλωσιν οὐκ ἠρέμησεν ἐνοχλοῦσα τὸν ἄνδρα καὶ παροτρύνουσα πρὸς τὴν τοῦ πεπραγμένου ἐκδίκησιν· ὅθεν ἐκεῖνος ἐζήτει καιρὸν ἐς τὴν τοῦ ἀδικήματος ἄμυναν. Μετεώρου τοίνυν τοῦ σχέμματος ὄντος, ὕλην εἶδωσι τῇ φλογὶ τῆς ὁρμῆς καὶ ὁ σουλτὰν Ἀζατίνης. Τοῦ γὰρ βασιλέως ἀποδημοῦντος, τὴν οἴκοι κατὰ τὸ τῆς Αἴνου παράλιον ποιεῖσθαι πολίχνιον αὐτὸς ἐκελεύσθη, ὡς ἂν καὶ φρουρά τις ἅμα αὐτῷ εἴη λαθραίως, κωλύουσα τὴν ὑποπτον τούτου ἀπόδρασιν. Ὃ δὴ τούτῳ δεινὸν ἀφόρητον ἂν διαμηνύσασθαι (8) Κωνσταντίνῳ καὶ αὐτὸν ἀναγκάζει, ἐπιδόξῳ κατὰ Ῥωμαίων ἄρτι ἐξιέναι τυγχάνοντι, καὶ τῆς ἐλευθερίας ἀντιμετρήσειν αὐτῷ ὑπισχνεῖται χρήματα οὐκ ὀλίγα.

C I. Constantino Bulgarorum principi nuptam fuisse diximus Lascaris imperatoris filiam. Quæ cum fratris Joannis excæcationem audivisset, maritum ad illius facinoris ultionem sollicitare atque impellere non desistebat. Ille igitur vindicandæ injuriæ occasionem quæritabat. Pendente autem **100** deliberatione, rei aggrediendæ causam veluti flammæ materiam præbuit sultanus Azatines. Nam cum imperator domo abesset, iste apud Ænum maritimum oppidulum degere jussus est, ut etiam custodia aliqua ei clanculum apposita esset, quæ suspectam ejus fugam prohiberet. Quod cum ei malum intolerabile videretur, in causa fuit, ut Constantinum moneret, bellum Romanis inferre meditantem, eique pecuniam non parvam, si ejus ope liberatus esset, polliceretur.

Β'. Ταύτας τὰς ἀφορμὰς ἐνέχυρον οὐ μικρὸν ὁ Κωνσταντῖνος λαβών, ἤδη δὲ καὶ τὸν βασιλέα πρὸς

D II. Quam occasionem Constantinus ut pignus non leve arripit; et cum jam imperatorem ex Thessa-

Variorum notæ.

(6) Pachymer. lib. III, cap. 25. DUCANG.
(7) Pachymer. lib. III, cap. 25. DUCANG.
(8) Verbum διαμηνύεσθαι apud Gregoram non semel occurrit, pro μεταπέμπειν. Vide lib. VIII, cap. 6, sect. 2, etc. BOIVIN.

lis Byzantium redire accepisset, amplius viginti millia Scytharum Istrum accolentium arcessit, cum quibus celerrime in Romanos fines impressione facta ipsum etiam imperatorem in itinere excepturum se confidebat. Scythæ igitur cum per omnem Thraciam sagenæ instar se explicuissent, ad maris usque littora provecti sunt, ut neque jumentum, nec homo ullus, nec imperator ipsos effugeret. Ac cætera quidem illis omnia ex sententia successerunt. Solus autem imperator salvus elapsus spem eorum fefellit. Nam cum eorum incursionem antecertisset, clam per montes, qui circa Canos sunt, ad mare descendit; ubi divina quadam providentia in duas Latinas triremes incidit, quæ cum Byzantium iter haberent, aquationis causa illac transibant; in quas cum se conjecisset, biduo post in Urbem pervenit.

Βυζάντιον ἐκ Θετταλίας ἐπανιόντα μαθὼν, πλείους ἢ δισμυρίους τῶν Παριστρίων Σκυθῶν μεταπέμπεται· μεθ' ὧν τὴν ταχίστην ἐς τὴν Ῥωμαίων εἰσβάλλει γῆν, ἐλπίζων βεβαίως καὶ αὐτὸν βασιλέα χειρώσεσθαι ἐντυχὼν ἐπανιόντι. Οἱ μὲν οὖν Σκύθαι καθάπερ σαγήνην καθ' ὅλης τῆς Θρᾴκης ἁπλώσαντες ἑαυτοὺς ἦλασαν ἄχρι τῶν παραλίων ῥαμμων, ἵνα μήτε κτηνῶν οὐδὲν μήτ' ἀνθρώπων οὐδεὶς μήτε βασιλεὺς αὐτοὺς διαδράσῃ. Τἆλλα μὲν οὖν κατὰ γνώμην αὐτοῖς ἀπηντήκει πάντα· βασιλεὺς δὲ μόνος ἀνάλωτος διαμείνας ἔψευσε τῶν ἐλπίδων αὐτούς. Τὴν γὰρ αὐτῶν φθάσας ἔφοδον ἔλαθε διὰ τῶν περὶ τὸ Γάνος ὀρῶν ἐς θάλασσαν κατιών· ἔνθα συμβὰν οὐτωσὶ θειοτέρᾳ προνοίᾳ τριήρεσιν ἐνέτυχε δύο Λατινικαῖς ἐς Βυζάντιον μὲν ἀνιούσαις, κατὰ δὲ χρείαν ὕδατος ἐκεῖ που παραπλεούσαις· αἷς ἐμβαλὼν ἑαυτὸν δευτεραῖος ἐς τὴν βασιλεύουσαν ἔρχεται.

III. Scythis **101** autem qui imperatoris capiendi occasionem amisissent, illud restabat, ne sultano Axatine fraudarentur. Quare omnis eorum labor et cursus Ænum versus recta tendebat, ut illum aut solum, volentibus civibus, aut iis invitis, cum ipso oppidulo et civibus abriperent. At ii qui ipsum detinebant, veriti ne funditus exciderentur, tradito eo impetrarunt, uti Scythæ pacati discederent. In reditu autem cerneres illos multitudinem Thracum pene innumerabilem jumentorum instar abigentes: ut aliquandiu vix raros seu boves seu aratores in Thracia conspiceres: usque adeo eam et habitatoribus et jumentis spoliarunt. At narratio de sultano nunc differatur; nam de ejus rebus fusius infra dicturi sumus. Uxor vero illius et liberi statim sunt in custodiam dati; pecunia ejusdem in fiscum imperatorium relata. Ejus autem comitatus, qui plurimi et bellicosissimi viri erant, Christiano baptismate regenerati, et Romanæ militiæ ascripti sunt.

[P. 60] Γ'. Τοῖς δὲ Σκύθαις, τοῦ βασιλέως σφαλεῖσι, τοῦ γε σουλτὰν Ἀζατίνη μὴ σφαλῆναι ὑπόλοιπον ἔργον ἦν. Ὅθεν σφίσι δρόμος ἀκλινὴς ἐγένετο καὶ πόνος ἅπας ἐς τὸ τῆς Αἴνου πολίχνιον ἐλθόντας αὐτὸν ἀφελέσθαι, ἢ παρ' ἐκόντων τῶν πολιτῶν μόνον αὐτὸν, ἢ μὴ βουλομένων αὐτῶν, αὐτῇ πόλει καὶ αὐτοῖς αὐτόχθοσιν. Ἀλλ' αὐτὸν οἱ κατέχοντες δέει τοῦ μὴ πανωλεθρίᾳ φθαρῆναι ἔκδοτον ποιησάμενοι καθ' ἡσυχίαν ἀπηλλάξαι τοὺς πολεμίους ἐπεπράχεσαν. Ἵν' οὖν ἰδεῖν αὐτοὺς ἐν τῇ ἐπανόδῳ τῶν ὅσοι τὴν Θρᾴκην ᾤκουν πλῆθος μικροῦ πάντα νικῶν ἀριθμὸν συνελαύνοντας δίκην θρεμμάτων· ὡς μόγις που διὰ χρόνου σποράδας ὁρᾶσθαι βοῦς καὶ ἀροτῆρας περὶ Θρᾴκην· οὕτως αὐτὴν ἐς βάθος τῶν οἰκητόρων ἐψίλωσαν ἅμα τοῖς κτήνεσιν. Ἀλλ' ὁ μὲν περὶ τοῦ σουλτὰν λόγος ὑπερτιθέσθω τὰ νῦν. Ἐρήσεται γὰρ ἡμῖν τὰ ἐκείνου πλατύτερον ἐν τοῖς ἔμπροσθεν. Ἡ μέντοι ἐκείνου γυνὴ σὺν τοῖς τέκνοις ἐν φρουραῖς εὐθὺς ἦν· τὰ δ' ἐκείνου χρήματα ἐς τὸ βασιλικὸν ἐκομίζοντο πρυτανεῖον. Ὁ δὲ περὶ ἐκεῖνον ὄχλος, ἄνδρες δ' οὗτοι μάλα τοι πλεῖστοι καὶ κράτιστοι τὰ πολέμια, τῷ Χριστιανῶν ἀναγεννηθέντες βαπτίσματι, τῇ Ῥωμαίων συγκατελέγοντο στρατιᾷ.

CAPUT VII.

Legatio ab Ægypti et Arabiæ sultano ad Palæologum. Navigatio per Bosporum Ægyptiis mercatoribus tenuere concessa. Ægyptii effeminati et imbelles. Militibus e Scythia ascitis Africam et Libyam domant. Gallos Phœnicia et Syria exterminant. Digressio. Gallice limites. Galli sanctum sepulcrum vindicaturi in Syriam proficiscuntur. Danubii oram legunt. In Thracia castrametantur. Eorum legatio ad Alexium Comnenum de commeatu et de trajiciendo Hellesponto. Pactum cum eodem de Turcis Romano solo expellendis. Gallicæ copiæ Romanis junctæ magnam Asiæ partem subigunt. Urbibus Alexius, Galli omni præda potiuntur. Cilices transitum Christiano exercitui dant. Syriam et Phœniciam ingressuris Arabes obsistunt. Galli commeatu excisi bellum gerunt. Hostibus debellatis domicilium in Syria constituunt. Voti obliviscuntur. Finis digressionis. Ægyptiorum Arabum imperium latissime patens.

I. His temporibus Ægypti et Arabiæ sultanus, D missis ad imperatorem legatis, Romanorum amicitiam ambit, unaque petit, ut Ægyptiis, quos ipse vellet, liceret quotannis semel per fretum nostrum mercaturæ causa navigare. Quæ res cum initio parvi momenti esse videretur, facile concessa **102** fuit. Progressu deinde temporis, qualis et

Α'. Ἐν τούτοις τοῖς χρόνοις διαπρεσβεύεται πρὸς τὸν βασιλέα ὁ τῆς Αἰγύπτου καὶ Ἀραβίας σουλτὰν (9), φίλος εἶναι Ῥωμαίοις ἐθέλων καὶ ἄδειαν ἔχειν τὸν ἡμέτερον πορθμὸν διαπλεῖν ἐσάπαξ ἀνὰ πᾶν ἔτος τῶν ἐκεῖθεν Αἰγυπτίων οὗ, ἂν αὐτῷ γε εἴη βουλομένῳ, κατ' ἐμπορίας τρόπον. Τοῦτο λόγου μικροῦ τινος ἄξιον δόξαν ἐν ταῖς ἀρχαῖς ἀνεῖται ῥᾳδίως. Τοῦ

Variorum notæ.

(9) Pachymer. lib. III, cap. 5. Is porro est quem nostri *Noradinum* vocant, Chronicon vero Orientale ab Erbellensi editum, *Almansurum Nuraddinum*, ubi regnum iniisse dicitur anno Hegiræ 655, proinde Christi 1257, a quo scilicet expugnatas quas nostri in Syria obtinebant civitates narrant scriptores rerum Hierosolymitanarum. DUCANG.

δὲ χρόνου προϊόντος, ὅσον καὶ οἷόν ἐστιν ἀναχαλυφθὲν, κωλυθῆναι οὐκ εἶχε πῆξιν ἤδη συνηθείας καὶ κράτος δυσανταγώνιστον εἰληφός. Ἀνάγοντες μὲν γὰρ διὰ μιᾶς τινος ἢ καὶ δευτέρας ἔστ' ὅτε ὁλκάδος κατ' ἐνιαυτὸν ἐς τοὺς περὶ Μαιῶτιν καὶ Τάναΐν Εὐρωπαίους Σκύθας καὶ λαμβάνοντες ἐξ αὐτῶν τοὺς μὲν αὐτομόλους, τοὺς δὲ πιπρασκόντων τῶν δεσποτῶν ἢ τῶν γονέων ἐξωνούμενοι (10) εἰς τὴν κατ' Αἴγυπτον Βαβυλῶνα καὶ Ἀλεξάνδρειαν ἐπανέρχονται, [P. 61] στρατὸν Σκυθικὸν οὕτωσὶ χαριζόμενοι τῇ Αἰγύπτῳ. Μηδὲ γὰρ εἶναι τοὺς Αἰγυπτίους ἀγαθοὺς τὰ πολέμια, ὅτι μὴ δειλοὺς ὡς τὰ πολλὰ καὶ ἀνάνδρους· κἀντεῦθεν στρατολογεῖν ἐξ ἀλλοδαπῆς ἀναγκάζεσθαι καὶ κυρίους ὡς εἰπεῖν ἑαυτῶν τοὺς ἀργυρωνήτους ποιεῖσθαι, πάσης ἀπηλλαγμένους φροντίδος, ὧν ἐν χρείᾳ καθίστανται ἄνθρωποι. Χρόνου τοίνυν ἐκεῖθεν οὐ πάνυ συχνοῦ, τηλικοῦτον ἐκ τῆς προφάσεως στρατὸν συνεστήσαντο οἱ κατ' Αἴγυπτον Ἄραβες, ὡς μὴ μόνον τοῖς ἑσπερίοις, ἀλλὰ καὶ τοῖς ἀνατολικωτέροις ἔθνεσι λίαν καθίστασθαι φοβεροί. Ἐδουλώσαντο μὲν γὰρ Ἀφρικὴν καὶ Λιβύην ἅπασαν ἄχρι Γαδείρων· ἔπειτα Φοινίκην καὶ Συρίαν καὶ τὴν ἄχρι Κιλικίας παράλιον πᾶσαν, στόματι μαχαίρας τοὺς κατέχοντας παραδόντες, τούς τε ἄλλους καὶ μάλιστα Γαλάτας καὶ Κελτοὺς τοὺς πάλαι πολὺν ἤδη χρόνον κατέχοντας τῶν ἐκεῖσε χωρῶν καὶ πόλεων τὰς βελτίους, οἳ ἐξ ἑσπέρας ἐκεῖσε διέβησαν οὕτωσί πως.

Β'. Ἔστι παρὰ τὴν Εὐρώπην ὄρη πρὸς ὕψος κορυφούμενα μέγιστον, Ἄλπεις καλούμενα, ἐξ ὧν ποταμὸς καταῤῥεῖ μέγιστος ἐς Ὠκεανὸν τὸν Βρεττανικὸν, Ῥῆνος καλούμενος. Οὗτος μεσημβρινωτέρας ποιεῖ τὰς ἄμφω Γαλλίας καὶ τοὺς ἐν ταύταις οἰκοῦντας ἀνδρικωτάτους Γαλάτας καὶ Κελτούς. Τούτοις διάπυρόν τινα ζῆλον ἐν καρδίᾳ βαστάσασιν ὑπὲρ τοῦ σωτηρίου τάφου ἔδοξεν ἀξιόλογον στρατὸν συναθροίσαντες ἀπελθεῖν εἰς τὴν ἐκείνου προτκύνησιν καὶ ἅμα ἐκδίκησιν κἀκεῖθεν ἐξέλασιν, εἰ δυνατὸν, τῶν ἐκεῖ τυραννούντων Ἀράβων. Καὶ δὴ κατὰ πλῆθος μυριάριθμον ἀθροισθέντες αὐτοῖς ἵπποις καὶ αὐτοῖς ὅπλοις τὴν καλὴν ἐκείνην ἐξῆεσαν ἔξοδον. Καὶ διαβάντες τὸν Ῥῆνον Ἴστρῳ κατ' ἴχνος εἵποντο ποταμῷ τῷ μεγίστῳ· ὃς καὶ αὐτὸς ἐκ τῶν Ἄλπεων ῥηγνύμενος πάντε στόμασιν ἐς τὸν Εὔξεινον ἐκδίδοται πόντον. Τούτου τὰς βορείας ἀεὶ παραλλάττοντες ὄχθας προῆσαν ἄχρι καὶ αὐτῶν μικροῦ τῶν παρὰ τὴν Εὔξεινον ἐκβολῶν αὐτοῦ, φοβερὸν μὲν τοῖς μεταξὺ κειμένοις ἔθνεσι καθιστάμενοι θέαμα, καθάπερ

A quanta esset patuit. Verum quia jam firmitatem et robur oppugnatu difficile a consuetudine acceperat, prohiberi non potuit. Trajiciunt enim quotannis una, interdum et altera navi oneraria ad Europæos Scythas, Mæotidem paludem et Tanaim accolentes: et ex iis partim sponte oblatos homines accipiunt, partim a dominis aut a parentibus venditos emunt: tum inde in Ægyptiam Babylonem et Alexandriam reversi Scythicas legiones Ægypto suppeditant. Neque enim bellicosos esse Ægyptios ferunt, imo timidos atque effeminatos plerosque: eaque de causa necessario sibi peregrinum militem parare, et ære emptis mancipiis propemodum se ipsos subjicere velut dominis, omnis sollicitudinis earum rerum, quibus humana vita eget, immunibus. Proinde tempore non adeo longo tantum per eam causam exercitum paraverunt ii Arabes qui Ægyptum incolunt, ut non Occidentalibus tantum, sed iis etiam populis, qui magis versus Orientem habitant, admodum formidabiles exsisterent. Africam enim universam et Libyam Gades usque, deinde Phœniciam et Syriam, et omnem oram maritimam usque in Ciliciam domuerunt, habitatoribus cum aliis occisis, tum vero Galatis sive Gallis et Celtis, qui longo jam tempore provincias et urbes earum regionum optimas tenebant, quique illuc ex Occidente sic ferme transierant.

B

II. Sunt in Europa montes altissimi qui Alpes dicuntur: e quibus ortus fluvius maximus in C **103** Oceanum Britannicum influit. Is Rhenus vocatur, a meridie habens Galliam utramque, et earum incolas bellicosissimos, Galatas et Celtas. Qui cum salutaris sepulcri causa ardentissimo zelo inflammarentur, decreverunt magno exercitu coacto ad illud adorandum et vindicandum proficisci, atque ad Arabes qui ejus loci imperium invaserant, inde si fieri posset, exterminandos. Itaque armis et equis instructi infinitus hominum numerus pulchram illam expeditionem susceperunt: trajectaque Rheno Istrum maximum fluvium secuti sunt, qui et ipse ex iisdem Alpibus erumpens, quinque ostiis in Pontum Euxinum influit. Hujus septentrionales ripas eum porro usque legerent, prope ad ipsius ostia progressi sunt: terribile utique spectaculum gentibus in medio habitantibus, ferrei cujusdam muri ambulantis speciem præbentes: sed ea præditi probitate, ut nemini prorsus nocerent.

D

Variorum notæ.

(10) Pachymeres ταῖς συνεχέσι μεταχομίσεσι τῶν βορέαθεν μεταλλικῶν Arabes suos auxisse exercitus scribit. Haytonus in *Hist. Orientali* cap. 1, de soldani Ægypti potentia: *Major pars exercitus Ægypti sunt servi empti pretio, quos mali Christiani sæpe portant cupiditate lucrandi, aut in prædiis acquisiti, quos compellunt eorum sectæ et fidei adhærere. Et illi qui empti pretio pecuniæ exstiterunt, chuziores sunt et habentur, et plus aliis honorantur.* Apud Turcos vero Europæos alia inducta simili fere modo exercitus augendi consuetudo Amurate imperante sub ann. 1360 cujusdam Caramani doctoris Caræ Rustenis et Zinderlu Chelilis consilio, qua inductum, ut de mancipiis puerilem ætatem egressis, quæ bello capta fuissent, quintum quodque caput sultano offerretur: sin tria duntaxat aut quatuor essent mancipia, singulorum nomine 25 aspri solverentur. Hi nomadibus seu agricolis traduntur discendæ linguæ Turcicæ et religionis Mahumetanæ causa, et annis aliquot exactis ad Portam revocantur, Genitzarorum officio functuri. Hanc puerorum collectionem παιδομάζωμα vocat Cantares in *Hist. Athenar.* Vide Ducæ *Hist.* cap. 16; Leunclavium lib. v, *Hist. Musulman.* pag. 228, et in *Pandecte Turcico*, n. 35. DUCANG.

Sic igitur ibi Istro trajecto ulterius progressi castra in Thracia posuerunt.

Οὕτω τοίνυν καὶ τὸν Ἴστρον ἐνταῦθα διαπεραιωθέντες καὶ προελθόντες παρὰ τὴν Θράκην στρατοπεδεύονται.

III. Rei Romanæ præerat eo tempore Alexius Comnenus, a quo per legatos petunt commercium, ad coemendas res necessarias : item vectores, per quos trajecto Hellesponto in Orientem transmittantur. Ea occasio imperatori peropportuna visa est : itaque eam, quod proposito suo valde conduceret, arripuit. Quippe hic principatu recens suscepto Romanum imperium videbat undique oppugnatum et crudeliter **104** discerptum, ob graves superiorum imperatorum culpas. Nam Turci in Oriente cum alia omnia longo jam tempore obtinebant, tum ipsam Nicæam, celebrem illam urbem : præterea ingens pecuniæ inopia aulam ornatu suo spoliatam deformaverat, omni spe convenientium redituum interclusa : neque quidquam præter extrema et funestissima mala exspectabatur. Hunc igitur rerum statum intuenti et anxio imperatori optatissimus fuit et valde opportunus Gallici exercitus adventus. Cum his habito colloquio paciscitur, si inita in hunc modum societate Turcos Romanis provinciis et urbibus expulissent, ut illorum opes acciperent, sibi vero urbes opum vacuas habere liceret. Qua conditione illi avide accepta Hellespontum cum ipso imperatore trajiciunt.

Γ'. Ἐβασίλευε δὲ τηνικαῦτα Ῥωμαίων ὁ Κομνηνὸς Ἀλέξιος, πρὸς ὃν διαπρεσβεύονται ἀγοράν τε ζητοῦντες εἰς τὴν τῶν ἀναγκαίων ἐξώνησιν καὶ ἅμα τοὺς διαπεραιώσοντας πρὸς ἕω δι' Ἑλλησπόντου. Τοῦτο κράτιστον ἔρμαιον ἔδοξε βασιλεῖ, καὶ ἁπρ'ξ ἔχεται μάλα κατὰ σκοπὸν ἐκφανέντος. Νεωστὶ γὰρ αὐτὸς τὰ σκῆπτρα τῆ βασιλείας [P. 62] λαβὼν καὶ ἰδὼν πολλαχόθεν πολεμούμενα καὶ ἀπηνῶς τὰ Ῥωμαίων διακοπτόμενα πράγματα πλημμελείαις μεγάλαις τῶν προβεβασιλευκότων (πάντα τε γὰρ τὰ πρὸς ἕω κατεῖχον οἱ Τοῦρκοι (12) χρόνοις συχνοῖς, τά τε ἄλλα καὶ Νίκαιαν αὐτὴν τὸ περιβόητον ἄστυ, ἥ τε βαθεῖα τῶν χρημάτων σπάνις ἀκοσμίαν ἔπραττε τοῖς βασιλείοις μακράν· ἐλπὶς δὲ πᾶσα τῶν ἁρμοζουσῶν προσόδων ἀπεκέκλειστο· καὶ τὸ προσδοκώμενον ἦν ἀπωλείας ἄδυσσοι καὶ ἄβυσσοι κίνδυνοι)· ἰδὼν οὖν οὕτως ἔχοντα τὰ πράγματα καὶ διαπορούμενος ἔρμαιον κράτιστον καὶ μάλα τοι καίριον ἡγεῖται τὴν τοῦ Κελτικοῦ τοῦδε στρατοῦ παρουσίαν. Μεθ' ὧν κοινολογησάμενος ποιεῖται συνθήκας, εἰ οὕτω συμμαχήσαντες ἐξελάσωσι τῶν Ῥωμαϊκῶν χωρῶν καὶ πόλεων τοὺς κατέχοντας Τούρκους, σφίσι μὲν ἐξεῖναι τὰ ἐκείνων λαμβάνειν πράγματα, τούτῳ δὲ τὰς πόλεις χρημάτων κενάς. Ἃς δὴ συνθήκας ἄσμενοι λαβόντες ἐκεῖνοι δεξάμενοι διαπεραιοῦνται ξύν γε αὐτῷ βασιλεῖ τὴν Ἑλλησποντίαν πορθμόν.

IV. Sicut autem ignis densæ silvæ injectus alia tanquam stipulam celeriter, alia propter viriditatem tardius quidem, sed tamen absumit : sic geminus ille Romanorum Gallorumque exercitus terribilis hostibus ac toleratu difficilis visus est, tum ob armorum gravitatem roburque corporum, tum ob constantiam animorum inexpugnabilem. Proinde hostium alii veluti gramen et lutum (ut ita dicam) conculcabantur : alii repugnabant, modo angustiis locorum, modo Romanarum urbium mœnibus defensi : sed ne istorum quidem fortuna prorsus invicta fuit, quin alii **105** deditionem facerent, alii vi subigerentur, alii exsules et fugitivi abirent. Hoc modo omnem Asiam quæ est intra Alym, item quæ Mæandro Pamphyliaque terminatur, repurgarunt, promissisque assertarum urbium opibus acceptis cœptum iter prosecuti sunt. Ac dehinc cura ipsis fuit non parum anxia, ut superatis iis montibus, qui sunt inter Pamphyliam et Ciliciam, adversus Cilices, Syros et Phœnices, si transitus sibi ab iis non daretur, bellum susciperent. Verum primi Cilices ipso statim conspectu illorum territi, rectissime sibi consuluerunt, eosque per suos fines tan-

Δ'. Ὥσπερ γε μὴν ὕλῃ βαθείᾳ πλεῖστον ἐνσκῆψαν πῦρ τὰ μὲν ὡς καλάμην ἐπινέμεται ῥᾷστα, τὰ δὲ διὰ χλωρότητα βραδέως μέν, ἐπινέμεται δ' οὖν· οὕτω καὶ ὁ διπλοῦς οὗτος στρατὸς ἔκ τε Κελτῶν καὶ Ῥωμαίων συγκροτηθεὶς φοβερὸς τοῖς πολεμίοις καὶ δυσκαρτέρητος ἔδοξε διὰ βάρος ὁπλίσεως καὶ σώματος ῥώμην καὶ ψυχῆς εὐτονίαν ἀπρόσμαχον. Καὶ οἱ μὲν τῶν πολεμίων, ὡς ἂν εἴποι τις, κατεπατοῦντο καθάπερ χόρτος καὶ πηλός· οἱ δὲ ἀπεμάχοντο βοηθούμενοι ποτὲ μὲν ταῖς δυσχωρίαις τῶν τόπων, ποτὲ δὲ τοῖς τῶν Ῥωμαίων τείχεσιν. Ἀλλ' οὐκ ἦν ἐς τέλος οὐδ' αὐτοῖς τὰ τῆς τύχης ἀήττητα· ἀλλ' οἱ μὲν ἑκόντες ὑπέκυπτον, οἱ δὲ βίᾳ ἡλίσκοντο, οἱ δὲ φυγάδες καὶ δραπέται ἐγίνοντο. Καὶ τούτῳ τῷ τρόπῳ πᾶσαν τήν τε ἐντὸς Ἅλυος ἐξεκάθηραν Ἀσίαν καὶ ὅση Μαιάνδρῳ καὶ Παμφυλίᾳ ὁρίζεται· καὶ ἐπὶ τούτοις τὰ συμπεφωνημένα τῶν ἐλευθερωθεισῶν πόλεων εἰλικρότες χρήματα τὴν αὐτοῖς προκειμένην ὁδεύουν αὖθις ὁδόν· καὶ ἦν ἤδη σφίσι φρονεῖν οὐ μικροῦ τινος ἀγῶνος μεστὴ διαβῆναι τὰ μεταξὺ Παμφυλίας καὶ Κιλικίας ὄρη πρὸς Κίλικάς τε καὶ Σύρους καὶ Φοίνικας, εἰ μὴ συγχωροῖεν τὴν πάροδον, αἵρεσθαι πόλεμον. Ἀλλὰ πρῶτοι μὲν Κίλικες αὐτίκα τὴν

Variorum notæ.

(11) Idem Gregoras lib. v, cap. 6: Τὸ γάρ τοι γένος τῶν Ἰταλῶν τοιοῦτοι ἀρχῆθεν συντέθραπται τοῖς ἤθεσι· ἂν μὲν γὰρ εὐτάκτως ἅπαντᾷ πρὸς τὸν πόλεμον, τεῖχός ἐστιν ὀχυρὸν καὶ ἀμάχητον. Respexit etiam forte ad Latinorum, seu Francorum pleniorem armaturam : unde Theophylactus Bulgariæ archiep. epist. 26 : Ὁ Φράγγος ὁ τὸν τράχηλον τέως σιδήρεος. DUCANG.

(12) Vide notata ad lib. II, cap. 6, sect. 1. DUCANG.

πρώτην ὁρμωδήσαντες ὄψιν τὰ βέλτιστα περὶ σφῶν αὐτῶν ἐβουλεύσαντο, καὶ ὡς διὰ φιλίας τῆς ἑαυτῶν ἔδοσαν διαβαίνειν ἀγοράν τε παρεῖχον καὶ τοὺς προπέμψοντας ὁδηγοὺς, καὶ πᾶν ὅ τι φίλον ἐχρῆν ἐς τὴν αὐτῶν ἐχρήσαντο ξενίαν. Κίλικες μὲν οὖν οὕτω ῥᾳδίως ἐς ξυμβάσεις ξυνήεσαν τοῖς ἑσπερίοις τούτοις Γαλάταις καὶ Κελτοῖς, οὐ μόνον τὸ πλῆθος αὐτῶν καὶ τὴν ῥώμην δείσαντες, [P. 63] ἀλλὰ καὶ τὸ τοῦ σεβάσματος ἔγγιστα ταὐτὸν καὶ οὐ πάνυ τοι ἠλλοτριωμένον αἰδεσθέντες.

A quam amicos transmiserunt, atque etiam fora ipsis nundinaria præbuerunt, et viæ duces dederunt, omniaque amicitiæ et hospitalitatis officia præstiterunt. Porro Cilices adeo prompte cum Occidentalibus istis Galatis et Celtis transegerunt, non multitudinem tantum et robur eorum veriti, sed religionis quoque ad suam proxime accedentis parumque abhorrentis verecundia adducti.

Ε'. Ἐπεὶ δὲ καὶ ἐς Συρίαν καὶ Φοινίκην εἰσβάλλειν ἤδη καιρὸς ἦν αὐτοῖς, οὐχ ὅμοια τὰ ἐκεῖ τοῖς ὄπισθεν ἀπηντήκει. Ἄραβες γὰρ ὄντες οἱ ταύτην κατέχοντες, γένος ἀλλόφυλον καὶ ὑπερηφανίας μεστὸν, πράγματα παρέσχον αὐτοῖς· μᾶλλον δὲ οὐκ αὐτοῖς, ἀλλ' ἑαυτοῖς. Ὅπλα γὰρ ὁράμενοι τὴν πάροδον διεκώλυον, ὕφεσιν τῆς σφῶν αὐτῶν ἀξίας λογισάμενοι, εἰ τὴν αὐτῶν αἵματος καὶ νεκρῶν χωρὶς διέλθοι γένος ἔκφυλον καὶ πάνυ τοι ὑπερόριον τῆς αὐτῶν γῆς. Ὅθεν σιτίων οἱ Κελτοὶ ἀποκεκλεισμένοι καὶ σπάνει πιεζόμενοι τῶν ἄλλων, ὅσα ἐς ἀπαραίτητον χρῆσιν ἐτύγχανον τοῖς τε ὑποζυγίοις καὶ αὐτοῖς, ὅπλοις καὶ διαμάχαις ἔδοξε τὴν τῶν ὅλων ἐπιτρέψειν κρίσιν. Ἐντεῦθεν πόλεμοι συνεχεῖς ἀνερρήγνυντο καὶ χύσεις αἱμάτων Ἀραβικῶν κατὰ τῆς θρεψαμένης ἔρρεον νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ πόλεων ἐγίνοντο ἀνδραποδισμοὶ, ἐπικρατεστέρας ὁσημέραι τῆς τῶν Κελτῶν γινομένης ἰσχύος. Καὶ ἵνα τἀν μέσῳ συντέμω, πᾶν ὅ τι κράτιστον ἦν τοῦ τῶν Ἀράβων ὁπλιτικοῦ, τὸ μὲν αἵματι καὶ κόνει δόντες, τὸ δ' ὡς πορρωτάτω διώξαντες, δούλοις ἀόπλοις ἅπασιν ἐχρήσαντο, τοῦ λοιποῦ τὴν οἴκησιν αὐτόθι πεποιηκότες. Τοὺς γὰρ ἄνδρας νενικηκότες ἔρωτι τῶν τοῦ τόπου χαρίτων ἡττήθησαν· κἀκεῖ τὸν ἑξῆς αἰῶνα διαμένειν ἐγνώκεσαν, ἔλεγχος πάσης κατηγορίας αὐτοὶ ἑαυτοῖς καταστάντες. Ἔργον γὰρ αὐτοῖς καὶ σκοπὸς τῆς οἴκοθεν ἐκδημίας ὑπῆρχεν, ἐς Παλαιστίνην εἰ δυνηθεῖεν ἐλθεῖν καὶ τοὺς τὸν σωτήριον κατέχοντας τάφον ἀσεβεῖς ἢ τελέως ἐκεῖθεν ἐξελάσαι, ἢ τὸ ἑαυτῶν ἐκεῖσε κενώσαντας αἷμα σωτηρίαν ψυχῆς ἀνταλλάξασθαι. Καὶ τοιοῦτος ἦν ὁ τῆς πατρίδος ὑπερορίους αὐτοὺς ποιησάμενος ἔρως, θεῖος ὡς ἀληθῶς καὶ ὑμνούμενος τοῖς ἀκούουσιν· ἀλλ' ὁ τῆς Φοινίκης καὶ Συρίας ἔριως (13) τὸν θεῖον ἐκεῖνον ἀκλεῶς ἐξέχρουσεν ἔρωτα ὑπὸ πλούτου βαρυνθεῖσι καὶ οἷον εἰπεῖν μεθυσθεῖσι κριτικῆς ἐντυχῶν παρ' ἐλπίδα.

B

C

D

V. Cum autem jam eis in Syriam et Phœniciam invadendi tempus afforet, non eadem illic quæ in relictis retro provinciis evenerunt. Nam qui eam regionem incolebant cum Arabes essent, natio genere diversa, eademque superbissima, negotium illis fecerunt : imo non illis, sed sibi ipsis. Nempe arreptis armis transitu eos prohibuerunt, existimationem suam imminutum iri rati, si terram eorum gens peregrina et remotissima sine sanguine et cædibus penetraret. Unde Galli commeatu exclusi penuriaque **106** laborantes eorum quibus nec ipsi, nec jumenta carere ullo modo poterant, armis de summa rerum decertandum esse statuerunt. Hinc pugnæ continentes, et nocturnæ diurnæque cædes Arabum, suo sanguine alticem terram perfundentium; item urbium excidia, Gallorum viribus in dies invalescentibus. Ac ut ea quæ interesserunt paucis comprehendam, bellicosissimis Arabibus partim cæsis et prostratis, partim longissime fugatis, reliquos pro inermibus mancipiis tractarunt, ac postea iis in locis consederunt. Viris enim victis, locorum amœnitate victi sunt, atque ibi reliquum ætatis exigere decreverunt. Quo facto ipsi sese manifesti criminis reos peregerunt. Munus enim atque institutum profectionis eorum fuerat Palæstinam, si possent, occupare, et impios, qui salutare sepulcrum tenerent, aut funditus inde exterminare, aut suopte sanguine illic profuso animarum salutem redimere. Cum autem talis amor eos patria extorres egisset, plane divinus et laude dignissimus, eum tamen divinum amorem Phœniciæ et Syriæ amor turpiter evicit. Nempe divitiis onerati et, ut ita dicam, ebrii, aliter ac speraverant, judicarunt.

Ϛ'. Ἀλλ' ἐπανιτέον ὅθεν εἰς τὸν περὶ Κελτογαλατῶν τουτωνὶ παρετράπημεν λόγον. Οἱ γὰρ κατ' Αἴγυπτον Ἄραβες πλείστην προσειληφότες δυναμιν διὰ τοῦ Σκυθικοῦ στρατεύματος ἐκείνου, καθάπερ ἔφθημεν εἰρηκότες, πλεῖστον ὅσον μάλα ἐξῆν τοὺς οἰκείους παρέβραμον ὅρους· πρὸς μὲν ἑσπέραν Λιβύας καὶ ὅσα Μαυρουσίων ἔθνη δουλωσάμενοι· πρὸς δ' ἀνατέλλοντα ἥλιον ἔνθεν μὲν Ἀραβίαν Εὐδαίμονα πᾶσαν ὅση τά τε ἄκρα τῶν Ἰνδικῶν ὁρίζει θαλασσῶν καὶ ἑκατέρωθεν ὅ τε Περσικὸς καὶ ὁ Ἀραβικὸς

VI. Sed omissis Celtogalatis ad institutæ historiæ seriem redeundum. Nam Ægyptii Arabes, Scythicis (ut diximus) copiis aucta majorem in modum potentia, extra **107** suos fines quam longissime excurrerunt; versus Occidentem Libycis et Mauritanis gentibus domitis : ad solis vero ortum tota Felici Arabia, quam et Indici maris ora terminat, et utrinque sinus Persicus et Arabicus includunt : item Cœlesyria et Phœnicia universa, quam fluvius Orontes continet, Celtogalatarum illorum posteris

Variorum notæ.

(13) Atqui illi sanctum sepulcrum recuperarunt, quidquid Gregoras dicat. Boivin.

partim inde pulsis, partim, ut jus belli est, brevi tempore interfectis.

τειχίζουσι κόλποι· ἔνθεν δὲ τήν τε Κοίλην Συρίαν καὶ τὴν Φοινίκην πᾶσαν, ὅσην ὁ ποταμὸς Ὀρόντης ξνδον ποιεῖται, [P. 64] τοὺς τῶν Κελτογαλατῶν ἐκείνων ἐκγόνους τοὺς μὲν ἐκεῖθεν ἀποδήσαντες, τοὺς δ' ἐς ὅλεθρον, οἷον πολέμιος ὑποτίθεται νόμος, ὀλίγου παραπέμψαντες χρόνου (14).

CAPUT VIII.

Germanus cur patriarchatum abdicaverit. Josephus ejus successor, quis, unde, quo ingenio, qua doctrina. Michaelem Palæologum perjurii et crudelitatis quomodo absolverit. Solis defectus futura a Turcis mala portendit. Quæ et quanta sit vis astrorum. Andronicus uxorem ducit Annam. Imperii insignibus ornatur. Jusjurandum quibus præstiterit, a quibus acceperit. Ejus nomen edictis subscriptum. Qua formula.

1. Cæterum patriarcha Constantinopolitanus Germanus, cum sibi vulgus per summam petulantiam insultare audivisset, quippe qui Arsenii legitimi patriarchæ adhuc superstitis sedem occuparet : ea cuivis alii relicta, in monasterium secessit. Huic in patriarchatum succedit Josephus, vir canitie venerandus, qui longo tempore in monte Gallesio vitam austeram et negotiorum expertem egerat, Græcarum litterarum plane rudis, et ingenio valde simplici. Nam ejusmodi sunt ii mores, qui a civilibus negotiis et a rerum usu abfuerunt. Hujus spirituali consuetudine utebatur, et delictorum confessionem ei edebat imperator Michael. Ad hunc itaque post sacram mystagogiam ab ipso primum cum cæteris pontificibus celebratam accedit, et in vestibulo sacri hematis prostratus, semet ipsum diserte accusat **108** de duobus peccatis, de perjurio scilicet et de excæcato imperatoris filio. Tum absolutionem petit. Primus igitur patriarcha ei jacenti astans scriptam quamdam absolutionis formulam recitavit : ac post eum singuli pontifices, suo quisque ordine, eamdem perlegerunt. Ita lætus discedit imperator, tam ob illam absolutionem, quam quod

Δ'. Εἶεν. Ὁ μέντοι Κωνσταντινουπόλεως πατριάρχης Γερμανὸς (15) ἀκούων ἑαυτὸν ὑπὸ τοῦ πλήθους ὑβριζόμενον σὺν πλείστῃ τῇ ἀκοσμίᾳ, ἅτε Ἀρσενίου ζῶντος (16) ἔτι τοῦ γνησίου πατριάρχου αὐτὸς τὸν ἐκείνου κατέχων θρόνον, παραχωρεῖ τοῖς βουλομένοις αὐτόν· αὐτὸς δ' ἡσυχάσων ἀπῆει (17). Καὶ μετὰ τοῦτον Ἰωσὴφ τὸν πατριαρχικὸν διαδέχεται θρόνον (18), πολιὸς μὲν ἀνὴρ καὶ ἀσκήσει μακρᾷ καὶ ἀπράγμονι βίῳ κατὰ τὸ Γαλλήσιον ὄρος συνεζηκώς (19), σοφίας δ' Ἑλληνικῆς παντάπασιν ἀμέτοχος ὢν καὶ λίαν τὸν τρόπον ἁπλοῦς. Τοιαῦτα γὰρ τὰ τῶν πολιτικῶν πραγμάτων καὶ ἐμπειριῶν ἄμικτα ἦθη. Τούτῳ πνευματικῶς ὡμίλει καὶ τοὺς λογισμοὺς ἐξηγόρευεν (20) ὁ βασιλεὺς Μιχαήλ. Διὸ καὶ πρώτως τὴν ἱερὰν ἐκτετελεκότι μυσταγωγίαν ξύν γε τοῖς ἄλλοις ἀρχιερεῦσι προσελθὼν πίπτει πρηνὴς (21) ἐπὶ τῶν προθύρων τοῦ ἱεροῦ βήματος, διαῤῥήδην ἐπὶ δυσὶν ἡμαρτήμασιν ἐγκαλῶν ἑαυτῷ, τῷ τε τῆς ἐπιορκίας φημὶ καὶ τῷ τῆς τοῦ υἱοῦ τοῦ βασιλέως τυφλώσεως. Καὶ ἐπὶ τούτοις αἰτεῖται συγχώρησιν. Πρῶτος μὲν οὖν ὁ πατριάρχης ἐπιστὰς αὐτῷ κειμένῳ συγχωρήσεως ἔγγραφόν (22) τινα διεξῆει λόγον· καὶ μετ' αὐτὸν ἕκαστος τῶν ἀρχιερέων κατὰ τὴν

Variorum notæ.

(14) Hic locus fuit commemorandi expeditionem sacram D. Ludovici ; cujus mirum est nullam a Gregora mentionem habitam fuisse. BOIVIN.

(15) Pachymer. lib. IV, cap. 2, 17, 21, 23, 28. DUCANG.

(16) Non modo quod eo ipso pro μοίχῳ, seu adultero haberetur, uti docemus in Gloss. med. Græcit. in v. Μοῖχος, sed et διὰ τὴν ἐμφαινομένην τοῦ θρόνου μετάθεσιν, ut loquitur Pachymeres d. cap. 17, et quod ἀπὸ τοῦ θρόνου τῆς θυγατρὸς τῷ θρόνῳ τῆς μητρὸς ἀνέδην οὕτω καὶ αὐθαδῶς εἰσπηδήσειεν· οὕτω γὰρ τὰς ἐκκλησίας ἐκάλουν. Idem cap. 13. Adde cap. 28. DUCANG.

(17) A. C. 1266. BOIVIN.

(18) Eodem anno, Decemb. die 28. BOIVIN.

(19) Exstat in cod. Reg. 2964, f. 320, inter opera Nathanaelis (seu Nicephori) Chumni imperatorium diploma, inscriptum, Λόγος χρυσόβουλλος ἐπὶ τῇ ἑνώσει τῆς ἐν τῷ Γαλησίῳ μονῆς καὶ τῆς ἁγίας ἀναστάσεως, ὥστε τοῦ λοιποῦ μὴ δύο, ἀλλὰ μίαν ταύτας εἶναι καὶ ὑφ' ἑνὶ τετάχθαι καὶ ἄγεσθαι καθηγουμένῳ. In quo diplomate cum alia multa præclara de Gallesii monasterio narrantur, tum hæc maxime notanda (a), Ἡ πρὸς ἕω ἐν τῷ τοῦ Γαλησίου τόπῳ σεβασμία μονὴ τῆς πανυπεράγνου μου Δεσποίνης καὶ Θεομήτορος, διαβόητος οὖσα ἐξότου δὴ καὶ τὴν ἀρχὴν συνέστη, καὶ σφόδρα γε θαυμαζομένη, οἷς καὶ πάνυ τι δεδύνηται ψυχὰς βελτιοῦν ζῆν κατὰ Θεὸν αἱρουμένας, καὶ νῦν ἐς δεῦρο περισώζει τοῦτο τὸ καλὸν, καὶ τοις ἐν αὐτῇ τὴν πολιτείαν τηνδε μετιέναι προθυμουμένοις πρὸς αὐτὸ δὴ τοῦτο μάλα συναίρεται, καὶ δεξιά τις ἔστι πληροῦν τὸν πόθον. Ἵδρυται γὰρ ἐν ἀσικήτῳ τινὶ, πόῤῥω που τῶν κοσμικῶν θορύβων ἀνῳκισμένη. Ἱδρύει δ' αὐτὴν καὶ συνίστησι πρώτως ὁ περιβόητος τὴν ἄσκησιν καὶ μέγας τὴν κατὰ Θεὸν πολιτείαν Λάζαρος, ἀπολεξάμενος τόνδε τὸν τόπον, καὶ τὴν θαυμασίαν ταύτην ἐν αὐτῷ τῇ Θεομήτορι καθοσιώσας μονὴν, καί γε δειμάμενος καὶ πήξας ἀρετῆς ὡς εἰπεῖν ἐργαστήριον . . . . ὄρος γάρ ἐστιν ὁ τόπος ἀνάντες καὶ τραχὺ, τῶν ἐς ψυχαγωγίαν καὶ παραμυθίαν σωματικὴν μηδενὸς ἧκιστα μετέχον. Οὔτε γὰρ σκιάζεται δένδροις· οὔτε βοτάνης, ἀλλ' οὐδὲ χλόης ἀπογεννᾷ βλάστησιν· οὔμενουν οὐδὲ τῶν ἄλλων ἀπὸ γῆς χρησίμως καρποφορεῖ· ξηρὸν δ' ἔστιν ὅλον καὶ πρὸς τοιαύτας γονὰς παντάπασιν ἄφυές· εἰ καὶ ἄλλως γόνιμον ἀρετῆς. Omitto cætera. BOIVIN.

(20) Interpres, *et suas illi cogitationes exponebat*. Emendavimus, *et delictorum*, seu peccatorum, *confessionem edebat*. Pachymeres : ἄνδρα πνευματικὸν, καὶ εἰς πατέρα τεταγμένον τῷ βασιλεῖ. Vide Gloss. med. Græcit. in ἐξαγορεύειν, in λογισμὸς et in πνευματικός. DUCANG.

(21) A. C. 1267, Kal. Januar. BOIVIN.

(22) Idem interpres : *Condonationis syngraphum*. Rursum emendavimus, *absolutionis*. Vide idem Gloss. in συγχωροχάρτιον. Ritum hunc absolutionis pluribus describit Pachymer. lib. III, cap. 25. DUCANG.

(a) Integrum diploma edidit Boissonadius in *Anecdot.*, tom. II. EDIT.

ἑκάστῳ προσήκουσαν τάξιν διαδεχόμενος ἀνέγνωσαν ἅπαντες ἐφεξῆς ἐπ' αὐτοῦ τὸν εἰρημένον τῆς συγχωρήτεως λόγον. Καὶ οὕτως ἀπῄει χαίρων ὁ βασιλεὺς καὶ ἵλεων αὐτῷ καταστῆναι οἰόμενος.

A Deum etiam sibi placatum et reconciliatum existimabat.

ὁμοῦ τῇ τοιαύτῃ συγχωρήσει, καὶ Θεὸν αὐτὸν τυχεῖν

Β'. Κατὰ τοῦτον τὸν χρόνον ἐπεσκότησεν ἡ σελήνη τὸν ἥλιον, ἄρτι τὴν τῶν Διδύμων τετάρτην παραλλάττοντα μοῖραν, περὶ ὥραν πρὸ μεσημβρίας τρίτην τῆς εἰκοστῆς πέμπτης ἡμέρας τοῦ Μαΐου, τοῦ ϛψοε' ἔτους. Ἦν μὲν οὖν ἡ πᾶσα ἔκλειψις (23) δακτύλων ἐγγύτατα δυωκαίδεκα. Τοσοῦτον δὲ κατὰ τὸν μέσον τῆς ἐκλείψεως χρόνον ἐγεγόνει τὸ σκότος περὶ τὴν γῆν, ὡς καὶ πολλοὺς τῶν ἀστέρων φανῆναι. Ἐδήλου μέντοι τὰς μεγίστας καὶ παλαμναιοτάτας συμφορὰς τῶν Ῥωμαίων, ἃς ὑπὸ τῶν Τούρκων ὑφίστασθαι ἔμελλον. Οὐ γὰρ ἔληξεν ἡ τοῦ γένους κάκωσις ἐκεῖθεν ἀρξαμένη [P. 65] καὶ συχνῶς ἐπὶ μεῖζον ἀεὶ καταβραχὺ χορυφουμένη. Ὅτι δὲ δήλωσιν ἐπιγείων παθῶν τὰ τῶν οὐρανίων φωστήρων τοιαῦτα συμπτώματα προαναφωνοῦσιν, ἀμφιβάλλειν οἶμαι τῶν πάντων οὐδένα, πλὴν εἰ μή τις περιττὸς ἐπεφύκει μάτην ἐρίζειν. Εἰ δὲ τοῦτον λόγοις πείθειν πειρῷτό τις, ὃν πείθειν οὐ δύναται τὰ ἐν τῷ θεάτρῳ τῆς οἰκουμένης κατ' ἄλλους ἄλλοτε χρόνους γινόμενα πράγματα, μάταιος ἂν εἴη καὶ πάνυ τοι φορτικὸς σύνεσιν ἐντιθέναι τοῖς πάνυ σκληροῖς ἐγχειρῶν. Ὃ γὰρ ἐν ἑνὸς ἀνθρώπου σώματι, τοῦτο κἀν τῷ τοῦ κόσμου σώματι παντὶ γίγνοιτ' ἄν. Ἕν γὰρ ὁ κόσμος σῶμα συμφυές, ἐκ μερῶν καὶ μελῶν ὡς ὁ ἄνθρωπος φάναι συγκείμενος· καὶ ὥσπερ ἐνταῦθα τῆς κεφαλῆς ἢ τοῦ τραχήλου τὸ πάθος ἐνεργεστέραν πρὸς τὴν κνήμην καὶ τὸν ἀστράγαλον τὴν κάκωσιν ἐξετόξευσεν, οὕτω κἀν τῷ τοῦ κόσμου σώματι τὰ τῶν οὐρανίων φωστήρων παθήματα κινούμενα πρὸς τὴν γῆν ἀπερείδονται κἀνταῦθα δημοσιεύουσι τὴν ἐνέργειαν.

II. Sub hoc tempus luna solem obscuravit, cum is quartam Geminorum partem præteriret, sub horam ante meridiem tertiam, 25 die Maii, anni 6775. Fuit tota eclipsis digitorum sive punctorum fere XII. Tantæ autem sub medium tempus illius eclipseos tenebræ circa terram exstiterunt, ut multæ stellæ apparerent. Ea nimirum maximas et funestissimas Romanorum calamitates portendebat a Turcis imminentes. Populi enim afflictio ab eo tempore non destitit, et subinde paulatim in majus aucta est. Terrena autem mala hujusmodi cœlestium luminum affectionibus præsignificari, extra controversiam esse puto, nisi forte quispiam rixis inanibus delectetur. Quem porro ea quæ in theatro universitatis hujus aliis atque aliis temporibus eveniunt, convincere non possunt, eum si quis conetur verbis convincere, stultus sit et plane ineptus, qui indociles velit erudire. Quod enim in hominis unius corpore fit, idem etiam **109** in corpore hujus universi contingit. Unum quippe mundus corpus est cohærens, ex partibus et membris compositus itidem ut homo. Quemadmodum autem in homine capitis aut colli affectio dolorem acriorem ad tibias aut ad talos ejaculatur: sic etiam in mundi corpore excitatæ cœlestium luminum affectiones terris se imprimunt et vim suam illic exserunt.

Γ'. Συχνὸς ἐπὶ τούτοις ἐρρύη χρόνος καὶ ἄγεται ὁ βασιλεὺς τῷ υἱῷ Ἀνδρονίκῳ γυναῖκα Ἄνναν τὴν ἐκ Παιόνων καὶ ἅμα τῷ βασιλικῷ καταστέφει συμβόλῳ. Εἶτα αὐτὸς μὲν (24) Ἀνδρόνικος ὄμνυσι τῷ πατρί, πρῶτον μὲν (25) σέβειν τὴν τοῦ Θεοῦ Ἐκκλησίαν ὀρθῶς, καὶ τὰ ταύτης προνόμια περιέπειν καθ' ἅπαντα τρόπον καὶ ἀλώβητα συντηρεῖν· δεύτερον δὲ (26), τὴν αὐτοῦ δὴ τοῦ πατρὸς ζωὴν καὶ βασιλείαν διαφυλάττειν ὅση δύναμις ἀνεπιβούλευτον μέχρι τελευτῆς αὐτῆς. Καὶ ἐπὶ τούτοις ἅπαν ἐτὸ Ῥωμαίων ὤμνυε ζῆνος τῷ νέῳ βασιλεῖ Ἀνδρονίκῳ τὰ εἰθισμένα τοῖς βασιλεῦσιν. Ὅ γε μὴν πατριάρχης καὶ πᾶν τὸ τῆς Ἐκκλησίας ἄθροισμα γράμμασι

III. Post hæc longo tempore elapso imperator Andronico filio uxorem dat Annam Paeoniam, simulque insignibus imperii ornat. Tum ipse quidem Andronicus patri jurat: primum, se Dei Ecclesiam rite veneraturum, ejusque privilegia modis omnibus procuraturum et inviolata conservaturum esse: deinde se vitam et imperium patris sui ab insidiis tutum pro virili præstiturum esse usque ad ipsam mortem. His peractis omnis Romanus populus solemne jusjurandum juniori imperatori Andronico dedit. Patriarcha vero et collegium omne sacerdotum jusjurandum suum litteris consignatum in sacros codices retulerunt; profitendo se, et

Variorum notæ.

(23) De hac eclipsi, quæ accidisse dicitur anno mundi juxta Græcos 6775, Christi 1267, copiose egit Grandamicus, parte III *Chronolog. sacræ*, cap. 8, § 1, 2, 3, 4, et ex eo Possinus ad Pachymer. pag. 519. DUCANG.

(24) Conferendus Pachymeres lib. IV. cap. 29. DUCANG.

(25) Hæc prima sacramenti a filio exacti pars spectat fidei professionem, quam recens dicti imperatores scripto dabant patriarchæ, quam ideo ἔγγραφον appellabant, ut in Gloss. med. Græcit. in hac voce observamus. DUCANG.

(26) Partem vero sacramenti istius dauserant Augusti recentiores Constantinopolitani a Francis nostris, seu Latinis, apud quos vassalli seu clientes in hominiis *fidem domino de vita et membris et terreno honore* se servaturos jurabant. Hic tamen non tam est hominium quam *securitas*: neque enim reges cuipiam de regno hominium præstant. Unde in pacto inter Henricum II, regem Angliæ, et Henricum filium, quem antea pater regem dixerat, anno 1174, *cum is hominium* (quod filii alii fecerant) *facere voluisset, noluit dominus rex ab eo recipere, quia rex erat, sed securitatem accepit ab eo*, ut est apud Rogerum Hovedenum et Bromptonum. DUCANG.

cos qui deinceps in administrationem Ecclesiæ successuri sibi essent, imperium ejus ab omni fraude tutum servaturos. Pater autem ei permisit edictis subscribere rubris litteris, cæterum sine mense et indictione, sed, Andronicus Christi gratia imperator Romanorum.

A τοὺς ἑαυτῶν ἐγχαράξαντες ὅρκους τοῖς ἱεροῖς ἐντεθείκασι κώδιξιν, ἀνεπιβούλευτον αὐτῷ διατηρήσειν τὴν βασιλείαν ὁμολογοῦντες, αὐτοί τε καὶ οἱ ἐφεξῆς τὰ τῆς Ἐκκλησίας διαδεχόμενοι. Ἐπέτρεψε δ' αὐτῷ ὁ πατὴρ καὶ δι' ἐρυθρῶν ὑπογράφειν γραμμάτων προστάγματα, οὐ μέντοι μῆνα καὶ ἴνδικτον (27), ἀλλὰ, Ἀνδρόνικος Χριστοῦ χάριτι βασιλεὺς Ῥωμαίων (28).

CAPUT IX.

Michaelis Ætoli obitus. Quatuor liberi. Hæreditas duobus divisa. Natu minimis ut consultum. Eorum fuga ad imperatorem. Joannes sebastocrator Thessaliæ princeps Romanas provincias populatur. Joannes despotes cum magno exercitu Thessaliam ingreditur. Sebastocratoris trepidatio. Militum Romanorum sacrilegia. Sebastocrator multa oppida amittit. Novarum Patrarum mœnibus se defendit. Fessus longa obsidione clam exire statuit. Consilium uni tantum homini indicat. Noctu per funem demissus Romana castra pervadit. Athenarum ducem adit, a quo delectos milites quingentos accipit. In Romanos nec opinantes impetum facit. Joannes despotes obsidionem deserit. Oppidani cum sebastocratore Romana castra diripiunt. Instant fugientibus. Spoliis contenti cæde abstinent. Mos vetus. Milites Romani quonam se ex fuga receperint. Urbs Sicyon cur Demetrias dicta.

I. Hoc statu rerum e vivis excessit Michael despotes, Epiri et Thessaliæ **110** princeps, relictis liberis, in quibus unus nothus, nomine Joannes; legitimi vero tres. Horum natu maximus fuit Nicephorus despotes, qui imperatoris neptem ex sorore in matrimonio habebat : cujus curæ ac tutelæ reliquos duos natu minores filios Michaelem et Joannem adhuc cælibes pater commisit; divisitque omnem suam ditionem in duas partes : quarum unam, quæ vetus appellatur Epirus, Nicephoro despotæ reliquit. Continet autem Thesprotos, Acarnanes, Dolopes, prætereaque Corcyræos, Cephallenios et Ithacenses : terminatur ab occasu Adriatico et Jonio mari, versus septentrionem altis montibus Pyndo et Acrocerauniis, ab ortu Achelou flumine, a meridie insulis Corcyra et Cephallenia. Alteram partem Joanni notho filio reliquit : quæ et ipsa continet Pelasgos, Phthiotas, Thessalos, Locros Ozolas : ac versus septentrionem Olympum montem habet, ad meridiem Parnassum, utrumque altissimum et nubibus vicinum. Cæterum duo statim, Michael et Joannes, Nicephori fratris tutelam et curationem ægre ferentes, et alioqui rati habituram eam non bonum ipsis exitum, ad imperatorem profugiunt.

[P. 66] Α'. Τούτων οὕτως ἐχόντων, ἐξ ἀνθρώπων ἐγεγόνει καὶ Μιχαὴλ ὁ δεσπότης, ὁ τῆς Ἠπείρου Β καὶ Θετταλίας ἀρχηγός, καὶ παῖδας καταλιπὼν (29) ἕνα μὲν νόθον, Ἰωάννην ὀνομα (30), γνησίους δὲ τρεῖς, ὧν καθ' ἡλικίαν πρωτεύων ὑπῆρχεν ὁ ἐπ' ἀδελφιδῇ γαμβρὸς (31) τοῦ βασιλέως Νικηφόρος ὁ δεσπότης· ὑφ' ᾧ κηδεμόνι καὶ ἐπιτρόπῳ κατέλιπεν ὁ πατὴρ ὡς ἀτελεστέρους τὴν ἡλικίαν καὶ ἄζυγας ἔτι τοὺς δύο ἑτέρους υἱέας Μιχαὴλ καὶ Ἰωάννην. Σχίζει μέντοι καὶ τὴν ὅλην αὐτοῦ ἐπικράτειαν εἰς δύο μερίδας, ὧν τὴν μὲν μίαν, ἣ δὴ καὶ παλαιὰ ὀνομάζεται Ἤπειρος, ἀφίησι Νικηφόρῳ τῷ δεσπότῃ. Περιέχει δὲ αὕτη Θεσπρωτοὺς καὶ Ἀκαρνᾶνας καὶ Δόλοπας, καὶ πρὸς τούτοις Κερκυραίους καὶ Κεφαλλῆνας καὶ Ἰθακησίους· ὁρίζεται δὲ πρὸς μὲν δύσεως Ἀδριατικῷ τε καὶ Ἰονίῳ πελάγει, πρὸς δ' ἄρκτων ὄρεσιν ὑψηλοῖς τῷ τε Πίνδῳ καὶ τοῖς Ἀκροκεραυνίοις ὀνομαζομένοις, ἐκ δ' ἀνατολῶν Ἀχελῴῳ τῷ ποταμῷ, ἐκ δὲ μεσημβρίας τῇ Κερκυραίων νήσῳ καὶ τῇ Κεφαλληνίᾳ· τὴν δὲ ἑτέραν μερίδα ἀφίησιν ὁ πατὴρ Ἰωάννῃ τῷ νόθῳ παιδί· ἣ καὶ αὐτὴ περιέχει Πελασγοὺς καὶ Φθιώτας, ἔτι τε Θεσσαλοὺς καὶ Λοκροὺς τοὺς Ὀζόλας· καὶ πρὸς μὲν ἄρκτους Ὄλυμπον ἔχει τὸ ὄρος, πρὸς δὲ μεσημβρίαν τὸν Παρνασσὸν, ἀμφότερα ὑψηλὰ καὶ ἐς βαθὺν τὸν ἀέρα τὰς κορυφὰς ἀνατείνοντα. Οἱ μέντοι δύο αὐτίκα, Μιχαὴλ καὶ Ἰωάννης, δυσαρεστήσαντες τῇ τοῦ ἀδελφοῦ Νικηφόρου ἐπιτροπῇ καὶ ἐφορείᾳ, καὶ ἄλλως οὐκ εἰς ἀγαθὸν αὐτοῖς πέρας αὐτὴν προχωρήσειν ἐννοοῦντες, φυγάδες ἐς βασιλέα χωροῦσιν.

C

II. Nothus autem Joannes, effreni impetu et vafro ingenio vir, **111** suis contentus quiescere non poterat, quamvis nuper admodum sebastocratoris honorem ab imperatore consecutus, sed ruptis crebro fœderibus, Romanas provincias populabatur: ut indignatus imperator contra illum mitteret fra-

Β'. Ὁ δὲ νόθος Ἰωάννης, ἀκάθεκτος ὢν τὴν ὁρμὴν καὶ ποικίλος τὴν σύνεσιν, [P. 67] οὐκ ἠρέμει τοῖς οἰκείοις ἀρκούμενος, καὶ ταῦτα τὸ σεβαστοκράτορος ἀξίωμα παρὰ τοῦ βασιλέως πρότριτα εἰληφώς· ἀλλὰ συχνὰ παρασπόνδων τὴν Ῥωμαίων ἐδήου γῆν· ὡς ἀγαναχτήσαντα ἤδη τὸν βασιλέα πέμψαι τὸν

D

Variorum notæ.

(27) Hæc pluribus explicavimus in notis ad Alexiadem Annæam pag. 254, et in Gloss. med. Græcit. in v. Μηνολογεῖν. DUCANG.

(28) Non vero αὐτοκράτωρ, cum id nominis sibi solis reservarent patres imperatores, ut docemus in eodem Gloss. in v. Αὐτοκράτωρ, tametsi aliter observarit Joannes Cantacuzenus, cum Matthæo filio *Matthæo imperatore* dicto, is se βασιλέα et αὐτοκράτορα inscripsit, ut docet ejus subscriptio apud Gretserum ad Cantacuz. Hist. pag. 933. DUCANG.

(29) Vide supra lib. II, cap. 8, sect. 1. BOIVIN.

(30) Pachymer. lib. IV, cap. 31. DUCANG.

(31) Vide supra hujus libri cap. 3, sect. ult. BOIVIN.

ἑαυτοῦ ἀδελφὸν Ἰωάννην τὸν δεσπότην κατ' ἐκεῖνου, πολλὰς πολλαχόθεν ἀθροιζομένας τὰς Ῥωμαίων δυνάμεις ἕπεσθαι τούτῳ κελεύσαντα. Ὃς καὶ συναγαγὼν, ὅση δὴ παροῦσα ἐτύγχανε δύναμις, ἔκ τε Παφλαγόνων ἱππέων ἠθροισμένη καὶ Βιθυνῶν, συγκαταλέξας δὲ καὶ τὰ Κομάνων καὶ Τουρκοπούλων τάγματα, ἀπῄει τὰς πεζικὰς αὐτὸς στρατολογῶν δυνάμεις ἔκ τε Θρᾴκης καὶ Μακεδονίας. Ὁ μέντοι σεβαστοκράτωρ ἀκούων τὴν τῶν Ῥωμαϊκῶν δυνάμεων ἔφοδον βέλεσι λογισμῶν ἐδαπάνα τὴν ψυχήν, ἄπορα πανταχόθεν ὁρῶν τὰ ἑαυτοῦ καὶ οὐκ ἀξιόμαχα πρὸς τοσαύτην παρασκευὴν ἀντιπάλων δυνάμεων. Ὅθεν ἐπεὶ τό γε ὑποπεπτωκότι χρήσασθαι σχήματι καὶ συγγνώμην τῶν ἡμαρτημένων ζητεῖν οὔτ' εὔσπλαγχνον ἐώρα οὔτε μὴν ἀνύσιμον διὰ τὸ πολλάκις σπείσασθαι μὲν, οὐκ ἐμμεῖναι δ' ἐπὶ μακρὸν ταῖς ὁμολογίαις τῶν σπονδῶν, ὁ δὲ ἄλλην ἐδάδισε γνώμην. Ὀχυρώσας γὰρ καθ' ὅσον ἐξῆν καὶ ἀσφαλισάμενος τὰ ἑαυτοῦ φρούρια περιῄει σύν γε τοῖς ἑαυτοῦ στρατεύμασι πόρρωθεν περισκοπῶν τὰ ὑπὸ τῶν πολεμίων γινόμενα, ἴσως ἐλπίζων λόγοις τισὶ καὶ αἰφνιδίοις ἐπιδρομαῖς ταράττειν καὶ ἀκρωτηριάζειν τὸ Ῥωμαίων στρατόπεδον. Ἀλλ' ἄριστα τούτους ὁρῶν πεφραγμένους, καὶ οὐκ ἔξω τῆς νομιζομένης ἐμπειρίας τὰς ἐλδρομὰς ποιουμένους, προαπεγνώκει τὴν πεῖραν καὶ διῶν ἄνω καὶ κάτω ἐδεδίει περὶ τῶν ὅλων.

A trem suum Joannem despotam, magnis Romanorum copiis undecunque collectis, et cum sequi jussis. Is igitur coacto exercitu, quantus aderat ex Paphlagonibus et Bithynis equitibus conflatus, adjunctis etiam Comanorum et Turcopulorum turmis, pedestres copias ex Thracia et Macedonia ipse delecturus abiit. At sebastocrator, audito Romanarum virium adventu, cum se ab omni parte destitutum et tanto exercitui imparem esse cerneret, gravissimis curis æstuabat. Nam supplici habitu accedere et delictorum veniam petere, neque expeditum, neque etiam efficax esse judicabat, quod multoties fœdera pepigisset, et partis nunquam diu stetisset. Itaque aliam viam ingressus, firmatis quantum poterat et munitis suis castellis, cum suis exercitibus circumibat, eminus circumspiciens quid ab hostibus ageretur : forsitan et spe concepta, insidiis et subitis incursionibus se Romana castra turbaturum et aliqua parte afflicturum. Sed cum omnia optime munita, et disciplinam militarem a Romanis observari cerneret, illo conatu desperato, sursum deorsumque ambulans, summæ **112** rerum metuebat.

Γ'. Ὁ μὲν οὖν σεβαστοκράτωρ Ἰωάννης ἐν τοσούτοις ὑπῆρχε θορύβοις καὶ φόβοις. Τάχα δ' ἂν καὶ πέρας ἐλάμβανεν αὐτῷ τὸ ζῆν ἐν τούτῳ τῷ χρόνῳ, καὶ ἡ ὑπ' αὐτὸν ἐπαρχία τότ' ἂν ὑπὸ βασιλεῖ ἐγίγνετο, εἰ μὴ μεγάλη τις ἀταξία τε καὶ πλημμέλεια τῶν συστρατευομένων τοῖς ἡμετέροις ἀλλοφύλων ἔσφηλε παρ' ἐλπίδα καὶ λίαν αἰσχρῶς τὰ Ῥωμαίων ἀνέτρεψε πράγματα. Εἰσβαλόντων γὰρ τῶν Ῥωμαίων ἐς τὴν ἐκείνου καὶ μηδενὸς ἀνθισταμένου ῥᾳδίως ὑποπιπτουμένων ἅπαντα, οὐκ ἐν ὑγιὲς οἱ συστρατευόμενοι Κόμανοι ἔπραττον, ἀλλὰ πάντας νεὼς καὶ ἀσκηπτήρτα πάντα ἐσύλων, καὶ ἀδεῶς ἐνεπίμπρασαν, καὶ σεμνὰς παρθένους ἠνδραποδίζοντο καὶ ὡς ἀνιέροις ἐχρῶντο τοῖς ἱεροῖς, τοῖς τε ἄλλοις καὶ πρός γε ἔτι ἀντὶ τραπεζῶν ταῖς ἱεραῖς εἰκόσι (32). Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; Πάντ' ἔδρων ἀδεῶς, ὅσα χρεὼν ἀσεβέσιν ἀνδράσι. Διά τοι τοῦτο καὶ οὐ καλῶς οὐδ' ὁμολόγως ταῖς ἀρχαῖς τὸ τέλος ἀπήλλαξε τοῦ πολέμου. Δηλώσει δὲ προϊὼν ὁ λόγος.

III. Igitur Joannes sebastocrator in tanto augore et metu versabatur. Ac fortasse eo tempore vivere desiisset, illiusque ditio ab imperatore occupata esset, nisi exterorum commilitonum immodestia et nimia licentia rem Romanam præter spem labefactasset, et fœdissime perverti sset. Nam cum Romani impressionem in illius fines fecissent, et resistente nemine omnia facile subigerent, Comani cum iis militantes nihil frugi faciebant, sed omnia fana, omnia monasteria spoliabant et impune cremabant, et venerabiles virgines captivas abducebant, ac sacris ut profanis abutebantur cum aliis rebus, tum sacrosanctis imaginibus, quas pro mensis habebant. Et quid multis est opus? sine ullo metu faciebant omnia, quæ impiorum hominum consuetud fert. Quamobrem belli exitus non bonus, nec principiis consentaneus fuit, ut progressu orationis ostendetur.

Δ'. Ἐπεὶ γὰρ ἦκεν ἄγων τὴν στρατιὰν ὁ δεσπότης Ἰωάννης, τὰ μὲν τῶν πολιχνίων αὐτίκα ὑπέκυπτον· τὰ δὲ ταῖς τῶν τόπων ὀχυρότησι θαῤῥοῦντα ἀνθίσταντο μέχρι τινός· ἔπειτα καὶ ταῦτα ὑπέκυπτον, ἀντέχειν εἰς τέλος ἧκιστα δυνάμενα πρὸς τὰς βιαίας τῶν πολεμικῶν μηχανημάτων ἐπιφοράς. Ὁ γε μὴν σεβαστοκράτωρ [P. 68] ἀπογνοὺς παντα-χόθεν εἰς ὀχυρώτατον καταφεύγει φρούριον τὸ τῶν Νέων Πατρῶν ἐπικεκλημένον. Ἔνθα δὴ καὶ κυκλοῦσιν αὐτὸν οἱ πολέμιοι καὶ συχνόν τινα χρόνον πολιορκοῦσι περικαθήμενοι. Τὸ μέντοι φρούριον

IV. Nam cum Joannes despotes exercitum secum adducens advenisset, oppidula partim statim deditionem faciebant, partim situ locorum freta aliquandiu resistebant; mox bellicarum machinarum violentis ictibus ad extremum sustinendis impares, ipsa etiam sese submittebant. Quare sebastocrator Joannes, rebus o mni ex parte desperatis, novas Petras (id munitissimo castello nomen est) se recepit : ubi cum hostes circumcludunt et longo tempore circumsessum oppugnant. Id castellum in edito monte situm bellicas **113** machinas facile contem-

Variorum notæ.

(32) Quippe apud Græcos picturæ ac imagines in ligno, earius in linteis delineabantur. Vide Glossar. med. Græc. in Κηρογραφία. DUCANG.

nebat : sed ob multitudinem hominum ibi inclusam, rerum necessariarum penuriam metuebat. Itaque sebastocrator inops consilii multis curis distrahebatur, et urgentium malorum remedium quærens animum in omnes partes versabat. Tandem post multas deliberationes consilium mirum ac plane divinum init : quod, ut sacrum et arcanum, penes se ipsum religiose custodit, ac nemini communicat, nisi urbis custodi. Nam arcanum plurium auribus quam unius commissum multifariam erumpit : amissoque arcani nomine, fama pervulgata dici debet, tota castra tam amicorum quam hostium permeans. Unde ille, quippe vir prudens et hujus rei non ignarus, callide suum commentum struxit, quod erat hujusmodi.

A ἐκεῖνο τῶν Νέων Πατρῶν ἐφ' ὑψηλοῦ τοῦ ὄρους ἱδρυμένον ῥᾷστα μὲν τῶν πολεμικῶν κατεφρόνει μηχανημάτων· διὰ δὲ τὸν ἔνδον ἀποκλεισθέντα πολυάνθρωπον ὄχλον ἀπορίαν ἐδεδίει τῶν ἀναγκαίων. Διὸ καὶ ἀμηχανίᾳ παντοδαπῇ τὴν ψυχὴν ὁ σεβαστοκράτωρ ἐμερίζετο καὶ ἄνω καὶ κάτω τὴν λογισμῶν περιέστρεφε, τῶν περιισταμένων δεινῶν λύσιν ζητῶν. Ὀψὲ δὲ μετὰ πολλὰς στροφὰς λογισμῶν εἰς ἔννοιαν ἐληλύθει ξένην καὶ δαιμονίαν ὡς ἀληθῶς· ἣν ὥσπερ ἱεράν τινα καὶ ἀπόρρητον ἐταμίευσεν ἐν ἑαυτῷ, οὐδενὶ κοινωσάμενος τῶν ἁπάντων, πλὴν ἢ μόνῳ τῷ τοῦ ἄστεως φύλακι. Τὸ γὰρ εἰς πλείους μιᾶς ἀκοῆς διασπαρὲν μυστήριον πολύχουν ἀνίσχει γεώργιον καὶ τὴν ἐπωνυμίαν οὐκ ἔτι μυστήριόν ἐστιν, ἀλλὰ διαπρύσιος φήμη, ὅλα στρατόπεδα παρασυνετὸς ὢν καὶ τῶν τοιούτων οὐκ ἀδαὴς συνετῶς τὸ σοφὸν ὠκονόμησε βούλευμα ἑαυτοῦ. Ἦν δὲ τοῦτο τοιοῦτον.

V. Observata nocte, in qua ob interlunium profundæ tenebræ terram circumirent, funo se de muro demittit. Deinde, cum alius transitus ei non pateret, clam in Romana castra laceris vestibus ingreditur : et ne agnosceretur, magna voce et verbis aliquantulum barbaris, velut amissum equum quæritans clamat, et sic tota castra pervadit ac præterit. Turba vero militaris eum deridet et exsibilat, et suavissimis dicteriis exagitat. His dolis castra cum pertransisset, et longissime abesset, **114** monasteriolum quoddam remotum adit, et soli præposito sese quis sit indicat : a quo quinque jumentis et totidem famulis acceptis, sub auroram monte Thermopylarum superato, postridie in Bootiam pervenit, ac tertio inde die in Atticam : ubi et Athenarum ducem convenit, cui pecuniam promittit, splendidasque et opulentissimas liberorum affinitates : tum ab eo auxilium petit, et pacta magna mercede milites accipit quingentos, omnes Athenienses delectos.

B Ε'. Νύκτα παραφυλάξας, ἐν ᾗ τῆς σελήνης τῷ ἡλίῳ συνοδευούσης σκότος βαθὺ περιτρέχει τὴν γῆν, σχοίνῳ τοῦ τείχους καθίησιν ἔξω ἑαυτόν· κἄπειτα οὐχ ἑτέρας οὔσης αὐτῷ παρόδου, λάθρα κατῄει ἐς τὸ τῶν Ῥωμαίων στρατόπεδον ἐν διερρυηκόσι τισὶ ἐνδύμασι· καὶ τοῦ λαθεῖν ἕνεκα μεγάλῃ τῇ φωνῇ καὶ βαρβαριζούσῃ μικρόν πως τῇ διαλέκτῳ, ὡς ἀπολωλεκὼς τὸν οἰκεῖον δῆθεν ἵππον ἐζήτει, διὼν καὶ παραμείβων οὕτωσὶ τὸ στρατόπεδον ἅπαν. Οἱ δὲ πολλοὶ τοῦ στρατοῦ κατεγέλων ἀκούοντες αὐτοῦ καὶ ὑπεσύριζον καὶ ἡδυτάταις εἰρωνείαις ἐβλεύαζον. Ἀλλ' ἐκεῖνος δόλοις τοιούτοις παρελθὼν τὸ Ῥωμαίων στρατόπεδον καὶ πάνυ τοι πόρρω γενόμενος περί τι μονύδριον γίνεται τῶν ὑπερορίων, καὶ γνώριμον ἑαυτὸν καταστήσας μόνῳ τῷ τῆς μονῆς ἐπιστάτῃ ὑποζύγια πέντε καὶ θεραπόντων τοσούτους λαμβάνει παρ' αὐτοῦ· καὶ ἅμα ἕῳ διαβὰς τὸ τῶν Θερμοπυλῶν ὄρος δευτεραῖος ἐς Βοιωτίαν ἀρίκετο· τριταῖος δ' αὖθις ἐκεῖθεν εἰς Ἀττικήν· ἔνθα δὴ καὶ τῷ τῶν Ἀθηνῶν ἐντυγχάνει δουκί· (33) καὶ χρήματα ὑπισχνεῖται καὶ κήδη λαμπρὰ (34) τῶν τέκνων πολὺν ἐπαγόμενα πλοῦτον· καὶ ἐπὶ τούτοις αἰτεῖ καὶ λαμβάνει συμμαχίαν ἐπὶ συμφωνίᾳ μεγάλων μισθῶν, πενταχοσίους τοὺς πάντας κατ' ἐκλογὴν Ἀθηναίους.

C

VI. At Romanorum exercitus, sebastocratorem Joannem in castello esse ratus, perstabat in obsidione, et crebris velitationibus mœnia lacessebat (neque enim erat unde machinæ admoveri possent) : atque omnes circum exitus observabat, necubi Joannes furtim elaberetur, sed aut sponte deditionem facere cogeretur, aut invitus a civibus dederetur duplici malo pressis, obsidione, atque intus penuria rerum necessariarum. Et hi quidem ita securi desidebant; quidam vero etiam e castris excurrebant, alii prædatum adversus finitimos Achæos, alii venatum : in quos primos ita dissipatos incidit Joannes sebastocrator cum quingentis illis Atheniensibus ; eosque partim illico capit, partim usque

D Ζ'. Ὁ δὲ Ῥωμαίων στρατὸς ἐντὸς εἶναι νομίζων τὸν σεβαστοκράτορα Ἰωάννην περιεκόθητο διηνεκῶς, ἀκροβολισμοῖς τισι κατὰ τῶν τειχῶν χρώμενος (οὐ γὰρ εἶχεν ὅθεν ἂν ἐπαγάγοι τὰς μηχανάς), καὶ διὰ τὰς διεξόδους κύκλῳ παραφυλάττων, ὡς μὴ λάθῃ διαδρὰς ὁ Ἰωάννης, ἀλλ' εἰς ἀνάγκην ἔλθοι, ἢ προδότης ἐθελοντὴς ἑαυτοῦ γενέσθαι, ἢ προδοθῆναι μὴ θέλων αὐτὸς [P. 69] παρ' ἐκόντων τῶν πολιτῶν, δυσὶ πιεζομένων κακοῖς, τῇ τε πολιορκίᾳ καὶ τῇ τῶν ἀναγκαίων ἔνδοθεν στενοχωρίᾳ. Οἱ μὲν οὖν οὕτως ἐκάθηντο ἀπεριμερίμνως. Τινὲς δὲ καὶ τοῦ στρατοπέδου παρεξήλαυνον, οἱ μὲν λείας ἕνεκα ἐπὶ τοὺς ὁμόρους τῶν Ἀχαιῶν, οἱ δ' ἐπὶ κυνηγέσια· οἷς ἐπεισπίπτει πρώτοις ὁ σεβαστοκράτωρ Ἰωάννης

Variorum notæ.

(33) Pachymer. ἐκεῖσε μὲν τὸν μέγαν κύριον ὁμονοοῦντά οἱ, Συριωάννης γὰρ κατὰ γλῶτταν ἐλέγετο, Joannes scilicet *de la Roche*, dux Athenarum et Thebanorum dominus, de quo supra ad cap. 5, sect. 2. DUCANG.

(34) Pachymer. εἰς πίστιν δὲ τῶν σπουδῶν ἑαυτοῖ; καὶ κῆδος γενέσθαι, ὡς λαβεῖν ἐκεῖνον γαμβρὸν ἐπὶ θυγατρί. DUCANG.

μετὰ τῶν πεντακοσίων (35) Ἀθηναίων ἐκείνων, οὕτωσὶ διεσκεδασμένοις· καὶ τοὺς μὲν αὐτῶν εὐθὺς αἱρεῖ, τοὺς δὲ διώκει μέχρι τοῦ στρατοπέδου· ὡς τῷ ἀπροσδοκήτῳ καὶ αἰφνιδίῳ τοῦ πράγματος θόρυβον ἐγγενέσθαι τῷ Ῥωμαΐῳ στρατῷ καὶ ταραχὴν λογισμῶν τοῖς τε ἄλλοις στρατηγοῖς καὶ αὐτῷ δὴ Ἰωάννῃ τῷ δεσπότῃ, νομίσασιν ἢ τὸν Πελοποννήσου καὶ Ἀχαΐας ἥκειν πρίγκιπα (36) μετὰ πλήθους ἀξιολόγου, ἢ Θηβαίων καὶ Εὐβοέων καὶ Ἀθηναίων στρατὸν παμπληθῆ μετὰ δουκὸς τοῦ αὐτῶν ἀρχηγοῦ πρὸς βοήθειαν ἐξιέναι τοῦ Σεβαστοκράτορος Ἰωάννου. Ὅθεν πρὶν ἐκείνους ἐπιστῆναι, λάθρα καὶ κατὰ μικρὸν οἴκοθεν ὁ Ῥωμαίων στρατὸς διελύετο, καὶ ἄλλος ἄλλον συχνὰ προλαμβάνοντες ἔφευγον ἀμεταστρεπτί, καὶ πολλὰ τῶν στρατηγῶν ἐπιβοωμένων καὶ καρτερεῖν κελευόντων, οἱ δὲ οὐχ ὑπήκουον, ἀλλ' ἅμα πάντες ἔθεον τὴν αὐτὴν ἀμεταστρεπτί· ὡς καὶ αὐτοὺς ἤδη τοὺς στρατηγοὺς ξὺν γε τῷ δεσπότῃ Ἰωάννῃ συνιδόντας ὡς κατὰ χώραν μένουσιν ὄλεθρος· ἔπεται σφισι προφανής, μετὰ τοῦ μηδέν τι γενναῖον ἔργον καὶ ἀξιόλογον πεπραχέναι, ἕτερον πέρας οὐ μάλα τῆς ὥρας ἐθελούσης χαρίζεσθαι, ἐπὶ πόδα λοιπὸν ἀναγκασθῆναι κατὰ τὸ λεληθὸς ἀναχωρεῖν ἅμα τῷ περιλειφθέντι ἐκ Παφλαγόνων στρατεύματι μετὰ τάξεως μέντοι τινὸς καὶ ἐμπειρίας στρατηγικῆς.

A ad castra persequitur; ut ex re inopinata et subita tumultus in exercitu Romano **115** oriretur, et cum alii duces, tum Joannes ipse despotes perturbaretur, eo quod crederent aut Peloponnesi et Achaiæ principem cum justis copiis adesse, aut magnas Thebanorum, Eubœorum et Atheniensium copias cum suo duce exiisse, Joanni sebastocratori opem laturas. Igitur prinsquam illi irruerent, clam et paulatim Romanus exercitus suapte divellitur: et alii alios subinde prævertentes, contento cursu fugiunt, ducibus quidem multum reclamantibus et manere jubentibus, illis autem non audientibus, sed effuse fugientibus. Itaque et ipsi duces cum Joanne despota, cum sibi, si manerent, certum exitium immineret, prospicerent, ac præterea nullum se egregium aut memorabile facinus edituros, ipsa occasione non alium exitum spondente, cessim ac furtim pedem referre coacti sunt cum reliquiis Papiagonum, conservato tamen ordine ac disciplina militari.

Ζ'. Τοῦ δὲ τοιούτου πταίσματος οὕτω παρ' ἐλπίδα Ῥωμαίοις συμβάντος δι' ἔκτισιν ὧν ἐπεπράχεσαν ἐκεῖσε ἀσεβημάτων οἱ συστρατευόμενοι Κόμανοι, τὰς πύλας εὐθὺς οἱ ἐκ τοῦ φρουρίου ἀναπετάσαντες καταθέουσι πανδημεί, καὶ εἰς ταὐτὸν ἔρχονται τῷ τε σεβαστοκράτορι Ἰωάννῃ καὶ τοῖς συμμάχοις· καὶ κατολογησάμενοι ἅττα ἐχρῆν, οἱ μὲν αὐτόθι κατὰ χώραν μένειν προὐτράπησαν εἰς συλλογὴν τῶν Ῥωμαϊκῶν σκηνῶν καὶ ἵππου καὶ τῆς πάσης ἀποσκευῆς καὶ τοῦ παντοδαποῦ πλούτου, ὃν τε οἴκοθεν ἦκον αὐτοὶ ἐπαγόμενοι, καὶ ὃν ἐκ τῆς λείας προσεκτήσαντο· οἱ δὲ κατὰ νώτου Ῥωμαίοις ἔποντο σποράδην ἄλλοι ἄλλοσε διεσκεδασμένοις· καὶ τοὺς μὲν ξίφος ἀνταιρομένους ἔκτεινον· ὅσοι δὲ συλλαμβανόμενοι οὐκ ἀντεῖχον, οὗτοι δὲ καὶ σύτοῦ γε δὴ τοῦ χιτωνίσκου γυμνούμενοι μετὰ μόνης ἀπελύοντο τῆς ἀνοξυρίδος. Νόμος γάρ ἐστιν οὗτος (37) ἄνωθεν ἐκ διαδοχῆς ἀεὶ κατιὼν ἐς τοὺς ἀπογόνους ἀκήρατος, οὐ μόνον Ῥωμαίοις καὶ Θετταλοῖς, ἀλλὰ καὶ Ἰλλυριοῖς καὶ Τριβαλλοῖς καὶ Βουλγάροις, διὰ τὴν τῆς πίστεως ταὐτότητα τὰ μὲν πράγματα μόνα σκυλεύειν, τὰ δὲ σώματα μὴ ἀνδραποδίζεσθαι, [P. 70] μηδὲ φονεύειν ἔξω τῆς πολεμικῆς παρατάξεως· μηδένα. Καὶ εἰ μὴ φθάσαν τὸ τῆς ἑσπέρας σκότος τὸν τῶν διωκόντων πολεμίων ἀνεκαίτισε δρόμον, τάχ' ἂν ἐς μείζω τῶν εἰρημένων τὰ δεινὰ τοῖς φεύγουσιν ἀπήντα τὸ πέρας· ἀλλὰ τῆς ἑσπέρας καταλαβούσης, οἱ μὲν πολέμιοι μετὰ τοῦ σεβαστοκράτορος ἀνεχώρησαν εἰς τοὔπίσω τῇ παραλόγῳ νίκῃ γαυρούμενοι· οἱ δὲ τὸν κίνδυνον διαφυγόντες Ῥωμαῖοι σύνδυο καὶ σύντρεις καὶ πλείους ἐπὶ πλείοσι περὶ τὸν δεσπότην Ἰωάννην ἠθροίζοντο, τῇ λύπῃ συγχεχυμένον ἐπὶ τῇ

VII. Hac tam insperata clade Romanis oblata, cujus causa fuere Comanorum commilitonum sacrilegia in iis locis commissa, oppidani statim patefactis portis universi erumpentes ad Joannem sebastocratorem et ad socios conveniunt. Cum quibus quantum opus erat collocuti, partim ibi jubentur manere ad colligendum Romana tabernacula, equos, impedimenta quælibet et omnigenas divitias, quas Romani sive ipsimet secum domo attulissent, sive e **116** præda coegissent: partim tergis Romanorum inhærent palantium ac dispersorum; ac si qui resistant, eos occidunt: qui vero comprehensi se non defendant, eos etiam interula exuta, nec relicta ulla veste præter femoralia, dimittunt. Institutum enim hoc a majoribus constanter ad posteros propagatum servatumque fuit, non modo a Romanis et Thessalis, sed Illyriis etiam, et Triballis et Bulgaris, propter religionis communionem, spolia tantum auferenda: homines vero nec ad servitutem rapiendos, nec extra aciem occidendos esse. Ac nisi vespertinæ tenebræ offusæ hostium persequentium cursum inhibuissent, pejus fortasse quam dictum est cum fugientibus actum esset. Sed nocte oborta ipsi quidem hostes cum sebastocratore inopinata victoria elati retro abierunt. Qui vero periculum evaserant Romani, bini ac terni, et subinde plures ad despotam Joannem confluebant, tristem et confusum ob improvisum illum et infaustum eventum. Hoc miserabili habitu ad vicina Demetriadi loca pervenerunt. Urbs ea quondam Sicyon dicta, post a Demetrio Poliorcete occupata, nomen ejus assumpsit. Fuit autem hic unius ex Alexandri

Variorum notæ.

(35) Trecentos duntaxat equites fuisse scribit Pachymer. d. cap. 31. DUCANG.

(36) Guilelmum Villiha duinum, de quo supra. DUCANG.

(37) Nescio an istius moris alius scriptor meminerit. DUCANG.

successoribus filius, nempe Antigoni, cui Asia cis Euphratem parnit.

παραδόξῳ ταύτῃ διαμαρτίᾳ. Οὕτω δ' ἔχοντες δυστυχῶς καταντῶσιν ἐς τὰ πλησίον τῆς Δημητριάδος χωρία. Πόλις δὲ αὕτη Σικυὼν μὲν πρότερον ἐπικεκλημένη, ὕστερον δὲ τὴν ἐπωνυμίαν πρὸς τὸν κτησάμενον μετενεγκοῦσα, Δημήτριον δηλαδὴ τὸν Πολιορκητήν, ὃς ἐτύγχανε παῖς τῶν Ἀλεξάνδρου διαδόχων ἑνὸς Ἀντιγόνου, τοῦ τῆς Ἀσίας κατάρξαντος, ὁπόσην ὁ ποταμὸς Εὐφράτης ἔνδον ὁρίζει.

CAPUT X.

De sinu Pelasgico. Imperatoria classis insulas a Latinis occupatas vexat. Cretensium et Eubœensium classis. Naves Romanas in sinu Pelasgico stantes pene opprimit. Prælium navale. Navium moles, forma, apparatus. Philanthropenus Romanæ classis præfectus suos adhortatur. Pugnæ exitus. Romani fugiunt. Joannes despotes recens a terrestri clade pugnam instaurat. Hostes in fugam vertit. Insignia despotica cur nunquam deinceps gestaverit.

117 I. Enimvero vix ex hac mœstitia recreatis ad aliud malum priore haud minus nuntiatur, quod jam narrabo. Sinus est, quem Pelasgicum vocant, in mediterranea longissime excurrens, Ossamque et Pelium versus septentrionem relinquens. Sunt autem ii montes altissimi. Hujus sinus extremitatem urbs Demetrii supra dicta attingit. Imperatoria vero classis insulas quæ a Latinis occupabantur præter et circum navigando infestabat. Id malum intolerabile Latinis erat, iis præsertim qui Cretam incolebant, nec minus Eubœam tenentibus. Igitur inita concordia classem instruunt, non ut adversus imperatoriam classem apertum bellum susciperent (quod perinde esset ac si in cœlum jacularentur), sed ut navalibus imperatoris copiis ingruentibus, sua promontoria custodirent, seseque defenderent, simul et terra et mari pugnam cientes.

Α'. Ἀλλὰ γὰρ (38) οὔπω τελέως τῆς ἀθυμίας ἀναλαβεῖν ἑαυτοὺς ἠδυνήθησαν ταυτησί, καὶ δεύτερον ἀγγέλλεται τούτοις δεινὸν καὶ τοῦ προλαβόντος οὐκ ἐλαττόν, ὃ δὴ καὶ λέξων ἔρχομαι. Κόλπος ἐστὶ Πελασγικὸς οὑτωσί πως καλούμενος, ἐπὶ πλεῖστον τῆς μεσογείου παρεξιὼν καὶ πρὸς ἄρκτους ἀφιεὶς Β τὴν Ὄσσαν τε καὶ τὸ Πήλιον. Ὄρη δὲ ταῦτα πρὸς ὕψος τὰς κορυφὰς ἀναπέμποντα μέγιστον. Τοῦ δὴ τοιούτου κόλπου κατὰ τὸ ἀκρότατον καὶ ἡ προειρημένη παραψαύει πόλις τοῦ Δημητρίου. Ὁ δὲ βασιλικὸς στόλος τὰς ὑπὸ τῶν Λατίνων κατεχομένας νήσους παραπλέων καὶ περιπλέων κακῶς διετίθει· καὶ ἦν τοῦτο δεινὸν τοῖς Λατίνοις ἀφόρητον· πάντων δὲ μάλιστα τοῖς ὅσοι τὴν Κρήτην οἰκοῦσι καὶ πρός γε δὴ τοῖς ὅσοι τὴν Εὔβοιαν· οἳ δὴ καὶ συνθέμενοι ναυτικὸν ἐξαρτύουσιν, οὐχ ἵνα φανερὸν ἐγείρωσι πόλεμον κατὰ τοῦ βασιλικοῦ στόλου (τοῦτο γὰρ ὅμοιον τούτοις ἐδόκει, ὥσπερ ἂν εἰ εἰς οὐρανὸν ἐπεχείρουν τοξεύειν), ἀλλ' ἵν' ἐπιούσης τῆς ναυτικῆς τοῦ βασιλέως δυνάμεως, τὰς ἑαυτῶν παραφυλάττωσιν ἄκρας καὶ ἀντέχωσιν ἀπὸ γῆς ὁμοῦ καὶ θαλάττης μαχόμενοι.

II. Contigit autem, ut sub hoc tempus imperatoriæ triremes amplius quinquaginta sinum hunc ingressæ velut in tuto portu considerent. Ac Cretenses et Euboei pridem occasionem captantes et illis insidiantes, tempus ad invadendum illas opportunius aliud sibi dari non posse putaverunt. Itaque triremibus et quadriremibus suis quam celerrime instructis, quæ paulo plures triginta erant, et ligneis turribus in plerisque ad proram exstructis, cursum accelerant: ut priusquam imperatorii ipsorum **118** accessum animadverterent, ipsi naves occuparent, et ex navalibus detraherent vacuas vectoribus, qui interim securi et incauti in terra versarentur. Quæ res, nisi Dominus præter exspectationem opem Romanis attulisset, hostibus e sententia successisset. Nam Romani adventum Cretensium et Eubœorum senserunt, sed angustiæ temporis eos ita ut oportebat armari non siverunt. Tamen solutis anchoris festinanter et ut se habebant in altum provehuntur: et magnam utrique alacritatem præ se ferunt, minus quindecim stadiis a littore distantes.

Β'. Συνέβη γοῦν κατὰ τοῦτον τὸν χρόνον καὶ τὰς βασιλικὰς τριήρεις ὑπὲρ τὰς πεντήκοντα οὔσας ἐν τῷδε τῷ κόλπῳ τὸν εἰσπλοῦν ποιησαμένας ὡς ἐπ' ἀσφαλοῦς ἐνορμίσασθαι. Οἱ δὲ Κρῆτες καὶ Εὐβοεῖς πάλαι καιροφυλακοῦντες [P. 71] καὶ ναυλοχοῦντες αὐτάς, οὐχ ἕτερον τούτου βελτίονα ἐς τὸ ἐπιθέσθαι αὐταῖς ἐνόμισαν ἔχειν καιρόν. Καὶ δὴ τὴν ταχίστην συσκευασάμενοι τὰς τριήρεις καὶ τετρήρεις αὐτῶν μικρὸν ὑπὲρ τὰς τριάκοντα οὔσας καὶ πύργους ξυλίνους ταῖς πρώραις τῶν πλειόνων ἐπιστήσαντες ταχυναυτοῦσιν· ὡς ἂν πρὶν αἰσθέσθαι τοὺς βασιλικοὺς τὸν τούτων ἐπίπλουν, αὐτοὶ προκαταλαβόντες ἐκ τοῦ ναυστάθμου κενὰς τῶν ἐπιβατῶν τὰς ναῦς ἐφελκύσωνται, ἔξω περὶ τὴν γῆν ἀπεριμερίμνως τηνικαῦτα διατριβόντων αὐτῶν. Ὃ δὴ καὶ, εἰ μὴ Κύριος ἀπροσδόκητον χεῖρα παρεῖχε Ῥωμαίοις, κατὰ τὴν τῶν ἐχθρῶν ἂν ἐς τέλος συνεπεπτώκει βούλησιν. Ἤρθοντο μὲν γὰρ καὶ Ῥωμαῖοι τὸν τῶν Κρητῶν καὶ Εὐβοέων ἐπίπλουν· ἀλλὰ στενὸς τυγχάνων ὁ καιρὸς χώραν ὁπλίσασθαι, ὡς ἐχρῆν, οὐκ ἐδίδου. Ἅραντες δ' ὅμως ἐκ τῆς γῆς κατὰ σπουδὴν ὡς εἶχον ἀνήχθησαν· καὶ γίνεται προθυμία πολλὴ παρ' ἀμφοτέρων τῶν μερῶν, πεντεκαίδεκα σταδίων οὐκ ἔλαττον ἀπεχόντων τῆς γῆς.

III. Ac hostiles quidem naves mole et pondere præstabant, tam ob magnitudinem, quam ob arma-

Γ'. Αἱ μέντοι πολέμιαι νῆες ὄγκον εἶχον καὶ βάρος ὑπὸ μεγέθους καὶ ὁπλίσεως καινοτέρας καὶ ὥσπερ

Variorum notæ.

(38) Rem attigit Pachymer. lib. IV, cap. 32; ut et Phranzes, lib. I, cap. 6. DUCANG.

πόλεις ἐπὶ θαλάττης κινούμεναι σχολαιότερον παρετάσσοντο. Αἱ δὲ Ῥωμαΐκαὶ τοσοῦτον ἠλαττοῦντο μεγέθει τῶν πολεμίων, ὅσον πλήθει τὰς τῶν πολεμίων ὑπερεῖχον· εὔστροφοι δ' ἦσαν ἄλλως καὶ ταχεῖαι πρὸς κύκλωσιν, ἀλλ' οὐκ ἀντίρροπον ἔχουσαι τὴν παρασκευὴν τῆς ὁπλίσεως. Ὅμως ἀντιπαρετάσσοντο καὶ αὗται, οὐ τοσοῦτον πρὸς ναυμαχίαν, εἰπεῖν, ὅσον πρὸς τειχομαχίαν. Τείχεσι γὰρ ἐῴκεσαν αἱ τῶν πολεμίων πρῷραι σοβαρῶς ἐστεφανωμένοις ὁπλίταις ἀκμαιοτάτοις. Ὁ μὲν οὖν ἀρχηγὸς τοῦ ναυτικοῦ Ῥωμαίων, ὁ Φιλανθρωπηνός, ἐπὶ τῆς ναυαρχίδος ὢν περιῆει παραθαρρύνων πρὸς πόλεμον τοὺς ὁπλίτας, ποτὲ μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως γινόμενος, ποτὲ δ' ἐπὶ τοῦ εὐωνύμου· κατὰ στόμα μὲν δὴ ταῖς τῶν πολεμίων πρῴραις ἐμβάλλειν αἱ Ῥωμαΐκαὶ νῆες οὐκ εἶχον, τῶν πολεμίων ὥσπερ ἐκ γῆς στερεᾶς ἀφ' ὑψηλοῦ λίθους μεγάλους καὶ συχνοὺς βαλλόντων ἐπ' αὐτούς, καὶ ὅσα ἄλλα πρὸς ἄφεσιν ἄνωθεν ἐπιτήδεια, καὶ μάλα κακῶς διατιθεμένων αὐτούς. Ὅθεν παρὰ πλευρὰν ἐπιοῦσαι τὰς ἐμβολὰς καθόσον ἐξῆν ἐποιοῦντο. Τὸ μὲν οὖν εὐώνυμον κέρας τῶν πολεμίων ἐπόνει πληττόμενον, ἔωθεν τοῦ ἡλίου τὰς ὄψεις συγχέοντος σφῶν· τὸ δὲ δεξιὸν κραταιότερον ταῖς Ῥωμαΐκαῖς ναυσὶν ἐγκείμενον, ἐνίκα λαμπρῶς καὶ δεινῶς ἐτραυμάτιζε τοὺς Ῥωμαίων ὁπλίτας τε καὶ ἐρέτας· ὡς ἀπογινώσκοντας ἤδη τούτους διεκπίπτειν καὶ παρὰ τὴν γῆν τρεπομένους ἐξιέναι, κενὰς ἐπὶ τῆς ψάμμου τὰς ναῦς ἀφιέντας. Καὶ εἰ μὴ ὁ τοῖς ἀπόροις εὐπορίαν διδοὺς καὶ τοῖς ἀνελπίστοις ἐλπίδα Θεὸς ἀπροσδόκητον τότε καὶ Ῥωμαίοις ἐχαρίζετο χεῖρα, [P. 72] τάχ' ἂν ἐς ἅβην εἰπεῖν τὰ Ῥωμαίων τότε ξυνωθεῖτο πράγματα ὑπὸ μεγάλοις ἅμα περιπεπτωκότα πταίσμασιν.

Δ'. Ἀλλὰ θαυμάσειεν ἂν τις τὴν ἀνεξερεύνητον πρόνοιαν τοῦ Θεοῦ, πῶς τὸ παράδοξον τῆς ἠπείρου σφάλμα παραδοξοτέραν τῇ θαλάττῃ τὴν ἀσφάλειαν ἐπορίσατο. Ὁ γὰρ τοῦ βασιλέως αὐτάδελφος Ἰωάννης ὁ δεσπότης μετὰ τῶν ἐκ τοῦ ἠπειρωτικοῦ ἐκείνου πολέμου διασωθέντων (39) ἐγγυστά που ποιούμενος τὰς διατριβὰς ἤσθετο γινομένης τῆς ναυμαχίας ἐκείνης καὶ διακωδωνιζομένης ἤδη τῆς φήμης ἄχρι τῆς μεσογείου, καὶ παρελθὼν ἐς τὴν παραλίαν τοῦ κόλπου ὁρᾷ θέαμα ἐλεεινὸν, κινδυνεύουσαν ἤδη καὶ τὴν ναυτικὴν τῶν Ῥωμαίων δύναμιν· καὶ αὐτίκα τοῦ ἵππου ἀποπηδήσας μετὰ πολλῶν τῶν δακρύων ῥίπτει τὰ τῆς δεσποτικῆς ἀξίας σύμβολα, « Γυμνὸς, » λέγων, « ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι σήμερον. » Εἶτα κατὰ κεφαλῆς ἐπάσατο κόνιν, καὶ βύθιόν τι στενάξας ἐβόα πρὸς Κύριον, ὀξέως ἐκεῖθεν ἐπικαλούμενος τὴν βοήθειαν· μὴ καὶ ταύτῃ ἐπὶ νεαρᾷ τῇ προτέρᾳ τῆς ἥττης ἐπεγειρθείσης Ῥωμαίοις, ἐς τέλος ἀνατετράφθαι καὶ ἀπολωλέναι τὰ Ῥωμαίων γένοιτο πράγματα. Καὶ μὲν δὴ σύμμαχον ἑαυτῷ θαρρήσας ἔσεσθαι τὸν Θεὸν ἔργου εἶχετο· καὶ τοὺς δοκιμωτάτους ἐκ πεζῶν ὁπλίτας ἐπιλεξάμενος, πᾶσαν ἐπιμέλειαν ἐπὶ ναυσὶν ἐποιεῖτο. Καὶ ἐπεὶ τὸ πλῆθος τῶν πολεμίων ἐπὶ πολὺ ἐκράτει, τοξότας τε καὶ σφενδονήτας καὶ ὅσα ἄλλα πρὸς ἄφεσιν ἐπιτήδεια, ἐπὶ τὰς ναῦς ἐπιλεξάμενος, ἐπὶ τὰ πρῴρια τῶν νεῶν ἐπιβαίνειν ἐκέλευε, καὶ ἐκεῖθεν ἐπὶ τοὺς πολεμίους ἐκπηδᾶν· καὶ ἐπὶ τὰς ναῦς ἐπανιέναι, ἐπειδὰν ἐκ τοῦ παρόντος ἔργου γένοιτο. Καὶ ἐπεὶ τὸ μὲν εὐώνυμον κέρας τῶν πολεμίων ἐπόνει πληττόμενον, ἔωθεν τοῦ ἡλίου τὰς ὄψεις συγχέοντος σφῶν· τὸ δὲ δεξιὸν κραταιότερον ταῖς Ῥωμαΐκαῖς ναυσὶν ἐγκείμενον, ἐνίκα λαμπρῶς καὶ δεινῶς ἐτραυμάτιζε τοὺς Ῥωμαίων ὁπλίτας τε καὶ ἐρέτας· ὡς ἀπογινώσκοντας ἤδη τούτους διεκπίπτειν καὶ παρὰ τὴν γῆν τρεπομένους ἐξιέναι, κενὰς ἐπὶ τῆς ψάμμου τὰς ναῦς ἀφιέντας. Καὶ εἰ μὴ ὁ τοῖς ἀπόροις εὐπορίαν διδοὺς καὶ τοῖς ἀνελπίστοις ἐλπίδα Θεὸς ἀπροσδόκητον τότε καὶ Ῥωμαίοις ἐχαρίζετο χεῖρα, [P. 72] τάχ' ἂν ἐς ἅβην εἰπεῖν τὰ Ῥωμαίων τότε ξυνωθεῖτο πράγματα ὑπὸ μεγάλοις ἅμα περιπεπτωκότα πταίσμασιν.

Δ'. Ἀλλὰ θαυμάσειεν ἂν τις τὴν ἀνεξερεύνητον πρόνοιαν τοῦ Θεοῦ, πῶς τὸ παράδοξον τῆς ἠπείρου σφάλμα παραδοξοτέραν τῇ θαλάττῃ τὴν ἀσφάλειαν ἐπορίσατο. Ὁ γὰρ τοῦ βασιλέως αὐτάδελφος Ἰωάννης ὁ δεσπότης μετὰ τῶν ἐκ τοῦ ἠπειρωτικοῦ ἐκείνου πολέμου διασωθέντων (39) ἐγγυστά που ποιούμενος τὰς διατριβὰς ἤσθετο γινομένης τῆς ναυμαχίας ἐκείνης καὶ διακωδωνιζομένης ἤδη τῆς φήμης ἄχρι τῆς μεσογείου, καὶ παρελθὼν ἐς τὴν παραλίαν τοῦ κόλπου ὁρᾷ θέαμα ἐλεεινὸν, κινδυνεύουσαν ἤδη καὶ τὴν ναυτικὴν τῶν Ῥωμαίων δύναμιν· καὶ αὐτίκα τοῦ ἵππου ἀποπηδήσας μετὰ πολλῶν τῶν δακρύων ῥίπτει τὰ τῆς δεσποτικῆς ἀξίας σύμβολα, « Γυμνὸς, » λέγων, « ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι σήμερον. » Εἶτα κατὰ κεφαλῆς ἐπάσατο κόνιν, καὶ βύθιόν τι στενάξας ἐβόα πρὸς Κύριον, ὀξέως ἐκεῖθεν ἐπικαλούμενος τὴν βοήθειαν· μὴ καὶ ταύτῃ ἐπὶ νεαρᾷ τῇ προτέρᾳ τῆς ἥττης ἐπεγειρθείσης Ῥωμαίοις, ἐς τέλος ἀνατετράφθαι καὶ ἀπολωλέναι τὰ Ῥωμαίων γένοιτο πράγματα. Καὶ μὲν δὴ σύμμαχον ἑαυτῷ θαρρήσας ἔσεσθαι τὸν Θεὸν ἔργου εἶχετο· καὶ τοὺς δοκιμω-

A turam novam, et urbium instar per mare ambulantium, tarde ad pugnam sese præparabant. Romanæ vero tantum magnitudine inferioses erant hostilibus, quantum numero superiores; alioqui sane celeres et agiles ad hostem circumveniendum, sed paribus armis haudquaquam instructæ. Tamen et ipsæ contra in aciem producebantur, non tam cum navibus quam cum mœnibus pugnaturæ. Nam proræ hostium similes mœnibus erant, militum robustissimorum corona cum fastu circumdatis. Porro classis Romanæ prætectus Philanthropenus prætoria nave circumvectus milites suos confirmabat, et nunc in dextro, nunc in sinistro eorum versabatur. Romanæ autem **119** naves in adversas hostium proras impetum facere non poterant, hostibus velut e stabili solo magna saxa continenter in eos ex edtiore loco jaculantibus, et alia quæ deorsum commode mittuntur, pessimeque eos accipientibus. Quare ad latus euntes impressionem quatenus dabatur faciebant. Ac sinistrum hostium cornu impulsum laborabat, matutino sole oculos eorum confundente. Dextrum vero naves Romanas violentius premens aperte vincebat, gravitérque et milites et remiges vulnerabat, ut jam ii rebus desperatis sese proriperent, et fusi fugatique in terram evaderent, navibus vacuis in arena derelictis. Itaque nisi is qui res impeditas expedit, et desperatis spe bona præducet Deus, tum quoque Romanis insperantibus opem tulisset, fortasse is ultimus fuisset rei Romanæ interitus, duabus simul cladibus magnis oppressæ.

B

C

IV. Sed merito aliquis admiretur inscrutabilem Dei providentiam, qua effectum est ut clades terrestris inopinata salutem classi afferret magis inopinatam. Nam imperatoris frater Joannes despotes, qui in proximo cum iis qui cladem terrestrem evaserant versabatur, pugnam illam navalem conseri animadvertit; cujus fama in mediterraneum ejus jam vagata pererebuerat. Itaque ad illius sinus oram progressus miserabile spectaculum videt, navales Romanorum vires ipsas quoque in periculum adductas; ac statim ex equo desiliens despotica insignia **120** cum multis lacrymis abjecit; ac, «Nudus, inquit, ex utero materno sum egressus, nudus etiam hodie discedam.» Tum caput pulvere conspersit, et ab imo suspirans clamavit ad Dominum, subitum ab eo auxilium implorans, ne post recentem cladem altera hac illata Romanum imperium funditus periret atque everteretur. Deinde futurum sibi adjutorem Deum confisus rem aggreditur: milites probatissimos, ex pedestribus copiis delectos, omni diligentia navibus imponit; item sagittarios, funditores et quidquid ferentariorum

D

Variorum notæ.

(39) *Qui cladem terrestrem evaserant.* Ita vertendum, non ut Wolfius, *qui cladem Epiroticam evas.* Bonn.

erat alios super alios crebro submittit; vulneratos subinde recipit, et iis vicissim alios recentes ac vegetos substituit, et hos quidem ipsos maximam partem lapidibus adversus hostem armatos. Quod cum ad vesperam usque faceret, victoriam de hostibus reportat; quorum omnes naves a Romanis captæ sunt, duabus exceptis, quæ fuga evaserunt. Proinde omnis exercitus laudes Deo cecinit gratiasque persolvit, salutem et victoriam præter spem iis largito. Cæterum frater imperatoris Joannes, despoticæ dignitatis insignibus omnibus depositis, ut diximus, sic Byzantium sine ornamentis rediit, eoque habitu reliquum vitæ exegit

τέρους τῶν ὁπλιτῶν τῇ πεζικῇ αὐτοῦ δυνάμεως ἀπολεξόμενος, ὅλαις σπουδαῖς ἐνεβίβαζεν εἰς τὰς ναῦς, καὶ ἅμα ἄλλους ἐπ' ἄλλοις συχνοὺς τοξότας καὶ σφενδονήτας καὶ ὅσοι ἀκοντισταί· καὶ ἀεὶ τοὺς τραυματίας ἀναλαμβάνων ἄλλους ἀμοιβαδὸν εἰσῆγε νεαροὺς καὶ ἀκμάζοντας, χερραδίοις καὶ τούτων τοὺς πλείστους κατὰ τῶν ἐναντίων χρωμένους. Καὶ οὕτω μέχρι δείλης ὀψίας ποιῶν τρόπαιον ἵστησι κατὰ τῶν πολεμίων· καὶ πλὴν δυοῖν φυγῇ χρησαμένων πᾶσαι τῶν πολεμίων αἱ νῆες Ῥωμαίοις ἐάλωσαν. Ὕμνοι τοιγαροῦν εὐχαριστήριοι παρὰ παντὸς ἀνίγοντο τοῦ στρατοῦ πρὸς Θεὸν, παραδόξως αὐτοῖς χαρισάμενον τήν τε σωτηρίαν ὁμοῦ καὶ τὴν νίκην.

Ὁ δὲ τοῦ βασιλέως αὐτάδελφος (40) Ἰωάννης τὰ τῆς δεσποτικῆς ἀξίας ἅπαντα ἀποθέμενος, ὡς εἰρήκαμεν σύμβολα, οὕτως ἐς τὸ Βυζάντιον ἦκεν ἀξύμβολος, ἐπὶ τοῦδε τοῦ σχήματος τὸ λεῖπον παραλλάξας τοῦ βίου.

Variorum notæ.

(40) Pachymer. lib. IV, cap. 32; lib. V, cap. 1. DUCANG.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ
ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
ΛΟΓΟΣ Ε'.

NICEPHORI GREGORÆ
BYZANTINÆ HISTORIÆ
LIBER QUINTUS.

CAPUT PRIMUM.

Tædus a Balduino initum cum Carolo Italiæ rege. Pactum de Constantinopoli recuperanda. Caroli ambitio, prudentia, bellicæ virtutes. Quid illum impulerit ad bellum Palæologo inferendum. Belli apparatus. Copiæ terrestres Classis. Palæologus Byzantium munit. Siciliæ regem et Venetos in Carolum concitat. Artaxerxæ stratagema. Carolus inceptо non desistit. Palæologus legatos ad papam mittit: per quos de avertendo Carolo et de Ecclesiarum concordia agit.

123 I. Cæterum ut ordine progrediatur oratio et historiæ contextus ignoratione rerum, quas præcognitas esse oportet, non interrumpatur, quædam paulo altius repetenda sunt. Supra diximus Balduinum, Constantinopolitanis periculis elapsum, venisse in Italiam, ibique socium sibi adjunxisse regem Carolum, atque ejus filiam suo filio despondisse: ac dotis compensandæ causa daturum se ei promisisse quam perdidisset Constantinopolin, si illius opibus in bello adjuvaretur.

II. Ille igitur, cum hoc promissum velut semen quoddam animo concepisset, nihil jam exiguum de

B [P. 73] Α'. Ἀλλ' ἐπανιτέον (41) τὸν λόγον μικρὸν, ἵνα καθ' εἰρμὸν ὁ λόγος ὁδεύῃ καὶ μὴ τὸ συνεχὲς τῆς ἱστορίας διακόπτηται δι' ἄγνοιαν ὧν προεγνῶσθαι χρεών. Ἔφθημεν εἰρηκότες τὸν Βαλδουῖνον τοὺς τῆς Κωνσταντινουπόλεως διαδράντα κινδύνους ἐς Ἰταλίαν ἀφικέσθαι κἀκεῖσε τῷ ῥηγὶ τῆς Ἰταλίας Καρούλῳ συστάντα τῷ ἑαυτοῦ παιδὶ (42) τὴν ἐκείνου ἀγαγέσθαι θυγατέρα (43) ὑποσχέσθαι τε δοῦναι ἀντὶ προικὸς ἣν ἀπώλεσε Κωνσταντινούπολιν, εἰ συμμαχήσειε κἀκεῖνος αὐτῷ.

Β'. Ἐκεῖνος τοίνυν τὸν τῆς ὑποσχέσεως λόγον ἐν καρδίᾳ σπέρματος δίκην δεξάμενος οὐδὲν ἔτι μικρὸν

Variorum notæ.

(41) Pachymer. lib. V, cap. 8, 10. DUCANG.
(42) Philippo. DUCANG.
(43) Beatricem. DUCANG.

Ὁπενόει περὶ τῶν ὅλων· ἀλλὰ τὴν ὅλην, ὡς εἰπεῖν, Ἰουλίου Καίσαρος καὶ Αὐγούστου μοναρχίαν ὠνειροπόλει, Κωνσταντινουπόλεως εἰ γένοιτο ἐγκρατής. Δεινὸς γὰρ ἦν ὁ ἀνὴρ (44) οὐ μόνον σκέψασθαι τὰ δέοντα, ἀλλὰ καὶ ῥᾷστα τελεσιουργὸν τὴν σκέψιν ἐν τοῖς ἔργοις ἐνδείξασθαι· καὶ ἁπλῶς εἰπεῖν, δυνάμει φύσεως καὶ κράτει συνέσεως μακρῷ τῷ μέτρῳ πάντας ἐνίκα τοὺς πρὸ αὐτοῦ. Διὸ καὶ τὴν τῶν εἰρημένων μελέτην ἐγκυμονήσας εἰς πέρας ἄξιον ἐθάρρησε χρόνου βραχέος ἐπὶ τῶν ἔργων αὐτήν. Ἐνῆγε δ' αὐτὸν εἰς τὴν τοιαύτην ἐγχείρησιν τό τε τῆς Κωνσταντινουπόλεως ἀσθενὲς πολλαχόθεν διεσπασμένης καὶ διερρηγμένης καὶ πολλοῦ δεσμένης χρόνου πρὸς ἀνοικισμὸν καὶ στηριγμὸν τῶν διερρωγότων, ἥ τε τοῦ βασιλέως περὶ τὰς τῶν καινοτέρων εὑρέσεων ἐπινοίας δεινότης, καὶ ἡ σφοδροτάτη περὶ τὰς πράξεις ὀξύτης· ἃ δὴ καὶ σφόδρα ἐκεῖνον ἐλύπει καὶ τοὺς ἐκείνου λογισμοὺς περιέθραυε καὶ πρὸς μεγάλους ἐνέβαλλε φόβους. Δι' αὐτό γέ τοι τοῦτο καὶ ἔσπευδε καθελεῖν αὐτήν, πρὶν ἂν μείζω τῆς οὔσης κτησάμενος αὐτὸς δύναμιν κατὰ γῆν τε καὶ θάλατταν εἰς τὰς ἐσχάτας ἐκείνον περιστάσεις ἐλάσῃ.

[P.74] Γ. Καὶ πρῶτον μὲν ἔγνω στρατὸν ἱκανὸν ἀθροίσας κελεῦσαι διαβάντα τὸν Ἰόνιον ἐμβαλεῖν ἐς τὴν Ῥωμαίων καὶ μὴ πρότερον στῆναι βουλουμένους τὰ ἐν ποσὶν ἅπαντα, πρὶν καὶ αὐτὴν παραστήσασθαι τὴν βασιλεύουσαν· ἔπειτα μεγάλην διὰ θαλάττης ἐξαρτύσας δύναμιν διχόθεν τῷ βασιλεῖ περιστῆσαι τὸν κίνδυνον. Ἀλλ' ἐψεύσθη τῶν βουλευμάτων δεινοτέρῳ περιτυχὼν στρατηγῷ τῷ βασιλεῖ. Αὐτίκα γὰρ ὁ βασιλεὺς πᾶσαν ἔθετο σπουδὴν προκαταλαβὼν ἀπράκτους τὰς ἐκείνου βουλὰς ἀποφῆναι. Διὸ καὶ ἠσφαλίζετο καὶ περιέφραττε πανταχόθεν τὴν βασιλεύουσαν πόλιν, καὶ τεῖχος ὀχυρὸν τῶν παραλίων τειχῶν ἐξέπλωσεν ἔνδοθεν. Οὐ μόνον δὲ, ἀλλὰ καὶ πάμπολλα καὶ διάφορα χρήματα πέμπων ἐξεπολέμου κατ' ἐκείνου τοὺς πέριξ ἐκείνου ῥῆγας, τόν τε τῆς Σικελίας κρατοῦντα καὶ αὐτὸν τῆς Βενετίας, τὸν παλαιὸν μιμησάμενος Ἀρταξέρξην ἐκεῖνον, ὃς τὴν Ἀγησιλάου τοῦ Σπαρτιάτου δείσας ὁρμὴν, χρήματα πέμψας συχνὰ, τόν τε Θηβαῖον Ἐπαμεινώνδαν καὶ Πελοπίδαν, καὶ ὅσοι τῆς Ἑλλάδος προὔχοντες ἦσαν, ἐξεπολέμωσε κατ' αὐτοῦ· καὶ πρὶν ἀνήκεστόν τι παθεῖν παρ' ἐκείνου, ἀνήκεστα παθεῖν ἐκεῖνον φθάσας ἐπεπράχει σοφαῖς ἐπινοίαις.

Δ. Ὁ μὲν οὖν Κάρουλος οὕτω καταστρατηγούμενος ὑπὸ τοῦ βασιλέως, καὶ τοιούτοις αὐτοῦ τοῖς ἀκροβολισμοῖς ἀποκρουόμενος, ἔῤῥωτο ὅμως ἦν οὐκ ἠρεμήσων ἔτι, τῇ τε τοῦ οἰκείου στρατοῦ δυνάμει βοῤῥῶν καὶ τῶν χρημάτων τῷ πλήθει. Ὅθεν ἀνάγκαι, τοιαύταις συνεξευγμένος ὁ βασιλεύς, πρὸς ἀπόγνωσιν ἐλαυνούσαις, διαπρεσβεύεται ἤδη καὶ πρὸς τὸν πάπαν (45) περὶ τῆς τῶν Ἐκκλησιῶν ὁμονοίας τε καὶ

A summa rerum agitabat, sed totam Julii Cæsaris et Augusti monarchiam somniabat, si Constantinopoli potiretur. Erat enim vir ejusmodi, ut non solum quæ opus essent deliberando provideret, sed etiam deliberata strenue exsequeretur. Et ut paucis dicam, naturæ excellentia et solertis ingenii vi majores suos longe superabat. Quare ea quæ diximus cum animo parturiret, brevi perducturum se ad exitum sperabat. Ad eam porro expeditionem suscipiendam eum excitabat cum ipsius Constantinopolis passim divulsæ et ruinis abruptæ infirmitas, quæ multum temporis ad instaurationem et confirmationem postularet, tum imperatoris in rebus novis excogitandis solertia et summa in negotiis conficiendis celeritas. Quæ sane permolesta illi erant, ejusque rationes turbabant, ac magnum illi terrorem
B **124** ineutiebant. Atque ob hæc ipsa eum opprimere festinabat, priusquam is majoribus copiis terra et mari instructus in extremas angustias hunc adduceret.

III. Ac primum statuit justo exercitu comparato et trans mare Jonium misso jubere in Romanos finis impressionem fieri, et ab obviis quibusque subigendis non prius abstiti, quam ipsa imperii sedes ad deditionem compulsa esset: deinde magna classe instructa imperatorem duplici periculo distractum circumvenire. Sed spe sua frustratus est, cum imperator eo solertior dux exstitisset. Namque hic statim summa celeritate illius conatus prævertere et irritos reddere studuit, imperatricemque urbem præsidiis et structuris ab omni parte munit, firmumque murum intra maritima mœnia extendit. Nec his contentus magna pecunia finitimos reges, nempe Siciliæ principem, et illum etiam qui apud Venetos imperabat, ad bellum illi faciendum concitavit: Artaxerxem illum veterem imitatus, qui, Agesilai Spartani impetum reformidans, magna pecuniæ vi transmissa Thebanum Epaminondam, Pelopidam cæterosque Græciæ primores ad bellum ei inferendum impulit: prudentique consilio cavit, ut priusquam insignem ab eo cladem acciperet, cum illo pessime ageretur.
D

IV. Cæterum quamvis Carolus imperatoris artibus ita eluderetur, ac per istas quasi velitationes
125 repelleretur, tamen palam erat eum non esse quieturum, tum viribus exercitus sui, tum pecuniæ copia fretum. Proinde tot difficultatibus circumventus imperator ac pene ad desperationem compulsus legatos ad papam mittit, acturos de Ecclesiarum concordia et communione, nempe ve-

Variorum notæ.

(44) Infra cap. 6, ait fuisse ἄνδρα μεγαλουργὸν, καὶ βελτίστῃ δυνάμει συνέσεως χρωμένων ἐς τὰ τὰς ἐπινοίας καὶ τὰ βουλεύματα ὧν ἐμέλλε δρᾶν, ἐς τε αὐτὰ δὴ τὰ δρώμενα. Pachymer. lib. I, cap. 32, ἄνδρα σοβαρὸν καὶ ὑπὲρ τὰ μέτρα φρονοῦντα. Idem lib. III, cap. 8, εὑρὼν δραστήριον ἄνδρα ἀδελφὸν Ῥηγὸς τῶν Φραντζίσκων, καὶ εἰς Κόντους τεταγμένον τὸν Κάρουλον. Ducang.

(45) Imo Pachymeres, lib. V, cap. 9, ait Michaelem ad hanc ineundam Ecclesiarum concordiam sol-

teris et novæ Romæ, modo ille Caroli expeditionem averteret.

ἐνώσεως, τῆς τε παλαιᾶς Ῥώμης δηλαδὴ καὶ τῆς νέας, εἰ μόνον ἐμποδὼν τῇ ἐκστρατείᾳ γένοιτο τοῦ Καρόλου.

CAPUT II.

Palæologi legatio benigne auditur [a Romano Pontifice. Initur concordia. Quibus conditionibus. Josephus patriarcha concordiam improbat. Secedit. Sacerdotes et magistratus non pauci imperatori adversantur. Imperatoris blanda et artificiosa oratio. Ejusdem severitas in contumaces. Paucorum zelus et constantia. Vulgus imperitum passim dispersum. Sectæ duæ. Fanaticorum hariolationes. Vecchi chartophylacis elogium. Concordiam ipse quoque repudiat. Imperatorem et cæteros eruditos facile refellit. Ingenio et eloquentia longe omnibus præstat. In carcerem cum omni fere cognatione conjicitur. Blemmydæ libros, pro Latino dogmate scriptos, accurate legit. Confert cum scriptis SS. Patrum. Sententiam mutat. Creatur patriarcha. Imperatori egregiam operam navat. Quos adjutores habuerit. Liturgia semel cum Latinis celebrata. Ubi. A quibus. Quonam casu.

I. Eam legationem Papa cupide accipit, promtaque se facile quæ imperator petiisset confecturum : statimque suos legatos imperatoris adjungit, qui acciperent et inirent communionem. Venerunt itaque, et communio inita est adjecta lege, cujus tria capita fuerunt. Primum, ut inter sacras hymnodias papa, cum aliis quatuor patriarchis in diptycha relatus, memoraretur. Alterum de appellatione, hoc est, ut liceret cuivis ad veteris Romæ curiam, tanquam ad majus et augustius tribunal, provocare. Tertium, ut primatus in omnibus deferretur. De appendice vero quam ii sacro symbolo novantes adjiciunt, aut de alio quovis argumento, nulla tum contentio incidit, quæ vim faceret ; sed (quod ad eas quidem res attinebat) pacata et tranquilla fuerunt omnia.

[P. 75] Α'. Δέχεται τὴν πρεσβείαν ἀσμένως ὁ πάππας (45'), καὶ ὑπισχνεῖται ῥᾳδίως ἐκτελέσειν ὁπόσα κατὰ βούλησίν ἐστι τῷ βασιλεῖ· καὶ πέμπει μετὰ τῶν βασιλικῶν πρέσβεων εὐθὺς τοὺς δεξομένους καὶ συμβιβάσοντας τὴν κοινωνίαν. Ἦλθον οὖν, καὶ γέγονεν ἡ κοινωνία ἐφ' ὅρῳ τριῶν κεφαλαίων (46)· ἑνὸς μὲν, ἐν ταῖς ἱεραῖς ὑμνῳδίαις τὸν πάππαν εἰς τὰ δίπτυχα μνημονεύεσθαι ὁμοῦ τοῖς ἑτέροις τέτρασι πατριάρχαις· δευτέρου δὲ, τῆς ἐκκλήτου· τοῦτο δέ ἐστιν ἐξεῖναι τῷ βουλομένῳ καθάπερ εἰς μεῖζον καὶ ἐντελέστερον ἀναφέρειν δικαστήριον τὸ τῆς παλαιᾶς Ῥώμης· καὶ τρίτου, τοῦ πρωτεύειν ἐν ἅπασι. Περὶ δὲ τῆς προσθήκης, ἣν ἐκεῖνοι περὶ τὸ ἱερὸν καινοτομοῦσι σύμβολον, ἢ περὶ ἄλλης οἱασοῦν ὑποθέσεως ἀναγκαστικὴ τις ἔρις τέως οὐ συνηνέχθη· ἀλλὰ μακρά τις ἠρεμία καὶ ἄνεσις τὰ μεταξὺ περιέτρεχε πράγματα τούτων γε εἵνεκα.

II. At patriarcha Josephus ejusmodi communione repudiata sede sua cessit volenti cuilibet : nec longe ab urbe digressus se in Archistrategi monasterium ad Bosporum contulit, ubi reliquum **126** ætatis tranquillo et religioso otio exigeret. His peractis palam erat sacerdotum collegium non esse quietarum. Quin et plebem concitabant, et ab imperatoris communione revocabant, martyrii et coronarum athletis destinatarum tempus esse clamitantes; ita ut magnus inde tumultus excitaretur atque in atrocem tempestatem erumperet, et imperator ab externis negotiis abstractus omne suum studium ad res domesticas transferre cogeretur,

Β'. Ὁ γε μὴν πατριάρχης Ἰωσὴφ τὴν τοιαύτην οὐ δεξάμενος κοινωνίαν παραχωρεῖ ταῖς βουλομένοις τῶν θρόνων· αὐτὸς δὲ μικρὸν τῆς βασιλευούσης ἐκχωρήσας φέρων ἑαυτὸν τῇ περὶ τὸν Βόσπορον τοῦ Ἀρχιστρατήγου μονῇ (47) ἐδεδώκει, ἐκεῖ τὸ λειπόμενον τῆς ζωῆς μετ' ἡσυχίας καὶ σχολῆς βιώσων πνευματικῆς. Ἐπὶ τούτοις ὁ ἱερὸς τῆς Ἐκκλησίας σύλλογος αὐτός τε δῆλος ἦν οὐχ ἡρεμήσων· καὶ τὸν μέχρι νῦν ἀνέσεσιν ἀπάγων τῆς κοινωνίας τοῦ βασιλέως, μαρτυρίου λέγων εἶναι καιρὸν καὶ στεφάνων ἀθλητικῶν· ὡς μέγαν ἐντεῦθεν ἐγείρεσθαι θόρυβον καὶ ἐπὶ μέγιστον κορυφοῦσθαι τὰ πράγματα κλύδωνα· καὶ ἀνάγκην εἶναι τῶν ἐξω πραγμάτων

Variorum notæ.

(45') Ascripsimus ad marginem annum Christi 1275. Est autem hæc Possini chronologia, observationum Pachymerian. lib. 5, cap. 6, n. 5. Mauritius David, in animadversionibus chronologicis ad Pachymeris Michaelem, n. 5, Possinum reprehendit, et multis probat eam legationem referendam esse ad annum Christi 1274. Verum abutitur testimonio Pachymeris, cum ait : *Sed nullus de anno ambigendi restat locus, postquam Pachymeres de hac ipsa legatione disserens cap. 17, lib. IV, annum mundi arguit 6782, Ixdict. 2 currente, qui annus respondet anno Christi* 1274. Nam Pachymeres his verbis non indicat tempus missæ legationis, sed secessionis Josephi patriarchæ; quem post missos ad papam legatos secessisse innuit. Quodsi legati primum missi sunt, deinde Josephus secessit, oportet legatos profectos esse vel anno 1273 exeunte, vel 1274 ineunte, cum ibidem dicat Pachymeres Josephum secessisse die 11 mensis Januarii (anni scilicet Chr. 1274). Boivin.

(46) Hic interpretis versionem paulo immutavimus. Is enim ediderat : *Primum ut in sacrorum voluminum hymnodiis papæ cum quatuor patriarchis mentio fieret, alterum ut liceret cuivis Romam veterem, quæ curia major et perfectior esset, appellare. Tertium ut illi principatus in omnibus deferretur.* Vide Pachymer. lib. v, cap. 11; et Phranzem lib. I, cap. 6. Ducang.

(47) Quod quidem monasterium in Anaplo statuit Pachymeres, lib. v, cap. 5 et 9. Ducang.

ἀποσταθέντα τὸν βασιλέα πᾶσαν ἔνδον τὴν σπουδὴν μεταθεῖναι, μείζους τοὺς ἔνδοθεν ἡγούμενον κινδύνους τῶν ἔξωθεν πολεμίων. Ἦσαν [P. 76] γὰρ οὐκ ὀλίγοι καὶ τῶν ἐν τέλει τῆς γνώμης τὰ δόγματα κατὰ τῶν βασιλικῶν προσταγμάτων ὁπλίζοντες μάλα ἑθελονταί· ἐν στενῷ μέντοι (48) καιρῷ καταστὰς ὁ βασιλεὺς οὕτωσὶ ἔγνω δυοῖν θάτερον εἶναι χρεών, τῆς τῶν πραγμάτων βιαίας ἀνάγκης ἕτερον οὐκ ἐπιδεχομένης πέρας ἐν τῷ παρόντι· ἢ γὰρ πάντας αὐτῷ συμφρονεῖν, ἢ πολεμίοις ἴσα τούτοις κεχρῆσθαι.

A intestina pericula bellis externis graviora arbitratus. Erant enim non pauci e magistratibus etiam, qui suam sententiam imperatoriis edictis alacriter opponerent. In eas igitur redactus angustias viam inire statuit duarum alteram, summa necessitate alium exitum non admittente in præsentia : quippe aut omnes sibi assensuros, aut omnes æque hostium loco habendos.

Γ'. Ταῦτ' ἄρα καὶ μειλιχίοις τὰ πρῶτα λόγοις καὶ ἤθεσιν ἱλαροῖς καταδημαγωγεῖν καὶ ὑποποιεῖσθαι τὰς τῶν στασιαζόντων ἐπειρᾶτο γνώμας, οἰκονομίαν εἶναι λέγων τὸ πρᾶγμα καὶ οὐ καινοτομίαν· φρονίμων δ' εἶναι, πρὶν γενέσθαι τὰ δυσχερῆ, προνοεῖσθαι ὅπως μὴ γένηται· κἂν τι δέῃ καινοτομεῖν ὑπὲρ τοῦ μὴ μείζοσι κινδύνοις περιπεσεῖν, μηδὲ τούτου φείδεσθαι. Ἐὰν γὰρ ἐπίωσιν οἱ πολέμιοι, πολλαχῇ τῆς Κωνσταντινουπόλεως ἔτι διερρηγμένης καὶ ἄρτι ἀνοικιζομένης καὶ οἷον εἰπεῖν ἀναβιωσκούσης ἐκ τῶν πρὸ βραχέος θανάτων, χείρονα τῶν προτέρων ἔσται τὰ παρόντα δεινά, καὶ κύριοι κατθεστήξουσιν οἱ πολέμιοι οὐ μόνον τῶν ἱερῶν, ἀλλὰ καὶ πάντων ἅμα, παίδων καὶ γυναικῶν καὶ πραγμάτων· οἱ δὲ τούτων δεσπόται ἀνάρπαστοι καὶ δοῦλοι ἀντ' ἐλευθέρων οὐ μόνον τὰ σώματα, ὅτι μὴ καὶ τὰς γνώμας αὐτὰς, ἀνάγκῃ βιαίᾳ πρὸς ἅπερ ἂν οἱ πολέμιοι βούλοιντο, ἑπόμενοι. Καὶ τότε λελείψεται, μηδένα τὸν προστησόμενον εἶναι τῶν πατρίων ἐθῶν καὶ νομίμων, καὶ πρός γε ἔτι τῶν ἱερῶν θεσμῶν καὶ δογμάτων· ἀλλὰ πάντων ἔσται ῥᾳδία παρατροπὴ καὶ κατάλυσις. Ἃ νῦν ἐγὼ προορώμενος διάκονον πρόθυμον ἐμαυτὸν ταυτησὶ τῆς οἰκονομίας κατεστησάμην. Οἰκονομίας δ' ἔστιν ἔμφρονος, ἀνάγκης κατεπειγούσης ζημιωθῆναι μικρὸν κέρδους εἵνεκα μείζονος, καὶ συγχωρῆσαι τὰ ἧττω τοῖς ἔλαττον ὑπὲρ τοῦ τὰ μείζω ῥᾳδίως καρποῦσθαι.

III. Quamobrem factiosorum animos principio blanditiis verborum et comitate morum conciliare sibi et mancipare conabatur, eamque rem non novitatis studio, sed prudenti consilio cœptam esse aiebat : esse autem prudentiæ, impendentes præcavere calamitates, et si quid ad graviora mala avertenda novandum sit, non esse cunctandum. Si enim hostes adventarent, urbe multis in locis adhuc per ruinas patente ac novissime instaurata et vel-ut reviviscente post illas mortes quas paulo ante pertulisset, præsentia mala graviora futura præteritis : ac dominos fore hostes **127** non tantum sacrorum, sed omnium simul, liberorum, conjugum et rerum : quorum vero propriæ hæ res essent, eos vi abreptos, libertate amissa, non corporibus tantum, sed animis etiam servituros, et hostium sequi voluntates violenta necessitate coactum iri. Id etiam, inquiebat, reliquum erit, ne quis patriorum rituum et institutorum, aut etiam legum ac dogmatum sacrorum patrocinium suscipiat. Sed eorum omnium depravatio et abrogatio liberrima futura est. Quæ ego nunc prospiciens in hanc administrationem cupide me ipsum interposui. Est autem sapientis administratoris officium, necessitate subigente leve damnum sufferre amplioris lucri gratia ; et vim facientibus minora concedere, ut majora ipse facile percipiat.

Δ'. Ταῦτα λέγων ὁ βασιλεὺς τοὺς μὲν ἔπεισε, τοὺς δ' οὐδαμῶς. Ὅθεν τὸ πείθειν ἀφεὶς τὴν ἑτέραν ἐβάδισε· ταύτην δ' εἶναι τὴν τοῦ βιάζεσθαι· ἧς πρὸς πολλὰ καὶ διάφορα μεριζομένης εἴδη, πάντα ἦσαν ἐνεργὰ τῷ βασιλεῖ, δημεύσεις, ἐξορίαι (49), φυλακαὶ, ὀφθαλμῶν ἀφαιρέσεις, μάστιγες, χειρῶν ἐκτομαὶ, πάντα οἷς αἱ γνῶμαι τῶν ἀνδρικῶν καὶ μὴ δοκιμάζονται. Ὅσοις μὲν οὖν κατ' ἐπίγνωσιν ὁ ζῆλος ἦν (σπάνιοι δ' οὗτοι ἐτύγχανον), οὗτοι στερρόν τε καὶ ἀνδρικὴν τὴν ἔνστασιν ἐνδειξάμενοι πάντα ἀσμένως ὑπήνεγκαν καὶ πεπόνθασιν, ὁπόσα ἡ τοῦ βασιλέως ἐπήνεγκε χείρ. Οἱ δὲ πλεῖστοι μηδὲν ὑγιὲς εἰδότες, ἀλλὰ δῆμος ὄντες καὶ ἀγοραῖος ὄχλος καὶ χαίροντες ἀεὶ [P. 77] ταῖς τοιαύταις καινοτομίαις, τρίχινα καθάπερ ἁλληνίσχηνὴν ὑποδεδυκότες τριβώνια, πανταχῇ τῆς οἰκουμένης ἐξήπλωσαν ἑαυτοὺς, ὅπη φῦλα Χριστιανῶν εἶναι ἐπύθοντο· ἔν τε Πελοποννήσῳ φημὶ καὶ Ἀχαΐᾳ καὶ Θεσσαλίᾳ ἔν

IV. Hac oratione alios commovit imperator, alios non item. Unde suasione omissa viam alteram ingressus est, quæ erat vis aperta : cujus cum multæ sint ac variæ species, omnes ab imperatore adhibitæ sunt : publicationes bonorum, exsilia, custodiæ, excæcationes, flagra, manuum amputationes, omnia denique quibus virorum fortium et mollium animi explorantur. Ac quorum zelus erat secundum scientiam (qui quidem pauci erant), ii firmam et virilem constantiam præferentes omnia libenter tolerabant et perpetiebantur, quæ principis manus inferebat. Maxima vero pars veri judicii expers, fax plebis et circumforanea turba, semper istiusmodi rebus novis gaudens, hirsutis pannis veluti scenico amictu novo induti **128** toto orbe dispersi sunt ubi Christianos esse audiverunt : in Peloponnesum, inquam, Achaiam, Thessaliam et Colchidem et quacunque imperatoris ditio non pa-

Variorum notæ.

(48) Ibidem Pachymer. cap. 12, 18, 19, 20. Ducang.

(49) Pachymer. eodem libro cap. 19, 20 : lib. VI, cap. 16, 24. Vide præterea Allatium de concordia utriusque Ecclesiæ, cap. 15, n. 7. Ducang.

tebat. Sparsi autem et vagi huc illuc circumibant, neque cum Catholicis pacem conservare volentes, neque inter sese : sed alii aliis nominibus ascitis aut Arsenii patriarchæ sectatores se et ejus doctrinæ addictos profitebantur, aut Josephi, aut aliud quid jactitabant ; atque ita tempus fallebant plerique et decipientes et decepti. Nec enim deerant qui oracula in vicis et urbibus, quasi a conspectu Dei modo reversi, cantarent. Id vero faciebant lucri causa et ad implendos sacros. Iique ob eam ipsam rem semper in eodem habitu perseverarunt, nec post Ecclesiæ instaurationem vitæ ratione mutata.

V. His temporibus Magnæ ecclesiæ chartophylax erat Veccus, excellenti vir ingenio idemque eloquentiæ et eruditionis alumnus ; præterea tantis naturæ donis ornatus, quantis quisquam alius illa ætate. Nam et proceritate corporis præstabat, et majestate vultus, in quo venustas erat cum gravitate conjuncta ; item dicendi facultate ac torrente eloquio aliisque rebus plurimis ; maxime autem ingenii felicitate et acumine in expedienda qualibet quæstione proposita : iis, inquam, omnibus ornamentis natura ipsum pulcherrimæ instruxerat. Quibus **129** id erat consecutus, ut et imperatoribus et principibus, et omnibus eruditis venerabilis, atque illustri apud eos fama esset. Qui cum imperatorio decreto acriter adversaretur, imperator nihil non tentavit, tam per se ipsum quam per alios eruditos, quo ipsum petitis ex ratione et ex legum auctoritate argumentis adduceret, ut decreto assentiretur. Verum ille ingenii et linguæ vi omnium animos commovebat, eorumque argumenta veluti Penelopes telam retexebat. Nam Græcarum litterarum doctrina erant qui illum superarent ; sed acumine ingenii et linguæ volubilitate et ecclesiasticorum dogmatum usu omnes cum illo collati pueri videbantur.

VI. Ea spe frustratus imperator aliam viam init, eumque et omnem fere ejus cognationem in teterrimos carceres conjicit. Quibus peractis tandem in mentem venit imperatori, eamdem rem a Latinis ante annos quinque et viginti, Joanne Duca rerum potiente, agitatam fuisse, ac tum doctum exstitisse virum, Nicephorum Blemmydam, divinarum litterarum peritissimum ; qui cum se in otium contulisset, multa e sacra Scriptura testimonia, quæ

τε τῇ Κολχίδι καὶ ὅπῃ μὴ ἐνῇν ἐπικράτεια τοῦ βασιλέως. Καὶ περιῄεσαν ἔνθεν κἀκεῖθεν σποράδες καὶ πλάνητες, μήτε πρὸς τὸ καθόλου τὴν εἰρήνην ἐθέλοντες διασώζειν, μήτε πρὸς ἀλλήλους · ἀλλ' ὀνόματα περιθέντες ἑαυτοῖς ἄλλοι ἄλλα, οἱ μὲν Ἀρσενίου (50) λέγοντες εἶναι τοῦ πατριάρχου καὶ τὰ ἐκείνου πρεσβεύειν, οἱ δὲ Ἰωσήφ, οἱ δὲ ἄλλα λέγοντες, οὕτω τὸν χρόνον παρεκρούοντο πλανῶντες οἱ πλείους καὶ πλανώμενοι. Ἦσαν γὰρ οἳ καὶ προφοιβασμοὺς ἀνά τε πόλεις καὶ κώμας ἐκήρυσσον, ὥσπερ ἀπὸ θεοπτίας ἄρτι κατιόντες. Ταῦτα δ' ἐποίουν λημμάτων ἕνεκα καὶ βαλαντίων πληρώσεως · οἳ δὴ καὶ δι' αὐτό γέ τοι τοῦτο παρέμειναν οὕτως ἔχοντες ἕως εἰ, μηδὲ μετὰ τῆς Ἐκκλησίας διόρθωσιν τὴν δίαιταν ἀλλαξάμενοι.

Ε'. Ἐν τούτοις μέντοι τοῖς καιροῖς (51) τῆς Μεγάλης ἦν ἐκκλησίας χαρτοφύλαξ, ὄνομα Βέκκος (52), συνετὸς ἀνὴρ ἐν τοῖς μάλιστα καὶ λόγου καὶ παιδείας τρόφιμος · τοσούτοις δὲ καὶ παρὰ τῆς φύσεως συγκεχρωτημένος χαρίσμασιν, ὅσοις τῶν τότε ἀνθρώπων οὐδείς. Σώματος γὰρ εὐμήκει μεγέθει καὶ ὄψει μετὰ τοῦ χαριέντος ἐμβριθεῖ καὶ μεγαλοπρεπεστάτῃ καὶ γλώττης εὐκολίᾳ καὶ δρόμῳ συντόνῳ ἄλλοις τε πλείστοις καὶ ἔτι διανοίας εὐπορίᾳ τε καὶ ὀξύτητι πρὸς ἅπαν τὸ προτιθέμενον, τούτοις ἅπασιν ἄριστα τοῦτον ἡ φύσις ἐξώπλισεν, ὡς εἶναι βασιλεῦσι καὶ ἄρχουσι καὶ πᾶσι σοφοῖς αἰδέσιμον καὶ λαμπρὸν περιλάλημα. Τοῦτον γενναίως ἀνθιστάμενον τῷ βασιλικῷ δόγματι παντοῖος ὁ βασιλεὺς ἐγεγόνει δι' ἑαυτοῦ τε καὶ τῶν τότε λογίων ἀποδείξεσι λογικαῖς καὶ νομίμοις πεῖσαι συνθέσθαι τῷ δόγματι. Ἀλλ' ἐκεῖνος τῇ εὐθηνίᾳ τοῦ νοῦ καὶ τῆς γλώττης ἅπασαν συγκύκων ὡς εἰπεῖν ἀκοὴν ἀνέλυε τὰ τούτων προβλήματα, καθάπερ τινὰ Πηνελόπης ἱστόν. Ἑλληνικῆς μὲν γὰρ παιδείας εἵνεκα ἦσαν οἳ τότε προεῖχον αὐτοῦ · φύσεως δ' ὀξύτητι καὶ γλώττης δρόμῳ καὶ ἀσκήσει δογμάτων ἐκκλησιαστικῶν παῖδες ἀνδρὶ παραβαλλόμενοι πάντες ἐδόκουν ἐς αὐτόν.

Ϛ'. Ἐπεὶ δ' ὁ βασιλεὺς τῶν ἐντεῦθεν ἐλπίδων ἐσφάλη, τὴν ἑτέραν ἐβάδιζε · καὶ συλλαβὼν αὐτὸν καὶ γένος μικροῦ πᾶν δεσμωτηρίοις καθείργνυσι δεινοτάτοις. Καὶ ἦν οὕτω ταῦτα. Ὀψὲ δ' ἐπὶ νοῦν ἀναβιβασάμενος ὁ βασιλεὺς ὡς καὶ πρὸ πέντε καὶ εἴκοσιν ἐτῶν ἐπὶ τῆς Ἰωάννου τοῦ Δούκα βασιλείας ἡ τοιαύτη παρὰ Λατίνων ἐκινήθη ὑπόθεσις, καὶ ἦν τηνικαῦτα σοφὸς ἀνὴρ Νικηφόρος [P. 78] ὁ Βλεμμύδης (53), θείων Γραφῶν ἐμπειρότατος, ὃς σχολῇ δα-

Variorum notæ.

(50) Pachym. lib. v, cap. 2. DUCANG.

(51) Vide Leon. Allat. *Exercit. in Creyght.* p. 608. BOIVIN.

(52) Pachymer. lib. v, cap. 13, 14, 15, 22, 24, 28, Veccum patriarchæ Constantinopolitani historiam fuse prosequitur, cui Βέκκος, ut et Phranzi et aliis dicitur. DUCANG.—Aliis Βέκκο, quibusdam etiam Βέκων. Καὶ Λατινόφρων Ἰωάννης ὁ Βέκων. Cod. Reg. 3058. Vide et clausulam Cod. Reg. 2006. Latine Beccus, Beccus, Veccus, et Vecens promiscue dicitur. BOIVIN.

(53) De prolatis a Vecco S. Scripturæ de S. Spiritus processione locis, qui Latinorum dogmata firmarent, scribit quidem Pachymeres : sed de collectionis auctore hic silet, Blemmyde scilicet, valido apud Græcos Latinæ Ecclesiæ sententiæ adversus Græcos propugnatore. Nam cum Joanne Ducæ rerum potiente inter Græcos de processione Spiritus sancti controversia disceptaretur, ipse multis ex sacra Scriptura et sanctis Patribus collectis testi-

δωκὼς ἑαυτὸν (54) ἤρξατο συλλέγειν πολλὰς παρὰ A τῶν θείων Γραφῶν μαρτυρίας, συγκροτεῖν δοκούσας τῷ τῶν Λατίνων δόγματι, καὶ λογογραφεῖν ἐπὶ τούτοις, λάθρα μὲν διὰ τὴν τῶν πολλῶν ὑπόληψιν (55), ἐλογογράφει δ' οὖν ἔστιν ἃ· ταῦτα δὴ νῦν ὁ βασιλεὺς ἀνευρὼν πέμπει τῷ Βέκκῳ. Ἅπερ αὐτὸς ἀναγνοὺς μετὰ πολλῆς ἀγχινοίας τὰς τῶν ἁγίων ἐζητήκει βίβλους, ἐξ ὧν ὁ Βλεμμύδης τὰς μαρτυρίας ἦν ἐκείνας ξυνειλοχώς· καὶ μάλα ἀσμένως παρὰ τοῦ βασιλέως τὸ ἐνδόσιμον εἰληφότι ἔργον ἦν αὐτῷ τοῦ λοιποῦ, ἐπιμελῶς αὐτὰς ἐπιέναι καὶ ἀνιχνεύειν καὶ κατὰ λέξιν ἐπιστατεῖν· ὡς ἐν ὀλίγῳ τοσοῦτον αὐτὸν συνηθροικέναι μαρτυριῶν ὁρμαθὸν, ὥσθ' ἱκανὰς εἶναι βίβλους ὅλας πληροῦν· καὶ ὁ πρὶν μάχαιραν δίστομος κατὰ Λατίνων ἱστάμενος, πρύμναν ἤδη κρουσάμενος, ἑτεραλκέα τὴν νίκην ποιεῖται. B

Ζ'. Δι' ἃ δὴ καὶ ἐπὶ τὸν πατριαρχικὸν ἀναβεβηκὼς θρόνον (56) πάντα ἦν αὐτὸς τῷ βασιλεῖ, καὶ γλῶττα καὶ χεὶρ καὶ κάλαμος γραμματέως ὀξυγράφου, καὶ λέγων καὶ γράφων καὶ δογματίζων· ἔχων συνεργοὺς καὶ συλλήπτορας τοῦ ἀγῶνος τόν τε Μελιτηνιώτην (57) καὶ τὸν Μετοχίτην, ἀρχιδιακόνους ὄντας τοῦ βασιλικοῦ κλήρου· καὶ ἔτι Γεώργιον τὸν ἐκ Κύπρου (58). Συνελειτουργήκει μὲν οὖν πάντων οὐδεὶς τοῖς τοῦ Πάππα (59), οὔθ' ὁ πατριάρχης αὐτὸς, οὔτε τῶν ἄλλων οὐδείς, ὅτι μὴ τὸ ἐνδόσιμον εἰληφότες τῶν Φρερίων τινὲς (60) ἐλειτούργησαν ἅπαξ ἐν τῷ ναῷ τῶν Βλαχερνῶν διὰ χειροτονίαν τινὸς (61) τῶν οἰκείων. Ἀλλ' ἐπανακτέον τὸν λόγον.

(38) Qui Pachymeri Φαρέντα Τζιμῆ dicitur lib. xi, cap. 12; lib. xiii, cap. 30, 36. Ita *Fernandum Ximenem de Arena* expresserunt, de quo Montaner. cap. 223 ; Moncada cap. 39, 40, 41 ; Hist. Franco-Byzant. lib. vi, cap. 42. DUCANG. — Rem narrat Pachymeres in fine libri ultimi Historiæ, eamque narrationem ab ea, quam Possinus edidit, longe diversam exhibet Cod. Reg. 2858. Nam cum apud Pachymerem legatur, ἐκεῖνοι δὲ ἐπάραντες ἀπὸ τῆς Αἴνου, Ῥομαφόρτου, σὺν τοῖς Τούρκοις, etc. Codex Regius habet, Βασιλεὺς δὲ πεπεισμένος τὰ περὶ τῆς Αἴνου, καὶ ὡς ἀπεκρούσθησαν μηνὸς ὅλου πολεμοῦντες (πολεμοῦντες)· πεπυσμένος δὲ, καὶ ὡς Ῥομαφόρτου ἀπάραντος σὺν οἷς εἰσεφρήσατο Τούρκοις, οἱ περὶ τὸν Μπυριγέριον καὶ Φαρέντα Τζιμῆν καὶ τὸν Γίγαν κατόπιν μελήσοντας ἕπεσθαι, διαφυροῦ τὸν Ῥομαφόρτον (τοῦ Ῥομαφορτου) ὄντες· κἀκείνῳ τῷ Ῥομαφόρτῳ καιρὸν γ' ἐπιθέσθαι ἀπολοῦντες· ἐκεῖθεν δέ που περὶ τὰ μέρη Κασανδρείας προσβαλὼν Ῥομαφόρτος σὺν τοῖς Τούρκοις ἐπεσκήνουν (an ἐπεσκήνου ?) συνεὶς τὴν ἐπιβουλὴν των κατόπιν· ἀλλὰ καὶ μικρὸν ὀλίγον κἀκεῖνοι ἐφίστανται, καὶ ὀλίγον μαχρύσιν ἐσκήνουν· ὁ δὲ Ῥομαφόρτος προλαβεῖν ἐβούλετο ὁρᾶσαι ἢ παρ' ἐκείνων παθεῖν· καὶ ἅμα πρωΐ τῆς σκοτίας οὔσης σὺν τοῖς Τούρκοις ἐμπίπτει, καὶ κατακράτος νικᾷ· ὡς πᾶσιν μὲν τὸν Μπυριγέριον, τὸν δὲ Φαρέντα ἀκλεῶς ἁλῶναι, εἶτ' αὖθις ἀπολυθῆναι πρὸς τὰ οἰκεῖα ἤθη, τοῦ Ῥομαφόρτου τύχαις αὐτῷ σχόντος. Φαρέντα δὲ Τζιμῆν ἀπογνόντας τοῖς ὅλοις, ὥσπερ τις ἁλιεὺς (ἁλιεὺς) καὶ μεταναστὴς ἀτίμητος, αὐτοκελεῖ τινι τῶν μεγιστάνων τοῦ βασιλέως· ὃ καὶ μᾶλις γνωσθὲν, παρ.σω ζεται, καὶ τῷ βασιλεῖ προσέρχεται. Οἱ δὲ μὴ πεσόντες τῷ πολέμῳ τῶν Ἰταλῶν, εἰσήρησαν (leg. εἰσέρρησαν) τῷ Ῥομαφόρτῳ. Ἐκεῖθεν δὲ ἀπαναστάντες, ἀπῆλθον, ὡς εἶχεν ἡ φήμη, πρὸς Θήβας. Possinus Codicem Regium non vidit, quem cum editione Romana conferri operæ erit, si quando nova editio adornabitur. BOIVIN.

(39) Qui Ῥομαφόρτος dicitur Pachymer. lib. xiii, cap. 12, 21, 36; Berengerus vero *de Rocafort*, Montanerio, Moncadæ, et aliis. DUCANG.

(40) Wolfio Θεοδώρα ἀδελφιδῆ τοῦ βασιλέως *neptis* est imperatoris ; mihi vero, *imperatoris neptis ex sorore*. Sic supra cap. 3, sect. 2, de Rogerio, γαμβρὸν εὐθὺς ὁ βασιλεὺς ἐπὶ τῇ ἀδελφιδῇ ποιεῖται Μαρίᾳ, ubi etiam Wolfius *neptem* interpretatus erat, cum interpretandum esset *sororis filiam*. Ceterum *Theodora* illa, quæ hoc loco Ximeni nupsisse dicitur χηρεύουσα, vix dubium est, quin ipsa sit Maria, quæ Rogerio primum nupserat, ac post ejus cædem vidua aliquandiu manserat. Potuit scilicet eadem et *Theodora* dici, et *Maria*. Potuit etiam Gregoras, memoriæ vitio lapsus, *Theodoram* vocare eam, cujus verum nomen esset *Maria*. Irene, soror Andronici imperatoris, eademque uxor Asanis, filiam habuit *Mariam*, illam nempe quæ Rogerio, ut diximus, nupsit : habuit et *Theodoram*, quæ Manueli Tagari, de quo Cantacuzenus lib. i, cap. 18. Vide et Familias Byz. 325. BOIVIN.

(41) Montaner. cap. 227 ; Moncada cap. 45. DUCANG.

ἐπὶ καιροῦ νυν εὐτυχῶς ἐς προῦπτον ἐξέῤῥηξεν. Καὶ ταῦτα μὲν οὕτως.

A alneranı, quæ tandem opportuna occasione oblata in apertum erupit. Et hæc quidem in hunc modum gesta sunt.

CAPUT V.

Imperatrix, privignum exosa, liberos suos conatur ei exæquare. Mos succedendi apud Latinos principes receptus. Andronici uxores duæ : liberi sex. Andronicus uxoris petitioni refragatur. Hæc virum fastidiis ulciscitur. Unde dissidium. Irene Thessalonicam secedit. Maritum traducit. Mulierum impudentia. Andronici lenitas. Irene filio suo Theodoro uxorem quærit. Conditione ab Athenarum duce repudiata, ad Spinulam itur. Latini nobiles Imperatorum Byzantinorum affinitatem vix dignantur. Irenes genus. Marchionum dignitas. Digressio de dignitatum titulis. Marchionum Longobardorum provincia. Theodorus eo mittitur. Multas opes secum transfert. Joannes, alter Irenes filius, Nicephori Chumni filium uxorem accipit. Sine liberis decedit. Irenes profusa liberalitas erga Cralem generum. Spes delusæ. Cralis uxor cur sterilis. Crales, Irene urgente, successorem sibi designat, primo Demetrium ; deinde Theodorum Marchionem, uxoris suæ fratres. Neuter in Tribullia assuescit.

[P. 145] Α'. Ἡ δὲ τοῦ βασιλέως σύζυγος Ἀνδρονίκου Εἰρήνη φύσει φιλότιμος οὖσα ἠβούλετο κατὰ διαδοχὴν παῖδας καὶ ἀπογόνους αὐτῆς ἐς ἀπείρους Β ἡλίους κληροῦσθαι τὴν τῶν Ῥωμαίων ἀρχὴν καὶ τὸ βασίλειον τουτὶ κράτος καὶ ἀθάνατον διασώζεσθαι τὴν μνήμην αὐτῆς ἐν τοῖς τῶν ἀπογόνων ὀνόμασι. Τὸ δὲ καινότερον, ὅτι οὐ μοναρχίας τρόπῳ κατὰ τὴν ἐπικρατήσασαν Ῥωμαίοις ἀρχῆθεν συνήθειαν, ἀλλὰ τρόπον Λατινικὸν (42) διανεμαμένους τὰς Ῥωμαίων πόλεις καὶ χώρας ἄρχειν κατὰ μέρη τῶν υἱέων ἕκαστον, ὡς οἰκείου κλήρου καὶ κτήματος τοῦ λαχόντος, ἐκ πατρῶν μὲν ἐς αὐτοὺς κατὰ τὸν ἐπικρατήσαντα νόμον ταῖς περιουσίαις καὶ κτήσεσι τῶν βαναύσων ἀνθρώπων κατιόντος· παραπεμπομένου δ' ἔπειθ' ὁμοίως ἐς τοὺς ἐφεξῆς παῖδας καὶ διαδόχους. Λατίνων γὰρ οὖσα γέννημα καὶ παρ' ἐκείνων εἰληφυῖα τουτὶ τὸ νεώτερον ἔθος Ῥωμαίοις ἐπάγειν ἐβούλετο. Ἐνῆγε δ' ἐς τοῦτο τὰ μάλιστα γνώμη C ζηλότυπος, ἣν ὡς μητρυιὰ περὶ τὸν προγονὸν ἔτρεφε, τὸν βασιλέα φημὶ Μιχαήλ, ὃν ἐκ τῆς προτέρας συζύγου τῆς ἐξ Οὔγγρων ὁ βασιλεὺς γεγέννηκεν. Ἔφθημεν γὰρ εἰρηκότες, ὡς ἐξ ἐκείνης μὲν γεγέννηκε παῖδας δύο, τόν τε βασιλέα Μιχαὴλ καὶ Κωνσταντῖνον τὸν δεσπότην· ἐκ δὲ τῆς Εἰρήνης ταυτησὶ τῆς ἐκ Λογγιβάρδων θυγατέρα μὲν μίαν τὴν Σιμωνίδα, περὶ ἧς ἔμπροσθεν εἰρήκειμεν, ὅπως ἐπέμφθη σύζυγος τῷ Κράλῃ Σερβίας υἱοὺς δὲ τρεῖς, Ἰωάννην (43), Θεόδωρον καὶ Δημήτριον· οὓς δὴ πάντας βασιλέας ἐβούλετο καθιστᾶν· δευτέρους μὲν μετὰ τὸν προγονὸν Μιχαὴλ κατὰ τὸ τῆς τιμῆς ἀξίωμα· δευτέρους δὲ καὶ κατὰ τὴν διανομὴν τῆς Ῥωμαϊκῆς ἡγεμονίας· αὐτονόμους δὲ καὶ αὐτοκράτορας ἑκάστους καὶ μηδένα μηδενὶ ὑπακούοντας (44).

I. At Irene imperatoris Andronici uxor, ambitioso ingenio mulier, suos liberos et nepotes imperii Romani successionem ac summam potestatem tenere per multas ætates, et immortalem sui memoriam in posterorum nominibus permanere cupiebat : et, quod insolentius erat, non more monarchico, qui jam inde antiquitus apud Romanos vigeret, sed eo qui apud Latinos receptus esset, Romanas provincias ita dividi volebat, ut filii omnes, in ea quisque sorte ac ditione quæ sibi obtigisset plenum dominium haberent, ab ipso quidem patre ad illos devolutum, ut juris est in bonis ac possessionibus **234** hominum plebeiorum ; ab illis autem deinceps ad eorum liberos et successores simili modo transmittendum. Nam cum Latina stirpe orta esset, novum etiam hunc morem, ab illis acceptum, ad Romanos transferre instituebat. Maxime autem ad eum conatum impellebatur zelotypia quadam, quam ut noverca animo conceperat adversus privignum Michaelem principem, quem imperator ex priore conjuge, ab Hungaris oriunda, susceperat. Nam prima uxor, ut supra diximus, duos filios marito pepererat, Michaelem imperatorem et Constantinum despotam : Irene vero hæc Longobardica filiam unam Simonidem quam ante diximus Crali Serviæ nuptum esse missam : filios vero tres, Joannem, Theodorum, Demetrium, quos illa omnes designare imperatores studebat : qui secundum quidem locum a privigno Michaele tum dignitate, tum ipsa Romani imperii partitione obtinerent; sed sui tamen juris essent, et summam D potestatem haberent, ita ut nemo alteri pareret.

[P. 144] Β'. Ὁρῶσα τοίνυν τὸν βασιλέα καὶ σύζυγον στοργὴν αὐτῇ χαριζόμενον πλείονα ἢ κατὰ σύζυγον, ἐνόμισεν ἔξειν καταπειθῆ καὶ πρὸς τὰ περὶ τῶν παίδων βουλεύματα. Ὅθεν οὐ διέλιπε λάθρα νύκτωρ καὶ μεθ' ἡμέραν αὐτὸν ἐνοχλοῦσα ὁποῖον θάτερον καταπράξασθαι· ἢ τὸν βασιλέα Μιχαὴλ

II. Cum igitur se affectu plus quam conjugali diligi a conjuge eodemque imperatore cerneret, eum credidit futurum sibi obsequentem ad ea quæ liberorum suorum causa decrevisset. Itaque ei clam noctu atque interdiu perpetuo instabat, alterutrum ut faceret, sive Michaeli abrogaret impe-

Variorum notæ.

(42) More apud Latinos seu Francos principes recepto, quo filiis secundo-genitis *pars terræ*, uti loquebantur, in hæreditatis sortem assignari solebat, atque adeo in *apennagium*, de quo nobis egimus in Gloss. med. Latin. in hac voce. DUCANG.

(43) Quem statim atque Michaelem ex priore conjuge filium imperatorem, despotam dixerat pater. Pachymer. lib. IX, cap. 2. De aliis Andronici liberis hic memoratis vide *Famil. Byzant.* DUCANG.

(44) Sic etiam Phranzes lib. I, cap. 7. Atqui id in Latinorum usu minime erat, apud quos secundogeniti, quibus data erat *pars terræ*, jure clientelæ et hominii primo-genito suberant. DUCANG.

rium, idque inter suos filios divideret, sive hos illi participes et consortes imperii redderet. Respondente autem imperatore, nefas **235** esse violari jura imperii, quæ multis jam sæculis stabilita et confirmata essent, illa ira inflammabatur, et habitu gestuque apud maritum varia et multiplex erat; nunc mœrens, seque vitæ pertæsam dicens, nisi filios viva imperatoriis insignibus ornatos videret: nunc fastidiosa et superbe delicata, ac formæ usuram marito quasi nundinans, venalemque ea lege copiam sui faciens, ut sua de filiis consilia ejus consensu approbarentur. Quæ cum sæpe nemine alio conscio fierent, ab imperatore perpetuo ferri non poterant. Itaque ardor ille amoris jam paulatim languescebat, et acris contentio, sed plerisque ignota, succedebat. Tandem etiam ejusdem thori consuetudinem perosus est.

A ἀποχειροτονῆσαι τῆς βασιλικῆς ἀρχῆς καὶ ταύτην διαμερίσασθαι τοῖς υἱέσιν αὐτῆς· ἢ τό γε δεύτερον, κοινωνοὺς καὶ συμμεριστὰς αὐτῷ καὶ αὐτοὺς καταστῆσαι τοῦ κράτους. Τοῦ δὲ βασιλέως ἀδύνατον εἶναι λέγοντος παραλύειν τὰ διὰ πολλῶν ἤδη τῶν χρόνων κυρωθέντα τε καὶ βεβαιωθέντα βασιλικὰ νόμιμα, ἡ δὲ πρὸς ὀργὴν ἐξήπτετο, καὶ διάφορα καὶ ποικίλα ἐδείκνυ πρὸς τὸν σύζυγον καὶ βασιλέα τὰ σχήματα· νῦν μὲν λυπουμένη καὶ ἀπολεγομένη τὸ ζῆν, εἰ μὴ τοὺς υἱέας ὄψεται ζῶσα βασιλικοῖς κοσμηθέντα; συμβόλοις· νῦν δὲ ἀχθομένη καὶ θρυπτομένη καὶ οἷον ἀπεμπολῶσα τῷ συζύγῳ τὴν ὥραν καὶ ὠνιον συγκαταθέσεως τοῦ περὶ τῶν υἱέων βουλεύματος ποιουμένη. Ταῦτα πολλάκις γινόμενα καὶ μηδενὸς ἑτέρου τῶν πάντων γινώσκοντος φέρειν οὐκ ἦν εἰς τέλος τῷ βασιλεῖ. Διὸ καὶ τὰ τῆς φλεγμαινούσης ἐκείνης στοργῆς ἤδη κατὰ μικρὸν ἐμαραίνετο, καὶ ἀντεισήγετο μάχη διάπυρος μὲν, λανθάνουσα δ' ἔτι τοὺς πλείστους. Τέλος δὲ καὶ αὐτὴν ἀπέστερξε τὴν τοῦ λέχους αὐτῆς κοινωνίαν.

B

III. At Irene uxor præter exspectationem tam cito spe sua frustrata hostili in maritum odio exarsit. Cum itaque ulcisci illum cuperet, et aliter non posset, Thessalonicam abiit, imperatore non admodum volente; quippe qui vereretur, ne mala domestica vulgo innotescerent. Illa autem eo magis cupiens imperatorem pudore afficere cœpit ejus peccata sibi cum illo communia eaque occulta diffamare, id solum cavens, ne in publico et pro concione illa proferret; ad aurem vero et viris et mulieribus, quibus maxime fidebat, eadem occinere gestiens absque **236** ulla verecundia, cum alioqui magnam gravitatem simularet. Indignabunda videlicet, furens, lenitati illius insultans, ac neque Deum timens, neque homines reverita, multa conjugis et suæ ipsius naturæ arcana audax atque impudens mulier retegebat, quæ vel impudicissimum scortum sine rubore haud diceret; nunc apud monachos, alium alibi secum privatim assumens, maritum prout libebat criminabatur. Nunc apud nobiles matronas, a quibus adibatur, eadem et plura recensebat; nunc ad Cralem Serviæ, generum suum, ea scribebat, quæ vel dicere nefas est, honorem sibi undecunque et pudicitiæ laudem asserendo, maritum vero omnibus contumeliis afficiendo. Nihil enim concitatius est muliebri animo, nihil æque promptum ad probabiles criminationes calumniasque confingendas et sua mala in insontes conferenda. Cum odio est mulier, simulat se odisse: cum amat, amari dicit: cum furatur, se compilari queritur; ac expeti quidem se profitetur, sed ea esse modestia ut amatorem exsecretur: et hujusmodi rebus

C

Γ'. Ἡ μέντοι (45) σύζυγος Εἰρήνη παραδόξως οὕτω τὴν ταχίστην ἔρημος τῶν ἐλπίδων καταστᾶσα πολέμιον ἔβρυψεν ἐν τοῖς στήθεσι λογισμὸν κατ' αὐτοῦ. Καὶ ἀμύνεσθαι θέλουσα μὲν, οὐκ ἔχουσα δ' ὅπως ἄλλως, ᾤχετο ἀπιοῦσα πρὸς Θεσσαλονίκην οὐ μάλα τοῦ βασιλέως ἐθέλοντος· ἐδεδίει γὰρ αὐτὸς, μὴ κατάφωρα τοῖς πλείστοις τὰ κατ' οἶκον γένωνται πταίσματα. Ἡ δὲ διὰ τοῦτο μᾶλλον αἰσχύνειν ἐθέλουσα τὸν βασιλέα καὶ σύζυγον, ἀπῆει θριαμβεύουσα κοινὰ καὶ λαθραῖα τοῦ συζύγου ἐγκλήματα (46), τοῦτο μόνον φυλαξαμένη, τὸ πρὸς δήμους καὶ πλήθη προφέρειν αὐτά. Πρὸς δέ γε τὸ πρὸς οὓς ἑκάστη τε καὶ ἑκάστῳ οἷς ἐθάρρει τὰ μάλιστα περιᾴδειν, πρὸς τοῦτο δὲ καὶ μάλα ἀφειδῶς εἶχεν ἡ πολλὴν σχηματιζομένη σεμνότητα. Ὑβριοπαθοῦσα γὰρ καὶ μαινομένη καὶ κατεπαιρομένη τῆς ἐκείνου πραότητος, καὶ μήτε Θεὸν φοβουμένη, μήτ' ἀνθρώπους αἰδουμένη, πολλὰ τῆς φύσεως ἐξεφαύλισεν ἀπόῤῥητα τοῦ συζύγου τε καὶ ἑαυτῆς ἡ πάντολμός τε καὶ ἀναιδὴς, ἃ κἂν ἐτρυβρίασε λέγουσα καὶ ἡ τῶν ἑταιρίδων ἀσελγεστάτη. Καὶ νῦν μὲν ἄλλον κατ' ἄλλο μέρος τῶν μοναζόντων ἀπολαμβάνουσα κατηγόρει τοῦ ἀνδρὸς, ἐπόσα ἐβούλετο· νῦν δὲ πρὸς τὰς εἰσιούσας τῶν εὐγενῶν ταῦτά τε καὶ πλείω τούτων ἐξήγγελλε· νῦν δὲ πρὸς τὸν Κράλην Σερβίας τὸν ἐπὶ θυγατρὶ γαμβρὸν ἔγραφεν, ὅσα οὐδὲ λέγειν χρεών, πανταχόθεν ἑαυτῇ μὲν [P. 145] περιποιουμένη τιμὴν καὶ σωφροσύνην, τῷ δὲ συζύγῳ πᾶσαν ὕβριν μηχανωμένη. Οὐδὲν γὰρ οὕτως εὑρίπιστον ὡς γνώμη γυναικὸς, οὐδέ γε προχειρότερον εἰς τὸ πιθανὰς συνθεῖναι διαβολὰς καὶ συκοφαντίας καὶ τὰ οἰκεῖα κακὰ περιτρέψαι τοῖς ἀναγκλήτοις. Ἂν μισῆται, μισεῖν

D

Variorum notæ.

(45) Exstat in codice Regio (olim Telleriano) epistola Athanasii patriarchæ Constantinopolitani ad Augustam, de reconciliunda cum viro gratia, eique epistolæ præfixus est falsus et inconcinnus titulus, Γράμμα πρὸς τὸν αὐτοκράτορα, περὶ τοῦ παρ' ἐλπίδα συμπεσόντος δεινοτέρου θανάτου. Debuit autem inscribi, Γράμμα πρὸς τὴν βασίλισσαν, περὶ τοῦ δεῖν αὐτὴν ὁμονοεῖν τῷ συζύγῳ. Pertinet ea adhortatio ad componenda dissidia, de quibus Gregoras agit hoc loco. Bonn.

(46) Verterat Wolfius, *publica et occulta imperatoris crimina traducebat*. Ego verti, *cœpit ejus peccata, sibi cum illo communia, eaque occulta, diffamare*. Sic infra, ἀπόῤῥητα τοῦ συζύγου τε καὶ ἑαυτῆς, *conjugis et sua ipsius arcana propudia*. Bonn.

ὑποκρίνεται· ἂν ἐρᾷ, ἐρᾶσθαί φησιν· ἂν κλέπτῃ, κλέπτεσθαι λέγει· καὶ ζητεῖσθαι μὲν φάσκει, βδελύττεσθαι δὲ διὰ σωφροσύνην· καὶ ἐπὶ τούτοις ἐγκαλλωπίζεσθαί τε καὶ θρύπτεσθαι οὐκ αἰδεῖται, οὐδὲ δυσωπεῖται τὸν ἔλεγχον, ἀλλ' εὐδιάβολα τὰ τοιαῦτα εἰδυῖα καὶ ἡδιστα ἀκοαῖς ἀκολάστοις κώδωνος ὀξυτέραν προτείνει γλῶτταν· καὶ ἐπιορκοῦσα παῤῥησιάζεται καὶ μίγνυσι γῆν οὐρανῷ. Ἂν δὲ καὶ γένει καὶ ἐξουσίᾳ πρυέχῃ, ἃ τοὺς ἐλέγχους τῶν ἐγκλημάτων πόῤῥωθεν ὅπως ποτὲ ἀποκρούονται, τότ' εὐμενοῦς δεῖ Θεοῦ καὶ θαλάσσης μεγάλης, ἀποπλῦναι τὰς ὕβρεις τε καὶ συκοφαντίας τὸν ἄθλιον, καθ' οὗ τὴν γλῶσσαν ἡ πονηρὰ κεκίνηκεν.

A gloriari et superbire non dubitat, nihil verita ne coarguatur. Imo cum talia crimina facile fingi et jucunda petulantium hominum auribus esse norit, tintinnabulo sonantiorem linguam exserit, audacterque pejerat, cœlumque terræ miscet. Quod si nobilitate et potentia eminet, quæ res indicium omne longe submovent, quo peccata convinci possint, tum propitio Deo est opus, et magno **237** mari ad eluendas contumelias et calumnias ei misero, contra quem improba linguam suam exacuit.

Δ'. Ὁ δὲ βασιλεὺς πρᾷός τε ὢν καὶ ἄλλως δειλιῶν τήν τε γλῶσσαν αὐτῆς καὶ τό γε μεῖζον, μὴ τὸν ἑαυτῆς ἐκπολεμώσῃ γαμβρὸν κατὰ τῶν Ῥωμαίων, λέγω δὴ τὸν Κράλην Σερβίας, παντοίως ἦν θεραπεύων αὐτὴν καὶ πληρῶν τὰ περὶ τῶν κοινῶν καὶ ἰδίων πραγμάτων ἐκείνης ζητήματα καὶ πλέον ἢ δεσποίνῃ χαριζόμενος αὐτῇ τὰ τῆς ἐξουσίας δίκαια, ἵνα λανθάνῃ τοὺς πλείστους τὰ μεταξὺ σκάνδαλα. Ἡ τ' ἀπογνοῦσα τὴν ἀπὸ τοῦ βασιλέως εἰς τοὺς υἱέας βοήθειαν, ὁποίαν ὡς εἰρήκειμεν αὖτη παρὰ τὸ δέον ἐζήτει, μόνη λοιπὸν ἐπεχείρει μηδενὸς ἀμελοῦσα τῶν ὅσα πρὸς δύναμιν ἦσαν αὐτῇ. Ἀκούσασα τοίνυν, ὡς ὁ τῶν Ἀθηνῶν δοὺξ θυγατέρα τρέφει παρθένον (47), διαπρεσβεύεται πρὸς αὐτὸν ἐγγυωμένη ἐκείνῳ γαμβρὸν ἐπὶ τῇ θυγατρὶ Θεόδωρον τὸν υἱὸν αὐτῆς τὸν δεύτερον (48) ἐπὶ συμφωνίαις, ἵν' ἡ μὲν ἔνθεν, ὁ δ' ἐκεῖθεν τῷ ἄρχοντι Πελασγῶν (49) τε καὶ Θετταλῶν ἐγείρωσι πόλεμον, καὶ μὴ πρότερον παύσασθαι, πρὶν αὐτὸν μὲν ἐκ μέσου ποιήσωνται, τὴν δ' ἀρχὴν τὴν αὐτοῦ Θεοδώρῳ τῷ ταύτης υἱῷ περιποιήσωνται, ἵν' εἴη χλῆρος ἀρχῆς ἴδιος αὐτῷ καὶ διηνεκής. Ἀλλὰ τῶν ἐλπίδων ψευσθεῖσα πλείστων· ἅμα χρήμασι πρὸς τὴν ἑαυτῆς ἐκπέμπει πατρίδα Λογγιβαρδίαν συζευχθησόμενον θυγατρί τινος ὄνομα Σπινούλα (50), τῶν οὐ πάνυ μεγάλων ἐπὶ γένους περιφανείᾳ καὶ δόξῃ τυγχάνοντος. Οὐ γὰρ ὡς τὰ πολλὰ περισπούδαστόν ἐστι Λατίνων τοῖς εὖ γεγονόσι κηδεύειν, μὴ ὅτι Ῥωμαίοις ἁπλῶς, ἀλλ' οὐδ' αὐτοῖς βασιλεῦσιν· ἄλλως τε οὐδ' αὐτὴ τῶν ἐπὶ δόξῃ λαμπρῶν ἦν. Οὐ γὰρ ἂν ἐς τὰ Ῥωμαίων οὕτω ῥᾳδίως ἐστέλλετο κῆδη. Μαρχεσίου γὰρ ἀπάγονος ἦν αὕτη· [P. 146] ἡ δὲ τοῦ μαρχεσίου τάξις (51) οὐ τῶν ἐπισήμων ἐστὶ παρὰ Λατίνοις· ἀλλ' ὅπερ ἐν τοῖς σημαίαν (52), τοῦτο παρὰ Λατίνοις μαρχέσιος.

IV. At imperator, miti vir ingenio, alioqui cum linguam ipsius, tum vero illud in primis metuens, ne generum suum Serviæ Cralem ad bellum Romanis inferendum concitaret, omnibus modis illam placebat, et postulata ejus tam publicis quam privatis de rebus exsequebatur : plus denique ei potestatis impertiebat, quam dominæ conveniret, ut offensa quæ intercesserant laterent. Illa vero, cum ea quæ pro filiis præter æquitatem ab imperatore petierat desperasset, sola deinceps rem aggredi cœpit, nihil quidquam omittens, quod in ipsius potestate situm esset. Cum igitur audivisset ducem Athenarum habere filiam virginem, per legatos petit, ut ea filio suo Theodoro despondeatur, iis conditionibus, ut Pelasgorum et Thessalorum principi bellum utrinque inferatur, hinc quidem a se, inde autem ab ipso duce, nec prius arma deponantur, quam is de medio sublatus fuerit, ejusque ditionem Theodorus filius acceperit, proprium nempe et perpetuum eum principatum habiturus. Sed spe frustrata eumdem cum pecunia maxima in patriam suam Longobardiam mittit, ut filiam Spinulæ cujusdam, nec generis splendore nec dignitate multum eminentis, uxorem duceret. Latini enim nobiles non modo cum Romanis quibuslibet, sed et cum ipsis Romanorum imperatoribus jungere affinitates **238** plerumque negligunt. Neque vero ipsa ex illustrium numero erat : nec si fuisset, Romano principi tam facile innupsisset. Erat enim e marchionum familia oriunda. Marchionis autem dignitas non insignis est apud Latinos. Sed quod est apud Romanos is qui vexillum imperatorium gestat, id ipsum est apud Latinos marchio.

Ε'. Ἵνα δὲ πλατύτερον τῷ λόγῳ χρησώμεθα διὰ τῶν Ῥωμαίων στρατεύμασιν ὁ τὴν βασιλικὴν κατέχων

V. Ut autem dilucidiora fiant ea quæ dicimus,

Variorum notæ.

(47) Agnes illa fuit, filia Hugonis comitis Briennensis et Elisabethæ *de la Roche* ducissæ Atheniensis, ac proinde soror Galteri comitis Briennensis, qui ea tempestate Atheniensium ducatum obtinebat. Vide *Hist. Franco-Byzant.* lib. VI, n. 43. DUCANG.

(48). Primogenitus enim ex hoc secundo Andronici conjugio fuit Joannes despota, cujus paulo ante meminit. DUCANG.

(49) Is fuit Joannes Angelus Ducas Comnenus, Joannis sebastocratoris filius, de quo agimus in *Famil. Byzant.* p. 210. DUCANG.

(50) Argentinæ, Opicini Spinolæ filiæ unicæ. Vide stemma Palæologorum Montferratensium in *Famil. Byzant.* p. 249. DUCANG.

(51) Atqui tamen marchionum primitus magna ac illustris apud Latinos fuit dignitas, ut qui regnorum limitibus præessent, unde illorum fluxit nomenclatura. Vide Gloss. med. Latin. DUCANG.

(52) Sed et apud Latinos legionum vel etiam exercitus totius vexilliferi marchiones nunquam dicti, quod et infra repetit. Ita sæpe nugantur Græculi isti scriptores, rerum nostratium omnino ignari ac imperiti. DUCANG.

pluribus est agendum. Cum summa rerum ad Romanos devoluta esset, potentia Urbis ipsos prope cœlos attingebat. Eorum enim consules et dictatores, alii Africam et Libyam, alii Galliam et Iberiam et Celticam, alii plerasque Asiæ et Europæ provincias subegerunt usque ad Tanaim et Gades. Actum servitutis lege astricti alii aliunde Romam ad dominam urbem in dies confluebant, duces, satrapæ, reges, principes nationum et rectores provinciarum, alii ut Cæsaribus et Augustis innotescerent, alii ut dignitatis gradum et locum aliquem in Cæsareo senatu sortirentur. Accedebant et alii viri clari et spectati, ut reverentiæ et honoris causa in civitatem ascriberentur, et illustri aliquo nomine Romano ornarentur, quemadmodum Josephus Hebræus ex Palæstina oriundus, et Ptolemæus, qui de rebus astronomicis omnium optime scripsit. Illinc quippe uterque cognomen accepit, Flavii quidem Josephus, Ptolemæus vero Claudii. Tum **239** igitur confluentibus undecunque principibus Parthicis, Persicis et cæteris omnibus alii alias appellationes primitus sortiti sunt. Magni autem Constantini temporibus Rossicus locum et dignitatem dapiferi : Peloponnesi rector, principis ; Atticæ et Athenarum, magni ducis : Bœotiæ et Thebarum, magni primicerii : magnæ vero insulæ Siciliæ, regis ; alii denique alios titulos obtinuerunt. Quorsum enim ea singula recensere attinet, quorum memoriam tempus obruit, atque alia penitus abscondit et oblivionis fluctibus demersit, alia incerta et obscura temere apud homines jactari permisit? Neque enim apud quos illa olim fuerunt, ita tunc se habebant, ut apud nos hodie se habent. Sed quasi successionis jure receptum est, ut ad singularum provinciarum præfectos eæ dignitates transmitterentur ab iis qui primi illas accepissent. Et nunc quidem aliqua ex iis longo tempore corrupta veram originem subobscure indicant. Nam Bœotiæ Thebarumque principem pro magno primicerio μέγαν κύριον nunc appellant, in errorem prolapsi, eo quod primam syllabam corruperunt. Atticæ item et Athenarum rectorem pro magno duce nunc ducem Athenarum vocant.

A τὴν τῶν λεγομένων ἐνάργειαν· ὅτε ὑπὸ Ῥωμαίοις ξυνέβρεε τὰ πράγματα καὶ τὸ τῆς Ῥωμης κράτος καὶ αὐτῶν, ὡς εἰπεῖν, ἔψαυεν οὐρανῶν, ἐπειδὴ καὶ ὕπατοι τούτων καὶ αὐτοκράτορες, οἱ μὲν Ἀφρικὴν καὶ Λιβύην, οἱ δὲ Γαλατίαν καὶ Ἰβηρίαν καὶ Κελτικὴν ὑπηγάγοντο (53), οἱ δὲ τὰ πλείω τῆς τε Ἀσίας καὶ Εὐρώπης, τά τε μέχρι Τανάΐδος δηλαδὴ καὶ ὅσα μέχρι Γαδείρων· τότε τοίνυν δουλείας φερόμενοι νόμῳ συνέβρεον ἄλλοθεν ἄλλοι συχνὰ πρὸς τὴν ἄρξασαν Ῥώμην, ὅσοι στρατηγοὶ κατὰ τόπους καὶ ὅσοι σατράπαι καὶ βασιλεῖς ἐθνῶν καὶ ἡγεμόνες τόπων καὶ πόλεων· οἱ μέν, ἵνα γνωστοὶ τοῖς τε Καίσαρσι καὶ Αὐγούστοις καθίσταιντο· οἱ δὲ, ἵνα στάσιν τινὰ καὶ κλῆρον ἐν τῇ περὶ τοὺς Καίσαρας συγκλήτῳ καὶ τάξει λαγχάνωσιν. Οὐ μόνον δὲ, ἀλλὰ καὶ τῶν ἄλλως ἐνδόξων καὶ ἐλλογίμων πρωτίστων, ἵνα τῷ τῆς Ῥώμης δήμῳ αἰδοῦς ἕνεκα καὶ τιμῆς καὶ αὐτοὶ πολιτογραφῶνται καὶ ὀνόματος ἀξιῶνται τῶν ἐπισήμων τῆς Ῥώμης· ὥσπερ καὶ ὁ ἐκ τῆς Παλαιστίνης Ἑβραῖος Ἰώσηπος, καὶ Πτολεμαῖος ὁ κράτιστα πάντων τὰς ἀστρονομικὰς συγγραψάμενος ὑποθέσεις. Ὁ μὲν γὰρ Φλαούϊος ἐκεῖθεν ἐπωνόμασται, ὁ Ἰώσηπος· ὁ δὲ Κλαύδιος, ὁ Πτολεμαῖος. Τότε δὴ οὖν καὶ τῶν πανταχόθεν συρρεόντων ἡγεμόνων Παρθικῶν τε καὶ Περσικῶν καὶ τῶν ἄλλων ἄλλοι ἄλλας κεκλήρωντο πρότερον κλήσεις. Ὁ δὲ Ῥωσικὸς (54) τήν τε στάσιν καὶ τὸ ἄξίωμα τοῦ ἐπὶ τῆς τραπέζης παρὰ τοῦ μεγάλου κεκλήρωται Κωνσταντίνου· ὁ δὲ Πελοποννησιακὸς τὸ τοῦ πρίγκιπος· ὁ δὲ τῆς Ἀττικῆς τε καὶ τῶν Ἀθηνῶν ἀρχηγὸς τὸ τοῦ μεγάλου δουκός· ὁ δὲ τῆς Βοιωτίας καὶ τῶν Θηβῶν τὸ τοῦ μεγάλου πριμμικηρίου· ὁ δὲ τῆς μεγάλης νήσου Σικελίας τὸ τοῦ ῥηγός· καὶ ἄλλοι ἄλλα. Τί γὰρ δεῖ καθ' ἕκαστα διεξιέναι, ὧν τὴν μνήμην ὁ χρόνος συνέχωσε, καὶ τὰ μὲν τελέως ἐκάλυψε καὶ λήθης ποταμοῖς ἀφῆκε συμφέρεσθαι, τὰ δ' ἀτέκμαρτα συγκεχώρηκε περὶ τὸν βίον πλανᾶσθαι; Οὐ γὰρ ὥσπερ νῦν παρ' ἡμῖν, οὕτω καὶ τότε ἐγένοντο ταῦτα, παρ' οἷς ἐγένοντο· ἀλλ' ὥσπερ ἐς διαδοχὰς συνεχωρήθησαν παραπέμπεσθαι τοῖς τῶν ἐπαρχιῶν ἑκάστων ἄρχουσι τὰ τῶν πρώτως εἰληφότων ἕκαστα ἀξιώματα. Καὶ μὲν δὴ ἔστιν ἃ τῶν τοιούτων παραφθοράν τινα τῷ μακρῷ χρόνῳ παθόντα ἀμυδρῶς πως ὑπεμφαίνουσι τὴν ἀλήθειαν. Τὸν γάρ τοι τῆς Βοιωτίας καὶ τῶν Θηβῶν ἀρχηγὸν ἀντὶ μεγάλου πριμμικηρίου μέγαν κύριον ὀνομάζουσι νῦν, εἰς τοῦτο παρενεχθέντες ἐκ τοῦ παραφθεῖραι τὴν πρώτην συλλαβήν. [P. 147] Ὁμοίως δὲ καὶ τὸν τῆς Ἀττικῆς καὶ τῶν Ἀθηνῶν ἀρχηγὸν ἀντὶ μεγάλου δουκὸς δοῦκα καλοῦσι τῶν Ἀθηνῶν.

B

C

Et nunc quidem aliqua ex iis longo tempore corrupta veram originem subobscure indicant. Nam Bœotiæ Thebarumque principem pro magno primicerio μέγαν κύριον nunc appellant, in errorem prolapsi, eo quod primam syllabam corruperunt. Atticæ item et Athenarum rectorem pro magno duce nunc ducem Athenarum vocant.

ἀρχηγὸν ἀντὶ μεγάλου πριμμικηρίου μέγαν κύριον ὀνομάζουσι νῦν, εἰς τοῦτο παρενεχθέντες ἐκ τοῦ παραφθεῖραι τὴν πρώτην συλλαβήν. [P. 147] Ὁμοίως δὲ καὶ τὸν τῆς Ἀττικῆς καὶ τῶν Ἀθηνῶν ἀρχηγὸν ἀντὶ μεγάλου δουκὸς δοῦκα καλοῦσι τῶν Ἀθηνῶν.

Variorum notæ.

(53) *Celticam* vocat eam, quæ vulgo *Celtiberia* vocatur, vel potius eam partem Galliæ, quæ Hispaniæ vicina est; *Galatiam* autem reliquas Galliæ provincias. Gregoras Iberiam ad Alpes fere usque pertinere existimavit. Nam infra (sect. 6) Montisferrati marchionatum collocat inter Alpes et inferiorem Iberiam. BOIVIN.

(54) Quæ hic de Russiæ seu Moscoviæ principi, ἐπὶ τραπέζης, seu *dapiferi* ; Moreæ seu Peloponnesi domino, principis ; Athenarum, magni ducis ; Bœotiæ et Thebarum, magni primiceri ; ac denique Siciliæ, regis a Constantino Magno datis dignitatibus commentatur Gregoras, meræ sunt ac aniles omnino fabulæ, quas refellere, operam esset ludere. Nam ut de Russica taceam, quæ nullibi occurrit (*a*), cæteræ non a Græcis, sed a Latinis manarunt. Qui enim ex nostris post captam urbem Athenis imperarunt, ducum appellationem vel sibimet ascripserunt, vel ab imperatoribus Latinis obtinuerunt, iique simul et Thebis imperarunt, quamvis Gregoras diversos fuisse Athenarum et Thebarum dominos hic innuat, licet infra cap. 7 contrarium agnoscat; qui quidem μεγάλοι κύριοι a Græcis, a nostris vero *Grands Sires*, id est *magni domini*, propter vastiorem eorum dominationem vulgo appellabantur, non vero ex voce Πριμμικήριος corrupta, ut hic et cap. 7 nugator. DUCANG.

(*a*) Vide tamen Gregoræ epistolam *Ad præfectum mensæ* seu Russiæ principem, infra, inter ejus epistolas. EDIT.

Ϛ'. Καὶ ἵν' ἐπανέλθωμεν, ὅθεν εἰς τοῦτο ἐξέβημεν· ἐν ἐκείνοις τοῖς χρόνοις καὶ ὁ τῆς ἐπαρχίας ταύτης ἀρχηγὸς τὸν τοῦ μαρκεσίου εἴληφε κλῆρον, μικρόν τινα καὶ τῇ ἐπαρχίᾳ ἐκείνῃ ἀνάλογον. Κεῖται δ' ἡ χώρα αὕτη μεταξύ που τῶν Ἄλπεων καὶ τῆς κάτω Ἰβηρίας (55)· ἣν ὁ μαρκέσιος ἐκληρώσατο, χρέος ἀΐδιον ἔχων, εἴ τις ἐκ τοῦ ἔθνους ἀνίσταιτο βασιλεύς, τὴν τοῦ σημαιοφόρου τάξιν ἀποπληροῦν πρὸς ἐκεῖνον αὐτός· ἀλλ' ἐκεῖσε ἐπάνειμι. Θεόδωρον μὲν γὰρ τὸν ἑαυτῆς δεύτερον υἱὸν ἡ βασιλὶς Εἰρήνη οὕτως ἐκεῖσε παρέπεμψεν, ἵνα μὴ παρὰ Ῥωμαίοις ὢν δοῦλος αὐτός τε καὶ ἡ τοῦ σπέρματος αὐτοῦ διαδοχὴ γένηται τοῦ προγονοῦ βασιλέως. Εἵλετο γὰρ κοινωνὸν τῆς Λατίνων τοῦτον μᾶλλον καταστῆσαι θρησκείας, καὶ ἀτιμότερον εἶναι πόρρω διάγοντα, ἢ παρὰ Ῥωμαίοις ἔνδοξον ὄντα δουλεύειν τῷ μισουμένῳ αὐτῇ προγονῷ καὶ ἅμα παῖδας παισὶ καὶ ἀπογόνους ἀπογόνοις. Συνεξέπεμψε δ' ἐκείνῳ καὶ σωροὺς χρημάτων Ῥωμαϊκῶν. Καὶ οὕτω δὴ τὴν φλεγμαίνουσαν ἔφεσιν ἑαυτῆς ἐναντιουμένη τῷ συζύγῳ καὶ βασιλεῖ ἐπὶ τοῦ ἑνός γε τῶν υἱέων ἐπέρανε Θεοδώρου τοῦ μαρκεσίου.

Ζ'. Τὸν μέντοι πρῶτον υἱὸν αὐτῆς Ἰωάννην πάντοι πλεῖστα ἐσπούδασε πρότερον εἰς ὑπερόριον κῆδος ἐκπέμψαι καὶ αὐτόν, καὶ πλεῖστα ἀνηλώκει χρήματα θέλουσα τοῦτον ἄρχοντα καταστῆσαι τῶν Αἰτωλῶν τε καὶ Ἀκαρνάνων, καὶ ὅση τῆς Ἠπείρου περίχωρος· ἀλλ' οὐδαμῇ ἔσχεν εὐοδον θεῖναι τὸ βούλευμα. Ἕτερα δ' αὖθις βουλευομένης αὐτῆς περὶ τοῦ υἱοῦ (56), φθάσας ὁ βασιλεὺς ἐμποδὼν ἐγένετο τῆς ὁρμῆς, πατὴρ εἶναι λέγων καὶ αὐτὸς καὶ οὐχ ἧττον τῆς μητρὸς κηδόμενος τοῦ υἱέως· προστιθεμένου δὲ καὶ τοῦ μείζονα δύνασθαι τῆς μητρὸς τὸν πατέρα, τὸ κωλύον οὐδὲν τὴν τοῦ πατρὸς τελεσθῆναι βούλησιν ἐπὶ τῷ παιδὶ μᾶλλον ἢ τῆς μητρός. Ἦν δὲ τηνικαῦτα μεσάζων (57) τοῖς πράγμασι σοφὸς ἀνὴρ καὶ πολλὴν τὴν ἐμπειρίαν καὶ σύνεσιν πλουτῶν ἐς τὰ κοινά, καὶ διὰ τοῦτο μάλα τοι πλείστης ἀπολαύων τῆς τοῦ κρατοῦντος εὐμενείας τε καὶ ῥοπῆς, καὶ πολλοῖς τισι βρίθων τοῖς χρήμασι διὰ ταῦτα, Νικηφόρος (58) ὁ ἐπὶ τοῦ Κανικλείου. Οὗτος

VI. Ut autem ad propositum revertamur, iisdem illis temporibus etiam provinciæ ejus quam diximus princeps marchionis dignitatem obtinuit, **240** exiguam sane, et illi ipsi provinciæ parem. Sita autem est ea regio intra Alpes et inferiorem Iberiam. Ea, inquam, marchioni obtigit, perpetuo munere attributo, ut si quis ex ea gente imperator exsisteret, iste apud eum vexillarii officio fungeretur. Sed illuc redeo. Theodorum filium suum alterum Irene imperatrix sic illuc misit, ne ipse et ejus posteri, si maneret apud Romanos, privigno imperatori servirent. Maluit enim eum ad Latinorum religionem communionemque transire, et peregre minore dignitate esse, quam inter Romanos illustrem invisо privigno servire, atque ejus liberos illius liberis, et nepotes nepotibus. Una vero etiam acervos Romanæ pecuniæ misit. Atque ita inflammatam suam cupiditatem, marito imperatori adversata, in uno saltem filio Theodoro marchione explevit.

VII. Enimvero primogenitum Joannem et ipsum prius impensissime studuerat ad externum conjugium ablegare, et maximos sumptus fecerat, ut eum Ætolorum et Acarnanum et Epiri totius circumjacentis principem constitueret. Sed nullo modo deliberata exsequi potuerat. Cum autem eidem filio aliter consulere vellet, imperator conatus antevertit ac inhibuit, se quoque parentem esse dicitans, nec minus quam matri filium sibi curæ esse; eo autem accedere, quod paterna auctoritas major foret quam materna; ac proinde nihil obstare, quominus **241** patris voluntas potius quam matris de filio rata haberetur. Primarius eo tempore imperii administer erat vir sapiens, multa experientia et acri judicio ad publica negotia tractanda instructus; quam ob causam magna apud principem gratia et auctoritate pollebat, et ob id quoque opum vi maxima abundabat. Erat is Nicephorus, Canicrlei præfectus. Hic blandis sermonibus atque obse-

Variorum notæ.

(55) Imo Galliæ. DUCANG. — Κεῖται δ' ἡ χώρα αὕτη μεταξύ που Ἄλπ. καὶ τῆς κάτω Ἰβηρίας. Greece itaque *inferior Iberia* est regio illa, quæ ab Hispania ad Montisferrati limites usque extenditur; ut et supra adnotatum. BOIVIN.

(56) An intelligit initum ab ea consilium de illo in Lombardiam mittendo? cui consilio vehementer refragatus est patriarcha Athanasius, cujus de ea ipsa re exstat in Cod. Regio Telleriano fol. 90, v., Γράμμα πρὸς τὸν αὐτοκράτορα, περὶ τοῦ περιποθήτου δεσπότου υἱοῦ αὐτοῦ Ἰωάννου. Ubi notandum *Francos* dici eos populos, ad quos ille iturus foret. Φήμη περιέτυπεῖ τοῖς ὠσὶ τῶν πολλῶν τοῦ περιποθήτου χάριν υἱοῦ τῆς ἐκ Θεοῦ βασιλείας σου, δεσπότου κυροῦ Ἰωάννου, ὡς ἀναγκάζεσθαι τοῦτον παρὰ τῆς περιποθήτου αὐτοῦ μητρὸς καὶ δεσποίνης, συναινέσει τῆς ἐκ Θεοῦ βασιλείας σοῦ, τῆς γονικόθεν αὐτῷ ἀνηκούσης διεκδραμεῖν, καὶ ζητῆσαι κατάρξαι τῶν Φράγγων ἀρχῆς. Item notatu digna hæc, Τίς γὰρ ὁ ἀγγύας δοῦναι θαρρῶν περὶ τοῦ ῥηθέντος, εἰ κἂν τηρήσῃ τὴν πίστιν ἀμώμητον ἐν τοιαύτῃ νεότητι, καὶ ἀλλοδαπῇ γῇ βαρβάροις κατοικουμένῃ, καὶ ἔθνει κατάκρως ὑπερηφάνῳ καὶ ἀπονενοημένῳ τὰ μέγιστα; BOIVIN.

(57) Vide Glossarium Ducangii. BOIVIN.

(58) Cognom. *Chumnus*, cujus meminit Pachymeres lib. XII. cap. 17, et Cantacuzenus lib. I, cap. 14. Vide *Famil. Byzant.* pag. 256, et indicem auctorum Ms. ad Glossar. med. et infimæ Græcit., ubi de ejus scriptis. DUCANG. — Ὁ ἐπὶ τοῦ Κανικλείου. De voce Κανίκλειον, et de dignitate τοῦ ἐπὶ Κανικλείου, vide notas Ducangii ad Alexiadem pag. 258 et 378; item Gloss. med. Græcit. in v. Κανίκλειον. Cæterum hic, de quo sermo est, Caniclei præfectus, *Nicephorus Chumnus* fuit, cujus opera exstant in Bibliotheca Regia, Cod. 2964. Ubi et *Nathanael* vocatur (*a*); quod ei demum monacho nomen inditum fuisse arbitror. BOIVIN.

(*a*) Et sub Nathanaelis nomine anno 1814 Creuzer edidit libellum *De corporum resurrectione*, post Plotinum *De pulchritudine*. Vide apud nos ad annum 1320. EDIT.

quibus lenitate imperatoris callide conciliata petit et accipit generum cum quem diximus imperatoris filium Joannem, indignante quidem et refragante imperatrice, ejus matre ; sed tamen accipit. Verum affinitatis illius non diuturnum fructum tulit nec is qui generum acceperat, nec is qui datus fuerat. Nam priusquam integri anni quatuor elaberentur, Joannes matre, socero, uxore superstitibus, Thessalonicæ sine liberis decessit.

VII. Cum autem etiam hanc imperatricis spem in eo filio positam tempus sustulisset, ac velut Charybdis quædam absorpsisset, nihil quo se consolaretur reliquum erat, præter filiam Cralænam, et Demetrium filium. Tantam igitur Romanæ pecuniæ copiam Crali genero partim misit, partim Thessalonicam arcessito dedit, quanta vel centum triremes in perpetuum Romanorum præsidium instrui potuissent. Et quorsum attinet nova commenta et prius inaudita, quæ intempestiva mulieris ambitio excogitavit, commemorare ? Nam cum suam filiam **242** imperatoriis insignibus ornare vellet, ut ne quid ei deesset earum rerum, quibus imperatrices decorari Romanorum institutis jam pridem placuit, nec aliter voti compos fieri posset : primum calyptram capiti Cralis imposuit, pretiosis lapidibus et margaritis tot et talibus distinctam, ut eam ferme æquaret, quam ejus vir Andronicus imperator gestabat. Atque inde auspicata priore deinceps pretiosiorem quotannis illi misit. Immensa vero pretia splendoremque vestium, quas et genero et filiæ suæ Cralænæ sæpissime donabat, quis enumeret ? Quis singula domus imperatoriæ ornamenta percenseat, quæ Romanis erepta in Cralem Servium, imperatoris conjugis sui lenitati illudens, et suam ipsius cupidinem explens, conferebat? Cupido autem ejus hæc erat, fisci imperatorii thesauros in liberorum suorum, præsertim Cralænæ filiæ, sinum exhaurire. Quippe ex hac susceperum liberos Cralem, eosque visuram se sperabat. Atque ideirco præfestinans præcurrensque legitimum tempus thesauros illis reponebat, quibus adjuti et opportuna tandem occasione invitati Romanarum virium imbecillitatem opprimerent, et imperium, quod volentibus Romanis non sortiti essent, iisdem invitis eriperent.

IX. Verum non animadvertit, se humana semper consilia animo agitasse, nunquam vero animum

θωπευτικοῖς τισι λόγοις καὶ πράγμασιν ὑπελθὼν τὴν τοῦ βασιλέως πραότητα αἰτεῖ καὶ λαμβάνει γαμβρὸν ἐπὶ τῇ θυγατρὶ (59) τὸν ῥηθέντα τοῦ βασιλέως υἱὸν Ἰωάννην, δεινοπαθούσης μὲν καὶ σὺδαμῇ ἐθελούσης τῆς μητρὸς καὶ δεσποίνης· ἔλαθε δ' οὖν. Ἀλλ' οὐκ ἐπὶ πολὺ τοῦ κήδους ἀπώνατο οὔθ' ὁ λαβών, οὔθ' ὁ ληφθείς. [P. 143] Πρὶν γὰρ ὅλα ἐξήκειν τέσσαρα ἔτη (60), ἅπαις τὸν βίον ὁ Ἰωάννης ἀπῆλλαξεν (61) ἐν Θεσσαλονίκῃ ἐπὶ μητρὶ καὶ πενθερῷ καὶ συζύγῳ.

ΙΒ'. Ἐπεὶ δὲ καὶ τὰς ἐπὶ τούτῳ τῆς μητρὸς ἐλπίδας ὁ χρόνος οἷά τις Χάρυβδις ἀφελόμενος κατεβάπτισεν, αἱ Κραλαίνης τῆς θυγατρὸς καὶ Δημητρίου τοῦ παιδὸς κατελείφθησαν μόναι. Τοσαῦτα τοίνυν ἐξεκένωσε Ῥωμαϊκὰ χρήματα πρὸς τὸν Κράλην ἡ πενθερά τε καὶ δέσποινα, τὰ μὲν ἐκεῖσε πέμπουσα, τὰ δ' αὐτὸν ἐν Θεσσαλονίκῃ μεταπεμπομένη καὶ ἐπιφορτίζουσα, ὅσα καὶ τριήρεις ἑκατὸν ἐξήρτυσαν ἄν, καὶ διηνεκὲς τοῖς Ῥωμαίοις ἐγίγνοντ' ἂν ὄφελος. Καὶ τί δεῖ καταλέγειν τὰς καινὰς ἐπινοίας αὐτῆς, ὁπόσας μήπω πρὶν γεγονυίας ἡ πόῤῥω τοῦ καιροῦ φιλοτιμουμένη γνώμη τῆς γεμνοτάτης ταύτης δεσποίνης ἐνεωτέρισε ; Θέλουσα γὰρ τὴν θυγατέρα βασιλικοῖς παρασήμοις κοσμῆσαι, ἵνα μηδ' ἐκείνη μηδενὸς ἐλαττοῖτο, ὁπόσα Ῥωμαίων θεσμοὶ τὰς βασιλίδας ᾔρηνται πάλαι κοσμεῖν, μὴ δυναμένη δ' ἄλλως τὸ καταθύμιον ἐκπερᾶναι, φέρουσα καλύπτραν (62) ἐπέθηκε πρότερον τῇ κεφαλῇ τοῦ γαμβροῦ λίθοις καὶ μαργάροις πολυτελέσι κεκοσμημένην, ὁπόσοις καὶ οἵοις μικροῦ καὶ ἡ τοῦ ἀνδρὸς αὐτῆς Ἀνδρονίκου τοῦ βασιλέως ἐκεκόσμητο. Ἔπειτ' ἐκεῖθεν ἀρξαμένη κατ' ἔτος ἑτέραν προσετίθει κρείττω τῆς προτέρας ἀεί. Τάς τε πολυτελείας τῶν ἐνδυμάτων καὶ τὰς λαμπρότητας, ὧν ἐχαρίζετο συχνοτέρων αὐτῷ τε καὶ τῇ θυγατρὶ αὐτῆς τῇ Κραλαίνῃ, τίς ἂν ἀριθμοίη ; Τίς δ' ἂν ἐξετάζοι τῶν βασιλικῶν χειμηλίων τὸν ἀριθμὸν, ὁπόσα αὐτὴ τοὺς Ῥωμαίους ἀποστεροῦσα τῷ Κράλῃ Σερβίας ἐδίδου, κατατρυφῶσα μὲν τῆς τοῦ βασιλέως καὶ συζύγου πραότητος, τὴν δ' ἑαυτῆς ἀδεῶς ἀποπιμπλῶσα ἔφεσιν ; Ἔφεσις γὰρ ἦν αὐτῇ τῶν βασιλικῶν ταμιείων τοὺς θησαυροὺς ἐς τοὺς κόλπους τῶν ἑαυτῆς ἐκκενῶσαι τέκνων καὶ μάλιστα τῆς Κραλαίνης καὶ θυγατρός. Ἤλπιζε γὰρ καὶ παῖδας ὄψεσθαι γεννηθέντας τῷ Κράλῃ παρὰ τῆς θυγατρός. Καὶ διὰ τοῦτο προαρπάζουσα τὸν καιρόν σφισι τὸν Ῥωμαϊκὸν ἐθησαύριζε πλοῦτον, ἵνα καιροῦ καλοῦντος ὀψὲ τοῦ χρόνου τῆς τῶν Ῥωμαίων ἀσθενείας ἐκεῖθεν αὐτοὶ καταδράμωσι καὶ ἣν ἐκόντων Ῥωμαίων οὐκ ἐκληρώσαντο βασιλείαν, ταύτην ἀκόντων ἀφέλωνται.

Θ'. Ἀλλὰ γὰρ Ἔλαθεν ἀνθρωπίνας μὲν ἐπινοίας καθ' ἑαυτὴν ἀεὶ στρέψασα, θεὸν δ' ἐπὶ λογισμοὺς

Variorum notæ.

(59) *Eulogia*. Vide hujusce hist. lib. xxix. Boivin.

(60) Libro xxix infra dicturus est, eam vix biennio integre cum marito vixisse, μόλις που δύο μόνους ἐνιαυτοὺς ἐκείνῳ τοῦ βίου συναπολελαυκυῖαν. Inter opuscula Nicephori Chumni, quæ existant in Cod. Reg. 2964, unum fol. 271. inscribitur, Πρὸς τὴν ἑαυτοῦ θυγατέρα βασίλισσαν, ἐπὶ τῷ πάθει τῆς γηρεᾶς αὐτῆς, ἑξκαιδέκατον ἀφοῦσης χρόνον, etc. Ergo virum amisit sexdecim annos nata. At Gregoras libro Historiæ xxix eam nupsisse ait sub annum ætatis fere decimum sextum, μετὰ χρόνον που ἑξκαιδέκατον. Boivin.

(61) Exstat Nicephori Chumni lamentatio πρὸς τὸν αὐτοκράτορα, ἐπὶ τῇ τελευτῇ τοῦ δεσπότου, τοῦ καὶ υἱοῦ αὐτοῦ cod. Reg. 2964, fol. 278. Boivin.

(62) Cujusmodi erat imperatoria illa calyptra, quam pyramidem vocabant, de qua egimus in Gloss. med. Græcit. in Πυραμίς. Ducang.

οὐκ ἀναβιβασαμένη τὸ σύνολον, ὅτι τῆς ἐκείνου τὰ πάντα χειρὸς ἐξήρτηται· καὶ πολέμιον τοῦτον πᾶς τις εὑρίσκει, ὅστις, ἄνθρωπος ὤν, πέρα τῶν ἀνθρωπίνων μέτρων φρονεῖ, καὶ οὐκ εἰς Θεὸν ἀναφέρει τῶν ἐνεργουμένων τε καὶ βουλευομένων τὴν διεξαγωγὴν καὶ τελείωσιν. Ἰδοὺ γὰρ καὶ ἡ βασιλὶς αὕτη Εἰρήνη μεγάλαις ἑαυτὴν ἀναρτήσασα ταῖς περὶ τοὺς παῖδας ἐλπίσιν, αὐτὴ μὲν ἀνθρωπίνως ἐχρῆτο τοῖς πράγμασιν ἄνευ Θεοῦ, καὶ τὰ τῶν Ῥωμαίων, [P. 149] ὡς εἰρήκειμεν, ἀμφοτέραις ἐξήντλει χρήματα πρὸς τοὺς τῶν Ῥωμαίων ἐχθρούς· τὰ δὲ πράγματα οὐ προὐχώρει κατὰ τὰς ἐλπίδας αὐτῆς, ἀλλὰ ματαίαν τὴν ἐκείνης διάνοιαν ἦλεγχον, σφάλλοντος ὡς ἔοικεν ἄνωθεν τοῦ τῆς δίκης κρίματος. Τῇ μὲν γὰρ θυγατρὶ ὀκταέτει πλέον ἢ τεττερακοντούτης ὁ Κράλης μιγεὶς βλαβῆναι τὴν ταύτης πέπραχε μήτραν, ὡς μηδὲ γονὴν ἐξ ἐκείνης ἔτι δύνασθαι γίγνεσθαι.

Ι'. Κἀντεῦθεν καὶ τῶν τοιούτων ἐλπίδων ἐκπεπτωκυῖα ἡ βασιλὶς ἑτέραις αὖθις ἐπιχειρεῖ καὶ οὐκ ἠρεμεῖ· καὶ πείθει τὸν Κράλην πολλοῖς καὶ ἀναριθμήτοις ὑπερεχομένη τοῖς δώροις (63), ἀπαγορευθέντος ἤδη τοῦ παῖδα γενέσθαι οἱ ἐκ τῆς Κραλαίνης, ἐλθεῖν κατὰ δεύτερον πλοῦν τὴν διαδοχὴν τῆς τῶν Τριβαλλῶν ἀρχῆς εἰς ἕνα τινὰ τῶν ἀδελφῶν τῆς Κραλαίνης. Δημήτριος δ' ἦσαν οὗτοι καὶ Θεόδωρος ὁ μαρκίσιος· ὁ μὲν οὔπω τότε τὸν ἔφηβον παραλλάττων· ὁ δὲ καὶ παίδων ἤδη τυγχάνων πατὴρ, περὶ χεῖρα τῆς Λαμπαρδίας, ἔνθα παρὰ τῆς μητρὸς, ὡς εἰρήκειμεν, ἐξεπέμφθη τοῦ γένους λείψανον. Καὶ πρῶτον μὲν τὸν Δημήτριον πολλαῖς ταῖς τῶν χρημάτων τρυφαῖς καὶ βλακείαις πρὸς τὸν Κράλην συνεκπέμπει, διάδοχον χειροτονηθησόμενον, ὡς εἰρήκειμεν, τῆς ἀρχῆς· ὃς δὴ καὶ ἄσμενος μὲν ὑπεδέχθη παρὰ τοῦ Κράλη· τὸ δὲ τοῦ τόπου σκληρὸν καὶ ἀπαραμύθητον ὅλαις ὁρμαῖς ἀνεσόβει καὶ ἀπετρέπετο τὴν ἐκεῖ διαμονὴν καὶ μακροτέραν αὐτοῦ ἐνδιαίτησιν. Ὅθεν μετ' οὐ πολὺ τὸν Δημήτριον οὕτως ἐκεῖθεν ἡ μήτηρ ἐπανήκοντα δεξαμένη, καὶ τῶν ἐντεῦθεν ἤδη ψευσθεῖσα ἐλπίδων, τὸν ἕτερον ἐκ τῆς Λαμπαρδίας υἱὸν μεταπέμπεται Θεόδωρον τὸν μαρκίσιον, κεκαρμένον ἐπιφερόμενον πώγωνα (64)· καὶ τὸν ὅμοιον τρόπον ἐκπέμπει καὶ τοῦτον διάδοχον ἐσόμενον τῆς τοῦ Κράλη Σερβίας ἀρχῆς. Ἄσμενος οὖν καὶ τοῦτον ὁ Κράλης ὑποδέχεται. Τὸ δὲ τοῦ τόπου σκληρόν τε καὶ ἄηθες οὐδὲ τοῦτον ἀφῆκε μονιμώτερον ἐκεῖ ποιήσασθαι τὴν διατριβήν. Ἀλλ' ἐπανελθὼν καὶ οὗτος καὶ ἀσπασάμενος τὴν μητέρα, πάσας παρ' ἐλπίδα ὁπόσας ἐπὶ τούτοις ἔτρεφεν ἐλπίδας ἀποβεβληκυῖαν, ᾤχετο ἀπιὼν εἰς Λαμπαρδίαν αὖθις παρὰ τὴν σύζυγον.

A induxisse, ut Deum cogitaret, **243** ex cujus manu pendent omnia; quem inimicum quivis experitur, qui, cum homo sit, humano captu altiora affectat, suorumque consiliorum et actionum exitum et successum ad Deum non refert. Ecce enim hæc imperatrix Irene, magna spe in liberis suis collocata, humana prudentia sine Deo res administrabat, et Romanas opes, ut diximus, in Romanorum hostes erogatas utraque manu effundebat. Res autem non ex illius sententia succedebant: sed irritos illius conatus exitus ipse arguebat, divino ut videtur judicio ejus cogitationes fallente. Crales enim quadragenario major cum puella octo annos nata congressus matricem ejus læsit, ut fetum nullum posthac edere posset.

B

X. Igitur imperatrix etiam hac spe frustrata ad aliam se convertit: et quietis impatiens multis atque innumerabilibus donis Crali persuadet, quoniam spes nulla jam supersit suscipiendæ prolis ex Cralæna, ut saltem alterum e Cralænæ fratribus Triballici principatus hæredem instituat. Ii Demetrius erant et Theodorus marchio: quorum alter nondum ex ephebis excesserat, alter in Longobardia jam etiam liberos susceperat, quo a matre, sicut diximus, ut generis reliquiæ exstarent, missus fuerat. Ac primum Demetrium cum magnis opibus conspicuum luxu et mollitie ad Cralem mittit, ut, quemadmodum dictum est, successor principatus designaretur. **244** Eum autem Crales libenter excepit. Sed dura et immansueta locorum asperitas, totis quasi viribus ipsum abigens atque avertens, manere illic et commorari diutius vetuit. Recepto itaque Demetrio, qui illinc non longo post redierat, mater oblatam inde spem irritam ac delusam videns alterum e Longobardia filium Theodorum marchionem arcessit (is rasam barbam ferebat), eodemque modo et illum, ut Crali Serviæ in principatum succederet, ablegavit. Porro hunc etiam Crales benigne excepit. Sed nec istum locorum asperitas, et insolentia longius morari ibidem permisit. Enimvero ipse quoque reversus salutata matre, quæ præter spem omni spe destituta erat, in Longobardiam ad uxorem suam rursus se contulit.

C

D

CAPUT VI.

Catalani Thraciam vastant. Locum quærunt, in quo consistant. Quantæ eorum copiæ fuerint. In Macedonia apud Cassandriam hibernant. Urbibus Macedonicis imminent: in primis Thessalonicæ. Andronicus Christopolitanas angustias munit. Milites conscribi curat, qui urbes defendant. Hostes commeatu destituti reditum in Thraciam parant. Audiunt præclusum sibi iter. In magno metu versantur. Thessaliam petunt. Juxta Olympum castrametantur. Agros finitimos populantur. Qui et quot Turci fuerint in exercitu Catalanorum. Quos duces habuerint. Ut in itinere Thessalico prædam partiti discesserint a Catalanis.

[P. 150] Α'. Καὶ ταῦτα μὲν ἐν τοῖσδε τοῖς χρόνοις

I. Atque hæc iis temporibus ad hunc modum se

Variorum notæ.

(63) Legendum ὑπερχουένη, ut in codice Vaticano legisse se monuit V. Cl. Fridericus Rostgaardius. Boivin.

(64) Latinorum more, contra quam Græci, quibus barbam nutrire solemne erat. Vide Phranzem lib. I, cap. 10; et notas ad Alexiadem pag. 283. Ducang.

habuerunt. Quæ vero consecuta sunt, deinceps exponentur. Nunc ad Catalanos redeundum. Hi enim post Aprinum prælium et victoria et Turcopulorum (qui a Romanis, ut diximus, ad ipsos defecerant) societate elati crebris excursionibus et impressionibus per integrum biennium omnia et maritima et mediterranea loca usque ad Maroneam, Rhodopem et Bizyam vasta ac deserta reddiderunt. Deinde cum spes nulla superesset percipiendi inde res necessarias, **245** ulterius progredi obvia quæque prædando statuerunt, donec idoneam et stabilem sedem invenissent. Itaque montanis Rhodopes quæ ad mare vergunt superatis, spolia sibi crebra accumulantes, impune progrediuntur. Erant autem Turcorum quidem tam peditum quam equitum plus quam duo millia: Catalanorum vero in omni tum equitatu tum peditatu millia plus quinque.

τοῦτον ἔσχε τὸν τρόπον. Τὰ δ' ἐφεξῆς εἰρήσονται ἐν τοῖς ἐφεξῆς. Ἐπὶ δὲ τοὺς Καταλάνους αὖθις τρεπτέον τὸν λόγον. Οὗτοι γὰρ μετὰ τὸν γενόμενον περὶ τοὺς Ἄπρους πόλεμον ἐπαρθέντες τῇ τε νίκῃ καὶ τῇ τῶν Τουρκοπούλων συμμαχίᾳ, οἳ, ὡς εἰρήκειμεν, Ῥωμαίους ἀφέντες ηὐτομόλησαν πρὸς αὐτούς, συχναῖς χρησάμενοι ταῖς ἐκδρομαῖς καὶ ἐφόδοις ἐφ' ὅλοις ἔτεσι δυσὶ πᾶσαν ἔρημον καὶ ἀτριβῆ πεποιήκεσαν τήν τε παράλιον καὶ μεσόγειον χώραν, ὁπόση τε ἄχρι Μαρωνείας τε καὶ Ῥοδόπης καὶ ἄχρι Βιζύης διήκει. Ἔπειτα ἀπογνόντες ἐντεῦθεν τῶν χρειωδῶν, ἔγνωσαν ἐπὶ τὰ πρόσω πορεύεσθαι τὰ ἐν ποσὶ λητιζόμενοι, μέχρις ἂν ἀπαρχρῶσαν καὶ μόνιμον εὕρωσιν οἴκησιν. Καὶ δὴ διαβάντες τὴν πρὸς θάλασσαν ὀρεινὴν τῆς Ῥοδόπης ἦσαν ἀζεῶς λαφύρων συχνῶν ἑαυτοὺς ἐμπιπλῶντες. Ἦσαν δ' ὁμοῦ χιλιάδες, τὸ μὲν τῶν Τούρκων πλῆθος (65) ὑπὲρ τὰς δύο, τό τε πεζὸν καὶ τὸ τῶν ἱππέων· τὸ δὲ τῶν Καταλάνων ὑπὲρ τὰς πέντε, ὅσον τε ἐν ἵπποις καὶ ὅσον πεζόν.

II. Autumno jam medio, in ipso Acturi primo exortu, commeatum sibi in hibernum tempus paraturi in Macedonicos pagos impetum faciunt. Ibi, post omnia fere devastata, uberrimo sibi fructu ex præda coacervato, apud Cassandriam castrametantur: quæ urbs olim illustris, nunc habitatoribus vacua est. Verum ager ei circumjectus ad habenda stativa et ad hibernandum aptus ab errabundo Catalanorum exercitu, ut diximus, occupatur. Est veni a promontorium longe in mare prominens, sinibus utrinque non parvis comprehensum, per quos nivis redundans copia hibernis mensibus effluit. Ineunte vere illinc digressi Macedonicas urbes adoriuntur; inter quas summa spei erat Thessalonica. Putabant enim, si hac primum potirentur, quæ et ampla esset et magnis opibus abundaret, eo præsertim tempore, cum imperatrices Irene et Maria intus esse dicerentur, nihil deinde obstiturum, quin hujus urbis opportunitate usi totius Macedoniæ **246** dominatum occuparent.

Β'. Τοῦ τε μετοπώρου (66) μεσοῦντος, ὅτε δὴ μάλιστα καὶ Ἀρκτοῦρος ἄρχεται ἐπιτέλλειν, τὰ ἐπιτήδεια τῆς τοῦ χειμῶνος τροφῆς παρασκευάζειν βουλόμενοι εἰσβάλλουσιν εἰς τὰς τῆς Μακεδονίας κώμας· κἀκεῖ τὰ πλεῖστα καταστρεψάμενοι καὶ πολλῆς ἑαυτοὺς τῆς ἐκ τῶν λαφύρων ἐμπλήσαντες ὠφελείας, στρατοπεδεύουσι περὶ τὴν Κασανδρείαν (67). Πόλις δὲ αὕτη πάλαι μὲν οὖσα περιφανής, νῦν δὲ καὶ τῶν εἰκητόρων ἔρημος. Ὅ γε μὴν περὶ αὐτὴν χῶρος ἐπιτήδειος ὢν ἐς στρατοπεδείαν καὶ χειμερίαν κατάγωγὴν ὑποδέχεται, ὡς εἰρήκειμεν, καὶ τὸν τῶν Καταλάνων πλανήτην στρατόν. Ἄκρα γάρ ἐστι προμήκης εἰς θάλασσαν, κόλποις οὐ μικροῖς ἑκατέρωθεν περιειλημμένη, δι' ὧν ἐν ταῖς χειμεριναῖς ὥραις τὸ τῆς χιόνος ἀποσείεται ὑπερβάλλον (68). Ἔαρος δ' ἀρχομένου (69) ἅραντες ἐκεῖθεν ἐπεχείρουν ταῖς ἐν Μακεδονίᾳ πόλεσιν, ἐν αἷς τὸ τῶν ἐλπίδων κεφάλαιον ἡ Θεσσαλονίκη ἐτύγχανεν. Ἔφαντο γάρ, ὡ. εἰ ταύτης γένοιντο πρότερον ἐγκρατεῖς μεγάλης τε καὶ πολλῷ τῷ πλούτῳ [P. 151] βριθούσης καὶ μάλιστα νῦν ὅτε καὶ τὰς βασιλίδας ἔχουσιν εἶναι ἐντὸς, Εἰρήνην φημὶ καὶ Μαρίαν (70), μηδὲν εἶναι ἐξῆς τὸ κωλύον πάσης ἐκεῖθεν ὡς ὁρμητηρίου τῆς ἄλλης Μακεδονίας δεσπότας γενέσθαι.

III. Sed illorum instituto imperator antevertit, eamque ipsis spem præcidit. In primis enim longum murum apud Christopolin a mari usque ad

Γ'. Ἀλλ' ἔφθη τὴν τούτων προεκτεμὼν ὁ βασιλεὺς ἐπίνοιαν. Ἤμψας γὰρ πρῶτον μὲν τὸ περὶ τὴν Χριστούπολιν μακρὸν ἔκτισε τεῖχος (71) ἀπὸ θαλάσσης

Variorum notæ.

(65) Turci nempe tum pactum inierant cum Catalanis anno 1306, de quo Montanerius cap. 228 et Moncada cap. 45. Vide præterea Pachymer. lib. xiii, cap. 9 et *Hist. Franco-Byzant.* lib. vi, n. 44. DUCANG.

(66) An. 1306. DUCANG.

(67) Quæ olim *Potidæa*, sita in finibus Thraciæ et Macedoniæ. Conditam ait Livius lib. xliv *a Cassandro rege in ipsis faucibus quæ Pallenensem agrum cæteræ Macedoniæ adjungunt, hinc Toronaico, hinc Macedonico septam mari.* Theodulus, in Oratione pro Chandreno, Cod. Reg. 1853, fol. 144, de Catalanis loquens (quos Italos vocat), Ἔπειτα δέ, inquit, πρὸς Μακεδονίαν ἔδοξε τούτοισι διαβῆναι, διαβάντες μὲν, καὶ στρατοπεδεύουσιν ἐν Παλλήνῃ· κἀκεῖθεν ἐξιόντες, ἐλῃΐζοντο πάντα, καθάπερ ἐκ Δωρείας τὴν Ἀττικήν Ἀχαιοί. BOIVIN.

(68) Non satis assequor, an nivem ab hominibus e monte in mare dejici, an montem nivium procellis obrui, an vero nives in mare delabi dicat. WOLFIUS. — Describit Gregoras isthmum Pallenes, in quo sita erat Cassandria, hinc Toronaico hinc Macedonico mari septum. BOIVIN.

(69) An. 1307. DUCANG.

(70) Wolfius verterat, *cum et imperatrix Irene et regina Maria ibi degerent. Maria* uxor fuit Michaelis, junioris imperatoris. Proinde et ipsa *imperatrix*, non *regina* dici debuit. Utraque certe, et *Irene* et *Maria*, βασιλίδες a Gregora dicuntur. BOIVIN.

(71) Christopoli, oppido quod Thasso insulæ obversatur, et de quo quædam notavimus ad Villharduinum n. 149, ad Pangæum vicinum montem. Cantacuzenus lib. i, cap. 4, ubi de Christopoleos φρουρίῳ· Ἅμα μὲν ὡς ὂν χαρτερὸν ἔκ τε τῆς φύ-

μέχρι τῆς τοῦ παρακειμένου ὄρους ἀκρωνυχίας· ὡς ἄβατον εἶναι τὸ χωρίον καθάπαξ μὴ βουλομένῳ τῷ βασιλεῖ τοῖς τ' ἐκ Μακεδονίας ἐς Θρᾴκην ἐθέλουσι διαβαίνειν, τοῖς τ' ἀπὸ Θρᾴκης ἐς Μακεδονίαν. Ἔπειτα ἐπεὶ ἔγνω τὴν τῶν Κατελάνων αἰχμὴν ἐπίδοξον οὖσαν ὁρμήσειν ἔαρος ἀρχομένου κατά τε Μακεδονίας καὶ τῶν ἐν Μακεδονίᾳ πόλεων, στρατηγοὺς ἀπολέξας ὁπόσοι τὰ πολέμια ἦσαν οὐκ ἀδαεῖς, πέμπει στρατολογήσοντας ἐκ Μακεδονίας, οἳ ἔσονται ἱκανοὶ φύλακες τῶν ἐν Μακεδονίᾳ πόλεων, εἰ βούλοιντο οἱ πολέμιοι περικαθίσαντες ταύτας πολιορκεῖν, ἄφθονά τε τὰ πρὸς τροφὴν ἐπιτήδεια ἐκ τῶν προαστείων ἐν ταύταις ξυναθροίσοντας καὶ πάντα τἄλλα εὖ διαθήσοντας, ἵνα μὴ τῷ τῆς πολιορκίας καιρῷ μεῖζονα τῆς ἔξωθεν εὕρωσιν οἱ φύλακες τὴν ἔνδοθεν πολιορκίαν ἐκ τοῦ λιμοῦ.

A vicini montis cacumen exstrui curat, ut, nisi ipse vellet, prorsus impervius foret hic locus iis qui vel e Thracia in Macedoniam, vel e Macedonia in Thraciam iter habituri essent. Deinde cum primo vere Catalanorum in Macedoniam et Macedonicas urbes impressionem futuram exspectari didicisset, ducibus quotquot rei militaris non imperiti essent delectis et in Macedoniam missis mandat, ut milites ex ea provincia conscribant defendendis urbibus pares, si hostibus liberet eas circumsessas oppugnare; item ut rerum ad victum necessariarum uberem copiam e suburbanis locis in eas comportent, cæteraque omnia provideant, ne obsidionis tempore urbium custodes graviorem externo hoste famem intus prementem experiantur.

B

293 I. Constantinus autem despota, imperatoris Andronici filius e priore conjuge, quæ oriunda ab Hungaris erat, susceptus, uxorem primum habuit puellam innuptam, Muzalonis protovestiarii filiam : quæ cum diu apud maritum fuisset, sine liberis decessit. Habebat illa ancillam formosam, nomine Catharam : ex qua clam compressa filium genuit despotes, quem Michaelem Catharum appellavit. Hunc ipse sic initio oderat et aversabatur, ut ne limis quidem eum aspicere dignaretur, sed quam longissime a se educari juberet. In causa hoc

[P. 180] Α'. Κωνσταντῖνος δὲ ὁ δεσπότης (49) ὁ ἐκ τῆς προτέρας γυναικὸς (50) τῆς ἐξ Οὔγγρων γενηθεὶς τῷ βασιλεῖ Ἀνδρονίκῳ ἔσχε μὲν ἐκ παρθενίας γυναῖκα πρότερον τὴν θυγατέρα Μουζάλωνος τοῦ πρωτοβεστιαρίου · ἣ δὴ καὶ πολὺν συμβιώσασα χρόνον αὐτῷ τετελεύτηκεν ἄπαις. Εἶχε δ' ἐκείνη θεραπαινίδα τινὰ εὐειδῆ, Καθαρὰν κεκλημένην. Ταύτῃ λάθρα μιγεὶς ὁ δεσπότης ἔτεκεν υἱόν, ὃν καὶ ὠνόμασε Μιχαὴλ Καθαρόν. Τοῦτον αὐτὸς τὰ πρῶτα μὲν βλέπειν οὐδ' ἄκραις ὄψεσιν ἠνείχετο, ἀλλ' ἐμίσει καὶ ἀπετρέπετο καὶ ὡς πορρωτάτω που διαιτᾶ-

Variorum notæ.

(47) Vide lib. VII, cap. 4, sect. 3, supra. BOIVIN.

(48) Phranzes ibid. De S. Georgii in Manganis monasterio agimus in *Constantinop. Christ.* lib. III, sect. 6, n. 43. DUCANG.

(49) Cantacuz. lib. I, cap. 1. Vide stemma Palæolog. pag. 235. DUCANG.

(50) Vide lib. VII, cap. 5, sect. 1. BOIVIN.

σθαι ἐκέλευε. Τὸ δ' αἴτιον, ὅτι καὶ τὸν τῆς μητρὸς αὐτοῦ Καθαρᾶς ἔρωτα ἕτερος ἐξαπίνης ἐπιδραμὼν ἀντέκρουσεν ἔρως ἐπικρατέστερος πολλῷ καὶ σφοδρότερος.

erat, quod alterius mulieris vehementior et potentior multo amor repente excitatus Catharæ quoque matris ejus amorem depulerat.

Β'. Ἐπεὶ γὰρ πρὸς τοῦ πατρὸς καὶ βασιλέως τὴν ἐπιτροπὴν ἐδέξατο τῶν τε ἐν Μακεδονίᾳ πραγμάτων καὶ Θεσσαλονίκης αὐτῆς (διέτριβε δὲ τὰ πλεῖστα τοῦ ἄστεος ἔνδον Θεσσαλονίκης), ἔρωτι γυναικὸς ἑάλω τινὸς τῶν ἐπιφανῶν. Ἦν δὲ αὕτη θυγάτηρ μὲν Νεοκαισαρείτου τοῦ πρωτασηκρῆτις, σύζυγος δὲ Κωνσταντίνου τοῦ Παλαιολόγου. Οὕτω δ' ἀπαράμιλλος ἦν τῷ τε τῆς ὄψεως κάλλει καὶ τῇ τῆς γλώττης δεινότητι καὶ τῷ ἐφέροντι τοῦ ἤθους ὑγρῷ, ὥστε οὐ ταῖς τῶν ἐντυγχανόντων μόναν ψυχαῖς ἄφυκτόν τινα τὴν ἐρωτικὴν σαγήνην ἐπέρριπτεν, ἀλλὰ καὶ μόνης τῆς φήμης τοὺς πλείστους πρὸς τοὺς ἑαυτῆς ἀνέφλεγεν ἔρωτας. Οὕτω γὰρ ἡ φύσις περὶ τὴν ἄνθρωπον ἐφιλοτιμήσατο, ὥστε πολλὴν μὲν ἐπὶ τοῦ προσώπου τὴν εὐρυθμίαν ἐφήπλωσε, πολλὴν δὲ τὴν ὀξύτητα περὶ τὴν διάνοιαν ἐθησαύρισε, πολλὴν δὲ καὶ τῇ γλώττῃ ἐνήρμοσε τὴν πειθὼ καὶ δεινότητα καὶ τὸ εὔστροφον καὶ ἐπίχαρι τῆς ἠχοῦς. Ἦν δὲ καὶ σοφίας τῆς θύραθεν οὐκ ἄμοιρος ἡ γυνή. Ἦν γὰρ ἰδεῖν αὐτὴν πάντα καὶ παντοῖα ῥᾳδίως κατὰ καιρὸν ἐν τῇ ὁμιλίᾳ διὰ γλώττης προφέρουσαν, ὅσα τε αὐτὴ δι' ἑαυτῆς ἀνεγνώκει καὶ ὅσα λεγόντων ἄλλων ἀκήκοεν, ὡς Θεανώ τινα Πυθαγορικὴν καὶ Ὑπατίαν ἄλλην ὀνομάζεσθαι ταύτην πρὸς τῶν ἐφ' ἡμῶν σοφωτέρων. Τούτων ἁπάντων Κωνσταντῖνος ὁ δεσπότης, ὡς ἔφημεν, ἐς τὰ μάλιστα ἥττητο καὶ ἀπεπειρᾶτο τῆς γυναικὸς καὶ λάθρα ἠξίου μίγνυσθαι. Ἡ δὲ, εἴτε τὸν σύζυγον δεδοικυῖα, εἴτε μυσαττομένη τὸ τῆς πράξεως ἄθεσμον, ἀνθίστατό [P. 181] τε καὶ ἀπετρέπετο. Ὁ δ' ὅσον ἐκείνην ἀποτρεπομένην ἐώρα, τοσοῦτον αὐτὸς πρὸς μείζονας ἐξεκάετο τοὺς αὐτῆς ἔρωτας· καὶ ἦν ἰδεῖν, τὸ τοῦ Πλάτωνος, τὴν ψυχὴν τοῦ ἐρῶντος ἐν ἀλλοτρίῳ ζῶσαν τῷ σώματι. Ἐπεὶ δὲ μετὰ χρόνον τινὰ τὸν βίον ὁ ταύτης ἀπέλιπε σύζυγος, ἤδη σφοδρότερον ἦν ἐγκείμενος ὁ δεσπότης καὶ πάντα λίθον κινῶν, τὸ τοῦ λόγου, νόμιμον ἀγαγέσθαι βουλόμενος σύζυγον. Οὗ δὴ γεγονότος πασῶν εὐθὺς ἐξελάθετο γυναικῶν καὶ ἐρώτων ἄλλων καὶ αὐτοῦ γε τοῦ ῥηθέντος υἱέως Καθαροῦ Μιχαὴλ, ὃν ἐκ τῆς θεραπαινίδος γεγέννηκε· καὶ ἦν μόνης θερμῶς ἐξεχόμενος Εὐδοκίας τῆς Παλαιολογίνης (51).

II. Nam rerum Macedonicarum et ipsius Thessalonicæ præfecturam cum a patre imperatore accepisset, et in ea urbe plerumque versaretur, mulieris cujusdam illustris amore captus est. Erat ea Neocæsaritæ protosecretarii filia, Constantini Palæologi uxor. Ita vero et elegantia formæ et linguæ facundia et blanda morum comitate præstabat, ut non modo aspectu suo animos eorum, a quibus adibatur, inevitabili quodam amoris laqueo irretiret, sed sola etiam fama excitatos plurimos pari ardore inflammaret. Tanta enim naturæ fuit erga eam liberalitas, ut toto vultu elegantiam præferret; in ingenio plurimum **294** acuminis, in lingua vim dicendi ac persuadendi maximam, nec non volubilitatem haberet. Erat et humanioribus litteris erudita, et in familiaribus colloquiis omnia omnis generis, quæ tam ipsa legerat, quam ex aliis audierat, facile et opportune proferebat, ut altera Theano Pythagorica et altera Hypatia ab eruditioribus quibusque appellaretur. His omnibus Constantinus despota, ut diximus, omnino victus est, ut ejus pudicitiam tentaret, et clandestinum ejus concubitum peteret. Ipsa vero, sive mariti metu deterrita, sive rem ipsam utpote illicitam aversata, resistebat ac refugiebat. Ille quo magis abhorrere eam videbat, eo vehementius amore ejus incendebatur. Itaque, quod ait Plato, amantis animam videre erat in alieno corpore spirantem. Cum autem aliquando post maritus ejus decessisset, jam acrius rem urgebat despotes, omnemque, ut vulgo aiunt, movebat lapidem, quo illam uxorem legitimam duceret. Quo facto, omnium aliarum mulierum et amorum oblitus, ipsiusque adeo filii Michaelis Cathari, quem, ut diximus, ex ancilla Catharа susceperat, unius Eudociæ Palæologinæ amoribus vacabat.

Γ'. Τοῦτον δὴ οὖν τὸν Καθαρὸν Μιχαὴλ πεντεκαιδέκατον ἤδη χρόνον τῆς ἡλικίας ἀμείβοντα πέμψας ὁ βασιλεὺς Ἀνδρόνικος ὁ γηραιὸς προσηγάγετό τε καὶ τοῖς κατ' οἶκον ὑπηρετικοῖς παιδαρίοις (52) συγκατέλεξε· πρῶτον μὲν, ἵνα μὴ διαφθαρείη λιμῷ, μηδενὸς προμηθουμένου· δεύτερον δ' ἴσως ἵνα καί τινι τῶν πέριξ ἐθνῶν εἰς κῆδος δοθείη, ὡς ἐξ αἵματος ὢν βασιλείου καὶ γένηται σπονδῶν τινων πρόξενος καί τινος ὠφελείας Ῥωμαίοις καὶ τοῖς Ῥωμαίων πράγμασιν αἴτιος. Ὁ δὲ κομισθεὶς καὶ διαπαιδευθεὶς ἐν τοῖς βασιλείοις, ἐπεὶ τὸ γένειον ἐπήνθησε καὶ τὸ τῆς ἡλικίας ἄνθος ἐπέλαμψε, τὴν ἐκ τῆς μητρὸς ἀρχὴν ἐπεδείκνυτο καὶ τὸ τῆς ἀνατολῆς ἐκείνης ἐπεφύσα φρόνημα, καὶ τὸ τῆς ἀνδρείας ἐπεδείκνυτο μέγεθος, καὶ τὸ τῆς ἀρετῆς

assiduus illic versaretur, brevi tempore imperatoris animum ita sibi conciliavit, ut et ipsi imperatoris filii oculis invidis eum aspicerent; Andronicus vero junior imperator irasceretur magis quam ceteri, molesteque ferret, singularem illum sui amorem apud avum languescere, erga novitium vero istum et supposititium excitari perpetuo ac dies noctesque crescere.

IV. Nunc quibus de causis justiorem dolorem atque iracundiam variasque et multiplices curas animo conceperit, dicendum nobis est; ex quibus conspirationes adversus imperium et malorum tempestates ac turbines exorti sunt. Nam cum publicæ res, uti dictum est, male se haberent, mortuo interim Michaele imperatore, sacramento adigi Imperator omnes jussit, primum sese tanquam principem ac dominum veneraturos et adoraturos esse, tum quemcunque imperii hæredem ipse deligeret. Quod infinite dictum pene omnes turbavit, Andronicum præcipue, designatum jam imperii successorem. Neque quisquam omnium fuit, qui non velut ex composito ad **296** suppositum illum Michaelem suspicionem converterit. Inde tumultuosa omnium consilia, et malorum creberrimæ machinationes, quæ tacitis vocibus differebantur. Ergo alii majestatis metu ad jusjurandum adacti: plerique palam detrectare ausi: quos in tanta rerum perturbatione violenter cogendos imperator non censuit. Jam enim imperatorem nepotem suum videbat ob infinitum illud jusjurandum a subditis exactum de fuga cogitare. Ob eas res tantisper quievit, et ab exigendo jurejurando destitit. Deinceps secum agitare cœpit, quemadmodum imperatorem nepotem suum fuga prohiberet: veritus, ne si ad Latinos confugeret, navalibus eorum copiis adjutus rem Romanam turbaret, atque imperium sibi per tyrannidem usurparet. Proinde occultum ei custodem apposuit Syrgiannem nuper e carcere productum. Hic enim paulo ante arctissima in custodia certis de causis habitus fuerat, quas paulo altius repetito principio par est hoc loco reddere, ut qui historiam ejus viri nesciunt a nobis eam ac ipiant.

τρίβων ἐν βασιλείοις τοσοῦτον εἰς τὴν ἑαυτοῦ σχέσιν ἐν βραχεῖ τὸν βασιλέα ἀνηρτήσατο, ὡς καὶ αὐτοὺς δὴ τοὺς τοῦ βασιλέως υἱέας ζηλοτύπως ὑποβλέπειν αὐτόν. Ὁ δὲ βασιλεὺς Ἀνδρόνικος ὁ νέος καὶ πλέον τῶν ἄλλων ὠργίζετο καὶ ἐδυσφόρει, ὁρῶν τὴν πρὸς αὐτὸν ἀνυπέρβλητον ἐκείνην ἀγάπην τοῦ βασιλέως καὶ πάππου μαραινομένην, τὴν δὲ πρὸς τὸν χθεσινὸν καὶ ὑποβολιμαῖον τουτονὶ διηνεκῶς ἀνθοῦσαν (53) καὶ αὐξανομένην ἐφ' ἡμέρᾳ καὶ νυκτί.

Δ'. Ὁ δὲ μᾶλλον δικαίως αὐτὸν ἐξέμηνεν εἰς λύπην καὶ ὀργὴν καὶ μελέτας πολυειδεῖς, ἐξ ὧν αἱ περὶ τῆς βασιλείας ἐβλάστησαν στάσεις, καὶ οἱ τῆς κακίας ἤρξαντο χειμῶνες καὶ κλύδωνες, λέξομεν ἤδη. Οὔπω γὰρ, ὡς εἰρήκαμεν, πλημμελῶς, τῶν πραγμάτων ἐχόντων καὶ μεταξὺ τοῦ βασιλέως Μιχαὴλ τεθνηκότος ἐκέλευσεν ὁ βασιλεὺς ὀμνύειν ἅπαντας· πρῶτον μὲν σέβειν καὶ προσκυνεῖν ὡς βασιλέα καὶ δεσπότην αὐτόν· ἔπειτα καὶ ὃν ἂν αὐτὸς ἐκλεξάμενος εἰς τὴν τῆς βασιλείας προστήσαιτο διαδοχήν. Τοῦτο λεχθὲν ἀορίστως μικροῦ πάντας ἐτάραξε, καὶ μάλιστα τὸν ἔγγονον Ἀνδρόνικον τὸν ὡρισμένον τῆς βασιλείας διάδοχον. Εὐθὺς γὰρ ἅπαντες τὰς ὑποψίας εἰς τὸν ὑποβολιμαῖον τουτονὶ Μιχαὴλ, ὡς ἐκ συνθήματος ἦγαγον. Καὶ πολύς τις ἐντεῦθεν ἐφύετο θόρυβος λογισμῶν καὶ ἀλλεπαλλήλοι μελέται κακίας ἐρριθμίζοντο. Τινὲς μὲν οὖν φόβῳ τῆς ἐξουσίας εἴξαντες ὤμνυον· οἱ δὲ πλείους ἐς τοὔμφανὲς τὸν τοιοῦτον ἀπείπαντο [P. 182] ὅρκον· οἷς ἀνάγκην τινὰ τυραννικὴν ἐπάγειν οὐκ ἔγνωκε δεῖν ὁ βασιλεὺς ἐν τοσούτῳ θορύβῳ πραγμάτων. Ἔδεισε γὰρ ἤδη καὶ τὸν βασιλέα τὸν ἔγγονον σχεδιάζοντα τῆς φυγῆς τὴν μελέτην διὰ τὴν ἀοριστίαν τοῦ ζητηθέντος παρὰ τῶν ὑπηκόων ὅρκου. Διὰ δὴ τοῦτο τέως ἠρέμησεν ὁ βασιλεὺς καὶ τὴν ἀπαίτησιν ἔπαυσε τῶν εἰρημένων ὅρκων. Ἐσκέπτετο δὲ ἤδη, πῶς ἂν πρὸς τὴν φυγὴν ἐμποδὼν τοῦ ἐγγόνου καὶ βασιλέως γένοιτο. Ἐδεδίει γὰρ μὴ ἀπελθὼν καὶ βοήθειαν ναυτικὴν παρὰ Λατίνων λαβὼν τά τε Ῥωμαίων συγχυκήσῃ πράγματα καὶ ἅμα τὴν βασιλείαν αὐτοῦ τυραννικῶς πως ὑφέληται. Ὅθεν λαθραῖον ἐπέστησε φύλακα τούτου τὸν Συργιάννην ἄρτι τῆς εἱρκτῆς ἐξιόντα. Ἦν γὰρ αὐτὸς πρὸ βραχέος ἐν εἱρκτῇ δεινοτάτῃ δι' αἰτίας, ἃς ἄνωθέν ποθεν ἀρξαμένους δίκαιον ἀφηγήσασθαι, ἵνα δὴ καὶ οἷς τὰ κατὰ τὸν ἄνδρα οὐκ ἔγνωσται γνώριμα κατασταίη.

CAPUT IV.

Syrgiannis genus, institutio, virtutes. Provinciæ præfectus omnium animos sibi devincit. Mira hominis solertia. Perfidus et fœdifragus populos finitimos vexat. Provinciam ademptam ut recuperaverit. Pincernæ dignitate ornatur. Rebellat. Comprehenditur. In carcerem conjectus precibus matris restituitur. Jurat se fidelem fore. Junioris imperatoris consilia jubetur explorare. Senioris consilia juniori aperit. Oratio, qua istum hortatur ad defectionem. Pactiones et juramenta. Conjurationis socii tres. Syrgiannes et Cantacuzenus, corruptis aulæ primoribus, provincias Thraciæ administrandas obtinent. Variis artibus viam defectioni muniunt.

I. Huic mater erat cum imperatoribus sanguine

Α'. Τούτῳ μήτηρ μὲν ἦν μία τῶν κατὰ γένος τοῖς

Variorum notæ.

(53) Quæ deerant in editione Wolfiana, supplevimus ex codice Regio. Sed et Fridericus Rostgardius, nobilis Danus, cui et me et Gregoram multa debere in prælatione hujus operis professus sum, idem hoc supplementum, ex codice Vaticano descriptum, Roma ad me misit: jamprjdem illud ipsum Steph. Baluzius ex eodem cod. describi curaverat in usum Ducangii; et in lucem editum fuerat a Petavio cum Breviario historico S. Nicephori Cpolitani patriarchæ. BOIVIN.

βασιλεῦσι προσηκουσῶν εὐπρεπὴς καὶ κοσμία· πατὴρ δὲ τῶν ἐκ Κομάνων ἐπίσημος, οἳ παρὰ τῶν ὑπερβορείων (54) Σκυθῶν πρὸ χρόνων συχνῶν, ὡς εἰρήκαμεν, Ἰωάννῃ τῷ βασιλεῖ προσεβρύησαν (55). Οὗτος ἀξύτητι φύσεως, πρὶν τὴν τῶν παίδων παραδραμεῖν ἡλικίαν, ἐν τοῖς λόγοις λαμπρὸς ἀνεφάνη. Ἔπειτ' ἐπιμελῶς ἐν τοῖς στρατιωτικοῖς παιδευθεὶς κράτιστος κἀν τούτοις ἔδοξε διά τε ῥώμην σώματος καὶ γνώμης βαθύτητα καὶ οἷον εἰπεῖν δαιμονίαν τὴν σύνεσιν.

A conjuncta; pari specie corporis ac modestia. Pater illustri loco oriundus e Comanis, illis scilicet, qui ante multos annos ex Hyperboreis Scythis, uti supra memorarimus, ad Joannem imperatorem sese transtulerant. Syrgiannes porro ante quam pueritiam excederet, summa ingenii celeritate præditus, magnum sibi **297** in doctrinis nomen peperit. Hinc apprime rem militarem edoctus, facile in ea princeps est habitus, non modo corporis robore, sed et animi prudentia, ac divina ut ita dicam sagacitate.

Β'. Πέμπτον δ' ἄρτι καὶ εἰκοστὸν τῆς ἡλικίας ἔτος ἀμείβων πέμπεται πρὸς τοῦ βασιλέως στρατηγὸς καὶ διοικητὴς μιᾶς τῶν περὶ Μακεδονίαν ἐπαρχιῶν, ἢ τοὺς Ἰλλυριοὺς μάλιστα ὁμοροῦντας ἔλαχε. Φιλοδωρότατος δὲ ὢν καὶ μηδὲν ἴδιον κτώμενος καὶ μηδὲν πλέον ἔχειν βουλόμενος τῶν ἅσοι τούτῳ [P. 185] συνασπίζοντές τε καὶ παρασπίζοντες ἦσαν ἐν ταῖς ἀκμαῖς τῶν ἀγώνων, οὕτω τὰς γνώμας ἁπάντων ἐξιδιώσατο, ὡς ἥδιον πάντας ἡγεῖσθαι πολλῷ θνήσκειν ὑπὲρ αὐτοῦ, ἢ ζῶντας ὁρᾶν τὸν ἥλιον ἄνευ αὐτοῦ. Ἦν δὲ καὶ δεινὸς ὁ ἀνὴρ εἴπερ τις πόρους ἐν ταῖς τῶν περιστάσεων ἀπορίαις εὑρίσκειν καὶ τοῖς ἀμηχάνοις τῶν πραγμάτων μηχανάς τινας καινοτέρας χαρίζεσθαι καὶ τόλμαν ἔμπρακτον ἐνδείκνυσθαι πανταχῇ, ὡς ἐκπλήττεσθαι πάντας ὁρῶντας τὸ μεγαλοφυὲς τοῦ ἀνδρός.

B

II. Annum autem jam quintum et vicesimum excedens, ab imperatore dux et administrator provinciæ cujusdam Macedonicæ, quæ Illyrios potissimum vicinos habet, ablegatur. Et quia liberalissimus erat, nihilque privatim possidebat, nec plus sibi vindicabat quam quivis eorum, quibus pro se et circa se dimicantibus in medio pugnarum æstu uteretur, sic animos omnium sibi devinxit, ut pro illo mortem oppetere jucundius eis foret, quam sine illo lucem intueri. Ad hæc in rebus dubiis ac pene deploratis præsentissimo erat consilio, et e summis difficultatibus mira solertia sese explicabat: nec illi, cum res postularent, audacia deerat, ut omnes præclaram indolem ejus admirarentur.

Γ'. Ἓν τι μόνον ὥσπερ τι νόσημα πονηρὸν εἰς τὰς αὐτοῦ πράξεις παρεισφθαρὲν ἐκιβδήλευσε πάσας καὶ ὥσπερ σώματος καλοῦ καὶ χαρίεντος καὶ γενναίου τὰς ὄψεις δεινῶς ἀφαιρούμενον ἀτερπῆ τὰ τέλη κατέστησε καὶ ἀνόνητα τὰ γεώργια. Παρασπονδῶν γὰρ πρῶτον μὲν πράγματα παρεῖχε τοῖς ὁμόροις Τριβαλλοῖς καὶ Αἰτωλοῖς καὶ Ἀκαρνᾶσιν· ἔπειτ' ἐκεῖθεν ἀπαλλαγείς, ὡς εἰρήσεται, τούς τε καὶ βασιλέας καὶ τὰ τῶν βασιλέων συνέχεε πράγματα. Διὸ καὶ ἑαυτῷ φαῦλον προύξένησε τέλος. Καθαιρεθεὶς γὰρ τῆς τοιαύτης ἀρχῆς καὶ μετ' ὀλίγον χρήμασιν ὑπελθὼν τοὺς τῷ βασιλεῖ παραδυναστεύοντας ταύτην τε αὖθις ἀναλαμβάνει καὶ ἅμα τὸ τοῦ πιγκέρνου τιμᾶται ἀξίωμα. Ὅθεν καὶ ἀποστασίαν ὠδίνων ἐξέῤῥηξε ταύτην ἐκεῖσε ἐλθὼν ἐν οὐ μακρῷ τῷ χρόνῳ. Ἔγνωσται γὰρ ἰδιοποιούμενος ἣν ἦρχεν ἐπαρχίαν καὶ τῆς τῶν βασιλέων ἐξουσίας λάθρα διίστων.

C

III. Una res tantum, veluti morbus quidam malignus in ejus actiones obrepens, eas omnes corrumpebat, ac tanquam oculis pulchro et eleganti et robusto corpori ereptis, easdem ipso exitu tristes et infructuosas efficiebat. Nam primum ruptis fœderibus, finitimis Triballis, Ætolis et Acarnanibus negotia facessebat. Postea cum inde discessisset, ita ut dicturi sumus, imperatores eorumque res turbabat. Quamobrem sibi ipsi malum exitum conciliavit. **298** Eum videlicet magistratum sibi abrogatum largitione corruptis iis qui apud imperatorem multum poterant, brevi recuperat, ac præterea pincernæ dignitate ornatur. Unde et defectione animo concepta illuc profectus brevi effecit, ut quæ parturierat in actum erumperent. Compertum enim est, eum provinciam, quam regebat, propriam sibi asserere, et clanculum imperatoriæ potestati subtrahere.

Δ'. Ὅθεν καὶ δόλῳ παρὰ Μονομάχου τοῦ Μυστικοῦ ἁλίσκεται καὶ δέσμιος ἐς τὸν βασιλέα πέμπεται. Ἦν γὰρ τηνικαῦτα καὶ οὗτος Μονομάχος μέρος τι διοικεῖν τῆς Μακεδονίας παρὰ τοῦ βασιλέως πεμφθείς· καὶ διὰ τὴν ἐγγύτητα τῶν ἐπαρχιῶν συχνὰ προσιὼν καὶ ἐπιμιγνὺς τῷ Συργιάννῃ καὶ ἰχνηλατῶν τὰ ἐκείνου ἀπόῤῥητα καὶ φίλος εἶναι ὑποκρινόμενος δόλοις δόλους ἐῤῥάπτειν· ἕως δόλῳ συνειλημμένον δέσμιον, ὡς

D

IV. Quare dolo a Monomacho Mystico capitur, et ad imperatorem vinctus mittitur. Nam et ipse Monomachus in Macedoniam ab imperatore missus, illic regioni cuidam præerat, et ob vicinitatem provinciarum Syrgiannem crebro adibat. Cum itaque apud illum frequens esset, arcana ejus investigabat, et per amicitiæ speciem alios ex aliis dolos nectebat; donec eumdem astu comprehensum

Variorum notæ.

(54) Petavius verterat, *Pater vero e Comanis oriundus illustri loco. Ambo* (*pater* scilicet, *et mater*) *vero ante multos annos ex Hyperboreis Scythis, uti supra memoravimus, ad Joannem imperatorem sese transtulerant.* Vertendum, ita ut edidimus, *Pater illustri loco oriundus e Comanis, illis scilicet, qui ante multos annos ex Hyperboreis Scythis*, etc. Non legerat Petavius ea quæ de Comanis scripta sunt supra lib. II, cap. 5, sect. 2. BOIVIN.

(55) Ad Ducam scilicet. Vide supra lib. II, cap. 5, sect. 2. BOIVIN.

et in vincula, ut diximus, conjectum ad imperatorem misit. Ob illud crimen Syrgiannes in custodiam datus diu carcere inclusus mansit. Sed cum ejus mater gemitu et lacrymis aulam quotidie impleret, et quavis cautione oblata filium supplex reposceret, ægre tandem impetrare potuit, ut e carcere educeretur. Non prius tamen id obtinuit, quam ille scripto jurejurando coram sacrosancta imagine castissimæ Dei Genitricis Hodegetriæ præstito, cavisset imperatori, nunquam se ejus jussis postea adversaturum.

A εἰρήκειμεν, τοῦτον ἐπεπόμφει τῷ βασιλεῖ. Ἀλλὰ γὰρ εἰρκτῇ παραδοθεὶς διὰ τὴν τοιαύτην αἰτίαν ὁ Συργιάννης, ἔμεινε χρόνον ἐν ταύτῃ συχνόν. Ἐπεὶ δὲ ἡ μήτηρ οὐ διέλιπεν ὀδυρμοῖς καὶ δάκρυσι προσιοῦσα τοῖς περὶ τὸν βασιλέα καὶ ἱκετεύουσα καὶ τὸν υἱέα ἐξαιτουμένη καὶ πάσας ἐγγύας προβάλλουσα, ὄψὲ καὶ μόλις ἐδυνήθη τῆς εἰρκτῆς αὐτὸν ἐξελέσθαι· πλὴν οὐ πρότερον, πρὶν ἂν ἐγγράφους αὐτὸν ἀποδοῦναι τῷ βασιλεῖ τοὺς ὅρκους ἐνώπιον τῆς θείας εἰκόνος τῆς ὑπεράγνου [P. 184] θεομήτορος τῆς Ὁδηγητρίας, μὴ τοῖς τοῦ βασιλέως προστάγμασιν ἐναντία ποτὲ διαπράξασθαι.

V. Sic ille omni suspicione liberatus principi bene merito optime velle credebatur : a quo et **299** is honor ei habitus est, ut etiam arcanorum particeps fieret. Ac inter cætera illud quoque ejus fidei commissum fuit, ut furtivus veluti custos imperatorem Andronicum juniorem circumeundo adeundoque, ne clandestinam fugam moliretur, observaret ; quemadmodum supra diximus. At ille, si quid vulgi opinionibus credendum est, homo semper ambitiosus, cui mentis declarandæ hactenus defuisset occasio, oblatum denique a fortuna opportunum tempus adesse existimavit, quo imperatoribus inter se bello commissis, et rebus Romanorum omnino sic perturbatis, ipse sceptris potiretur ; aut saltem portione aliqua a toto imperio recisa, proprium sibi principatum constitueret. Itaque imperatorem Andronicum juniorem adit, eique avi imperatoris arcanum omne consilium aperit : « Me, inquit, imperator veluti sagacem canem tuas cogitationes odorari jussit : et cum ille catenas tibi et vincula fabricetur, tu ignarus puerilia consilia agitas. Quid enim tibi profuerit clam in altum deferri et peregre abire, ubi aliena quadra (quod aiunt) vivendum tibi erit, si res optime cadat, et non illud accidat, ut ab hospitibus aut trucideris, aut in imperatoris avi casses laqueosque incidas. Quod si istis cogitationibus, quæ puerum sapiunt, penitus oblivioni traditis, meliora et salutifera consilia, qualia ego daturus sum, sequi volueris, nihil obstabit, quominus summam potestatem primo quoque tempore citra ullum laborem arripias. Etenim unam esse video, qua id assequare, efficacissimam **300** rationem. Nimirum Byzantio fugiendum et ad Thraciæ urbes provinciasque excurrendum. Nam cum et humanum ingenium novis rebus gaudeat, et miseri Thraces crebris exactionibus vexentur, si levationem onerum et libertatem proclamaveris, ultro omnes te quo volueris præeuntem sequentur, avi tui diuturno jugo facillime excusso, quasi Tantalei cujusdam saxi mole a cervicibus depulsa. Hoc consilium tibi si placet, ego hujus negotii procurator et administer futurus sum ; ego omnem istius certaminis laborem suscipiam ac brevi conficiam ; modo et ipse mihi pollicearis, et certis pignoribus fidem obstringas, te pro dignitate labores meos remuneraturum. Quæ vero ista præmia sunt? illustres dignitates,

Ε'. Ἀλλὰ γὰρ οὕτω πάσης ὑποψίας ἀπολυθεὶς ὁ ἀνὴρ καὶ πᾶσαν εὔνοιαν διασώζειν πιστευόμενος πρὸς τὸν εὐεργέτην καὶ ἀπορρήτων ἤδη κοινωνὸς ἠξιοῦτο γίγνεσθαι, ὡς πιστευθῆναι λοιπὸν καὶ τοῦτο τὸ ἀπόρρητον, λέγω, τὸ φύλαξ λανθάνων περιΐέναι καὶ προσιέναι τῷ ἐγγόνῳ τοῦ βασιλέως; Ἀνδρονίκῳ τῷ βασιλεῖ, μὴ λάθῃ φυγὼν, ὡς ἔφθημεν εἰρηκότες. Ὁ δὲ, εἰ χρὴ ταῖς τῶν πολλῶν ὑπολήψεσι πείθεσθαι, φίλαρχος ὢν ἀεὶ καὶ καιροῦ μὴ τυχὼν οὐδέπω τὸ βουλόμενον ἐνδείξασθαι τῆς ψυχῆς νῦν ἔγνω καιρὸν εἶναι τοῦτον ὑπὸ τῆς τύχης παρεσχημένον κατ' ἀλλήλων τοὺς βασιλέας ἐκπολεμώσας καὶ τὰ Ῥωμαίων οὕτω συγχυχήσας ἅπαντα πράγματα, τῶν σκήπτρων αὐτὸς ἐπιβῆναι· ἢ τό γε δεύτερον, μέρος τῆς ὅλης τῶν Ῥωμαίων ἡγεμονίας ἀποτεμόμενος εἰς οἰκείαν ἀρχὴν αὐτὸ καταστήσασθαι. Ὅθεν Ἀνδρονίκῳ τῷ νέῳ βασιλεῖ προσελθὼν ἅπαν τοῦ πάππου καὶ βασιλέως ἀνεκάλυψε τὸ ἀπόρρητον, λέγων, ὡς « Ἐμὲ μὲν οἷά τινα κύνα ῥινηλατοῦσαν τὰ σὰ βουλεύματα τέταχεν ὁ βασιλεὺς περί σε· ὁ δὲ κάθηται συσκευάζων ἀγχόνας καὶ δεσμὰ κατὰ σοῦ· σὺ δ' ἀγνοῶν κάθησαι νηπίων βουλεύμασι γαυρούμενος. Τί γάρ σοι τὸ δρελος ἀποπλεύσαντι λάθρα πρὸς ἀλλοτρίαν οἴχεσθαι χώραν, ἔνθα καθάπερ δούλῳ δεήσει καθημένῳ πρὸς ἀλλοτρίαν βλέπειν τράπεζαν, ὁπόταν ἴσως μηδὲ φονεῦσιν ἐντύχῃς τοῖς ξενίζουσι, μηδὲ ταῖς τοῦ πάππου καὶ βασιλέως ἄρκυσι καὶ πάγαις ἁλῷς; Εἰ δὲ πάντα πρὸς λήθης βυθοὺς τὰ νηπιώδη ταῦτα ῥίψας βουλεύματα πεισθείης ἐμοὶ τὰ βελτίω σοι καὶ σωτήρια συμβουλεύοντι, οὐκ ἂν φθάνοις τὰ σκῆπτρα τῆς αὐτοκρατορίας λαμβάνων ἀπονητί. Μίαν γὰρ ἀνυσιμωτάτην ὁρῶ πρὸς τοῦτο φέρουσαν ἁφορμὴν, ἣν φυγὼν τὸ Βυζάντιον ἐς τὰς τῆς Θράκης ἐκδράμῃς πόλεις καὶ χώρας. Φύσει γὰρ χαίροντες ταῖς καινοτομίαις τῶν ἀνθρώπων τὸ γένος καὶ ἅμα βεβαρημένοι τοῖς συχνοῖς φόροις οἱ ταλαίπωροι Θρᾷκες, ἢν κουφισμὸν καὶ ἐλευθερίαν ἐξελθὼν κηρύξῃς, ἅσμενοί σοι πάντες ἕψονται πρὸς ὅπερ ἂν αὐτὸς ἐθέλοις, τὴν πρὸς τὸν πάππον καὶ βασιλέα πολυετῆ δουλείαν ῥᾳστα λακτίσαντες καὶ ὥσπερ τινὰ Ταντάλειον φόρτον ἀποσεισάμενοι. Εἰ γοῦν ἀρεστὸν τὸ ἐμόν σοι τόδε φαίνοιτο βούλευμα, ἐγὼ καὶ ταμίας καὶ χορηγός σοι τοῦ δράματος ἔσομαι καὶ πάντα τὸν ἆθλον ὑποστὰς τὴν ταχίστην ἐκτελέσω· ἢν μόνον καὶ σύ μοι ὑποσχέσθαι ἐθέλῃς καὶ δοῦναι πιστὰ τὰ ἐχέγγυα περὶ τῶν ἀξίων χερῶν καὶ ἐπάθλων. Τίνα δὴ ταῦτα; Ἀξιωμάτων λαμπρότητες καὶ χωρία πολλὰ καὶ πολλὴν τὴν ἐπίτιον παρέχεσθαι δυνάμενα πρόσ-

οδον· καὶ ἐπὶ τούτοις μηδένα τῶν πάντων δύνασθαι πλέον ἐμοῦ παρά σοι, [P. 185] μηδεμίαν τινὰ πραγμάτων κατάστασιν περαίνεσθαι παρὰ σοῦ, πλὴν τοῦ κἀμὲ συνειδέναι. Ὁρᾷς γὰρ, ὅπως τῶν συμφορῶν ἐθελοντής σοι γίνομαι κοινωνὸς καὶ τῶν κινδύνων αὐθαιρέτως συναίρεσθαι βούλομαι, πάντας ἐκείνους τοὺς πρὸ τὸν βασιλέα τῆς σῆς ἀγάπης ὀπίσω θέμενος ὅρκους· κἂν εἴ τι δεινὸν κατὰ τῆς ἐμῆς κεφαλῆς τὸ τῆς τύχης φέρῃ παράλογον, προθύμως φέρειν παρῄνεσα ἐμαυτῷ. Ταῦτα τοίνυν θεώμενος πρόθυμος γίνου καὶ σὺ περὶ τὰς ὑποσχέσεις τῶν ἐμῶν ζητημάτων, ἢν σώζεσθαι θέλῃς. Ἐπεὶ δ' ἡ τῶν πραγμάτων ὀξύτης ἡμᾶς οὐκ ἐᾷ τὰ παρόντα σχολαιότερον διατίθεσθαι, ἀλλ' ἐπὶ ξυροῦ ἡμῖν ἡ ἀκμὴ περίεστηκε τοῦ κινδύνου μελλήσασι, φέρε καὶ ἑτέροις τῆς γνώμης ταύτης κοινωνήσωμεν, οἳ διὰ τὴν πρὸς τὸν βασιλέα ἀπέχθειαν οὔθ' ἡμᾶς καὶ τὰ τοιαῦτα μυστήρια προδοῦναι ἀνάσχοιντ' ἂν καὶ τῇ παρούσῃ χρείᾳ ἐς καιρὸν ἐν τοῖς μάλιστα γένοιντ' ἄν. »

Ϛ'. Καὶ ἐπὶ τούτοις ὁ βασιλεὺς τάς τε ὑποσχέσεις τούτῳ τῶν ζητημάτων ἐγγράφους μεθ' ὅρκων ἐδίδου· καὶ παρῆσαν οἱ τῶν μυστηρίων ἐσόμενοι κοινωνοὶ, Ἰωάννης τε ὁ Καντακουζηνὸς καὶ Θεόδωρος ὁ Συναδηνὸς, ὁ μὲν τῇ τοῦ μεγάλου παπίου (56) τηνικαῦτα σεμνυνόμενος ἐπικλήσει, ὁ δὲ τῇ τοῦ δομεστίχου τοῦ ἐπὶ τῆς τραπέζης τῆς βασιλικῆς· καὶ τρίτος Ἀλέξιος ὁ Ἀπόκαυκος, δομέστικος καὶ αὐτὸς τηνικαῦτα τῶν ἑῳθινῶν θεμάτων ἀκουόμενος καὶ τῶν ἄλλων τὴν διοίκησιν ταμιουλίκων. Οὗτος μὲν οὖν οὐ πάνυ τῶν εὐγενῶν ἦν, βαθυγνώμων δὲ ἀνὴρ καὶ εὐμήχανος καὶ δόλους συνθεῖναι δεινός· ἄμφω δ' ἐκεῖνοι κατὰ γένος τῷ βασιλεῖ προσήκοντες· πλὴν ὁ μὲν Καντακουζηνὸς καὶ ἡλικιώτης ἦν καὶ ὁμόψυχος καὶ ὁμόπνους ἐξέτι νέου τῷ βασιλεῖ Ἀνδρονίκῳ διά τε τὴν τῆς γνώμης ὀρθότητα καὶ τῆς γλώττης ἀλήθειαν καὶ τὸ τοῦ ἤθους καίριον· ὁ δὲ Συναδηνὸς ὁμοίως τῷ πατρὶ αὐτοῦ τῷ βασιλεῖ Μιχαὴλ, ἕως ἦν ἐκεῖνος ἔτι ζῶν. Οὗτοι τοίνυν ὥσπερ ἐκ μιᾶς οἰνοχόης τὸ ἀπόρρητον ἐκεῖνο δεξάμενοι βούλευμα δαλὸς ἦσαν εἰς πῦρ καὶ ἵππος εἰς πεδίον. Οὕτω φρατρία τις ἀῤῥαγὴς εὐθὺς οἱ ἄνθρωποι ἐγεγόνεισαν καὶ ὁρκωμοτήρια φρίκης μεστὰ ξυνετίθουντε καὶ ἐδίδοσαν καὶ ὑποσχέσεις μεγάλων ἀντιδόσεων καὶ γερῶν ἀντελάμβανον.

Ζ'. Τούτων οὕτω ξυμβάντων ἔργου εἶχοντο ὅλῃ σπουδῇ τε καὶ γνώμῃ. Καὶ πρῶτα μὲν χρήμασι περιελθόντες τοὺς τῷ βασιλεῖ παραδυναστεύοντας ὅ τε Συργιάννης καὶ ὁ Καντακουζηνὸς ὤνιον εἵλήφεσαν τὴν ἐπιτροπὴν τῶν ἐν Θρᾴκῃ χωρῶν καὶ πόλεων· ὁ μὲν τά τε πλείστα τῆς μεσογείου καὶ τῆς παραλίου πάσης ἄχρι τοῦ ἀκροτάτου Ῥοδόπης· [P. 186] ὁ δὲ Καντακουζηνὸς ὀλίγα τῆς μεσογείου μόνης, ὁπόση τῆς Ὀρεστιάδος ἐστὶ περίοικος. Ἐπὶ τούτοις στρατεύματα συνεκρότουν καὶ ὅπλα παρεσκευάζοντο καὶ στρατιώ-

υδον · καὶ ἐπὶ τούτοις μηδένα τῶν πάντων δύνασθαι πλέον ἐμοῦ παρά σοι, [P. 185] μηδεμίαν τινὰ πραγμάτων κατάστασιν περαίνεσθαι παρὰ σοῦ, πλὴν τοῦ κἀμὲ συνειδέναι. Ὁρᾷς γὰρ, ὅπως τῶν συμφορῶν ἐθελοντής σοι γίνομαι κοινωνὸς καὶ τῶν κινδύνων αὐθαιρέτως συναίρεσθαι βούλομαι, πάντας ἐκείνους τοὺς πρὸ τὸν βασιλέα τῆς σῆς ἀγάπης ὀπίσω θέμενος ὅρκους· κἂν εἴ τι δεινὸν κατὰ τῆς ἐμῆς κεφαλῆς τὸ τῆς τύχης φέρῃ παράλογον, προθύμως φέρειν παρῄνεσα ἐμαυτῷ. Ταῦτα τοίνυν θεώμενος πρόθυμος γίνου καὶ σὺ περὶ τὰς ὑποσχέσεις τῶν ἐμῶν ζητημάτων, ἢν σώζεσθαι θέλῃς. Ἐπεὶ δ' ἡ τῶν πραγμάτων ὀξύτης ἡμᾶς οὐκ ἐᾷ τὰ παρόντα σχολαιότερον διατίθεσθαι, ἀλλ' ἐπὶ ξυροῦ ἡμῖν ἡ ἀκμὴ περίεστηκε τοῦ κινδύνου μελλήσασι, φέρε καὶ ἑτέροις τῆς γνώμης ταύτης κοινωνήσωμεν, οἳ διὰ τὴν πρὸς τὸν βασιλέα ἀπέχθειαν οὔθ' ἡμᾶς καὶ τὰ τοιαῦτα μυστήρια προδοῦναι ἀνάσχοιντ' ἂν καὶ τῇ παρούσῃ χρείᾳ ἐς καιρὸν ἐν τοῖς μάλιστα γένοιντ' ἄν. »

Ϛ'. Καὶ ἐπὶ τούτοις ὁ βασιλεὺς τάς τε ὑποσχέσεις τούτῳ τῶν ζητημάτων ἐγγράφους μεθ' ὅρκων ἐδίδου· καὶ παρῆσαν οἱ τῶν μυστηρίων ἐσόμενοι κοινωνοὶ, Ἰωάννης τε ὁ Καντακουζηνὸς καὶ Θεόδωρος ὁ Συναδηνὸς, ὁ μὲν τῇ τοῦ μεγάλου παπίου (56) τηνικαῦτα σεμνυνόμενος ἐπικλήσει, ὁ δὲ τῇ τοῦ δομεστίχου τοῦ ἐπὶ τῆς τραπέζης τῆς βασιλικῆς· καὶ τρίτος Ἀλέξιος ὁ Ἀπόκαυκος, δομέστικος καὶ αὐτὸς τηνικαῦτα τῶν ἑῳθινῶν θεμάτων ἀκουόμενος καὶ τῶν ἄλλων τὴν διοίκησιν ταμιουλίκων. Οὗτος μὲν οὖν οὐ πάνυ τῶν εὐγενῶν ἦν, βαθυγνώμων δὲ ἀνὴρ καὶ εὐμήχανος καὶ δόλους συνθεῖναι δεινός· ἄμφω δ' ἐκεῖνοι κατὰ γένος τῷ βασιλεῖ προσήκοντες· πλὴν ὁ μὲν Καντακουζηνὸς καὶ ἡλικιώτης ἦν καὶ ὁμόψυχος καὶ ὁμόπνους ἐξέτι νέου τῷ βασιλεῖ Ἀνδρονίκῳ διά τε τὴν τῆς γνώμης ὀρθότητα καὶ τῆς γλώττης ἀλήθειαν καὶ τὸ τοῦ ἤθους καίριον· ὁ δὲ Συναδηνὸς ὁμοίως τῷ πατρὶ αὐτοῦ τῷ βασιλεῖ Μιχαὴλ, ἕως ἦν ἐκεῖνος ἔτι ζῶν. Οὗτοι τοίνυν ὥσπερ ἐκ μιᾶς οἰνοχόης τὸ ἀπόρρητον ἐκεῖνο δεξάμενοι βούλευμα δαλὸς ἦσαν εἰς πῦρ καὶ ἵππος εἰς πεδίον. Οὕτω φρατρία τις ἀῤῥαγὴς εὐθὺς οἱ ἄνθρωποι ἐγεγόνεισαν καὶ ὁρκωμοτήρια φρίκης μεστὰ ξυνετίθουντε καὶ ἐδίδοσαν καὶ ὑποσχέσεις μεγάλων ἀντιδόσεων καὶ γερῶν ἀντελάμβανον.

Ζ'. Τούτων οὕτω ξυμβάντων ἔργου εἶχοντο ὅλῃ σπουδῇ τε καὶ γνώμῃ. Καὶ πρῶτα μὲν χρήμασι περιελθόντες τοὺς τῷ βασιλεῖ παραδυναστεύοντας ὅ τε Συργιάννης καὶ ὁ Καντακουζηνὸς ὤνιον εἵλήφεσαν τὴν ἐπιτροπὴν τῶν ἐν Θρᾴκῃ χωρῶν καὶ πόλεων· ὁ μὲν τά τε πλείστα τῆς μεσογείου καὶ τῆς παραλίου πάσης ἄχρι τοῦ ἀκροτάτου Ῥοδόπης· [P. 186] ὁ δὲ Καντακουζηνὸς ὀλίγα τῆς μεσογείου μόνης, ὁπόση τῆς Ὀρεστιάδος ἐστὶ περίοικος. Ἐπὶ τούτοις στρατεύματα συνεκρότουν καὶ ὅπλα παρεσκευάζοντο καὶ στρατιώ-

A multa prædia, quæ magnos annuos reditus afferre possint : præterea, ne quisquam auctoritate apud te mihi præferatur, nec a te quidquam nisi me conscio in republica ordinanda constituatur. Etenim, vides, calamitatum tuarum particeps et periculorum socius volens libensque accedo, posthabita charitati tuæ etiam jurisjurandi religione, qua sum imperatori obligatus. Quod si fortunæ temeritas mali aliquid capiti meo illatura est, id alacriter esse ferendum ipse mihi imperavi. Quibus consideratis et tu non gravatim meis petitionibus annuito, si salvus esse vis. Cum autem hic temporis articulus moram deliberationis non admittat, sed prōcrastinantibus extremum discrimen **301** impendeat : age, cum aliis etiam hoc consilium communicemus, qui ob imperatoris odium neque nos neque arcana hæc prodituri sint, sed institutum nostrum opportuno auxilio adjuvare plurimum possint. »

B

VI. His conditionibus imperator, quæ ille petierat, ea perfecturum se scripto jurejurando promittit. Adsunt etiam arcanorum futuri conscii, Joannes Cantacuzenus et Theodorus Synadenus ; ille tum magni Papiæ titulo honoratus, hic domestici mensæ imperatoriæ : et cum iis tertius, Alexius Apocaucus, domesticus et ipse tunc occidentalium provinciarum, et salinis præfectus. Hic non admodum nobilis, sed prudens erat et solers, et dolis fabricandis mire aptus. Illi vero ambo C Imperatorem cognatione contingebant. Verum Cantacuzenus etiam æqualis et unanimis et concordia ab ineunte ætate cum imperatore Andronico conjunctus fuerat propter animi candorem, et sermonum veritatem, et qui moribus commodis præditus erat. Synadenus autem cum patre Andronici Michaele imperatore, dum is superstes esset, conjunctissime vixerat. Illi igitur ad arcanam illam deliberationem tanquam ad ejusdem poculi communem haustum admissi, faces veluti fuerunt, quæ igni admotæ incendium augerent ; aut veluti equitatus in apertum campum emissus. Sic societatem vinculo irrupto firmatam statim coivere, horribilibus juramentis adhibitis ; magnarum autem remunerationum **302** ac præmiorum promissionibus vicissim acceptis.

D

VII. Quæ cum in hunc modum inter eos convenissent, rem ipsam summa diligentia et alacri studio aggrediuntur. Ac principio Syrgiannes et Cantacuzenus, pecunia circumventis aulæ proceribus, procurationem Thracensium urbium et provinciarum redimunt ; ille maximam partem mediterraneæ regionis et oræ totius maritimæ usque ad summum Rhodopes sortitus ; Cantacuzenus vero exigua eaque mediterranea, quæ Orestiadi adjacent. Deinde copias contrahunt, arma parant, et

Variorum notæ.

(56) De hac Magni Papiæ, et aliis hic memoratis palatinis dignitatibus, agimus in cod. Gloss. DUCANG.

novos milites colligunt, advenas scilicet quosdam et alios, qui ob egestatem neque militarent, nec quidquam rei gererent. Ad hæc familiarissimos suos et fidelissimos custodiæ civitatum præponebant : eos vero qui suis consiliis adversaturi videbantur, alios aliis de causis urbe ejiciebant. Quæ antequam facerent, nunc impressionem Scytharum Danubium accolentium, nunc Turcicæ classis ex Asia adventum proclamabant, ut sub ejus famæ obtentu tanquam sub velo aliquo delitescentes, suspicionem vitarent, iidemque providentiæ ac diligentiæ ergo laudari ab imperatore mererentur. At Syrgiannes hæc clam machinatur, et juniori imperatori subinde et quid actum et quid agendum esset nuntiabat.

A τας ἄλλους ξυνέλεγον, νεήλυδάς τινας, καὶ ὁπόσοι δι' ἔνδειαν τῶν χρειωδῶν ἀπόμαχοί τε καὶ ἄπρακτοι διῆγον τὸν βίον· καὶ πρός γε ἔτι τοὺς μὲν οἰκειοτάτους καὶ πιστοτάτους αὐτῶν φύλακας ἐποιοῦντο τῶν πόλεων· τοὺς δ' ὑπόπτως ἔχοντας πρὸς ἀντίστασιν τῶν μελετωμένων ἄλλαις ἄλλως προφάσεσιν ὑποβάλλοντες ἐξετίθουν τῶν πόλεων. Ταῦτα δ' ἐποίουν κηρύξαντες πρότερον ἔφοδον, νῦν μὲν τῶν Παριστρίων Σκυθῶν, νῦν δὲ ναυτικῆς τινος δυνάμεως τῶν ἐξ Ἀσίας Τούρκων, ἵν' ὑπὸ παραπετάσματι τῇ τοιαύτῃ καλυπτόμενοι φήμῃ ἀνύποπτοί τε διατελοῖεν καὶ ἅμα ἐπαίνων ἄξιοι παρὰ τῷ βασιλεῖ γίγνοιντο προμηθείας ἕνεκα καὶ σπουδῆς. Ἀλλ' ὁ μὲν Συργιάννης τοιαῦτα λανθάνων ἐδρᾳματούργει καὶ συχνὰ τῷ νέῳ ἐμήνυε βασιλεῖ λάθρα τά τε πραττόμενα καὶ πραχθησόμενα.

CAPUT V.

Avus nepotem judicio publico reum agere constituit. Metochita differendum censet, donec geniales dies effluxerint. Equi picti hinnitus. Metochita de ea re consultus in Choræ monasterio. Ejus responsum. Verior interpretatio. Byzantii columna dies complures agitata. Imperatoris et Metochitæ arcanum colloquium. Libri fatidici. Sortes. Sinistra augurio. Metochitæ stupor et silentium. Uxoris et liberorum anxietas. Filiæ Panhypersebastæ elogium. Ejusdem verba. Metochita oratione filiæ excitatus lan entatur. Magnam cladem prædicit. Iterum silet. Recumbit. Ejus merita erga Gregoram. Ipsius Gregoræ officia erga Metochitam et ejus liberos. Oratio, qua eum afflictum solatur.

I. Imperator autem, cum nepotem cerneret sua monita negligere et contemnere et in eadem semper morum licentia perseverare, decrevit eum **303** coram patriarcha et patribus conscriptis primum objurgare et convincere; deinde in vincula et in carcerem conjicere. Cæterum id ejus propositum Logotheta generalis Theodorus Metochita tum inhibuit, quod ejus rei exsecutionem frustra susceptum iri augurabatur, ob solemnem illis diebus morum dissolutionem. Etenim carnisprivii tempus aderat, cum lautioribus conviviis et meracioribus poculis dediti mortales præ vini intemperantia facilius ad seditiones concitantur. Quare quietendum esse aiebat, ne inceptum ex sententia haud procederet, quandoquidem fortuna plerumque prodigiis gaudens contrarios spei eventus soleret subito edere.

B Α'. Τῷ δὲ βασιλεῖ τὸν ἔγγονον βλέποντι ἀνεπιστρόφως τε ἔχοντα καὶ περιφρονητικῶς ἐς τὰς αὐτοῦ διακείμενον παραινέσεις καὶ ἀεὶ τῇ συνήθει τῶν ἠθῶν αὐτονομίᾳ χρώμενον ἔδοξεν ἐλέγξαντι πρότερον αὐτὸν ὑπὸ τῷ πατριάρχῃ καὶ τῇ συγκλήτῳ, ἔπειτα τῇ εἱρκτῇ παραπέμψαι δεσμώτην. Ἀλλὰ τότε μὲν τὴν μελέτην ἐπέσχεν ὁ λογοθέτης τοῦ γενικοῦ Θεόδωρος ὁ Μετοχίτης, ἀτελεσφόρητον τὴν πρᾶξιν ἔσεσθαι μαντευόμενος διὰ τὴν τῶν ἡμερῶν ἄνεσιν. Ἀπόκρεω γὰρ ἦν καιρὸς, ὁπότε πρὸς εὐωχίας ἀδροτέρας καὶ ἀκρατοποσίας διδόασιν ἄνθρωποι καὶ τολμηρότεροι γίνονται διὰ τὴν τοῦ οἴνου παραφορὰν πρὸς στασιώδεις ὁρμάς· καὶ δέος εἶναι μὴ οὐ κατὰ γνώμην εὕρῃ τὴν ἀπόβασιν ἡ μελέτη, τῆς τύχης ὡς τὰ πολλὰ τερατευομένης καὶ τἀναντία τῶν δοξάντων πολλάκις βλαστανούσης ἐξαίφνης.

II. Desierat modo Logotheta generalis monasterium Choræ omni ornamento interiore absoluto renovare. Quocirca in pervigiliis nonnunquam illuc pernoctare cum monachis studebat. Prima igitur Quadragesimæ hebdomade, cum dies Sabbati advenisset, cujus postridie orthodoxorum imperatorum et patriarcharum memoria publico præconio commendanda erat, tum quoque ad illius noctis pervigilium Logotheta de more venerat. Atque ibi sub mediam noctem cum et nos adegsemus, et doxologiam una cum eo audiremus, quidam ab imperatore adest, novum illi nuntium apportans, et ejus sententiam exquirens : Modo enim, inquit, cum imperatorii hipenniferi et milites ensiferi

C [P. 187] Β'. Ὁ μέντοι λογοθέτης τοῦ γενικοῦ (57) ἅρτι τοῦ νεουργεῖν ἐπέπαυτο τὴν τῆς Χώρας μονὴν, ὁπόσος ὁ ἔνδον ἐτύγχανε κόσμος. Ὅθεν ἐφιλοτιμεῖτο συνδιανυκτερεύειν ἐν ταῖς πανυχίσιν ἔσθ' ὅτε μετὰ τῶν μοναχῶν. Ἐπεὶ οὖν ἦκε τὸ τῆς πρώτης ἑβδομάδος τῆς τεσσαρακοστῆς σάββατον, ὁπότε δὴ καὶ ἔμελλε τῇ ὑστεραίᾳ κηρύττεσθαι δημοσίᾳ τῶν ὀρθοδόξων ἡ μνήμη βασιλέων ὁμοῦ καὶ πατριαρχῶν, ἐληλύθει καὶ οὗτος συνήθως ἐς τὴν ἐξ ἑσπέρας ἐκείνης παννυχίδα (58). Περὶ δὲ μέσας νύκτας, ἅμα αὐτῷ συνισταμένων ἡμῶν καὶ τῆς δοξολογίας ἀκουόντων ἦκέ τις ἐκ βασιλέως, καινοτέραν τινὰ κομίζων αὐτῷ ἀγγελίαν καὶ ζητῶν τὴν τῆς αὐτοῦ γνώμης κρίσιν. « Ἄρτι γάρ, » φησὶ, « τῶν περὶ τὸν βασιλέα πελεκυφόρων (59) καὶ

D

Variorum notæ.

(57) Theodorus Metochita, a quo instauratum Choræ monasterium, rursum cap. seq. ut et docemus in *Constantinop. Christ.* lib. IV, sect. 15, n. 5. DUCANG.

(58) Interpres, *a vespera ad nocturna sacra illa de more accessit*; emendavimus, *ad vesperæ illius vigilias*. DUCANG. — Wolfius. *ad nocturna sacra*. Melius Ducang. *ad illius vesperæ vigilias*. BOIVIN.

(59) *Varangorum*, de quibus in utroque Glossario multa congessimus. DUCANG.

στρατιωτῶν καὶ ξιφηφόρων καταοαβύνει· μελλόντων ἐξηνέχθη χρεμετισμὸς πάντα περιηχῶν τὰ βασίλεια, ὡς ἐκπλαγῆναι πάντας τοὺς ἐν τοῖς βασιλείοις. Ἀωρίας γὰρ οὔσης πολλῆς καὶ μὴ παρόντος τῶν ἵππων τινὸς, οὔτε τῶν βασιλικῶν, οὔτε τῶν συγκλητικῶν, οὔτε ἐντὸς βασιλείων, οὔτε πρὸ τῶν πυλῶν, θόρυβον τὸ τοῦ πράγματος παράδοξον ἐνεποίησε ταῖς τῶν ἀκουσάντων ψυχαῖς καὶ ἀλλήλων ἅπαντες ἐπυνθάνοντο. Οὔπω δὲ τοῦ θορύβου πεπαυμένου καὶ δεύτερος ἐξηνέχθη χρεμετισμὸς μείζων τοῦ πρώτου, ὡς καὶ αὐτὸν αὐτήκοον τῆς ἠχοῦς γενέσθαι τὸν βασιλέα καὶ πέμψαντα ἔρεσθαι, εἴ τις εἰδείη, ὅθεν ὁ χρεμετισμὸς οὗτος ἐν ὥρᾳ τοσαύτῃ. Ἀλλ' ἀκήκοε πλέον οὐδέν, ἢ ὅτι παρὰ τοῦ ἵππου τοῦ γεγραμμένου περὶ ἕνα τῶν βασιλείων τοίχων πρὸ τοῦ εὐκτηρίου τῆς Νικοποιοῦ Θεοτόκου (60)· ἵππον δὴ λέγω τοῦτον, ᾧ ἐποχεῖσθαι κάλλιστα Γεώργιον τὸν τοῦ Χριστοῦ μάρτυρα εἴργασται πάλαι Παῦλος ἐκεῖνος ὁ τῶν ζωγράφων ἄριστος (61). » Πρὸς ταῦτα ὁ λογοθέτης χαριεντισάμενος, ὡς εἰώθει πρὸς τὰς τοῦ βασιλέως ἐρωτήσεις, « Συγχαίρω σοι, » ἔφησεν, « ὦ βασιλεῦ, τῶν μελλόντων ἕνεκα τροπαίων. Οὐδὲν γὰρ ἕτερον οἶμαι σημαίνειν, » φησὶ, « τὸν παράδοξον τοῦτον τοῦ ἵππου χρεμετισμὸν, ἢ σὴν βασιλικὴν ἐκστρατείαν κατὰ τῶν τὴν ἡμετέραν Ἀσίαν λεηλατούντων Ἀγαρηνῶν. »

A cubitum iturі essent, tantus subito hinnitus circa palatium exauditus est, ut omnes quotquot intus erant percellerentur. **304** Intempesta enim nocte, cum neque imperatorii neque senatorii equi nec in ipso palatio, nec ante fores essent, improvisa res animos audientium perturbavit, et universi quidnam rei esset sese mutuo interrogarunt. Eo tumultu nondum sedato, alter hinnitus priore major exauditus, cujus sonus ad ipsissimet imperatoris aures pervenit. Quamobrem ille misit scisciturum, unde iste hinnitus tam alieno tempore. Sed nihil aliud audivit, nisi editum cum fuisse ab equo, qui in palatii pariete ante sacellum Deiparæ Nicopœæ pictus foret: illum dico equum, cujus tergo Georgium Christi martyrem pulcherrime insidentem Paulus ille pictorum præstantissimus olim effinxit. » Ad hæc Logothetа jocatus, ut solebat ad imperatoris interrogationes: «Gratulor tibi, inquit, imperator, futuros triumphos. Monstrosum enim istius equi hinnitum nihil aliud indicare reor, nisi tuam adversus Agarenos Asiam nostram populantes imperatoriam expeditionem. »

Γ'. Ταῦτα ὁ βασιλεὺς ἀκηκοὼς μειρακίσκον ἕτερον αὖθι, πρὸς αὐτὸν ἐπεπόμφει· « Σὺ μὲν, » λέγων, « εἴτ' ἐμοὶ τὰ τῆς θυμηδίας ὡς ἔθος λέγων, εἴτ' οὐκ οἶδ' ὅπως ταῦτ' ἀποκρίνῃ, ἔοικας ἀγνοοῦντι. Ἐγὼ δέ σοι φάθῃ μοι δοκοῦντα καταλέξω. Ὡς γὰρ ἡμῖν οἱ ἡμέτεροι πατέρες παρέδοσαν καὶ ἄλλοτέ ποθ' ὁ ἵππος οὗτος τὸν ὅμοιον ἐχρεμέτισε τρόπον, ὁπότε Βαλδουῖνος ὁ τῶν Λατίνων ἄρχων ὑπὸ τοῦ ἐμοῦ πατρὸς καὶ βασιλέως ἔμελλεν ἀφαιρεῖσθαι τὴν μεγαλόπολιν ταύτην. Ἱππὸς γὰρ τὸ παράδοξον τῆς ἀκοῆς συχνόν τινα χρόνον κἀκεῖνος ἐθορυβεῖτο, κακὸν οἰωνὸν ἑαυτῷ λογιζόμενος τοῦτο. Ἔπειτ' ἐν οὐ μακρῷ τῷ χρόνῳ τὸ πῖρας εἶδε τὸν οἰωνὸν κατὰ τῆς αὐτοῦ κεφαλῆς ἐκτοξεύσαντα, ὅτε πορθουμένην τὴν μεγαλόπολιν ἑώρακε ταύτην ὑπὸ Ῥωμαίων. » [P. 188] Ὁ δὲ λογοθέτης οὐδὲν ἔχων πρὸς ταῦτα ἀποκρίνασθαι, « Ἄπιθι, » ἔφη πρὸς τὸν ἄνθρωπον, « ἐν γε τῷ παρόντι. Ἐγὼ δ' ἐς τὴν ὑστεραίαν τὰς ἐμαυτοῦ κομίσω τῷ βασιλεῖ ἀποκρίσεις. » Ἀλλὰ καὶ ὁ περὶ τὴν ἑῴαν ἀκρόπολιν ἱστάμενος κίων, ἐν ᾧ λόγος τὸν τοῦ Βύζαντος (62) πάλαι σταθῆναι τοῦ κτίσαντος τὸ Βυζάντιον ἀνδριάντα, πρὸ πολλῶν καὶ αὐτὸς ἤρξατο σείεσθαι ἡμερῶν καὶ ἐπὶ πολλαῖς δ' ἐμφανῶς ἐσείετο ταῖς ἡμέραις, πάντων συντρεχόντων καὶ θεωμένων.

III. His imperator auditis, alio adolescentulo ad eum misso: « Tu quidem, inquit, isto responso, sive ut soles mei exhilarandi gratia, sive alia de causa dato, rem videris ignorare. Ego autem quid verum esse censeam, tibi dicam. Nam ut patres nostri nobis tradiderunt, equus iste alias etiam ad eumdem modum hinnuit, cum imperator pater meus Balduino Latinorum **305** principi urbem hanc magnificentissimam erepturus esset. Quippe et ille rei auditæ insolentia aliquandiu perculsus trepidavit, sinistrum illud omen esse cogitans: nec multo post in caput suum effusas augurii minas ipso eventu expertus est, cum eamdem hanc præclaram urbem a Romanis vastari vidit. » Logotheta quoniam ad hæc quid responderet non habebat, « Abi nunc, » homini illi dixit, « crastina die egomet meum responsum Imperatori perferam. » Quin et columna ante orientalem arcem erecta, in qua Byzantis, illius nempe qui Byzantium condidit, statuam olim positam fuisse fama est, ante multos dies et ipsa commoveri cœpit: quæ agitatio per dies complures manifesta exstitit, omnibus ad spectaculum concurrentibus.

Δ'. Ἐπεὶ δ' ἐς τὴν ὑστεραίαν ὁ μέγας ἀφίκετο λογοθέτης πρὸς τὸν βασιλέα, ἅττα μὲν αὐτοὶ κατὰ μόνας ἐκοινολογήσαντο πρὸς ἀλλήλους τότε μὲν οὐδεὶς ἔγνω τῶν πάντων· ἐκ σημείων μέντοι τινῶν στοχάζεσθαι ἡμῖν ἐξεγένετο ὕστερον, ὡς βιβλία τινὰ

IV. Postridie, cum magnus Logotheta ad imperatorem venisset, tum quidem quid privatim inter se collocuti fuerint, nemo omnium scivit: post tamen ex indiciis quibusdam conjicere nobis licuit, eos fatidica quædam volumina inspexisse,

Variorum notæ.

(60) Quibus vocibus intelligi ædem Hodegetriæ Deiparæ, colligere quivis potest ex iis quæ observamus in *Constantinop. Christ.* lib. IV, sect. 2, n. 24. Ducang.

(61) De pictore illo præstantissimo nemo alius, quem sciam. Bovin.

(62) Vide *Constantinop. Christ.* in *Byzantii Origin.* n. 15, p. 17. Ducang.

quibus futuræ res incerto auctore obscure et per ambages exponerentur : deinde figura astrologica delineata, qua astrorum cursus indagare et prænotionem futurorum colligere homines solent, hostium adventum et reipublicæ confusionem futuram auguratos esse, et qualecumque imperatorii principatus discrimen. Neque enim animadvertebant imperatorem Andronicum **306** juniorem id esse facturum, Deo videlicet ineffabilibus modis talia occultante. Unde magnopere territi et perturbati sunt. Nam Logotheta e palatio plenus cogitationum domum reversus longo tempore tacitus sedit, nemini ullum verbum loquens, sed multiplices curas subinde animo volvens, in futuri meditatione totus, plane similis muto et surdo, nec quidquam sentienti eorum quæ coram ipso gererentur : idque uxore cum filia panypersebasta et filiis de more assidentibus. et hilarem ac jucundam aliquam vocem ab eo exspectantibus. Tandem coacta uxor, ipsa quidem parum natura sua eloquens, filiæ panypersebastæ innuit, ut pro re ac tempore aliquid opportuni loqueretur. Nam erat illa quidem juvenis ætate, sed peringeniosa ; et eam dicendi vim a natura acceperat, quæ ipsam non magis quam Platonem aut Pythagoram, aut ejusmodi viros sapientes deceret. Tum autem oculis hiscentibus patrem intuens sic exorsa est :

A χρησμολογικὰ (63) ἐθεάσαντο, ἐν οἷς τινα τῶν μελλόντων ἀσαφῶς τε καὶ αἰνιγματωδῶς παρ' ὅτων δήποτε ἐξετέθησαν· καὶ ἐπὶ τούτοις θεμάτιον ἐξέθεντο, δι' ὃ τῶν ἀστέρων τοὺς δρόμους ἐρευνῶσιν ἄνθρωποι καὶ μελλόντων κερδαίνουσι πρόγνωσιν· ἐξ ὧν ἐχθρικήν τινα ἔφοδον ἐτεκμήραντο καὶ τῶν κοινῶν πραγμάτων κυκεῶνα καὶ ὁποιονδή τινα τῆς βασιλικῆς ἡγεμονίας κίνδυνον. Οὐ γὰρ συνῆκαν ὡς ὁ βασιλεὺς ὁ νέος Ἀνδρόνικός ἐστιν ὁ ταῦτα ποιήσων, τοῦ Θεοῦ τὰ τοιαῦτα τρόποις ἀῤῥήτοις συγκρύπτοντος. Ὅθεν πολὺν ἐκαρπώσαντο φόβον καὶ θόρυβον λογισμῶν. Ὁ γὰρ λογοθέτης μεστὸς ἐννοιῶν ἐκ τῶν βασιλείων οἴκαδε ἐλθὼν ἐκάθητο ἐπιπολὺ σιωπῶν καὶ μηδ' ὅλως μηδὲν πρὸς οὐδένα φθεγγόμενος· ἀλλὰ στρέφων λογισμοὺς ἀεὶ περὶ τὸν B νοῦν συχνοὺς καὶ τῶν μελλόντων πλήρεις κωφῷ τε καὶ μηδὲν αἰσθανομένῳ τῶν παρόντων ἀτεχνῶς ἐῴκει· καὶ ταῦτα τῆς συζύγου μετὰ τῆς θυγατρὸς πανυπερσεβάστης καὶ τῶν υἱέων παρακαθημένων κατὰ τὸ εἰωθὸς καὶ ἱλαράν τινα καὶ μειδιῶσαν ἐκδεχομένων γλῶσσαν ἀκηκοέναι. Ὀφὲ δ' ἀναγκασθεῖσα ἡ σύζυγος, αὐτὴ μὲν ἀφελῶς ὑπὸ φύσεως ἔχουσα πρὸς τὸ λέγειν, διένευσε πρὸς τὴν θυγατέρα τὴν πανυπερσεβάστην, φθέγξασθαί τι τῇ χρείᾳ καὶ τῷ καιρῷ πρόσφορον. Ἦν γὰρ αὕτη νεάζουσα (64) μὲν τὰ τῆς ἡλικίας, ἀλλ' οὖν ἐπὶ μέγα συνέσεως ἥκουσα καὶ γλῶτταν παρὰ τῆς φύσεως εὐτυχήσασα οὐκ αὐτῇ μᾶλλον ἢ Πυθαγόρᾳ καὶ Πλάτωνι καὶ τῶν σοφῶν τοῖς τοιούτοις μάλα προσήκουσαν. Ἡ δὴ καὶ διάρασα πρὸς τὸν πατέρα τοὺς ὀφθαλμοὺς ἔλεξε τοιάδε·

V. « Audaciæ forsan et temeritatis summæ esse C videatur, o pater, me filiam adolescentulam liberius apud te proloqui, et eam, cujus lingua alumna sit imperitiæ, oculos intendere audere adversus altissimam sapientiæ arcem. Sed cum et mater hortetur, et tempus resque ipsa postulet, dicam ut potero. Quianam, sapientissime omnium mortalium, tam iu tacitus sedes, tuumque ipsius animum excrucias et mœrore conficis : nec tuam nobis mentem communicas, ut istius **307** tristitiæ parte in nos recepta doloris sensum levemus? Nam et perturbatio vultus tui, et linguæ silentium satis declarant, quam vehemens sit animi tui dolor, qui intimum cor velut arcem quamdam aut potius velut radicem ac vinculum vitalium animæ facultatum invasit, atque ibi penitus infixus ingenii florem depascitur, cogitationes confundit et nobiliorem animi partem aggravat. Ut autem oleum et cera et stipula et fœnum flammam alunt, ita et silentium collectos in animo doloris ignes nactum materiam quasi ipsis et nutrimenta suppeditat, nec sinit effusum inde animi fumum per linguam exhalari. Quare tu, ne affectus iste tempore confirmatus inexspectatum damnum apportet, per Deum exsurge, et animum recipe. Neque enim

Ε'. « Τολμηρὸν μὲν ἴσως καὶ προπετείας δόξειεν ἂν πως μεστὸν, ὦ πάτερ, θυγατέρα νεάζουσα ἔτι πρὸς πατέρα παῤῥησιάζεσθαι καὶ ἀμαθίᾳ σφῷσαν γλῶσσαν ἀτενίζειν πρὸς τὸν τῆς σοφίας Ὄλυμπον. Ἐπεὶ δ' ἥ [P. 189] τε μήτηρ προτρέπει καὶ μετὰ τοῦ πράγματος ὁ καιρὸς ἐπιτίθεται, φθέγξομαι τό γε εἰς δύναμιν ἧκον. Ἵνα τί γὰρ ἐπὶ τοσοῦτον σιγῶν, σοφώτατε πάντων ἀνθρώπων, ἀνέχῃ μὲν γνωσιμοχεῖν ἐπὶ σαυτῷ καὶ κατατήκειν σαυτὸν, κοινωνεῖν δ' ἡμῖν οὐκ ἐθέλεις τῆς γνώμης, ἵνα καὶ τῆς λύπης ἡμεῖς σοι γενόμεναι κοινωνοὶ κουφότερον καταστήσωμέν σοι τὸ πάθος; Πολλὴν γὰρ ἡμῖν ἡ τῶν ὄψεων σύγχυσις καὶ ἡ τῆς γλώττης ἀσφάλεια μηνύει σαφῶς τὴν ἐν τῇ ψυχῇ σου τῆς λύπης ἀκμὴν ἢ τῆς καρδίας χειρωσαμένη τὰ καίρια, καθάπερ ἀκρόπολιν ἢ ῥίζαν τινὰ καὶ σύνδεσμον τῶν ζωτικῶν τῆς ψυχῆς δυνάμεων, κάθηται ἀναπόσπαστα ἐπιβοσκομένη τὴν ὥραν τῶν λογισμῶν καὶ συνθοινοῦσα τὰς περιόδους αὐτῶν καὶ ἐμβριθὲς ποιοῦσα τὸ ἡγεμονικόν. Ὥσπερ δ' ἔλαιον καὶ κηρὸς καὶ καλάμη καὶ χόρτος πυρὸς ἐπεφύκει τροφή, οὕτω καὶ σιωπὴ περὶ τὴν ψυχὴν ἠθροισμένους εὑρίσκουσα τῆς λύπης τοὺς ἀνθρακας, καθάπερ ὕλην αὐτοῖς καὶ τροφὴν ἑαυτὴν χορηγεῖ, μηδαμῇ διὰ γλώττης ἐξιέναι παραχωροῦσα τὸν ἐγγινόμενον ἐκεῖθεν καπνὸν τῇ

Variorum notæ.

(63) Quorum non semel mentionem agunt scriptores Byzantini et locos collegit Lambecius, seu Holstenius, ac præfixit Leonis Oraculis. DUCANG.

(64) Wolfius νεάζουσαν, hoc loco et paulo infra, interpretatur *adolescentulam*. Sed *adolescentula* non erat, cujus filia quadriennio post nuptui collocata est. Vide cap. 4, sect. 2 inf. a. BOIVIN.

ψυχῇ. Σὺ γοῦν, ἵνα μὴ τῷ χρόνῳ τὸ πάθος ἰσχὺν εἰληφὸς βλάβην ἀνέλπιστον ἐπιφέρῃ, διανάστηθι πρὸς Θεοῦ καὶ γενοῦ σαυτοῦ. Οὐ γὰρ σὸν τὴν εὐγένειαν τῆς φιλοσοφίας εἰς τοιαύτην κατασπᾷν σμικροπρέπειαν καὶ ἀωρίαν τοσαύτην τοῦ ταύτης κατασκεδάζειν σεμνώματος. Πέφυκε γάρ πως τὸ τῆς λύπης δεινὸν ῥᾷστα τῇ παρατάσει τῆς σιωπῆς πολλαπλασιάζεσθαι. Χωρεῖ γὰρ ἀνατρέχον ἐπὶ τὰ ἔνδον ἀεὶ δίκην ἕλκους καὶ οὐ πρότερον ἀφίσταται τοῦ πάντα νέμεσθαι λάθρα τὰ πρόσω, πρὶν ἂν καὶ αὐτοὺς, ὡς εἰπεῖν, διέλθῃ τοὺς μυελοὺς τῆς ψυχῆς καὶ αὐτὰ τοῦ ζώου τὰ καιριώτερα κατατροπώσηται μόρια. Καὶ εἴ μέν τι τῶν ἀποῤῥήτων ἐστὶν, ἄλλοις χρεὼν εἶναι ἀπόῤῥητον· ἡμῖν δὲ τοῖς σοῖς καὶ μάλα ἥκιστα. »

A tuum est, philosophiæ nobilitatem ad tantam humilitatem dejicere, illiusque majestatem intempestivis doloris maculis aspergere: cujus ea natura est, ut continuatione silentii multiplicetur. Subinde enim ulceris instar interiora invadens, obvia quæque clam depascere non prius desinit, quam ad ipsas ut ita dicam animæ medullas penetrarit, et vitalia hominis absumpserit. Quod si arcani aliquid est, aliis arcanum esto: nobis vero tuis haudquaquam. »

Ϛ'. Τούτοις καὶ τοιούτοις πλείοσι καὶ τοιαύτῃ παλάμῃ τῆς γλώττης ἡ γενναία ἐκείνη θυγάτηρ τὰς τοῦ πατρὸς ἀκοὰς μαλάξασα κατὰ τὸ ἐγχωροῦν παρὰ τοσοῦτον τῆς διανοίας ἐκείνου καθήψατο καὶ ὥσπερ ἀπὸ βαθέος ἀνηρτήσατο ὕπνου, παρόσον ἁλιέων καὶ θαυματοποιῶν παῖδες οἱ μὲν τοῖς πλήκτροις ἐκ θαλάττης τοὺς ἰχθύας ἀνασπῶντες, οἱ δὲ τοὺς ὄφεις ἐκ τῆς λόχμης· ὡς ἐκεῖνον μικρὸν τῆς λύπης χαλάσαντα τῇ γλώττῃ δοῦναι τὸν νοῦν καὶ τὰς ῥήσεις ἐκείνας βραχὺ τοῦ Ἰὼβ ὑπαλλάξαντα, ὡς, « Ἀπόλοιντο, » φάναι, « αἱ ἡμέραι ἐκεῖναι, ἐν αἷς γυναικί τε συνῆφθην καὶ τέκνων ἐγενόμην πατήρ. Ῥᾷστα γὰρ ἂν μὴ παρόντων αὐτῶν τἀμαυτοῦ διεθέμην. Νῦν δὲ τοσούτου διὰ ταῦτα περιῤῥέοντος ὄχλου φροντίδων, οὐκ οἶδα πῶς ἂν διαφύγοιμι τὴν ὅπως ποτὲ καὶ ὀθενοῦν ἀπειλουμένην ἐπῆνεχθήσεσθαι ὅσον οὐδέπω κακίστην πραγμάτων φοράν. Μέλλειν γὰρ ἔφοδόν τινα βαρεῖαν εἴτ' ἐκ θαλάττης, εἴτ' ἐξ ἠπείρου, ἐχθρῶν μὲν, οὐκ οἶδα δ' ὅτων, ἐπαναστήσεσθαι καθ' ἡμῶν καὶ πάντα κακῶς συνταράξειν τὰ καθ' ἡμᾶς, [P. 190] καθάπερ ὀλκάδα μεγάλην ἐπειδὰν ἐπὶ πόντου λεβὼν ἀγκυρῶν ὀρφανὴν ὑβριστὴς ἄνεμος μαίνηται κατὰ τῶν ἱστίων καὶ καταχορεύῃ τοῦ κύματος. » Ταῦτα εἰπὼν ἐσιώπησεν αὖθις, κλαπεὶς ὥσπερ τὸν νοῦν ὑπὸ τῶν λογισμῶν ἐκείνων καὶ ἐκλαθόμενος ἑαυτοῦ καὶ τῆς γλώττης· καὶ ἀναστὰς εἰσῄει μεστὸς ἀθυμίας ἐπὶ τὴν κλίνην, ἐφ' ἧς καὶ κατέδαρθε μέν· καθεύδειν δ' οὐκ εἶχε μέχρι πολλοῦ.

VI. His et pluribus hujusmodi verbis generosa illa filia **308** cum aures patris mulsisset, sic ferme illius animum movit, et ex profundo quasi somno excitavit, ut ex mari pisces a piscatoribus, e silva colubri a præstigiatoribus plectrorum vi extrahuntur. Itaque ille sedato paululum dolore animum linguæ commodavit, ut Jobi verba parum immutata proferret. « Pereant, inquit, dies illi, in quibus uxorem duxi, et liberos suscepi: qui si non essent, facillime rebus meis consuluissem. Nunc vero, tanta curarum turba ob ea ipsa incumbente, ignoro, qua ratione effugere possim pessimam cladem, quæ mihi incertum unde et quomodo mox statim inferetur. Imminet enim gravis nobis impressio hostium nescio quorum, sive terra sive mari adventantium, qui res nostras pessime turbabunt: ac si magnam onerariam ancoris destitutam in medio mari protervus aliquis ventus deprehendat, et in vela furiosus irruens fluctibus agitatis debacchetur. » His dictis rursus obticuit, cogitationibus illis mente propemodum alienata: et sui ipsius suæque linguæ oblitus surrexit, seque in lectulum contulit ac recubuit: diu autem insomnis mansit.

A lucio repetamus, satis constat, mutato æquinoctii die plenilunium etiam mutatum esse. Unde sequitur, Judæorum etiam Pascha variavisse, ac simul cum eo nostrum etiam variasse oportere, quoniam nostrum ab illo pendet et ex eo tanquam basi ac fundamento educitur. Facile autem hic error corrigetur, si paulo plus biduo integro detrahere voluerimus. Ita enim tot interjectorum annorum rationi convenire methodus astronomiæ docet. Quod nisi fiet, error haud parvus incidit : et fit interdum, ut sæpe jam factum est, ut opinemur primo et Dominico hebdomadis instantis die plenilunium fore ; id autem falso opinemur, cum plenilunium biduo ante, hoc est in sextum ejus, quæ antecessit, hebdomadis diem inciderit, et nos ob eum errorem alium atque alium Dominicum diem exspectemus et Christi passionem in hebdomade resurrectionis celebremus. Unde quæ errata consequantur, nemini est obscurum. Hæc autem non inepte neque temere ab auctoribus esse posita, sed rationem singula probabilem habere jam declarabo. Hebræi plenilunium, quod post æquinoctium exsistit, observant, quoniam et illud **369** ipsum tempus fuit, quo agnum immolarunt, et ex Ægypto fugerunt. Nam illius anni æquinoctium die Martii nono et vicesimo fuit : et plenilunium, ab æquinoctio proximum, postridie exstitit, nempe eo die, qui secundum illos decimus quartus mensis Nissan fuit, quem illi Martii nostri loco primum anni mensem numerant. Neque enim sicuti nos nec ab uno eodemque die menses et annos Persæ, Alexandrini et Ægyptii auspicantur, nec ipsi præter alios Judæi ; sed singuli aliter. Alexandrini quarto Kal. Septembris nostri annum suum auspicantur ; Ægyptii nunc ab eodem, nunc ab alio die, et subinde aliter. Persæ, Medi, Indi neque cum his neque inter se consentiunt. Judæi vero nunc ab hoc nunc ab illo atque alias ab alio Martii nostri die suum Nissan ordiuntur. Nam a congressu ad congressum duorum luminum mensium circuitus numerare soliti eum mensem, qui vernum æquinoctium continet, reliquorum mensium principium constituunt eumque Nissan vocant, cujus ipsius incertum est principium. Dominus quidem Mosi olim dixit : « Mensis hic vobis principium mensium : primus est vobis in mensibus anni. Decima mensis hujus sumat unusquisque filiorum Israel pecus per domum. Et erit vobis conservatum usque ad quartam et decimam mensis hujus. Et occident ad vesperam. Et manducabunt. Et facietis diem hunc legitimum æternum **370** in progenies vestras [1]. »

[1] Exod. XII, 2, 3.

Veriorum notæ.

(28) Ὅτι δ' οὐχ ἁπλῶς οὕτωσί πως, οὐδ' εἰκῇ, cod. Vatic. Boivin.

(29) Ἐπειδὴ τοιοῦτος καὶ ὁ καιρὸς etc., cod. Vatic. Boivin.

(30) Vertit Wolfius, *Alexandrini tertio Kal. Sept.* Vertere debuit, *tertio ante Kal. Sept.* seu *quarto Kal. Sept.* Nam *tertius Kalendas Sept.* est dies Augusti 30 ; *tertius ante Kalendas Sept.* est dies Augusti 29, quo die constat Alexandrinos auspicatos esse annum suum. Vide Petav. *De doctrina temporum* lib. VI, pag. 522. Boivin.

Hinc de causa et in memoriam illius diei quotannis festum Paschatis celebrant. Nec ob eam tantum causam; verum etiam ut sit typus seu figura transitus ex hoc sæculo in futurum, sicut ipse transitus ex Ægypto. Cum itaque futurum sæculum vesperam habiturum non sit, alio modo sine vespera etiam ejus solemnitatis diem esse oportere aiunt: id quod fit, cum lunæ hemisphærium, nobis obversum, plenum lumine seu totum lucidum est. Solis enim occasum statim tum exortus lunæ sequitur, nec ullam horam cœlum nobis obscurum esse sinit. Fuit igitur tum quoque, ut probabile est, hemisphærium lunæ, quod versus nos spectat, plenum luminibus sexta sexti illius diei (quo nimirum Christus passus est) hora, cum luna centum et octoginta partibus a sole distaret. Quamobrem monstrosa visa est astrologis et supra rationem ea quæ tum accidit solis defectio. Neque enim causam in natura aliquam habebat. Nam cum eamdem utrumque lumen partem zodiaci occupat, naturales solis defectiones contingunt, luna solem subeunte. Eam vero partibus centum et octoginta dissitam retro converso cursu solem subiisse, id vero supra naturalem omnem rationem factum est. Quare id miraculum astronomi ante alios omnes sunt mirati, et Deum esse qui paterctur dixerunt. Nam indoctis minime quidem id portentosum, sed superioribus **371** etiam annis usitatum visum est. Eo igitur plenilunio Pascha Judæi immolarunt; eo æquinoctium fuit; eo et Servator noster mortem pro nobis oppetiit. Omnibus porro notum est, tertiam fuisse post legale illud festum eam diem, qua Dominus noster a morte resurrexit, eamque fuisse mensis Martii diem vicesimam quintam. Quæ duo utique, nimirum et mensis diem et resurrectionis mysterium, cum conjuncta essent, bifariam et trifariam et multifariam divisa piorum cœtus observavit. Nam alii mensis diem perpetuo instituto nostræ festivitati dicaverunt; alii Paschatis diem ex observatione legis prius indagabant; deinde tertio post die mysterium nostrum celebrabant. Unde infesta, ut ita dicam, festivitas exstiterat, et non parva seditio et perturbatio in Christi Ecclesiam invaserat. Nam si semper tertius a legali Paschate dies incideret in quintum ac vicesimum Martii diem, melius id esset festumque consentiret. Sed quia perraro fit, ut simul incidant et vix intra annos plurimos; perpetuo autem et quotannis fere accidit, ut alterum ab altero distet; alii plenilunium, quod post æquinoctium exsistit, anteverterunt, alii secuti sunt; alii spretis æquinoctiis et agnis et sacrificiis et omnibus legitimis ritibus quadragesima tantum numerata jejunium absolverunt, ubivis et utcunque cecidisset. Hinc multa confusio et **372** perturbatio et quædam veluti linguarum partitio exstitit ex unica re. Certe enim probabile est, alios cibis abstinuisse et

καὶ ἄλλοτ' ἄλλην ἀεί· καὶ Πέρσαι δὲ καὶ Μῆδοι καὶ Ἰνδοὶ τούτοις τε πᾶσι καὶ σφισιν αὐτοῖς ἀλλήλοις ἀσύμφωνα. Καὶ Ἰουδαῖοι δὲ ποτὲ μὲν τήνδε τοῦ καθ' ἡμᾶς Μαρτίου, ποτὲ δ' ἑτέραν ἡμέραν, καὶ ἄλλοτ' ἄλλην ἀεί, ἀρχὴν τοῦ [παρ' αὐτοῖς ποιοῦνται Νισσάν. Ἀπὸ γὰρ συνόδου πρὸς σύνοδον τῶν δύο φωστήρων τὰς τῶν μηνῶν ἀριθμοῦντες περιόδους τὸν ἑαυτοῦ μεταξὺ τὴν ἑρινὴν ἰσημερίαν περιλαμβάνοντα πρῶτον καὶ ἀρχὴν τῶν ἄλλων ποιοῦνται μηνῶν καὶ Νισσὰν ὀνομάζουσιν, ἀόριστον τὴν οἰκείαν ἔχοντα ἀρχήν. Φησὶν οὖν πρὸς Μωσέα πάλαι ὁ Κύριος· « Ὁ μὲν οὗτος ὑμῖν ἀρχὴ μηνῶν πρῶτος ὑμῖν ἐστιν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ. Τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτω ἕκαστος τῶν υἱῶν Ἰσραὴλ πρόβατον κατ' οἰκίαν. Καὶ ἔσται ὑμῖν διατετηρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου· καὶ σφάξουσι πρὸς ἑσπέραν καὶ φάγονται. Καὶ ποιήσετε τὴν ἡμέραν ταύτην νόμιμον αἰώνιον εἰς γενεὰς ὑμῶν. » Ταῦτ' ἄρα καὶ εἰς ἀνάμνησιν τῆς ἡμέρας ἐκείνης ἐτήσιον ἀεὶ ποιοῦνται τὴν τοῦ Πάσχα πανήγυριν· οὐ μόνον δὲ, ἀλλὰ καὶ εἰς τύπον τῆς ἐκ τοῦ παρόντος πρὸς τὸν μέλλοντα αἰῶνα διαβάσεως κατὰ τὴν ἐξ Αἰγύπτου διάβασιν. Ὅθεν καὶ ἀνεσπέρου τοῦ μέλλοντος ὄντος αἰῶνος ἀνέσπερον ἕτερον τρόπον εἶναι δεῖν φασι καὶ τὸ τῇδε τῇ πανηγύρει διακονοῦν νυχθήμερον. Τοῦτο δὲ γίνεται πλησιφαές τε καὶ πανσέληνον τὸ πρὸς ἡμᾶς ἡμισφαίριον τῆς σελήνης ἐχούσης. Τὴν γὰρ τοῦ ἡλίου τηνικαῦτα δῦσιν ἡ τῆς σελήνης εὐθὺς ἀνατολὴ διαδέχεται καὶ εὐθεμίαν ὥραν ἡμῖν (31) ἐᾷ σκοτισθῆναι τὸν ὑπὲρ κεφαλῆς ἀέρα. Ἦν μὲν τοίνυν καὶ τότε, ὡς εἰκὸς, πλησιφαὲς τὸ πρὸς ἡμᾶς αὐτῆς ἡμισφαίριον ἔχουσα ἡ σελήνη τῇ ἕκτῃ τῆς ἕκτης ἐκείνης ἡμέρας, ὥρᾳ ὀγδοήκοντα καὶ ἑκατὸν τηνικαῦτα τοῦ ἡλίου ἀφισταμένη μοίρας. Διά τοι τοῦτο καὶ τεράστιον ἔδοξε τοῖς ἀστρολόγοις καὶ ὑπὲρ λόγον ὁ λόγος τῆς τότε γενομένης ἡλιακῆς ἐκλείψεως. Οὐ γὰρ φυσικός τις εἵπετο ταύτῃ λόγος. Ἐν γὰρ μιᾷ τοῦ ζωδιακοῦ γενομένων μοίρᾳ τῶν δύο φωστήρων αἱ φυσικαὶ τοῦ ἡλίου τελοῦνται ἐκλείψεις, ὑποτρεχούσης τῆς σελήνης τὸν ἥλιον [P. 228]. Ὀγδοήκοντα δὲ καὶ ἑκατὸν διεστημένην μοίρας τὴν σελήνην ὑπισθοδρομῆσαι καὶ ὑποδραμεῖν τὸν ἥλιον, τοῦτο δ' ὑπὲρ πάντα φυσικὸν ἐτελεσιουργήθη λόγον. Ὅθεν καὶ πρό γε πάντων ἀστρονόμοι τὸ θαῦμα διὰ θαύματος ἦγαγον καὶ θεὸν εἶναι τὸν πάσχοντα ἔφασαν. Τοῖς γὰρ ἀμαθέσιν οὐδὲ τεράστιον ἔδοξεν, ἀλλ' εἰωθὸς τοί, πλείστοις ἔτεσιν. Ἐν ἐκείνῃ τοίνυν τῇ πανσελήνῳ καὶ τὸ Πάσχα τοῖς Ἰουδαίοις ἐθύετο· ἐν ἐκείνῃ δέ γε καὶ τὰ τῆς ἰσημερίας ἦν· ἐν ἐκείνῃ δὲ καὶ ὁ Σωτὴρ, ὡς ἔφημεν, ὑπὲρ ἡμῶν ἐθανατοῦτο. Γνώριμον δὲ δήπου τοῖς ἅπασιν, ὡς τρίτη μὲν ἦν μετὰ τὴν νομικὴν ἐκείνην ἑορτὴν, ἐν ᾗ τὸ τῆς θείας ἡμῖν ἀναστάσεως μυστήριον ἐγεγένητο· καὶ ὡς πέμπτην καὶ εἰκοστὴν τηνικαῦτα ὁ Μάρτιος ἦγεν μήν. Ἃ δὴ δύο ὄντα ἐν ταυτῷ, τήν τε τοῦ μηνὸς ἡμέραν δη-

Variorum notæ.

(31) Ἡμῖν addit cod. Vat. BOIVIN.

λαδὴ καὶ τὸ τῆς ἀναστάσεως μυστήριον, διχῇ καὶ τριχῇ καὶ πολλαχῇ διελόμενοι τὸ τῶν εὐσεβῶν σύστημα οἱ μὲν τὴν τοῦ μηνὸς ἡμέραν νόμιμον αἰώνιον ἦγον ἑξῆς ὑπηρέτιν τῆς ἡμῶν παντηγύρεως· οἱ δὲ τὴν τοῦ νομικοῦ Πάσχα πανήγυριν πρότερον ἀνιχνεύοντες εἶτα τὴν ἐξ ἐκείνης τρίτην ἑόρτιον ἦγον τοῦ καθ' ἡμᾶς μυστηρίου· κἀντεῦθεν ἀνέορτον καὶ τὸ τῆς ἑορτῆς ἐφαίνετο καὶ οὐ μικρόν τι τὸ στασιάζον καὶ ἀπαχτοῦν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ ἐπήγετο. Εἰ μὲν γὰρ ἀεὶ τὴν ἐκ τοῦ νομικοῦ Πάσχα τρίτην ἐν ταυτῷ συνέπιπτε καὶ πέμπτην εἶναι τοῦ μηνὸς καὶ εἰκοστήν, βέλτιον ἂν ἦν καὶ ὁμήγυρις ἦν ἡ πανήγυρις. Ἐπεὶ δὲ τὸ μὲν συμπίπτειν ἀμφότερα πάνυ τοι σπάνιον καὶ μόγις που διὰ πλείστων ἐτῶν· τὸ δὲ διεστάναι θάτερον θατέρου, τοῦτο δὲ μικροῦ διηνεκὲς καὶ ἐτήσιον· οἱ μὲν ἔφθανον τὴν μετ' ἰσημερίαν πανσέληνον, οἱ δ' ὑστέριζον. Ἄλλοι δὲ χαίρειν φάσκοντες ἰσημερίας καὶ ἀμνοὺς (32) καὶ θύματα καὶ πάντα νόμιμα ἔθιμα μόνην τὴν τεσσαρακονθήμερον ἐξαριθμοῦντες ἦνον νηστείαν, ὅπου τε καὶ ὅπως τύχοιεν. Ἐντεῦθεν καὶ σύγχυσίς τις καὶ κυκεὼν ἦν (33) καὶ γλωσσῶν, ὡς εἰπεῖν, μερισμὸς ἐφ' ἑνί τινι πράγματι. Ἦπου γὰρ εἰκὸς, τοὺς μὲν ἀσιτίαν ἀσκεῖν καὶ συμπαθεῖν τοῖς τοῦ Σωτῆρος πάθεσι· τοὺς δὲ τρυφᾶν καὶ τοῖς ἐκείνου ἐπινικίοις συνήδεσθαι· καὶ τὸ καλὸν οὐ καλῶς ἑκατέρους ἐπιτελεῖν, πολλὰ ποιοῦντας τὸ ἓν καὶ διασπῶντας τὴν τῆς Ἐκκλησίας ὁμόνοιαν καὶ τὸν καλῶς ἀλληλουχούμενον μεριζομένους σύνδεσμον. Τοῦτο τοίνυν οὕτω τεμνόμενον καὶ οὕτω διασπώμενον οἱ τῆς εὐσεβείας πρόβολοι καὶ θεῖοι συνιδόντες διδάσκαλοι (34) θεσπίσμασι κανονικοῖς ὥσπερεί τισι χαρακώμασι περιφράττουσι, μηδένα πιστὸν πρό γε τῆς ἠρινῆς ἰσημερίας τελεῖν τὴν τῆς ἀναστάσεως νομοθετήσαντες πανήγυριν· ἀλλ' ἐν Κυριακῇ τῇ ἑφεξῆς μετὰ τὸ Ἰουδαϊκὸν Πάσχα, τῇ μετὰ πανσέληνον δηλαδὴ τῇ μετ' ἰσημερίαν [P. 229]. Ταῦτ' ἄρα καὶ χρεὼν πάντα πιστὸν σὺν ἀκριβείᾳ ζητεῖν τὴν μετ' ἰσημερίαν πανσέληνον, εἰ βούλοιτο μὴ παραβαίνειν τὰ τῆς Ἐκκλησίας θεσμά. Ταύτης γὰρ λανθανούσης ἕπεται λανθάνειν καὶ τὴν ἡμῖν ὀφειλομένην ἡμέραν ἑόρτιον καὶ ὥσπερ ἐν ἀθήλῳ πελάγει ναυαγεῖν ἡμᾶς ἴσα γε πλανωμένῃ νηΐ, ἣν ἀπολαβοῦσαι νύκτες καὶ χειμῶνες τάς τε ἀγκύρας ἐξέκοψαν καὶ αὐτὴν τῆς προσηκούσης μάλα ἀπήλλαξαν καταγωγῆς.

A Servatoris passionem cum dolore esse recordatos; alios vero indulsisse genio et ejus triumpho exsultasse, et quod rectum erat neutros recte obiisse, unum in multa dividendo, et Ecclesiæ concordia divellenda, et unionis pulchro vinculo dissolvendo. Quam ita scissam ita distractam religionis propugnatores sanctique doctores cum ania advertissent, canonicis sanctionibus velut aggeribus quibusdam objectis prohibuerunt, ne quis fidelis ante vernum æquinoctium Resurrectionis festum celebraret; sed die Dominico, qui post Pascha Judaicum seu post plenilunium proximum ab æquinoctio existeret. Quibus de causis cuilibet fideli diligenter est id plenilunium quærendum, quod ab æquinoctio proximum est, nisi ritus Ecclesiæ violare malit. Hoc enim ignorato sequitur etiam diem ignorari, quæ nobis festa esse debet; nosque velut in ignoto pelago facere naufragium, perinde ac errantem navem, quæ nocte et tempestatibus intercepta et abscissis ancoris spoliata ab opportuna statione longe abducatur.

Γ'. Τούτων οὕτω λεχθέντων καὶ οὕτω διατρανωθέντων προσήκατο (35) μὲν καὶ ἥσθη τῇ ἀποδείξει ὁ βασιλεύς· τάχα δ' ἂν καὶ ἐμέλλησε τὴν διόρθωσιν αὐτίκα ἐπενεγκεῖν· ἀλλ' ἵνα μὴ τοῦτο σύγχυσις μᾶλλον τοῖς ἀμαθέσι φανῇ καὶ μερισμὸν ἐπαγάγῃ τῇ Ἐκκλησίᾳ (36), σεσιγημένον ἀφῆκε τὸ πρᾶγμα καὶ ὅλως ἀνεπιχείρητον. Μηδὲ γὰρ ἂν εἶναι ῥᾴδιον ἔφησεν, ἅπαντας ἐν ταυτῷ τοὺς ἀνὰ πᾶσαν ἤπειρον καὶ νῆσον ὁμοφύλους διαδραμεῖν καὶ πεῖσαι μεταμαθεῖν τὴν διόρθωσιν· μερίζεσθαι δ' αὖ καὶ ἄλλους ἄλλην πανηγυρίζειν καὶ ἑτέραν ἑτέρους ἄγειν ἑόρτιον, τοῦτο δ' οὐ σφόδρα χρηστόν. Ὥστ' ἐξ ἑκατέρων θάτερον κουφότερον ἐφάνη, κεῖσθαι τὰ τοῦ πράγματος ὡς ἔκειτο καὶ μένειν ὡς ἔμενε μέχρις ἡμῶν. Ἐμοὶ δὲ τοὐναντίον μᾶλλον ἐδόκει κουφότερον. Τὸ γὰρ τοὺς ὁμοφύλους ἅπαντας καθάπαξ πεῖσαι τῇ διορθώσει συνθέσθαι, εἰ μὴ ῥᾴδιον χρόνῳ ἑνί, ἀλλὰ δυσὶ καὶ τρισὶ ῥᾴδιον ἂν ἦν· ὥσπερ κἀν τοῖς πρὸ ἡμῶν, ὡς ἔφημεν, πάλαι πολλάκις γεγένηται.

III. Hæc ad hunc modum explicata et demonstrata imperator cum voluptate accepit; fortassis etiam correctionem statim aggressurus, nisi veritus esset, ne indocti majorem confusionem invehi per eam correctionem crederent, ac dissideret Ecclesia. Itaque rem silentio **373** prætermiit et plane intactam reliquit. Negavit enim esse facile, universos simul omnium orbis regionum et insularum habitatores percurri, et correctionem hanc demum edoceri. Rursum dissensiones esse et alios alia die festum celebrare, ne id quidem valde bonum esse. Quibus incommodis inter se collatis præstare visum ne quid novaretur; sed ita manerent omnia, ut ad nos perveniissent. Mihi vero contrarium magis probabatur. Nam omnes ejusdem imperii cives, si non uno at altero et tertio anno facile adduci posse, ut correctionem illam ratam haberent: id quod et ante nos olim, ut diximus, sæpe factum est. Cæterum ob eas causas, quas

Variorum notæ.

(32) Abest καὶ ἀμνοὺς a cod. Vat. Boivin.
(33) Ἦν addit cod. Vat. Boivin.
(34) Συνιδ. ἀπόστολοι cod. Vat. Boivin.
(35) Ἀπεδέξατο cod. Vat. Boivin.
(36) Addit cod. Vat., ἣν αὐτὸς πολλοῖς ἱδρῶσι συνεστήσατο, καὶ συντετριμμένην ἴάσατο, καὶ ἀπωσμένην ἀνεκαλέσατο, σεσιγημ. Boivin.

dixi, imperatoris sententia magis valuit quam nostra. Sed de his quidem satis hactenus.

Ἀλλὰ δι' ἣν ἔφθημεν εἰρηκότες αἰτίαν τὸ τοῦ βασιλέως τέως ἐκράτησε δόγμα μᾶλλον ἢ τὸ ἡμέτερον. Ἀλλὰ τούτων μὲν ἄλι, (37).

CAPUT XIV.

Junior Andronicus coronatur. Senior equo dejectus; sinistrum omen. Panhypersebastus Cralis socer. Generi armis adjutus rebellat. Oblata Cæsaris dignitate contentus arma ponit. Moritur. Legatio de ejus uxore Byzantium reducenda. Gregoras legatus cum aliis missus. Quæ sibi et sociis suis in itinere acciderint, narrat. Scythicæ incursionis fama. De Strymone fluvio, ut eum legati trajecerint. Errores, pericula et alii casus. De Strumnitza oppidulo. Pascha ab oppidanis ritu barbaro celebratum. Scopiorum situs. De Axio flumine. Cæsarissa a legatis convenitur. Ejus mulieris mœror et habitus miserabilis. Crales audita legatione, Cæsarissam dimittit. Abeuntem prosequitur, non satis splendide. Barbarorum mores notati. Cæsarissa Thessalonicam abit, ut viro justa persolvat. Gregoras, acceptis ab ea mandatis, Byzantium revertitur.

I. Post hæc Byzantium profectus imperator IV Nonas Februarii octava indictione coronatus est. Accidit autem, ut utroque imperatore ea de causa in magnum Sanctæ Sophiæ templum abeunte senior lapso equo in limosam quamdam paludem ex aqua pluvia collectam concideret in via: qui casus non bonum ei qui cecidisset omen esse visus est judicio prudentiorum.

Α'. Μετὰ δὲ ταῦτα ἐλθὼν ὁ βασιλεὺς εἰς Βυζάντιον ἐστέφθη φεβρουαρίου ἡμέρᾳ δευτέρᾳ τῆς ὀγδόης ἰνδικτιῶνος (38). Συνέβη δ' ἀπερχομένοιν τοῖν δυοῖν βασιλέοιν ἐς τὸ μέγα τῆς τοῦ Θεοῦ Σοφίας [P. 230] τέμενος τῆς στεφηφορίας ἕνεκα πεσεῖν τὸν γηραιὸν βασιλέα ξὺν γε τῷ ἵππῳ ὀλισθήσαντι εἰς τελματώδη λίμνην τινὰ κατὰ τὴν ὁδὸν ἐξ ὀμβρίων ὑδάτων συστᾶσαν· καὶ ἔδοξε τὸ τοιοῦτον σύμπτωμα τοῖς συνετωτέροις οὐκ ἀγαθὸς ὄρνις εἶναι τῷ πεπτωκότι.

II. Sequenti anno Panypersebasti filia Crali Serviæ nuptura abiit. Paulo post et mater, ejus visendæ gratia, eodem sese contulit. Quam mox et panypersebastus secutus est, nolens imperatori diutius obnoxius esse, **374** sed sibi ipsi vindicare imperium, quod nimirum hæreditario jure ad se pertineret. Relicta igitur Thessalonicæ cura et administratione et ipse ad Cralem generum suum abiit, a quo ad exsequenda destinata adjuvaretur. Ab eo igitur susceptus et una cum eo egressus omnem regionem usque ad Strymonem et Serrhas populatur. Quamobrem senior imperator majorum malorum metu legatos ad eum misit, ei Cæsareæ dignitatis insignia deferenda ei simul curavit. Quæ ille Scopiis, quod exiguum oppidum est, accepta gestavit, seque deinceps quieturum esse promisit neque quidquam amplius petiturum. Sed jam Thessalonicam rediturus gravissimo morbo affectus intra paucos dies illic decessit. Cæsarissa vero uxor ejus cum consuetudinem filiæ et generi desiderans, tum Romanos reverita, propter illa quæ maritus ejus fecerat, inde abire noluit. Qua re pater ejus coactus imperatori auctor fuit mittendæ ad Cralem legationis tum de cæteris Romani imperii rebus ordinandis, tum de Cæsarissa cogenda, ut domum rediret.

Β'. Ἐς δὲ τοὐπιὸν ἔτος ἀπῄει συζευχθησομένη τῷ Κράλῃ Σερβίας ἡ θυγάτηρ τοῦ πανυπερσεβάστου (39). Μετὰ βραχὺ δ' ἀπῄει πρὸς αὐτὴν θεωρίας ἕνεκα καὶ ἡ μήτηρ αὐτῆς. Μετὰ μικρὸν δὲ καὶ ὁ πανυπερσέβαστος οὐκ ἐθέλων ἔτι ὑπὸ βασιλεῖ εἶναι, ἀλλ' ἑαυτῷ περιποιήσασθαι βασιλείαν, ἅτε δηλαδὴ κλῆρον οὖσαν αὐτῷ πατρικόν, ἀφεὶς τὴν τῆς Θεσσαλονίκης ἐπιτροπὴν καὶ διοίκησιν ᾤχετο καὶ αὐτὸς ἀπιὼν ἐς Κράλην τὸν γαμβρὸν αὐτοῦ, σύμμαχον αὐτὸν ληψόμενος τῷ σκοπῷ τοῦ τοιοῦδε βουλεύματος. Ὑφ' οὗ προσδεχθεὶς ἐξῆλθεν ἅμα αὐτῷ καὶ πᾶσαν τὴν ἄχρι Στρυμόνος τοῦ ποταμοῦ καὶ Σερρῶν ἐληΐσατο χώραν. Ὅθεν ὁ γηραιὸς βασιλεὺς διὰ δέος μειζόνων κακῶν ἀπέστειλε πρεσβείαν πρὸς αὐτὸν καὶ ἅμα τῇ πρεσβείᾳ καὶ τὰ τοῦ Καισαρικοῦ ἀξιώματος σύμβολα. Ἅπερ ἐν τῷ τῶν Σκοπίων πολιχνίῳ δεξάμενος ἐκεῖνος ἐφόρεσε καὶ εἰρηνεύειν ὑπέσχετο τοῦ λοιποῦ καὶ μηδὲν ἔτι πλέον ζητεῖν. Ἔμελλε δὲ ἤδη καὶ ἐς Θεσσαλονίκην ἐπανελθεῖν, ἀλλὰ νόσῳ δεινοτάτῃ ληφθεὶς μετὰ βραχείας ἡμέρας ἐκεῖ τὸ πέρας τοῦ βίου ἐδέξατο. Καισάρισσα δὲ ἡ γυνὴ αὐτοῦ ποθοῦσά τε συνεῖναι τῇ θυγατρὶ καὶ τῷ γαμβρῷ καὶ πρός γε αἰδουμένη Ῥωμαίους διὰ τὰ συμπεσόντα τῷ ἀνδρὶ αὐτῆς οὐκ ἤθελεν ἐκεῖθεν ἐξελθεῖν. Ταῦτ' ἄρα ἀναγκασθεὶς ὁ πατὴρ αὐτῆς κεκίνηκε τὸν βασιλέα πρεσβείαν πρὸς τὸν Κράλην ποιήσασθαι περί τε καταστάσεως ἄλλης τῶν Ῥωμαϊκῶν πραγμάτων καὶ περὶ τῆς Καισαρίσσης, ὅπως οἱ καθ' ἀναγκαίαν ταύτην ἐπανιέναι.

Variorum notæ.

(37) *Ἀλλὰ δι' ἣν ἔφθημεν εἰρ. αἰτ. τὸ τοῦ βας. τέως ἐκρ. δόγ. μᾶλλ. ἢ τὸ ἡμ. Ἀλλὰ τούτ. μὲν ἄλ.* Pro his legitur in cod. Vat.: Ὅμως πολλῶν ἐπὶ τούτοις καὶ ἄλλων συγχροτηθέντων ἑκατέρωθεν λόγων, ἄριστε φίλων, ἀρκεῖ σοι τὰ εἰρημένα. Καὶ εἰ μὲν ἄριστά σοι φανείη, τῷ Θεῷ τὴν χάριν ἀπόδος· εἰ δὲ μή, τὴν μέμψιν ἐμοί. Τῶν γὰρ ἀγαθῶν ἡμῖν ἐκεῖνος πρυτανεύει τὰς ἀρχάς· τῶν δὲ σφαλερῶν ἡμῖν αὐτοῖς ἡμεῖς αὐτοὶ παραίτιοι. Ἢν ἐθέλῃς λοιπόν, μεμνήσῃ τοῦ λόγου, καὶ φάρμακόν σοι ἔσται λοιμοῦ τοῦτο ἀπορίας. Μέμνημαι γὰρ ὡς πολλάκις ἐπὶ πολλῶν διηπόρηκας, σφαλερὸν τὸ πρᾶγμα οἰόμενος· τὴν δὲ λύσιν οὕτως εὗρισκες ἀδύνατον, καθάπερ δὴ καὶ τὸ πρὸς οὐρανὸν τοξεύειν. In his desinit dissertatio seu epistola ad Josephum. Exstat in eodem Codice Vaticano ejusdem argumenti dissertatio, cujus initium, Αἱ δεύτεραί πως φροντίδες, Εὐριπίδης φησί που, σοφώτεραι. Vide Indicem Operum Gregoræ initio hujus voluminis. BOIVIN.

(38) Anno Christi 1325, Februarii 2. DUCANG.

(39) Joannes Palæologus, Metochitæ gener. Vide *Hist. Cantacuz.* lib. I, cap. 15. BOIV.

Γ'. Τότε τοίνυν ἀπεστάλην κἀγὼ πρέσβυς ἐς Κρά- A λην σύν τε ἄλλοις καὶ τῷ ἀδελφῷ αὐτῆς δι' ἃς ἔφθημεν εἰρηκότες αἰτίας (40). Ἐπειράθημεν δὲ οὐκ ὀλίγων ἐν τῇ ὁδῷ τῶν δεινῶν (41), φήμης τε μαλλούσης Σκυθικῆς ἐφόδου διατρεχούσης καὶ θορυβούσης τὴν Θράκην καὶ διωκούσης ἐκ τῆς χώρας ἐς τὰ φρούρια τοὺς ἀνθρώπους καὶ τοὺς οἴκους ἐρήμους ποιούσης, ἐφ' ὧν ἡνίκ' ὀψὲ εἴη καταλύειν ἡμᾶς ἐχρῆν καὶ τὸν ἐκ τῆς ὁδοῦ μόχθον ἀποτρίβεσθαι. Καὶ τὰ μὲν ἄχρι Στρυμόνος συμπεπτωκότα ἡμῖν ἐῶ. Ἐκεῖσε μὴν γενομένοις ξυνηνέχθη τι καὶ παθεῖν ἡμᾶς πλέον ἀκοῆς μάλιστα πάντων ἄξιον, ὁπόσα λύπης καὶ γέλωτος φέρει σπονδὰς ἐν ἀνθρώπου ψυχῇ. Ἀβουλίᾳ γάρ τοι τοιαύτῃ χρησαμένοις, ὁποία καὶ Δημοκρίτου μάλα τοι γελῶντος ἐρᾷη ἄν, ἐς τοιοῦτον συνηλάθη κίνδυνον ἡμῖν τὰ ἡμέτερα, ὁποῖος καὶ Ἡρακλείτου μάλα γέ τοι δακρύοντος ἐρᾷη ἄν. Ἴσασι γὰρ ἅπαντες πεζοῖς καὶ ἱππόταις ἀνδράσιν ἄπορον ὄντα Στρυμόνα τὸν ποταμόν· ὅτι [P. 231] καὶ μέγιστος ἐκπεφύκει ὁπόσοι Θράκην καὶ Μακεδονίαν τέμνοντες ἐς τε Ἑλλήσποντον καὶ Αἰγαῖον ποιοῦνται τὰς ἐκβολάς. Τίκτουσι γὰρ αὐτὸν τὰ ὑπερκείμενα μέγιστα ὄρη, ἃ κατὰ τὸ συνεχὲς παρατείνει μέχρι τοῦ Ἰονίου πελάγους ἐκ τοῦ πόντου ἀρξάμενα τοῦ Εὐξείνου, ὁρίζοντα μὲν πρὸς μεσημβρίαν καὶ ἑσπέρου ἥνεμον Θράκην καὶ Μακεδονίαν, πρὸς δ' ἄρκτους τάς τε Μυσῶν χώρας καὶ ποταμὸν τὸν Ἴστρον· ὃς καὶ αὐτὸς μέγιστος ὢν ἢ πάντες, ὅσοι τὴν Σκυθικὴν ἐπίασι, πέντε στόμασιν ἐς τὸν Εὔξεινον ἐκδίδοται πόντον. Τοῦτον οὖν τὸν Στρυμόνα ἐκ τοιούτων πη- C γῶν ἀνίσχοντα καὶ οὕτω βαθυδίνην γιγνόμενον ἀκατίῳ ἑνί τινι πάνυ σμικρῷ διαπεραιούμενοι καθ' ἕνα που ἢ καὶ σύντρεις ἐνίοτε ξύν τε ὑποζυγίοις αὐτοῖς πολλὴν τινα τὴν ἡμέραν κατηναλώκειμεν. Ὁ γὰρ τῶν ὑποζυγίων καὶ ἡμῶν αὐτῶν ἀριθμὸς εἰς τὸ διπλάσιον ἢ καθ' ἑπταπλάσιον δεκάδι ἦν ἀνηγμένος. Ὁ δ' ἥλιος τὸν ἡμέτερον παραλλάξας μεσημβρινὸν ἐς τε δύσιν καὶ ὁρίζοντα τὸν ἑσπέριον ἦει. Καὶ δέον ἦν σταθμῷ χρήσασθαι καὶ καταλύειν αὐτοῦ που, ἡμεῖς δ' ἁμαρτόντες ὁδῷ ἔτι ἐχρώμεθα, ἐλπίσαντες, πάντως καταγωγίοις ἀποχρῶσιν αὐτίκα ἐντεύξεσθαι, πρὶν ἢ πεντεκαίδεκα σταδίων ἔχειν ἀνύτειν ἐς τὸ πρόσω ὁδόν. Ἦν δὲ ἄρα τὰ τῶν ἐλπίδων οὐ μάλα ἐπιτυχῆ. Ἔφοδοι γάρ τινες λῃστρικαὶ D συνεχείᾳ χρησάμεναι πρὸ μικροῦ τάχιστα τὸν τόπον ἔρημον ἐκεῖνον καὶ ἀτριβῆ πεποιήκεσαν. Καὶ μέντοι καὶ ἐφερόμεθα καθάπερ τινὲς πλάνητες θεῷ τε καὶ ἀδήλοις ἐλπίσι τὰ ἡμέτερα ἀναρτήσαντες.

III. Atque ipse quoque tunc legatus ad Cralem ivi cum alios comitaturus, tum Cæsarissæ ipsius fratrem, ob eas scilicet causas, quas supra diximus. In eo autem itinere non paucas experti sumus difficultates, cum Scythicæ incursionis fama Thraciam pervagaretur ac perterreret et **375** homines ex agris in castella se reciperent, desertis ædibus, in quibus nos vesperi diversari et corpora fessa de via recreare oportebat. Ac ea quæ ad Strymonem usque nobis acciderunt, mitto. Ibi autem gravius aliquid nobis accidit; eorum nempe omnium, quæ dolorem et risum in hominum animis consociant, maxime dignum auditu. Temeritate enim nostra, quæ Democriti splenem postulet, in id periculum deveninus, quo vel Heracliti lacrymæ exhauriantur. Norunt omnes, Strymonem fluvium et peditibus et equitibus esse impervium: propterea quod maximus est omnium fluviorum, qui Macedoniam ac Thraciam mediam secantes in Hellespontum et Ægæum mare exonerant. Oritur enim e superimpendentibus maximis montibus, qui a Ponto Eúxino exorsi continentibus jugis usque ad Ionium mare porriguntur, ac meridiem et Austrum versus Thraciam et Macedoniam, versus septentrionem Mysorum terras et Istrum fluvium terminant: qui et ipse maximus inter eos qui Scythiam perfluunt quinque ostiis in Euxinum pontum irrumpit. Hunc igitur Strymonem, talibus fontibus ortum et adeo vorticosum, unica eaque exigua navicula trajiciendo nunc singuli, atque interdum etiam terni cum ipsis jumentis, magnam diei partem consumpsimus. Nostrum enim et jumentorum numerus bis septuaginta excedebat. Et jam sol **376** meridiem prætergressus ad occasum et ad vespertinum horizontem vergebat. Cumque ibi subsistere et diversari deberemus, ultra per imprudentiam perreximus, sperantes, nos opportuna diversoria statim inventuros, priusquam stadiorum quindecim iter conficeremus. Sed ea spes frustrata nos est. Nam prædonum continentes incursiones locum illum paulo ante vastum et desertum celerrime effecerant. Proinde velut errones quidam rebus nostris Deo incertæque spei commissis vagabamur.

Δ'. Νὺξ δ' ἐπὶ τούτοις (42) παρῆν. Δύσσετο γὰρ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί. Ἡ δὲ σελήνη ἀπῆν. Ἐς γὰρ τὸ περίγειον (43) τοῦ ἑαυτῆς τὸ δεύτερον ἄρτι ἐληλυθυῖα ἐκκέντρου καὶ κατὰ τετρά-

IV. Deinde nox supervenit. Nam sol occiderat et viæ omnes umbra involvebantur. Quin et luna aberat. Modo enim alterum suum circa terram eccentricum prætergressa quadratóque radio solem

Variorum notæ

(40) Fuerat Gregoras Cæsarissæ præceptor et fratris ejus. Vide cap. 5, sect. 7, hujus libri. BOIVIN.

(41) Exstat in codice Vaticano 1086, fol. 141, epistola ad Andronicum Záridam, in qua Gregoras quæ sibi in via acciderint narrat. Vide Indicem Epistolarum Gregoræ initio hujus volum. Initium est, Οἶμαι μὴ ἀνεγκλήτους καθάπαξ. Ita accepi ex R. P. D. Bernardo Montefalconio. Eam ipsam epistolam puto huc translatam esse ab auctore, cui sua ipsius scrinia compilare pulchrum fuit. BOIVIN.

(42) Homerus *Odyss.* β', v. 388. DUCANG.

(43) Astronomicæ eruditionis intempestiva ostentatio. Sic infra lib. XII, cap. 13, sect. 6, Τὸ γὰρ περίγειον ἐκ περιστροφῆς τοῦ οἰκείου ἐπαγκαλαμβάνουσι κύκλου, καὶ ἐς τετράγωνον αὖθις τῷ ἡλίῳ καθισταμένη τὸ δεύτερον ἤδη σχηματισμόν, etc. BOIVIN.

intueos parum nos suo lumine juvabat. Quare in densissimis tenebris, ut ii qui per Tænarum ad inferos descendere aut Throphonii antrum fatidicum subire perhibentur, ambulabamus. Nam ad illunem noctem etiam montium in circuitu positorum umbræ accedebant, quorum vertices cœli conspectum ita nobis eripiebant, ut infelix iter ne stellarum quidem, ut aiunt, observatione regere possemus. Tum vero animus meus frangi cœpit, cum me ingredi oporteret longam ac difficilem viam. In silvam enim densam et inæqualem incidimus, latebrarum plenam et profundis voraginibus passim abruptam : in qua caligas et chlamydes nostras spinarum morsibus fœde laceratas ita negligebamus, ut **377** cum crebræ et ex aliis aliæ ramorum comæ in vultus nostros infestæ invaderent, oculis ipsis metueremus; habenisque et loris, quibus equos regebamus, omissis manuum objectu faciem protegeremus. At in famulitio, quod pone sequebatur, nonnulli præsentia pericula parum metuentes vociferabantur et tragicis cantibus celebrabant laudes veterum heroum, quorum famam solam audivimus, res autem gestas non vidimus. Abrupta autem et concava, vicinis undecunque montibus interjecta, clamorem editum intercipiebant, et quasi animata corpora integrum et illibatum et articulis suis distinctum servabant, accentusque et voces alternis referebant ; ac ut in choreis fieri solet, ipsa etiam vicissim audiebantur, et ad præscriptos modulos accinebant. Ego vero interea animum meum jubebam recreare et erigere se, nec terroribus subinde ingruentibus jacere oppressum. At ille non parebat : sed et viam alieno tempore susceptam usque exprobrare velle videbatur, et ad seipsum identidem conversus insidias et latrones tacite ruminabatur, ac viros sanguinum sibi fingebat, qui ex obscuro nos adorturi et occisuri essent.

V. Dum autem in his sumus, subito viri quidam ex illis rupibus et cavernis exsurgunt, nigris induti vestibus e lanis et velleribus, quæ pecudibus detraxerant iis quibus opus fuerat, diabolica plane spectra. Sed iidem non gravi armatura instructi, imo omnino leves et expediti erant. Ac plerique arma ad **378** cominus pugnandum apta in manibus habebant, nempe hastas et secures. Quidam et tela missilia gestabant. Ac principio quidem fieri non poterat, quin nobis et intempesta nocte et ignotis in locis terrorem inculerent : præsertim cum nostra lingua haud uterentur. Illius enim loci incolæ plerique Mysorum coloni sunt, finitimæ nationis, et communi cum nostris popularibus victu utuntur. Deinde recepimus animos et ad nos rediimus. Nam sua lingua nos comiter et hilariter sa-

γωνον τῷ ἡλίῳ γενομένη σχηματισμὸν οὐ μάλα ἀκρονύκτους ἡμῖν ἐβούλετο χαρίζεσθαι τὰς αὐγάς. Ταύτῃ τοι καὶ ἤειμεν διὰ παχυτάτου τοῦ σκότους, καθάπερ οὓς διὰ τοῦ Ταινάρου τὰς ἐς ᾅδου καθόδους ποιεῖσθαί φασιν ἢ τὰ ὑπόγεια Τροφωνίου μαντεύματα. Προσετίθετο γὰρ τῇ ἀσελήνῳ ἐκείνῃ νυκτὶ καὶ ἡ τῶν κυκλούντων λόφων σκιά. Αἱ γὰρ σφῶν ὑπερβολαὶ παρὰ τοσοῦτο καὶ οὐρανοῦ τὴν θέαν ἡμᾶς ἀφῃροῦντο, παρ' ὅσον οὐδ' ἄστροις τὸ θρυλλούμενον τεκμαίρεσθαι σαφῶς τὴν δυστυχῆ πορείαν εἴχομεν ἐκείνην. Αὐτὰρ ἔμοιγε (44) κατεκλάσθη φίλον ἦτορ· οὕνεκά μοι ἰέναι ἐπῆεν δολιχὴν ὁδὸν ἀργαλέην τε. Λόχμῃ γὰρ ἐντυγχάνομεν πάνυ δασείᾳ καὶ ἀνωμάλῳ, συχνοὺς κατ' ὀλίγον ἐχούσῃ λόχους καὶ φάραγγας· ὅθι δὴ καὶ ἐς τοσοῦτον ἀμελῶς ἔσχομεν ἐς τὸ δαψιλὲς διαῤῥηγνυμένων τῶν ἡμετέρων τῶν τε πεδίλων τῶν τε χλαμύδων ταῖς τῶν ἀκανθῶν ἀνθολκαῖς, ὥστε περὶ τῶν ὄψεων αὐτῶν ἐδεδίειμεν, συχνοῖς καὶ ἀλλεπαλλήλοις τοῖς τῶν ἀκροδρύων βοστρύχοις χρώμενοι πολεμίοις τῶν ἡμετέρων προσώπων. Καὶ μέντοι καὶ ἀμελήσαντες ἡνιῶν καὶ ῥυτήρων, οἷς τοὺς ἵππους ἰθύνομεν, σκέπην ἐποιούμεθα τὰς χεῖρας τῶν ὄψεων. Τῆς [P. 232] γε μὲν ἑπομένης θεραπείας, οἷς οὐδὲ πάνυ τοι τῶν παρόντων ἔμελε φόβων, ἦσαν οἳ φωναῖς ἐχρῶντο καὶ μέλεσι τραγικοῖς· Ἤδον δ' ἄρα κλέα ἀνδρῶν, ὧν οἷον κλέος ἀκούομεν, οὐδέ τοι ἴδμεν. Αἵ τε περὶ ἡμᾶς φάραγγες, καὶ ὅσα μεταξὺ κοῖλα τῶν πέριξ ὀρῶν, περιλαμβάνουσαι τὴν κραυγὴν καὶ ὥσπερ ἔμψυχοί τινες ἀκήρατον φυλάττουσαι ταύτην καὶ ἀπαθῆ καὶ τῶν ἄρθρων ὁμοίως ἔχουσαν κατὰ διαδοχὴν οἷον ἀντήχουν καὶ ἀντεφώνουν, ὥσπερ ἐν ταῖς χορείαις ἑπόμεναι καὶ αὖται καὶ ἀντάδουσαι πρὸς τὸ τοῦ μέλους ἐνδόσιμον. Ἐγὼ δ' ἐν τούτοις ἀναφέρειν παρῄνουν τὸν λογισμὸν καὶ μὴ συχνοῖς περιαντλεῖσθαι τοῖς φόβοις. Ὁ δ' οὐκ ἐπείθετο· ἀλλὰ δῆλος ἦν οὔτε τὴν ὁδὸν τῆς ἀκαιρίας ἀφιστάμενος λοιδορεῖν· αὐτός τε ἐφ' αὑτὸν συχνὰ ἀναστρέφων λόχους καὶ λωποδύτας ἀνεκύκλει καὶ ἄνδρας αἱμάτων, μήπως ἐξ ἀφανοῦς εἰσπεσόντας ἔργον ἡμᾶς ἀποφήνωσι ξίφους.

Ε'. Οὐκοῦν ἀλλ' ἐν τούτοις ὄντων ἡμῶν ἐξαίφνης ἀνίστανταί τινες ἄνδρες τῶν ἐκεῖσε πετρῶν καὶ φαράγγων μελαίνας ἐσθῆτάς τινας περικείμενοι, αἵ εἰσιν ἐξ ἐρίων καὶ κωδίων, ἅττα ποτὲ ζώων ἀπεδύσαντο οἷς, δήπου γ' ἐχρῆν· ἔντικρυς δαιμόνια φάσματα· πλὴν οὐ κατάφρακτοί τινες ὁπλῖται, ὅτι μὴ καθάπαξ ψιλοί· καὶ ἀγχέμαχά τινα ὄργανα ταῖν χεροῖν οἱ πλείους ἔχοντες, ὅσα ἐν λόγχαις εἰσὶ καὶ πελέκεσιν. Ἦσαν δ' οἳ καὶ ὅσα ἐν τηλεβόλοις. Καὶ τὸ μὲν πρῶτον ἐκπλήξει καὶ δέει καθυπέβαλον τὰ ἡμέτερα. Πῶς γὰρ οὔ; ἐν τόποις ἀλλοτρίοις ὄντων καὶ ἀωρίᾳ τοιᾷδε καὶ γλώσσῃ πρὸς τούτοις; οὐχ ἡμετέρᾳ χρώμενοι; Μυσῶν γὰρ ἄποικοι τῶν ἐκεῖσε προσοικούντων εἰσὶν ἀρχῆθεν οἱ πλείους καὶ τοῖς ἡμῖν ὁμοφύλοις ἀναμὶξ τὴν δίαιταν ἔχοντες. Ἔπειτα ἀνεφέρομεν καὶ ἑαυτῶν ἐγιγνόμεθα αὖθις. Ἠσπά-

Variorum notæ.

(44) Homerus *Odyss.* δ, v. 481. DUCANG

ζοντο γὰρ ἡμᾶς ἐκεῖνοι τῇ σφῶν διαλέκτῳ προσηνές τι καὶ ἱλαρόν· καὶ οὐδὲν οὐδαμῇ ληστρικὸν ἐπεδείκνυντο· εἴτε πρὸς πολλοὺς ἡμᾶς ὀλίγοι καὶ βραχεῖς τινες ὄντες αὐτοὶ οὐκ ἀξιομάχους σφᾶς αὐτοὺς κρίναντες ἐς μοῖραν ἀντίπαλον καταστῆσαι· εἴτε καὶ Θεοῦ κωλύσαντος· ὃ καὶ μᾶλλον τίθεμαι καὶ πολλοῦ δέω θάτερον. Οἱ μὲν γὰρ ὄντες ἐγχώριοι καὶ τοῖς ἐκεῖσε προλοχίζειν ἐνέδρας ἐθάδες πρὸς ξένους ἡμᾶς ἐν οὕτω ζοφώδει τῇ ὥρᾳ καὶ ἅμα τὸ τῆς ὕλης συνηρεφὲς σύμμαχον ἄμαχον ἔχοντες τοιαύτην εἴπερ ἐβούλοντο τὴν μάχην ἐτέλουν ἄν, οἷαν καὶ βλέποντες ἂν πρὸς τυφλούς [P. 255]. Ὅμως μέντοι τὴν ὁμοίαν ἐξ ἡμῶν καὶ αὐτοὶ πρόσρησιν ἀντειληφότες (ἦσαν γὰρ οἳ καὶ τῶν ἡμετέρων τῆς ἐκείνων γλώττης οὐ πάνυ τοι ἀδαεῖς ἦσαν) τὴν αἰτίαν ἐν βραχεῖ διῆσαν τῆς σφῶν αὐτόθι διαίτης· ὡς φύλακες εἶεν τῶν ὁδῶν καὶ ὡς ἀποσοβοῖεν πάντα τινὰ τὸν βουλόμενον τὰς ἔγγιστα χώρας ἐπιόντα λάθρα ληΐζεσθαι. Ἤδη δὲ καὶ τὸ τρίτον τῆς νυκτὸς παρερρύη, ὡς ἔκ τινων οἳ ὑπὲρ κεφαλῆς ἦσαν ἀστέρες ἐτεκμαιρόμεθα. Ἄρτι δὲ καὶ κυνῶν ὑλακαὶ προσέβαλον πόρρωθεν ἡμῖν, μονονουχὶ προσκαλούμεναι καὶ τὴν φέρουσαν κώμην (45) δεικνύουσαι ὡς πολυάνθρωπον καὶ πόνῳ πολλῷ βαπτισθέντας ἀποχρῶσαν ξενίσαι ἀνθρώπους, εἰ καὶ ἥκιστα πάνυ τελέως, ἀλλ' οὖν οὐδὲ πάνυ τοι ἧττον ἢ τελέως. Ἔνθα δὴ καὶ σπουδῇ προσελάσαντες καταγωγίοις ἄλλος ἄλλοσε διασπαρέντες ἐχρώμεθα, ὥσπερ ἐκ σάλου καὶ ναυαγίου ὅτῳ δήποτε περιτυχόντες λιμένι. Εἰ δὲ καὶ ἡδὺν τῷ πεινῶντι πάντα τινὰ ἄρτον εἶναί φασιν, ἀλλὰ καὶ ἡμῖν τὸ ταῖς σποδιαῖς ἐγκαλινδεῖσθαι τέως ἡδύ τι καὶ φιλάνθρωπον ἐνομίζετο.

Ϛ. Τῇ δ' οὖν ὑστεραίᾳ πανημέριον ἀνύσαντες πορείαν ἔς τι γιγνόμεθα πολίχνιον, ὡς εἰπεῖν, ὑπερνέφελον, Στρούμμιτζαν (46) οὕτω πως ἐγχωρίως καλούμενον, ὑψηλῷ τῷ ὄρει ἀπειλημμένον, ὥστε τοὺς ἐπὶ τῶν ἐπάλξεων καθημένους ἀνθρώπους ὀρνίθων τισὶν ἐοικέναι, εἴ τις κάτωθεν ἐκ τῆς πεδιάδος ὀρῴη. Ἐνταῦθά γε μὴν καὶ τὸ θεῖον ἐτετελέκειμεν Πάσχα· ἀνιαρῶς μὲν καὶ παρὰ τὴν ἀρχῆθεν ἡμῖν συνήθειαν· ἐτετελέκειμεν δ' οὖν. Ἀῆρος γὰρ τοῖς ἐκεῖ παίδευσις ἅπασα καὶ ῥυθμὸς καὶ μοῦσα ἐμμελὴς ἱερᾶς ὑμνῳδίας, βάρβαρον ἠσκηκόσι γλῶτταν ὡς τὰ πολλὰ καὶ ἦθη μάλα γέ τοι εὐφυῶς προσήκοντα σκαπάνῃ. Οὐ γὰρ μιξοβάρβαρον μὲν, εὔρυθμον δὲ τὸν ἦχον προὔφερον, ἵνα τις ἦν καὶ αὐτὸς, ὥσπερ οἱ Μιξολύδιοι καὶ εἰ δεῖ λέγειν οἱ Μιξοφρύγιοι, ἀλλ' ὅλον βοσκηματώδη καὶ ὄρειον καὶ ὁποῖον ἂν οἱ νομάδων ᾄσαιεν παῖδες, ὁπότε πρὸς τὰς ῥαχίας καὶ τὰς νάπας τὸ ποίμνιον ἄγοιεν ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύοι. Ἐπεί γε μὴν κατὰ χώραν αὐθημερὸν ἐμείναμεν τῇ τε ἑορτῇ νέμοντες καὶ καθήκοντα καὶ ἡμῖν μέρος ἀνέσεως· καὶ ῥᾳστώνης, ἐκ τῶν τειχῶν προκύπτοντες ἄνωθεν ὥσπερ ἐκ νεφελῶν πρὸς τὴν πεδιάδα τά τε ἄλλα ὁπόσα ταῖς πανηγύρεσιν ἐπέχρησε γίνεσθαι ἐωρῶμεν· καὶ δὴ

lutabant, nec quidquam infestum et latrocinii simile præ se ferebant: sive quod pauci et rari nobis, qui multi eramus, oppugnandis futuros se impares arbitrabantur, sive Deus non sivit, quod potius reor, ab altera autem opinione longissime absum. Cum enim ibi habitarent, et in iis præcipitiis insidias collocare consuessent, et silvæ densitate velut inexpugnabili propugnaculo defenderentur, obscura nocte nobiscum, qui peregrini essemus, ut videntes cum cæcis pugnassent. Sed tamen cum eos simili modo resalutassemus (erant enim nonnulli e nostris sermonis eorum non plane rudes) cur ibi degerent, hanc causam paucis afferebant: se custodes esse viarum ad propulsandos eos, qui finitimos agros clam latrocinando infestare vellent. Jam tertia noctis pars effluxerat, ut e quibusdam steliis, quæ supra capita erant, conjiciebamus. Demum et latratus canum procul exauditi, qui nos tantum non invitabant et pagum **379** frequentem esse ostendebant, in quo homines multo labore confecti hospitari possent, si non commode ex omni parte, at nec omnino etiam incommode. Quo cum propere pervenissemus, alii alio dispersi diversoria intravimus, velut e tempestate et naufragio in quemlibet portum utcunque eluctati. Quod si esurienti quivis panis suavis esse dicitur, nobis quoque certe in cineribus volutari suave tum et liberale videbatur.

VI. Posteram diem in itinere totam consumpsimus et ad oppidulum devenimus, quod pene supra nubes eminet (Strummitza ab incolis vocatur), adeo prærupto et excelso monti impositum, ut homines in propugnaculis sedentes e valle suspicientibus avicularum similes videantur. Ibi sacrum Pascha moleste quidem et præter veterem nostram consuetudinem, sed tamen celebravimus. Ibi enim omnis doctrina, rhythmi et sacræ hymnodiæ musica pro nugis habentur: quippe cum oppidani barbara fere lingua utantur, et iis sint moribus, qui aratrum et ligonem in primis deceant. Neque enim eum sonum edebant, qui etsi Semibarbarus, tamen modulatus foret, et aliquis ipse quoque esse censeretur, ut Semilydius, et si fas dicere, Semiphrygius; sed belluinum plane et montanum sonabant; quo ritu nomades ipsi canerent, gregibus suis præeuntes ad juga et silvas vere novo, cum cymbia lacte exundant. Ibi cum toto die consisteremus, partim solemnitatis reverentia, **380** partim acquiescendi et recreandi animi causa, e mœnibus tanquam nubibus in subjectam vallem prospectantes tum alia, quæ in festivitatibus fieri solent, tum choreas virorum, adolescentum et

Variorum notæ.

(45) Scilicet τοὺς κύνας : *eum pagum in quo latrarent canes.* WOLFIUS.

(46) Aliis Στρουμπίτζαν. Vide Notas ad Alexiadem, pag. 382. DUCANG. — Olim Τιβεριούπολιν; ut docet brevis Notitia urbium, quæ antiquum nomen in novum mutarunt. Cod. Reg. 2784, fol. 327 v. conferenda cum ea quam edidit Leo Allatius in Notis ad Georg. Acropolitam, pag. 241. BOIVIN.

puerorum spectabamus. Ac nobis illius festivitatis praesens lætitia præ alia quavis animi remissione et oblectatione sic placuit, ut spectaculum istud nobis multo esset jucundius, quam Atheniensibus et Spartanis gratum fuit, quoties sub urbe illis quidem sua Diasia sive Jovialia, his vero ea quæ Hyacinthia dicuntur celebrare visum fuerat. Ut enim iis magis delectaremur in causa erat religio, et quod peregrino in solo a nostris remoti velut ex vasto pelago ad insulam appelleremus: quo casu omnia jucundiora videntur quam revera sunt.

VII. Tertio inde die ad oppidulum Scopiorum divertimus, ipsos jam Triballorum fines ingressi: ac praetervabentem vidimus Axium fluvium; qui post Strymonem maximus nobis videbatur, et iisdem quibus ille montibus erumpens ab ipsa quidem origine non tantus, sed in decursu montium multis torrentibus auctus nomine in Bardarium mutato aliquando et quibusdam in locis navigabilis est. Ubi regis, cui Triballi omnes summa cum observantia parent, socrum convenimus, generosam Cæsarissam, lugubri habitu dolorem **381** animi testificantem. Erat enim ob recentem et acerbum casum perturbata. Cui dolori cum ex conspectu nostro magna vehementia statim accessisset, tota in lacrymas et lamentationes solvitur, crebro maritum Cæsarem, multorum imperatorum cognatum inclamans, formosum, aureum, dulcem, omnibus bonis undiquaque refertum. Pectus ejus mare calamitatum erat, oculi fontes lacrymarum, totaque mœroris fluctibus mergebatur, in terra deserta et aliena et, ut ita dicam, ad flumina Babylonis, destituta ab amicis, parentibus, cognatis, popularibus, omnibus denique rebus, quæ animum gravi tristitia oppressum consolantur. « Cur, inquiebat, in acerbitate lumen datur, et afflictis animis vita [1]? » Hæc et id genus alia dicens laniabat genas et sanguinis rivos unguibus eliciebat, tantum non res inanimatas ad dolorem et lacrymas commovens. Nos autem consolando et monendo sedare dolorem ejus ac velut flammam aqua exstinguere conabamur, hinc optimus illius frater, illinc legationis collegæ, nunc ego, nunc singuli, nunc universi: donec tandem effecimus, ut respiraret, non quidem penitus, et ut nos maxime optabamus, sed aliquo modo tamen. Erat enim alioqui mulier omnium, quascunque ætas nostra vidit, prudentissima, et ad celerrime intelligenda concipiendaque animo ea quæ quis in tempore recte suaderet, ingenium habebat promptissimum. Tum **382** igitur, nobis quoque quidquid ad consolandum

καὶ χορείας παντοδαπὰς ἀνδρῶν ἐφήβων τε καὶ ὅσοι ἥβης ἐλλιπεῖς. Καὶ τοῦτο παρέσχεν ἡμῖν ἡ παροῦσα πανήγυρις ἀντ' ἄλλης ἀνέσεως καὶ τρυφῆς πολλῷ γε ἥδιον ἢ Ἀθηναίοις καὶ Σπαρτιάταις, ὁπότε γέ σφισιν ἐπῆλθε τελεῖν πρὸ τοῦ ἄστεος τοῖς μὲν τὰ Διάσια, τοῖς δὲ ἃ φασιν Ὑακίνθια. [P. 234] Ἦν γὰρ ἡμῖν κομιδῇ συμμαχόμενον ἐς τὸ μᾶλλον ἐκείνων ἥδεσθαι τό τ' εὐσεβὲς τό τ' ἐν ὅροις ὑπερορίοις ἀπηρτημένους καὶ τῶν οἰκείων ὄντας ἐκδήμους ἐντυχεῖν καθάπερ ἐπὶ μεγάλου πελάγους οἰαδή τινι νήσῳ· ὁπότε καὶ τὰ τῆς εὐφροσύνης, ὁποῖά γε εἴη, πολλῷ πολλαπλάσια φαίνεται, ἥπερ ἐστὶν ἔς γε τὸ ὄν.

Ζ'. Ἐκεῖθεν τριταῖοι ἐς τὸ τῶν Σκοπίων πολίχνιον (47) καταλύομεν ἐν ὅροις ἤδη τῶν Τριβαλλῶν· οὗ παραψαύοντα καὶ τὸν Ἄξιὸν τεθεάμεθα ποταμὸν (48), ὃς μετὰ Στρυμόνα μέγιστος ἡμῖν ἔδοξεν, ἐξ ὀρῶν τῶν αὐτῶν ἐκείνῳ ῥηγνύμενος· οὐ τοσοῦτος δ' ὢν ἐκ πηγῶν εὐθύς, ἀλλ' οὖν ἐς τὸ κάταντες ἰὼν καὶ ἄλλοις χειμάρροις τὸ ῥεῦμα κοινούμενος καὶ ἐς Βαρδάριον μετατιθέμενος τοὔνομα ἤδη καὶ ναυσίπορος ἐνίοτε καὶ ἐνιαχοῦ καθίσταται. Ἐνταῦθα καὶ τοῦ ῥηγὸς, ᾧ Τριβαλλοὶ πάντες ἕπονται καὶ οἱ μάλα ὑπείκουσι, τῇ πενθερᾷ ἐντυγχάνομεν, τῇ εὐγενεῖ Καισαρίσσῃ, σύμβολα τῆς ἔνδον ὀδυνωμένης ψυχῆς τοὺς πενθίμους περικειμένῃ χιτῶνας. Ἦν γὰρ ἐπὶ νεαρῷ καὶ ἀκμάζοντι συγκεχυμένη τῷ πάθει· ᾧ καὶ πάνυ τοι πλείστην ἤδη κάκ τῆς ἡμῶν θέας τὴν ῥοπὴν δεδωκυῖα ὅλη θρήνων καὶ τῶν δακρύων αὖθις ἐγίγνετο, συχνὰ ἐπιβοωμένη τὸν σύζυγον Καίσαρα, τὸν πολλῶν βασιλέων συγγενῆ, τὸν καλὸν, τὸν χρυσοῦν, τὸν γλυκύν, τὸν πᾶσιν ἀγαθοῖς περιῤῥίθοντα· θάλασσαν εἶχε συμφορῶν τὴν καρδίαν καὶ πηγὰς δακρύων τοὺς ὀφθαλμούς· καὶ ὅλην κατεβάπτισεν ἑαυτὴν τοῖς τῶν θλίψεων κύμασιν, ἐν γῇ ἐρήμῳ καὶ ἀλλοτρίᾳ καὶ ἐπὶ ποταμοὺς, ὡς εἰπεῖν, Βαβυλῶνος, ἔρημος φίλων, γονέων, συγγενῶν, ἕκατον ὁμοφύλων ἀνθρώπων, πάντων ὁμοῦ τῶν ὅσα δεξιοῦται ψυχὴν κατενηνεγμένην ὑπὸ σφοδρᾶς ἀθυμίας· « Ἵνα τί, » λέγουσα, « δέδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς; » Ταῦτα καὶ τὰ τούτοις ἑπόμενα λέγουσα ἐσπάραττε τὰς παρειὰς καὶ ῥύακας ἐντεῦθεν αἱμάτων ἐτρύγα δυνῦσι· μονονουχὶ καὶ τὰς ἀψύχους ἐκίνει φύσεις εἰς θρήνους καὶ δάκρυα. Ἐντεῦθεν λόγοις ἡμεῖς ἐπειρώμεθα παραμυθητικοῖς, καθάπερ ὕδατι, τῆς ὀδύνης σβεννύειν τὴν φλόγα, ἔνθεν μὲν ὁ πάντ' ἄριστος αὐτῆς ἀδελφὸς, ἐκεῖθεν δ' οἱ συμπρέσβεις, καὶ νῦν μὲν ἐγὼ, νῦν δ' αὐτῶν ἕκαστος, νῦν δ' ὁμοῦ πάντες· ὥστε καὶ ἀναφέρειν ὀψὲ πεπείκαμεν ταύτην, οὐ τελέως μὲν, οὐδ' ὡς μάλα ἡμῖν δι' ἐφέσεως ἦν, πεπείκαμεν δ' οὖν. Ἦν γάρ πως καὶ ἄλλως ἡ γυνὴ συνέσεως ἥκουσα ἐπὶ μέγιστον, ὁπόσας ὁ καθ' ἡμᾶς βόσκων τεθέαται

[1] Job III, 20.

Variorum notæ.

(47) Vide easdem Notas pag. 297. et Leunclavium in *Pandecte Turcico*, n. 169. DUCANG.

(48) Non congruit hæc geographia cum hodiernis tabulis, quæ *Scupos* urbem longe ab *Axio* seu *Bardario* flumine positam exhibent. Atqui *Scopia*, et *Scupos*, eamdem urbem esse, inter omnes geographos constat. Vide Ortelii, Mercatoris, Sanssonis, Brietii et aliorum tabulas geographicas. BOIVIN.

χρονος· ἀλλὰ δὴ καὶ ξυνιέναι ὀξύτατα καὶ νοῦν ἐνθέσθαι, εἴ τις ἐν καιρῷ συμβουλεύοι τὰ καίρια, δεινὴ πάντων μᾶλλον. Καὶ δὴ καὶ τόθ' ἡμῶν χρωμένων ὁπόσα ἐχρῆν εἰς παραμυθίας λόγον, τοῦ μὲν σπαράττεσθαι [P. 235] καὶ δακρύειν ἐπεῖχεν· ἡ δὲ ψυχὴ αὐτῆς ἀπηνήνατο διὰ τὸ τῆς συμφορᾶς ὑπερβάλλον παρακληθῆναι· ἀλλ' ἐπὶ τῆς δεξιᾶς ἐρείσασα τὴν κεφαλὴν ὅλας συνῆγεν ἐντὸς τὰς αἰσθήσεις ἐς τὰ τῆς διανοίας μυστήρια· καὶ συχνὰ τὸ εἴδωλον ἐφ' ἑαυτῆς ἀναπλάττουσα τοῦ συζύγου καὶ τὰς παρούσας τύχας ἀνακυκλοῦσα ὅλη τῶν λογισμῶν ἦν, στρέφουσα τά τε ἄλλα καὶ ὅπως, ὡς εἰπεῖν, ὑπὲρ τὰς κέδρους ὑψωθεῖσα τοῦ Λιβάνου καὶ ὑπὲρ τὰ κρῖνα ἀνθήσασα τοῦ ἀγροῦ καὶ ἐνευτυχήσασα τῷ βίῳ μᾶλλον ἁπασῶν, ὅσαι οἱ ὁμοῦ τράφεν ἠδ' ἐγένοντο (49), εἶτ' ἀπερρύη ταχὺ καὶ τὸ ἄνθος ἐλεεινῶς εἶδε κειρόμενον ἑαυτῆς καὶ κομιδῇ μαραινόμενον. Ταῦτ' ἄρα καὶ βύθιον ἐστέναζε, καθάπερ ἐκ μεγάλης καμίνου τῆς ἔνδον πικρίας καπνοὺς ἀναπέμπουσα ζέοντας καὶ φλογώδεις. Τὸ δ' οὖν τελευταῖον ἐν τούτοις καὶ ὁ ἡμέτερος διελέλυτο σύλλογος καὶ ἐφ' οὗ κατέλυεν ἕκαστος ἀπηλλάττομεν.

pertineret afferentibus, planctum quidem et lacrymas compescuit : animus vero ejus ob calamitatis magnitudinem nullam consolationem admittebat. Sed capite manui imposito omnes sensus ad animi penetralia revocabat ; ac mariti imaginem sibi ipsi subinde effingens et in animum revocans ac fortunæ præsentis statum reputans, tota cogitationibus hisce occupabatur et secum tacite tum alia versabat, tum ut supra cedros Libani exaltata, et liliis agri pridem floridior, et felicitate omnes æquales suas prætergressa, subito concidisset floremque suum miserabiliter carpi et marcescere videret. Ob hæc igitur cum profundis suspiriis gemebat, velut e magno camino acerbitatis internæ fumos evolvens ferventes et flammeos. Tandem et nostro conventu inter hæc dissoluto suum quisque diversorium petiit.

Η'. Ἡμέραι μεταξὺ παρερρύησαν δέκα καὶ ἐπειδήπερ ἔγγιστα διατρίβων ἦν ὁ τῶν Τριβαλλῶν ἄρχων, τἄλλα τῆς πρεσβείας τετελεσμένα παραδοὺς τῶν πρέσβεων ἑνὶ καὶ ἀπιέναι κελεύσας ἦκεν, ἅμα γυναικὶ παραμυθησόμενος τὴν αὐτὸς ἑαυτοῦ πενθερὰν καὶ τὸ λεῖπον τῇ πρεσβείᾳ προσαποδώσων. Τοῦτι δὲ ἦν, προπέμψαι ξύν γε κόσμῳ καὶ ὅση ἀνήκουσα εἴη αἰδώς, τοῦτο μὲν καὶ ὡς αὐτῆς κηδεστής, τοῦτο δὲ καὶ ὡς μεγάλου βασιλέως νύμφην (50), καὶ τρίτον ὡς περὶ τὰ καίρια δυστυχοῦσαν· ἃ πάντ' ἐν βραχεῖ διεπεπράχει, ὡς μὲν ἐκείνῳ ἐδόκει, καλῶς· τῇ δ' ἀληθείᾳ πολλῷ τοῦ δέοντος ἐνδεῶς. Ἀλλ' οἱ πίθηκοι, φησὶ, πιθηκίζοντες καὶ οἱ μύρμηκες μυρμηκίζοντες τὰ σφῶν ποιοῦσιν αὐτῶν· εἰ δὲ μὴ καὶ τὰ ἀετῶν καὶ ὅσα λέουσιν ἔθιμα δύνανται, μὴ οὐ πρὸς αὐτῶν ἂν ὑπάρχῃ τουτὶ φαυλότητι φύσεως ἀρχῆθεν συντεθραμμένων καὶ ἀπουσίᾳ τοῦ εὖ τε καὶ τεταγμένως ἡνιοχήσοντος λογισμοῦ. Ἦ σοφὸς ἦν ἄρ' ἐκεῖνος, ὃς πρῶτον ἐν γνώμῃ τόδ' ἐδόκησε καὶ γλώσσῃ διεμυθολόγησεν, εἴτε Θαλῆς ὁ Μιλήσιος ἦν, εἴτε Πλάτων ὁ Ἀρίστωνος, εἴτε καὶ ἄμφω, παρὰ θατέρου ἕτερος ἐκδεξάμενος, τό γ' ἑαυτὸν μακαρίζειν ἐθύμως, ὅτι μὴ βάρβαρος, ἀλλ' Ἕλλην γεγένηται. Ἰδοὺ γὰρ ἐκείνοις ὁμόστοιχα λέγειν ἐπῆλθε κἀμὲ βέβαιον τὸν νοῦν ἐκ τῆς πείρας ξυνειλοχότα. Ἀλλ' ἵνα μὴ διατρίβωμεν, ἐπανιτέον ἡμῖν ἐκεῖσέ ἐστιν. Ἐπειδὴ γὰρ ἐπανόδου ἦμεν ἡμένοι, ἡμέρας διηνυκότες ὁδὸν εἶτα ἀπαλλαττόμεθα. Τῇ μὲν γὰρ τῇ Καισαρίσσῃ σφόδρ' ἀναγκαῖον ἦν τὴν ἐς Θεσσαλονίκην ὁμοῦ τοις ἄλλοις ἰέναι, ὡς ἂν τὰς τελευταίας ἐπιτελέσειε τοῦ ἀνδρὸς ἐντολάς. Φθάνει γὰρ ἐκεῖνος ἐπ' ἐσχάταις τοῦ βίου πνοαῖς ἐπισκήπτων, ἐντός που τῆς εἱρημένης μεταχομισθῆναι οἱ πόλεως τὸν νεκρόν. Ἐμὲ δ' αὐτὴ τῶν κατὰ βούλησιν ὅσα οἱ πρὸς βουλήσεως

VIII. Diebus interim decem elapsis Triballorum princeps, qui in proximo versabatur, cum cætera peregisset, de quibus eadem legatione proximo agebatur, responso uni e legatis dato eoque abire jusso, una cum uxore ad socrum consolandam advenit, legationi quoad reliqua satisfacturus. Id vero erat, ut Cæsarissam honorifice debitaque cum reverentia, partim ut socrum suam, partim ut magni imperatoris nurum, denique ut insigni calamitate affectam comitaretur. Quæ omnia exiguo tempore confecit ; ut ipse **383** putabat, pulchre ; sed revera multum infra dignitatem. Verum, ut proverbio dicitur, simiæ sīmiarum, formicæ formicarum more suas res administrant. Quod si aquilarum et leonum ritu haud possunt, id in earum potestate situm non est, quæ naturam abjectam ab initio sortitæ et ingenio bene ac rite eas moderaturo destitutæ adoleverunt. Quare sapiens ille fuit, qui primus animo concepit et lingua expressit, sive is Thales Milesius fuerit, sive Plato, Aristonis filius, seu potius uterque, ita ut alter ab altero acceperit : Beatum esse sese, qui non Barbarus, sed Græcus natus esset. Nam et mihi aliquid haud dissimile ipsa experientia edocto in mentem venit. Sed ne longum faciamus, illuc nobis redeundum est. Cum enim domum redire instituissemus, unius diei iter progressi discessimus. Cæsarissam enim urgebat necessitas una cum ceteris eundi Thessalonicam, ut extrema conjugis mandata exsequeretur. In extremo enim ille spiritu mandarat, ut suum cadaver in eam urbem perferretur. Mihi vero, cum quidquid libuit commendasset, quam primum Byzantium ire permisit, Triballo nescio quo adjuncto, qui nobis per aspe-

Variorum notæ.

(49) Hom. *Od.* IV. BOIVIN.

(50) Erat quasi nurus. Nam Andronicus senior eam uxorem delegerat filio fratris sui. BOIVIN.

ras vias ducendo molestum effecit reditum. A ἦν ἀναθεῖσα ὅσον τάχος τὴν ἐς Βυζάντιον ἀνύτειν ἀφῖκε. δοῦσα καὶ ὄντινα δὴ Τριβαλλῶν, ὃς διὰ τραχείας τινὸς ἡμᾶς ἀγαγὼν ἀναρὰν ἡμῖν προὐξένησε τὴν ἐπάνοδον.

CAPUT XV.

Andronicus junior, mortua Irene Alemanna, Annam Longobardam uxorem ducit. Cum Turcis naufragis in Chersoneso pugnans vulneratur. Bithyniæ magna pars a Turcis subacta. Manichæi aliquot insignes, abjuratis erroribus suis, baptizantur. Ostenta ac prodigia, futuram imperii calamitatem portendentia.

I. Hoc tempore cum Alemanna Irene junioris imperatoris uxor absque **384** liberis decessisset, alteram e Langobardia arcessit, quam mutato nomine Annam appellavit : ex eaque liberos suscepit, ut orationis progressu dicemus.

[P. 236] Α'. Ἐν τούτῳ τῷ χρόνῳ τελευτησάσης ἄπαιδος τῆς ἐξ Ἀλαμανῶν ἐλθούσης τῷ νέῳ βασιλεῖ γυναικὸς Εἰρήνης μεταπέμπεται δευτέραν ἐκ Λαμπαρδίας, ἣν καὶ μετωνόμασεν Ἄνναν (51)· μεθ' ἧς καὶ παίδων ἐγεγόνει πατήρ, ὡς εἰρήσεται προϊοῦσιν ἡμῖν.

II. Cum autem imperator aliquando in Chersoneso venationibus vacaret, accidit, ut septuaginta Turci naufragio facto circa eam plagam in litus ejicerentur. Ii fortiter pugnando satellitibus imperatoriis longo tempore restiterunt. Itaque priusquam ibi universi penitus occiderentur, non Romanos modo multos telorum ictibus, sed imperatoris etiam pedem violarunt : cujus vulneris dolore diu ille conflictatus est. Iisdem temporibus cum orientalia negligerentur, pleraque urbes et provinciæ Bithyniæ a Turcis subactæ sunt. Capta est et Prusa, fame urbs expugnata.

Β'. Ἀσχολουμένου δέ ποτε τοῦ βασιλέως περὶ τὰ κυνηγέσια περὶ Χερρόνησον συνέβη ναυαγίῳ χρησαμένους ἑβδομήκοντα Τούρκους ῥιφῆναι περὶ Χερρόνησον καὶ αὐτούς. Οἳ δὴ καὶ ἀντέστησαν τοῖς περὶ τὸν βασιλέα μάλα τοι ἰσχυρῶς πολεμοῦντες μέχρι πολλοῦ· ὥστε καὶ πρὶν ἐκεῖ τελέως ἅπαντας κατακοπῆναι, οὐ μόνον πολλοὺς τῶν Ῥωμαίων τοῖς βέλεσιν ἐτραυμάτισαν, ἀλλὰ καὶ τὸν πόδα τοῦ βασιλέως· ὡς πολὺν διαγαγεῖν χρόνον ὀδυνώμενον ἐκ τῆς τοιαύτης πληγῆς. Ἐν τούτοις τοῖς χρόνοις τῶν ἑῴων ἀμεληθέντων αἱ πλεῖσται πόλεις καὶ χῶραι τῆς Βιθυνίας ὑπὸ τοῖς Τούρκοις ἐγένοντο. Ἡλώκει δὲ καὶ ἡ Προυσαέων (52) τῷ λιμῷ πολιορκηθεῖσα πόλις.

III. Hoc etiam tempore Manichæorum doctor, vir sapiens, cum aliis ejusdem sectæ, qui intelligentia maxime præstabant, ad orthodoxam nostram Ecclesiam se contulit, iique popularium suorum ritibus ex animo abjuratis sacrum baptisma susceperunt. Vellem equidem et sectæ illorum dogmata hoc loco referre, ut lectoribus risus materiam præberem. Sed cum ea ipsa ab aliis multis ante nos exposita et disputationibus contra illos editis refutata sint, nos vero ad absolvendam historiam festinemus, his omissis illuc redeamus.

Γ'. Προσῆλθε δ' ἐν τούτῳ τῷ χρόνῳ τῇ καθ' ἡμᾶς ὀρθοδάξῳ Ἐκκλησίᾳ καὶ ὁ τῶν Μανιχαίων διδάσκαλος, συνετὸς ὢν ἀνήρ, καὶ τοὺς συνέσει διαφέροντας τῶν αἱρεσιωτῶν ἐπαγόμενος. Οἳ δὴ καὶ πάσῃ προθέσει ψυχῆς ἐξομοσάμενοι τὸ τῶν ὁμοφύλων ἔθιμα τὸ θεῖον ἐδέξαντο βάπτισμα. Ἐβουλόμην καὶ τὰ τῆς αἱρέσεως αὐτῶν ἐν τῷ παρόντι διεξελθεῖν δόγματα, ἵνα τοῖς ἀκούουσι γέλως εἴη· ἀλλ' ἐπειδήπερ αὐτά τε ταῦτα πολλοὶ πρὸ ἡμῶν βίβλοις παρέθηκαν καὶ ἀντιῤῥητικοῖς ἐχρήσαντο κατ' αὐτῶν λόγοις, ἡμεῖς δ' αὖ σπουδῇ πρὸς τὴν παροῦσαν χρήσασθαι ἱστορίαν προὐθέμεθα, ταῦτα παρέντες ἐκεῖσε ἐπανερχόμεθα.

IV. Observatu dignæ sunt impendentium malorum prædictiones. Prodigia enim statim anni initio apparuerunt, quæ futuram eodem anno calamitatem **385** satis portenderent. Nam anno incipiente sexies millesimo octingentesimo et tricesimo sexto, Kalendis Septembris, luna prorsus defecit. Cujus deliquii initium nondum exacta nocte exstitit :

Δ'. Παρατηρῆσαι δ' ἄξιον τὰς τῶν μελλόντων δεινῶν προαναφωνήσεις. Σημεῖα γὰρ ἐν τῇ ἀρχῇ τοῦ ἔτους εὐθὺς φανῆναι συνέβη, ἱκανὰ τὴν ἐν τῷ αὐτῷ ἔτει παραστῆσαι γενησομένην κάκωσιν. Ἀρχομένου γὰρ τοῦ ἐξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ ἕκτου ἔτους (53) εὐθὺς τῇ πρώτῃ τοῦ Σεπτεμβρίου ἡμέρᾳ γέγονε τελεία τῆς σελήνης ἔκλει-

Variorum notæ.

(51) Cantacuzen. lib. I, cap. 40, 42. Fuit illa Joanna Amedæi V ex Maria Brabatensi altera conjuge filia : sic ex Joanna, quibus id nominis insolens erat, Annam confecere Græci. Vide *Famil. Byzant.* DUCANGE.

III. His auditis pontifices prudentia et eruditione præstantes absensere, et per omnes ecclesias edicendum esse censuerunt, ut junioris Andronici nomen, donec is resipuisset, omnino tolleretur. Patriarchæ vero et pontificibus et clericis nonnullis ea sententia non probata est. Quare nihil amplius locuti surrexerunt ac domum abierunt, sive ob familiarem illis elinguem quamdam stupiditatem, sive ob aliud nescio quid. Deinde nocte in patriarchicis ædibus semel atque iterum exacta, in seniorem imperatorem conjurarunt et societatem coiverunt. Quod cum mussitaretur, nec populo tantum, sed et nobilibus quibusdam innotesceret, plerosque etiam horum coegit ad factionem et conjurationem illorum clam conferre se, et scriptum jusjurandum **406** dare, quo affirmarent, se ad extremum spiritum perseveraturos, et nullum, si opus esset, supplicium recusaturos. Unde triduo post patriarchæ, sacris tintinnabulis pulsatis coactoque magno circumforaneæ turbæ numero, sacris interdictum esse omnibus promulgavit, qui junioris imperatoris nomen silentio præterituri, nec honorem omnem imperatori debitum eidem habituri forent. His peractis adversæ etiam partis pontificibus sacris interdixit. Ea res imperatorem non mediocri molestia affecit, et præter omnem exspectationem audita ipsum perculit. « Quod si, inquit, ita contra nos pacis doctor insaniit, mercedis a nepote meo promissæ spe et omni abjecta verecundia et gravitate sedi-

ἔστε πάντες τουτί· καὶ ἀνέτρεφον ἐν παιδείᾳ καὶ νουθεσίᾳ, βουλόμενος κληροῦχόν τε τῆς ἐμῆς εὐλογίας καὶ διάδοχον τῆς βασιλείας καταλιπεῖν καὶ Θεῷ καὶ ἀνθρώποις ἀρέσκοντα. Ὁ δὲ τὰς ἐμὰς νουθεσίας παρ' οὐδὲν θέμενος κώμοις καὶ ἀταξίαις διενυκτέρευεν· ἐν οἷς καὶ τὸν αὐτοῦ πεφόνευκεν ἀδελφόν. Καὶ τέλος ἐπανέστη καὶ κατ' ἐμοῦ τοῦ εὐεργέτου καὶ πατρὸς, πρᾶγμα τετολμηκὼς, οἷον ἐξ αἰῶνος οὐδέπω τεθέαται ἥλιος. Διὸ χρὴ καὶ ὑμᾶς ζηλῶσαι κατὰ τῆς ἀδικίας καὶ διαναστῆναι πρὸς συστολὴν τῆς ἀναιδείας αὐτοῦ καὶ κηρύξαι ἔκκοπὴν τῆς ἐπ' Ἐκκλησίας φήμης αὐτοῦ, καὶ ἀπειλῆσαι αὐτῷ τὸν ἀπὸ Θεοῦ χωρισμόν· ἵνα συσταλεὶς καὶ σωφρονισθεὶς ἐπιστρέψῃ καλῶς, ὅθεν ἐξῆλθε κακῶς, καὶ γένηται κληροῦχος αὖθις τῆς τε βασιλείας καὶ ἅμα τῆς ἐμῆς εὐλογίας. Τῶν γὰρ ἁπάντων οὐδεὶς αὐτοῦ κέκριται προτιμότερος ἐμοιγε πρὸς τὴν βασιλείαν, μόνον εἰ βούλοιτο τὴν προσήκουσαν νέμειν αἰδῶ ταῖς ἐμαῖς ὑποθήκαις καὶ παραινέσεσιν. Ὃν γὰρ ἐπέθηκε τῇ αὐτοῦ δημηγορίᾳ ἐπίλογον, πεπλασμένος ἦν καὶ πολὺ τὸ πανοῦργον ἔχων ὑφέρπον. Ἠκούσατε γὰρ, ὁπόσας τὰς λοιδορίας παρ' ὅλην αὐτοῦ τὴν δημηγορίαν ἐπήντλησε κατ' ἐμοῦ, πρὸς ἃς οὐδεμίαν ἔχει τὴν ἁρμονίαν ὁ ἐπίλογος. Ἀλλ' ἵνα τοὺς ἀκούοντας ἐξαπατήσας ἐγείρῃ κατ' ἐμοῦ, τοιοῦτον ἐπέθηκε τῇ δημηγορίᾳ τὸ τέλος. »

[P. 248] Ι'. Ταῦτα ἀκηκοότες οἱ μὲν συνέσει καὶ λόγῳ κοσμούμενοι τῶν ἀρχιερέων, συνῆσαν τοῖς εἰρημένοις καὶ σιωπὴν παντελῆ τοῦ ὀνόματος τοῦ νέου βασιλέως πανταχῇ τῶν ἐκκλησιῶν ἐκύρωσαν κηρυχθῆναι, μέχρις ἂν ἐπιστρέψῃ. Τῷ δὲ πατριάρχῃ καὶ τῶν ἀρχιερέων καὶ τῶν κληρικῶν ἔστιν οἷς οὐκ ἔδυξεν εὔλογα τὰ εἰρημένα. Διὸ καὶ ἀναστάντες ἀπῆσαν οἴκαδε, μηδὲν πλέον εἰπόντες, εἴτε διὰ τὴν σύνοικον ἀλογίαν, εἴτ' οὐκ οἶδ' ὅπως. Ἔπειτα διανυκτερεύσαντες καὶ ἅπαξ καὶ δὶς ἐν τοῖς πατριαρχικοῖς οἴκοις, συνωμοσίας καὶ φρατρίας συνεσκευάζοντο κατὰ τοῦ γηραιοῦ βασιλέως· ὃ διαψιθυρισθὲν καὶ διαδοθὲν ἐς τὸν δῆμον καὶ ἐς τὰ τῶν εὖ γεγονότων συστήματα πλείστους καὶ τούτων ἠνάγκασε λάθρα ξυνελθεῖν θέναι τῇ τούτων συνωμοσίᾳ τε καὶ φρατρίᾳ καὶ ὅρκους ἐγγράφους συνεισενεγκεῖν, διατεινομένους μέχρι τελευταίας ἐνστῆναι πνοῆς καὶ πᾶσαν (εἰ τούτου δεήσειεν) ὑποστῆναι τὴν κάκωσιν. Ὅθεν ἐς τρίτην ἐκεῖθεν ἡμέραν τοὺς ἱεροὺς κρούσας κώδωνας (69) ὁ πατριάρχης, καὶ πλεῖστον ἀθροίσας ὄχλον ἀγοραῖον, ἀφορισμὸν ἀπαφήνατο κατὰ παντὸς τοῦ βουληθησομένου σιωπῆσαι τὸ τοῦ νέου βασιλέως ὄνομα καὶ μὴ τὰ προσήκοντα πάντα νέμειν αὐτῷ, ὅσα καὶ βασιλεῖ. Καὶ ἐπὶ τούτοις ἀφορισμὸν ἕτερον ἐξεφώνησε κατὰ τῶν ἄλλων ἀρχιερέων, ὁπόσοι τὴν ἑτέραν ἐδάδισαν. Τοῦτο τὸν γηραιὸν βασιλέα οὐ μετρίως ἠνίασε καὶ ἐξέπληξεν ἀπροσδοκήτως ἀκουσθέν· καὶ « Εἰ ὁ τῆς εἰρήνης διδάσκαλος, » ἔφησεν, « οὕτω καθ' ἡμῶν ἐμεμήνει διὰ λημμάτων προσδοκίαν, ὧν αὐτῷ ἐπαγγέλλεται ὁ ἐμὸς ἔγγονος, καὶ πᾶσαν ὀπίσω

Variorum notæ.

(69) Vide *Glossar. med. Græcit.* in hac voce. DUCANG.

ῥίψας αἰδῶ καὶ σεμνότητα στάσεως ἀρχηγὸς οὐκ ὀκνεῖ γίνεσθαι, τίς ἂν τὴν ἄστατον τοῦ δήμου καθ' ἡμῶν στήσειε φορὰν, εἴ τις ἐς τὸ ἀνθρώπινον βλέπει; Ὥστε φονεὺς ἡμῖν ὁ πατριάρχης τὸ καθ' αὐτὸν ἀπηρτισμένος γεγένηται. »

Δ'. Οἱ μέντοι ἀρχιτρεῖς ἐκεῖνοι πολλὴν ἀναίδειαν τῆς τοῦ πατριάρχου διανοίας καὶ γλώττης καταγνόντες ἀφορισμὸν καὶ αὐτοὶ συναθροισθέντες ἐξεφώνησαν κατ' αὐτοῦ καὶ τῶν αὐτοῦ συμφρονούντων τῇ ἀπονοίᾳ, ἅτε νεωτεροποιὸν (70) καὶ συνωμοσίας συσκευαστὴν καὶ στασιαστὴν διὰ δωροδοκίαν γενόμενον. Παρῆγον γὰρ καὶ κανόνας καὶ νόμους, οἳ πολλὴν αὐτῷ τὴν καταδίκην ἐπῆντλουν. Ὧν ἡμεῖς ἐν τῇ παρούσῃ τῆς ἱστορίας ἐκθέσει τὸν ὀκτωκαιδέκατον τῆς ἐν Χαλκηδόνι συνόδου κανόνα ἀπαράτρεπτον κατὰ λέξιν ἐκθέμενοι ἀποχρῆναι νομίζομεν. Τὰ γὰρ ὅμοια καὶ ὁ τῆς ἐν τῷ Τρούλλῳ τέταρτος τῆς οἰκουμενικῆς ἕκτης συνόδου, καὶ ἔτι τὸ τέταρτον κεφάλαιον τοῦ τριακοστοῦ ἕκτου τίτλου τῶν νόμων διαγορεύει. Ἔχει δὲ οὕτως· « Τὸ τῆς συνωμοσίας (71) ἢ φρατρία ἔγκλημα καὶ παρὰ τῶν ἔξω νόμων πάντη κεκώλυται. Πολλῷ δὲ μᾶλλον ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ τοῦτο ἀπαγορεύειν προσήκει. [P. 249] Εἴ τινες τοίνυν κληρικοὶ ἢ μονάζοντες εὑρεθεῖεν ἢ συνομνύμενοι, ἢ φρατριάζοντες, ἢ κατασκευὰς τυρεύοντες ἐπισκόπων (72) ἢ κληρικῶν, ἐκπιπτέτωσαν πάντη τοῦ οἰκείου βαθμοῦ. » Συνελογίζοντο τοίνυν ἐντεῦθεν ὁ τῶν ἀρχιερέων ὅμιλος, ὡς εἰ τοὺς κατὰ ἐπισκόπων καὶ κληρικῶν συνομνυμένους καὶ φρατριάζοντας κληρικοὺς καὶ μονάζοντας οὕτως οἱ κανόνες κολάζουσι, πολλῷ πλέον τοὺς κατὰ βασιλέως ἀρχιερεῖς τε καὶ πατριάρχας τοιαῦτα κατασκευάζοντας, τοὺς τῆς εἰρήνης ταχθέντας εἶναι διδασκάλους καὶ περὶ καταστάσεώς τε καὶ ὁμονοίας τά τε ἄλλα διδάσκειν καὶ μάλιστα ὅσα ὁ παλαιὸς νόμος διαγορεύει καὶ ὁ μέγας Ἀπόστολος Παῦλος, ὅτι τε « Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς, » καὶ ὅτι « Τὸν βασιλέα τιμᾶτε. » Ὁ μέντοι γηραιὸς βασιλεὺς ἐς τοσοῦτον ἀτοπίας προβάντα βλέπων τὰ πράγματα, καὶ δείσας, μὴ καὶ ἐς πλέον προκόψῃ τὸ κακὸν, ἐν ἀδέσμῳ κατασχεθῆναι φυλακῇ (73) προσετετάχει τὸν πατριάρχην· καὶ εἶχε λοιπὸν ἡ μονὴ τῶν Μαγγάνων τοῦτον ἀπρόϊτον.

A tionis auctor esse non dubitat : quisnam temerarium vulgi contra nos impetum coercebit, si quis humana præsidia respiciat? Itaque patriarcha, quantum in ipso est, plane percussor noster et paratus homicida exstitit. »

IV. Cæterum pontifices illi, cum magnæ impudentiæ animum et linguam patriarchæ damnavissent, ipsi quoque convenerunt et tam ei, quam ejus amentissimæ factioni, sacris interdixerunt, ut seditionum et factionum auctori et largitionibus ad reipublicæ perturbationem incitato : adductis et canonibus et legibus, quibus gravissime et manifestissime condemnabatur. Ex quibus nos in hac historia decimum octavum Chalcedonensis concilii canonem nihil mutando recensere **407** ad verbum sat habebimus. Similia enim et quartus B œcumenici concilii sexti, in Trullo celebrati, sancit : item et quartum caput tricesimi sexti tituli legum. Est autem hujusmodi : « Conjurationis et factionis crimen etiam civilibus legibus ubique est interdictum. Quanto magis id in Dei Ecclesia est prohibendum? Si qui ergo clerici aut monachi deprehendentur, qui conjurent, aut factionibus studeant, episcopisve aut clericis insidias struant, omnino gradum suum amittunto. » Hinc pontificum cœtus ratiocinabatur : si eos, qui contra episcopos et clericos conjurant et factiones instituunt, clericos et monachos canones ita multant; quanto magis pontifices et patriarchas talia contra imperatorem machinantes? qui ideo constituti sunt, ut C pacis auctores et magistri sint, et præter alia ad quietem et concordiam pertinentia illud in primis docere debent, quod et vetus lex et magnus Apostolus Paulus præcipit : « Principi populi tui ne male dicito; » et : « Imperatorem honorate [1]. » Verum senior imperator, cum videret eo perturbationis rem processisse, ac vereretur, ne malum ingravesceret, patriarcham jussit in custodiam dari, ita tamen, ut ne in vinculis esset. Atque ex eo ille in Manganorum monasterio manebat, nec foras progrediebatur.

CAPUT IV.

Junior Andronicus ad Urbis mœnia accedit. Ab ingressu contumeliose arcetur. Quidam ex populo operam suam ei promittunt. Navicula conscensa aditus omnes vestigat. Re infecta discedit. A Thessalonicensibus clam evocatus protostratorem Byzantio insidiari jubet. Thessalonicam, adversariis dissidentibus, æstu occupat Arcem vi expugnat. Demetrio et aliis ducibus fœde dissipatis, Serrhas in deditionem accipit. Cæteris Macedoniæ urbibus, item adversariorum liberis, uxoribus et aliis rebus potitur.

Δ'. Ὁ δὲ νέος βασιλεὺς ἦκε μετὰ δύο ἡμέρας περὶ D τὸ τεῖχος τῆς Κωνσταντινουπόλεως, βουλόμενος μαθεῖν, ὅπως ὁ πάππος πρὸς τὰς ἐκεῖθεν ἀπαγγελίας διετέθη. Ἐδεῖτό τε σφοδρῶς συγχωρηθῆναι εἰσελθεῖν μόνος εἰς προσκύνησιν τοῦ πάππου. Ἀλλὰ παραδοχὴν

I. Junior autem biduo post ad mœnia Constantinopolis venit, ut cognosceret, **408** quo animo avus nuntios illos accepisset. Ac vehementer quidem orabat, ut sibi liceret soli intrare ad avum adorandum. At neque ipse, neque verba ejus ul-

[1] Exod. xxii, 28; Act. xxiii, 5; I Petr, ii, 17.

Variorum notæ.

(70) Solœcismus pro νεωτεροποιοῦ, etc. Boivin.
(71) Canon 18 concilii Chalcedon. Boivin.
(72) Wolfius legendum putat κατ' ἐπισκόπων etc. In vulgatis Canonum editionibus legitur ἐπισκόποις ἢ συγκληρικοῖς. Vide Balsamonis, Zonaræ et aliorum Commentarios. Boivin.
(73) Cantacuzen. lib. 1, cap. 50. Ducang.

latenus admittebantur. Sed et acerrime repellebatur, lapidibus superne appetitus ab iis, qui propugnacula mœnium tuebantur; qui ne vocem quidem ejus ferebant, cumque contumeliosis dictis impune incessebant et ignominiose dimittebant, ingenium et verba ejus dolo plena esse dictitantes. Itaque illo sic dimissus paululum a muro declinavit.

A οὐκ εἶχεν ὅλως οὔτ' αὐτὸς, οὔτε τὰ πρὸς αὐτοῦ λαλούμενα. Ἐδιώκετο δὲ μάλα σφοδρῶς λίθοις βαλλόντων αὐτὸν τῶν ἄνω παρὰ τὰς ἐπάλξεις τοῦ τείχους καθημένων, οἳ οὐδὲ φωνῆς αὐτοῦ ἀκούειν ἠνείχοντο· ἀλλὰ καὶ ὕβρεσιν ἔπλυνον ἀδεῶς καὶ ἀσέμνως ἀπέπεμπον, δεδολιευμένα φάσκοντες εἶναι τά τε ἤθη καὶ τοὺς λόγους αὐτοῦ. Ἐκεῖνος μὲν οὖν οὕτως ἀποπεμφθεὶς ἐξέκλινεν ἀπὸ τοῦ τείχους μικρόν.

II. Nox vero jam aderat, cum quidam e plebeia turba factiosi, iique non pauci, clam in unum locum congregati occulte illi significant, ut sub mediam noctem, quo tempore et Byzantii omnes dormiant et mœnium custodes ad negligentiam labi incipiant, proxime mœnia veniat. Se enim paratos esse ad eum fune in propugnacula attrahendum. Quod si fieret, totum negotium fore confectum. Persuasum quippe habere se, si in media urbe conspiceretur, Byzantios omnes statim ad eum defecturos. Media jam nocte, cum videret Imperator excubitores perpetuam noctem alternis custodiendo transigere, et assiduis clamoribus invicem ad vigilandum exhortari non desistere; necessitate adactus se ipsum cum Cantacuzeno magno domestico et Synadeno protostratore navículæ committit, declinataque australi Urbis **409** parte sensim ad alteram ripam provehitur, maritimum murum tacite circumiens, sicubi facilem ingressum reperire posset. Quod ii qui in mœnibus excubabant cum sensissent, asperius et vociferati et tumultuati sunt, et in illos nihil respondentes saxa etiam conjicere cœperunt, donec iidem territi recessere. Ac tum quidem hæc acta sunt.

B Β'. Νὺξ δὲ ἤδη παρῆν καί τινες τῶν τοῦ πολιτικοῦ δήμου στασιωτῶν οὐκ ὀλίγοι, συναθροισθέντες εἰς ἓν λάθρα τούτῳ διεμηνύσαντο, ἔγγιστα ἐληλυθέναι τοῦ τείχους περὶ μέσας νύκτας, ὁπότε καὶ Βυζάντιοι πάντες ὑπνώττουσι καὶ οἱ ἐπὶ τοῦ τείχους φρουροὶ πρὸς τὸ ῥᾳθυμότερον ἀναπίπτουσιν. Ἑτοίμους γὰρ εἶναι σφᾶς ἀνιμήσασθαι αὐτὸν διὰ μηρίνθου τινὸς ἀπὸ τῶν ἐπάλξεων. [P. 250] Τοῦτο δ' εἰ γένοιτο, πέρας εἶναι τῆς ὅλης σπουδῆς καὶ τοῦ μακροῦ δρόμου. Πεπεισμένους γὰρ εἶναι, πάντας Βυζαντίους εὐθὺς ἀκολουθῆσαι φανέντι περὶ μέσην τὴν βασιλεύουσαν. Μέσης δὲ ἤδη νυκτὸς γενομένης καὶ βλέπων ὁ βασιλεὺς, ὡς ἀμοιβαδὸν οἱ φρουροὶ τὴν νύκτα πᾶσαν παραλλάττοντες οὐ παύονται φωναῖς ἀλλεπαλλήλοις ἀλλήλους πρὸς τὸ ἐγρηγορὸς διεγείροντες, ἀκατίῳ τινὶ πιστεύει ἑαυτὸν ἐξ ἀνάγκης ξύν γε Καντακουζηνῷ τῷ μεγάλῳ δομεστίκῳ καὶ Συναδηνῷ τῷ πρωτοστράτορι· δι' οὗ τὸ νότιον μέρος τῆς Κωνσταντινουπόλεως κάμψαντες ὁμαλῶς διεπεραιοῦντο περιιόντες ἡσύχως τὸ παράλιον τεῖχος, εἴ που δυνηθεῖεν εἴσοδόν τινα ῥᾴδίαν εὑρεῖν. Ἀλλ' οἱ ἐπὶ τὸ τεῖχος φρουροὶ συναισθόμενοι τραχυτέρᾳ τῇ βοῇ καὶ τῷ θορύβῳ ἐχρήσαντο· καὶ μὴ ἀποκρινομένων καὶ λίθους ἤδη κατ' αὐτῶν ἦρξαντο πέμπειν, ὡς ἐκεῖνοι φοβηθέντες ἀναστρέψαντες ἀπῆσαν. Τότε μὲν οὖν ταῦτα ἐπράχθη.

III. Inseculo autem mense Decembri juniori imperatori litteræ Thessalonicensium clam afferuntur, quibus quam primum arcessebatur. Etenim plebeios omnes et proceres plerosque et ipsum pontificem composito decrevisse, statim atque is prope mœnia adfuturus esset, ad ipsum accurrere et portas ei aperire. Quibus cognitis imperator magnam militum manum protostratori dedit, eique præcepit, ut imperatricem urbem circumiret et eminus velut castris cingeret, nec Byzantios usque ad Rhegium egredi forisve commorari pateretur, eosdemque arcanis litteris et pollicitationibus, quæ cuique convenirent, ambiret et potestati suæ subjiceret. Ipse vero cum paucis delectis Thessalonicam abiit. Tum vero, propter suspiciones tumultuum, Demetrius despota et protovestiarius Andronicus et Michael Asan cum auxiliaribus Triballorum copiis extra mœnia diversabantur, et Macedonicas etiam Romanorum legiones secum habebant. Qui rixis et contentionibus privatis cum occuparentur, quas ambitio et cæcus amor sui vel potius ira Numinis **410** accendebat, ut rebus ipsorum confusis ipsi sibi perniciem

C Γ'. Τοῦ δ' ἐπιόντος μηνὸς Δεκεμβρίου (74) γράμματα πρὸς τῶν Θεσσαλονικέων λάθρα τῷ νέῳ κομίζονται βασιλεῖ, προσκαλούμενα τὴν ταχίστην αὐτόν. Εἶναι γὰρ ξυγκείμενον τοῖς τε δημόταις ἅπασι καὶ τοῖς πλείοσι τῶν προὐχόντων καὶ αὐτῷ γε δὴ τῷ ἀρχιερεῖ, ἅμα τῷ πλησίον φανῆναι τοῦ τείχους αὐτὸν δραμόντας ἀνοῖξαι οἱ τὰς πύλας. Ἐπεὶ ταῦτα ἐμεμαθήκει ὁ βασιλεὺς, συχνοὺς παραδοὺς τῷ πρωτοστράτορι στρατιώτας περιιέναι παρεκελεύσατο καὶ οἷον περιστρατοπεδεύειν τὴν βασιλεύουσαν μικρὸν ἄπωθεν καὶ μὴ ἐᾷν ἄχρι Ῥηγίου τοὺς Βυζαντίους

D ἐξιόντας διατρίβειν· καὶ πρός γε λαθραίοις γράμμασι καὶ ὑποσχέσεσιν ὑπέρχεσθαι καὶ ὑποποιεῖσθαι τοὺς Βυζαντίους κατὰ τὸ προσῆκον ἑκάστῳ. Ὁ δ' ὀλίγους τινὰς ἀπολεξάμενος ᾤχετο ἀπιὼν ἐς Θεσσαλονίκην. Ἔτυχον δὲ τριακοῦτα διατρίβοντες ἔξω τειχῶν διὰ τὰς ὑπερῴας τῶν θορύβων μετὰ τοῦ ἀπὸ τῶν Τριβαλλῶν συμμαχικοῦ στρατοῦ ὅ τε δεσπότης Δημήτριος καὶ ὁ πρωτοβεστιάριος Ἀνδρόνικος καὶ ὁ Ἀσὰν Μιχαὴλ (75), ἐπαγόμενοί καὶ τὰ Μακεδονικὰ τῶν Ῥωμαίων στρατεύματα. Ὧν δὴ καὶ σχολῶν ὄντων περὶ τὰς κατ' αὐτοὺς ἔριδας, ἃς ἀνέφλεξαν κενοδοξίας καὶ φιλαυτίας τελχῖνές τινες, ἢ μᾶλλον

Variorum notæ.

(74) Cantacuzen. lib. I, cap. 31, 53, 54. DUCANG.
(75) Joannis Asanis Bulgariæ regis filius primogenitus. Vide *Famil. Byzant.* pag. 325. DUCANG.

θορυβία τις, ἵνα τὰ κατ' αὐτοὺς συγχυθείη πράγματα, καὶ σφῶν αὐτῶν αὐτοὶ πρόξενοι γένοιντο ἀπωλείας· τούτων τοίνυν ἀσχολίαν ἀγόντων τοιαύτην μεταξύ που Θεσσαλονίκης καὶ Σερρῶν ἔλαθεν ὁ βασιλεὺς εἰσιὼν ἐς Θεσσαλονίκην, ἐνδύμασιν ἰδιωτικοῖς πάντα τὰ βασιλικὰ περικαλύπτων γνωρίσματα· ἃ δὴ πάντα πυλῶν εἴσω γενόμενος εὐθὺς ἀπέῤῥιψε καὶ κατάδηλος πᾶσιν ἐγεγόνει βασιλεὺς ὤν· καὶ εὐθὺς δραμόντες μικροῦ πᾶσα ἡ πόλις ἐκείνη προσεκύνουν τε αὐτὸν καὶ ἠσπάζοντο καὶ εὐφημοις ἐδεξιοῦντο φωναῖς. [P. 251] Ἦσαν δὲ καὶ βραχεῖς τινες πάνυ αὐτόν τε μισοῦντες καὶ τῷ γηραιῷ καθαρῶς προσκείμενοι βασιλεῖ· οἳ καὶ δραμόντες τὴν ἀκρόπολιν ἐχειρώσαντό τε καὶ ἠσφαλίσαντο, κἀκεῖθεν εὐρώστως ἠμύνοντο πολιορκοῦντας τόν τε βασιλέα καὶ ὅσοι περὶ αὐτὸν ἠθροίσθησαν θιασῶται τῆς στάσεως· καὶ πολλοὺς ἐτίτρωσκον βάλλοντες λίθοις καὶ βέλεσιν, ὥστε καὶ πολλὰ τῶν ἐκεῖθεν βελῶν καὶ περὶ τὴν τοῦ βασιλέως ἐνεπάγη ἀσπίδα. Τῇ δ' ὑστεραίᾳ φρυγάνων ἀθροίσαντες πλῆθος οἱ περὶ τὸν βασιλέα τὰς πύλας ὑφῆψαν τῆς ἀκροπόλεως καὶ οὕτως αὐτὴν παρεστήσαντο.

A creaverat: cum, inquam, illi Thessalonicam inter et Serrhas in eo forent, imperator Thessalonicam clanculum ingressus est, summæ potestatis insignibus habitu privato superinduto celatis: quem, ubi intra urbis portas fuit, statim abjecit, et omnibus verus imperator patuit, concursuque fere a tota ea civitate adoratus et salutatus ac faustis acclamationibus acceptus est. Erant tamen perpauci, qui eum eum odissent et seniori imperatori vere studerent, arcem propere occuparunt et munierunt; unde eos, a quibus obsidebantur, imperatorem dico et factiosorum turbam, qui eum stipabat, fortiter propulsabant, ac plurimos saxis et missilibus telis vulnerabant; quorum multa imperatoris scuto infixa sunt. At postridie ii, qui imperatorem sequebantur, magno ramentorum cumulo circumposito, portis exustis arcem ceperunt.

Δ'. Ἆρας δ' ἐκεῖθεν ὁ βασιλεὺς προῆει ἐπὶ τὸ ἄστυ Σερρῶν, ᾧ τὸ συμμαχικὸν ἦν τῶν Τριβαλλῶν, οἷς δὴ καὶ διὰ σπουδῆς ἦν τὸ πρῶτον ὅπλα κατὰ τοῦ βασιλέως ἄρασθαι. Ἐπεὶ δὲ τὸν μὲν δεσπότην Δημήτριον καὶ τοὺς ἄλλους, τόν τε πρωτοβεστιάριον καὶ τὸν Ἀσάν, ξὺν οὐδενὶ κόσμῳ διασκεδασθέντας εἶδον, τοὺς δ' ἑπομένους αὐτοῖς στρατιώτας αὐτομολήσαντας ἐς τὸ τοῦ βασιλέως στρατόπεδον, ὑπόσπονδον καὶ αὐτοὶ τῷ βασιλεῖ τὸ ἄστυ παρέδοσαν ἀπιόντες οἴκαδε. Ἐπεί γε μὴν ὁ βασιλεὺς οὕτω τὴν τύχην ἑώρα τὴν δεξιὰν ἄρθονόν τε καὶ μειδιῶσαν αὐτῷ προτείνουσαν, ἤδη μεθ' ὅλης εὐθυμίας καὶ ἡδονῆς ἐς τὰ πρόσω προὐχώρει μεστὸς ἀγαθῶν ἐλπίδων. Καὶ ἵνα μὴ διατρίβωμεν, ὀλίγων ἐντὸς ἡμερῶν ἅπαντα διελθὼν τὰ ἐκεῖ παρὰ τὴν Μακεδονίαν πολίχνια ῥᾳστά τε καὶ ἀπονητὶ παρεστήσατο, καὶ σύν γε αὐτοῖς τάς τε γυναῖκας καὶ τὰ τέκνα καὶ τὰ χρήματα ξυνειλήφει τοῦ τε δεσπότου καὶ τοῦ πρωτοβεστιαρίου καὶ τοῦ Ἀσὰν καὶ ὅσα τῶν ἐκείνοις ἐχόντων συγκλητικῶν ἐκείνοις ἐκεῖσε συνδιατρίβοντες ἦσαν.

IV. Inde digressus imperator ad urbem Scurlum perrexit, ubi Triballorum auxilia erant, qui primo quoque tempore arma adversus eum movere cupiebant. Sed cum Demetrium despotam et reliquum, protovestiarium et Asanem, turpiter dissipatos cerneret, milites vero, qui eos sequebantur, in imperatoris castra transfugisse; compositione facta et ipsi oppidum imperatori dediderunt domumque abierunt. Is autem, cum fortunam sibi arridentem et obvias quasi manus benigne porrigentem cerneret, cum gaudio et lætitia pergebat ulterius bona spe plenus, et (ne longum faciamus) intra pancos dies omnibus Macedoniæ oppidulis peragratis facillimeque et sine labore in potestatem suam redactis despotæ, Asanis et protovestiarii nec non senatorum omnium, qui cum illis erant, conjuges, liberos et pecuniam simul cepit.

CAPUT V.

Senior belli pertæsus; inita cum Bulgaro societate animum erigit. Cralæna filia, ab ariolis decepta, eumdem vana spe implet. Logotheta de se admodum anxius. Somnio terretur. Suis rebus consulit. Secedit in palatium. Præfecti urbium Macedonicarum capti a juniore in carcerem conjiciuntur. Demetrii despotæ fuga. Protovestiarii exitus miserabilis. Asan Prosiacum occupat. Ad Cralem se recipit. Basilicus Nicephorus castellum Melenici munit ac tuetur, juniori non deditarus, nisi post mortem senioris. Junior ejus fidem ut remuneratus sit. Philippi Macedonis apophthegma. Pugna ad Mauropotamum. Senioris copiæ vincuntur. Junior Bulgaros antevertere ac Byzantium ire properat. Tria Urbis pericula. Classis Veneta, Genuensibus Galatæis infensa. Ponti fauces obsidet. Plurimas naves onerarias intercipit. Unde fames Byzantii. Venetorum æquitas ac moderatio. Auxilium ab iis juniori denegatum. Bulgaricus exercitus, alterum Urbis periculum. Junior Urbem ingredi frustra conatur. Senior ab eo exorari non potest. Dux Bulgarorum, juniori neconciliatus, copias suas domum reducit.

[P. 252] Α'. Ὁ δὲ γηραιὸς βασιλεὺς ἀπολωλεκὼς καὶ τὰς ἐκεῖθεν ἐλπίδας καὶ εἰς ἀμηχανίαν ἰσχάτην ἐμπεπτωκώς, ἐβούλετο ἤδη πέμπειν πρεσβείαν πρὸς τὸν ἔγγονον περὶ σπονδῶν καὶ εἰρήνης, πρὶν ἐκ Μακεδονίας αὐτὸν ἀναλῦσαι. Ἀλλ' εὐθὺς ἑτέρα τις ἐλπὶς, ὡς μὴ ὤφελεν, ἐπεισῤῥήσασα καὶ ταύτην ἐξέκρουσε τὴν βουλήν. Μιχάηλος γὰρ (76) ὁ τῶν

I. At senior imperator, cum illa quoque spe excidisset, jam legatos ad nepotem missurus erat de fœdere et pace, priusquam ille Macedonia excederet. Sed statim alia spes (quod utinam non accidisset) interposita consilium illud evertit. Michael enim Bulgarorum princeps, spe magnorum emolumentorum elatus, clam seniori imperatori com-

Variorum notæ.

(76) Cantacuz. lib. 1, cap. 56, 57, 58. DUCANG.

tiavit, se, si vellet, opem ei contra nepotem laturum. At imperator, velut e magna tempestate et naufragio portum insperato adeptus, mordicus spem illam tenuit. Deinde legati ultro citroque missi quid agendum sit deliberant: item de promissis et pactionibus agunt, omnibus interim horum consiliorum ignaris, duobus aut tribus intimis et Cralæna exceptis: quæ subinde patrem bona spe implebat, quam vani vates, et qui vocem in ventre habent, ei faciebant.

A Βουλγάρων ἄρχων λημμάτων ἐλπίδι μεγάλων ἑαυτὸν ἐπάρας διεμηνύσατο λάθρα τῷ γηραιῷ βασιλεῖ, εἰ βούλοιτο, συμμαχῆσαι αὐτῷ κατὰ τοῦ ἐγγόνου. Ὁ δὲ βασιλεὺς, ὥσπερ ἐκ μεγάλου ναυαγίου καὶ κλύδωνος ἀπροσδοκήτως λιμένι περιτυχών, ἀπρὶξ ἐπελάβετο τούτου. Καὶ ἐξῆς διαπρεσβεύοντο πρὸς ἀλλήλους περὶ τοῦ ποιητέου καὶ περὶ ἐπαγγελιῶν καὶ συνθηκῶν, μηδενὸς ἐπιγινώσκοντος τὰ βουλεύματα, πλὴν δυοῖν ἢ τριῶν τῶν πάνυ πιστοτάτων καὶ τῆς Κραλαίνης, ἣ διηνεκῶς τὸν πατέρα καὶ βασιλέα ἀγαθῶν ἐνεπίμπλα ἐλπίδων, ὧν αὐτὴν οἱ ψευδομάντεις καὶ ἐγγαστρίμυθοι ἐνεπίμπλασαν.

II. Magnus autem logotheta Metochites, **412** postquam seniorem imperatorem et rempublicam vidit fortuna iniqua ac proterva conflictari, omnium maxime sibi timuit: quippe quicum ille omnia dicenda tacendaque communicaret et sine quo nihil decerneret aut ageret. Quare tristis et sollicitus semper erat et futurorum plenus, quorum exitum sibi parum felicem fore prævidebat. Quadam igitur nocte novam ignoti hominis formam videre visus est sibi jacenti astantem, prædoni et agresti latroni persimilem, qui manus sibi injiceret, et de cervicali claves cubiculi eripere vellet, in quo supellex et gemmæ repositæ erant et quidquid opum habebat. Somno autem vi excusso totus adhuc trepidans quanquam expergefactus inclamavit famulos, ut prædonem persequerentur, ne una cum pecunia effugeret. Ignorabat enim visa illa somnium esse, non rem veram. Qui cum statim surrexissent et fores clausas reperissent, et affirmassent, imaginationem esse e diurnis cogitationibus ortam, ille vix ad se ipsum reversus ardentissimum suspirium ex imo traxit, ac non tam diurnarum curarum imaginem, quam præsagium evcrsionis familiæ suæ, visionem illam esse judicavit. Quare cum diluxisset, plerasque opes e suis ædibus tanquam desperatis jam translatas inter amicos fidissimos clam distribuit custodiendas. Uxore vero et ancillis domi relictis ipse in palatio commorari **413** ac residere ex eo cœpit; unde nec foras egrediebatur, seditionem populi contra se effervescentem pertimescens.

B Β'. Ὁ μέντοι μέγας λογοθέτης ὁ Μετοχίτης ὁρῶν στρεφομένην ἀνωμάλως τὴν τύχην κατὰ τοῦ γηραιοῦ βασιλέως καὶ κατορχουμένην οὕτω τὰ πράγματα ἐδεδίει περὶ ἑαυτῷ μάλιστα πάντων αὐτὸς, ἅτε καὶ μάλιστα πάντων αὐτὸς κοινωνῶν τῷ βασιλεῖ ῥητῶν καὶ ἀπορρήτων καὶ γνώμης καὶ πράξεως πάσης. Διὸ καὶ σύννους τις ἦν καὶ ἐμμέριμνος ἀεὶ καὶ τῶν μελλόντων πλήρης, οὐ μάλα τοι δεξιὸν τὸ μέλλον σκοπούμενος ἐπιόν. Ἐν μιᾷ γοῦν τῶν νυκτῶν ἔδοξεν ἀλλόκοτόν τινα θεάσασθαι ἄνθρωπον ἐπιστάντα οἱ κειμένῳ, ἀτεχνῶς λωποδύτῃ τινὶ καὶ ἀγρίῳ λῃστῇ ἐοικότα τὴν χεῖρά τε ἐμβαλόντα, ἀφελέσθαι τοῦ προσκεφαλαίου τὰς τοῦ θαλάμου κλεῖδας, [P. 253] ἐν ᾧ τά τε ἔπιπλα καὶ οἱ πολυτελεῖς ἔκειντο λίθοι καὶ ὅσα τῶν χρημάτων αὐτῷ περιῆν. Τὸν δὲ βίᾳ τὸν ὕπνον ἀποτινάξασθαι καὶ θορύβου μεστὸν ἐγερθέντα βοᾷν καὶ τοῖς θεράπουσιν ἐγκελεύεσθαι διώκειν τὸν λωποδύτην, μὴ φθάσῃ διαδρὰς μετὰ τῶν χρημάτων. Ἐλελήθει γὰρ αὐτὸν ἐνύπνιον εἶναι τὰ φαντασθέντα καὶ οὐκ ἀλήθειαν. Τῶν δὴ θεραπόντων διανισταμένων εὐθὺς καὶ τὰς θύρας κεκλεισμένας εὑρόντων καὶ διαβεβαιωσάντων φαντασίαν εἶναι τὸ πρᾶγμα καὶ μεθημερινῶν φροντίδων βλάστημα, μόλις εἰς ἑαυτὸν ἐλθὼν θερμότατόν τινα στεναγμὸν ἐκ βάθους ἀνέπεμψε, καὶ οὐ τοσοῦτον μεθημερινῶν φροντίδων βλάστημα τὸ φανθὲν ἔκρινεν, ὅσον μαντείαν τινὰ καὶ προαναφώνησιν τοῦ μέλλοντος καταλήψεσθαι τὸν οἰκεῖον οἶκον ἀφανισμοῦ. Ὅθεν ἡμέρας γενομένης τὰ πλείω τῶν χρημάτων ἀφελόμενος τῆς οἰκίας, ἅτε ἀπεγνωσμένης ἤδη, διεμέρισέ τε καὶ τῶν φίλων τοῖς πιστοτάτοις λάθρα ἐδεδώκει φυλάττειν αὐτῷ. Ὁ δὲ τὴν γυναῖκα καὶ τὰς θεραπαινίδας περὶ τὸν οἶκον ἀφεὶς αὐτὸς περὶ τὰ βασίλεια ἀπρόϊτον τοῦ λοιποῦ τὴν διατριβὴν καὶ καταμονὴν ἐποιεῖτο, δεδιὼς τὴν τοῦ δήμου στάσιν φλεγμαίνουσαν κατ' αὐτοῦ.

C

III. Cæterum qui a seniore imperatore urbibus et provinciis Macedoniæ præpositi antea fuerant, una cum uxoribus et liberis (ut ante diximus) capti sunt, et partim Thessalonicam, partim Didymotichum missi, omnes earum urbium carceres impleverunt. Demetrius vero despota, uxore et liberis relictis, qui a persequentibus capti sunt, fuga ad Serviæ Cralem elapsus. Protovestiarius autem Andronicus, ad tempus et ipse despotam secutus, non potuit perpetuo parasiti more aliena quadra vivere, ut ille. Sed quantas modo opes, jumenta, possessiones, gloriam cum omni spe subito amisisset secum reputans, et illa etiam de uxore suspicatus probra, quibus captivæ mulieres affici ab hostibus

D Γ'. Οἱ μέντοι παρὰ τοῦ γηραιοῦ βασιλέως προαποσταλέντες εἰς τὴν τῶν κατὰ Μακεδονίαν χωρῶν καὶ πόλεων διοίκησιν ἐάλωσαν ἅμα γυναιξί τε καὶ τέκνοις, ὡς ἔφθημεν εἰρηκότες, καὶ διαμερισθέντες ὅσα περὶ Θεσσαλονίκην καὶ Διδυμότειχον δεσμωτήρια πάντα μετὰ ἑαυτῶν πεποιήκεσαν. Ὁ δέ γε δεσπότης Δημήτριος φυγὰς ᾤχετο ἀπιὼν παρὰ τὸν Κράλην Σερβίας, γυναῖκα καὶ παῖδας καταλιπὼν διώκουσιν. Ὁ δὲ πρωτοβεστιάριος Ἀνδρόνικος μέχρι τινὸς ἑπόμενος καὶ αὐτὸς τῷ δεσπότῃ οὐκ ἐδυνήθη μέχρι τέλους καθάπερ τις παράσιτος ἐς ἀλλοτρίαν ἀποβλέπειν τράπεζαν, ὥσπερ ἐκεῖνος. Ἀλλ' ἀναλογισάμενος, ὅσον ἐξαπίνης ἀφῄρηται πλοῦτον καὶ κτῆνη καὶ κτήματα καὶ δόξαν μετὰ πασῶν τῶν

ἐλπίδων, ὑποπτεύσας δὲ καὶ περὶ τῆς γυναικὸς ὅσα καὶ παρὰ τῶν ἐχθρῶν ἁλισκόμεναι πάσχουσιν ἄσεμνα, ἐς ἀπογνώσεως καὶ ἀμετρήτου λύπης βυθοὺς ἑαυτὸν ἐδεδώκει· καὶ οὕτως ἐν βραχεῖ τὸ ζῆν πικρῶς ἐξεμέτρησεν ἐν τόποις ἀλλοτρίοις καὶ ἐρημίαις πλανώμενος. Ὁ δὲ Ἀσὰν Μιχαὴλ σπεύσας εἰσῆλθεν ἐς τὸ τοῦ Προσιάκου πολίχνιον· καὶ τοὺς οἰκήτορας ἐκεῖθεν ἐκβεβλημένους εἰς ἑαυτοῦ τοῦτο σωτήριον οἰκητήριον εἶχεν ἀσφαλισάμενος. Μετὰ δὲ βραχὺ προδοσίαν αἰσθόμενος ἑαυτοῦ μεταπέμπεται παρὰ τοῦ Κράλη Σερβίας φρουράν, ᾗ τὸ πολίχνιον παραδοὺς ᾤχετο παρὰ τὸν Κράλην καὶ αὐτὸς ἀπιών.

A solent, desperationi et immenso mœrori totum se dedidit; atque ita post paulo in locis alienis et desertis oberrans acerba morte vitam finiit. At Michael Asan, Prosiaci oppidulo festinanter occupato ejectisque oppidanis firmato, tutum ibi receptum habuit. Idem non longo post veritus proditionem a Serviæ Crale præsidium arcessit: cui oppidulo commisso et ipse ad Cralem abiit.

Δ'. Ἔτυχε δὲ τηνικαῦτα τὸ τοῦ Μελενίκου φρούριον καὶ ὁπόση τούτῳ περίοικος διοικῶν καὶ ἐπιτροπεύων ὁ Βασιλικὸς Νικηφόρος (77). Οὗτος τῶν εὖ μὲν γεγονότων ἦν, ἐδόκει (78) δὲ τοῖς ἥκιστα κρίνειν εἰδόσιν ὀρθῶς τόν τε τρόπον εἶναι ἁπλοῦς καὶ πρακτικῆς ἐς τὰ μάλιστα ἄπειρος. Ἀλλὰ τοῦτον ὁ χρόνος ἔδειξε τῶν τότε πάντων ὡς ἀληθῶς συνετώτερον. Οἱ μὲν γὰρ ἀπογνώσει δόντες ἑαυτοὺς ἀγχοίᾳ τοῦ συμφέροντος πικρῶς τὸν βίον ἀπήλλαξαν, [P. 254] οἱ δὲ ἑάλωσαν ἄκοντες καὶ μυρία πεπόνθασι τὰ δεινά· οἱ δ' ἑκόντες προὔδοσαν ἑαυτούς. Οὗτος δὲ μόνος θείῳ τὰ πείσματα τῶν ἐλπίδων ἀναψάμενος πρὸς τοσοῦτον πραγμάτων κλύδωνα ἑαυτὸν ἀντέστησε, μέχρι τελευταίας ἀναπνοῆς τοῦ γηραιοῦ βασιλέως τὴν πρὸς αὐτὸν ἀκίβδηλον γνώμην καὶ πίστιν τηρήσας, καὶ μήτε πρὸς τὰς τοῦ νέου βασιλέως λαμπρὰς καὶ μεγάλας ὑποσχέσεις ἐνδοὺς, μήτ' αὖ πρὸς τὰς παλαμναιοτάτας ἀπειλὰς καὶ περιστρατοπεδεύσεις αὐτοῦ δείσας ὅλως· ἀλλὰ τὸ φρούριον ἐκεῖνο στερρῶς ἀσφαλισάμενος (79) ἐκάθητο, λῆρον μακρὸν ἅπαντα τὰ τοιαῦτα ἡγούμενος, ἕως ἠκηκόει τὴν τοῦ γηραιοῦ βασιλέως ἀπαλλαγήν. Μέχρι γὰρ τούτου δικαίαν ἡγεῖτο τὴν ἔνστασιν· τὸ δ' ἐξῆς ἄδικόν τε καὶ πρόφασιν οὐδὲν εὔλογον ἔχουσαν. Διὸ καὶ σπονδὰς πρὸς τὸν νέον εὐθὺς ποιησάμενος βασιλέα καὶ λαμπρὰς τὰς ἀμοιβὰς παρ' αὐτοῦ δεξάμενος ἐδεδώκει τὸ φρούριον· καὶ λοιπὸν βουλήσει τοῦ βασιλέως αὐτὸς αὖθις ἦν ὁ διοικῶν καὶ ἐπιτροπεύων αὐτό, γέρας καὶ τοῦτο λαβὼν καὶ ἀντίδοσιν τῆς πρὸς τὸν δεσπότην ἐκεῖνον πίστεως καὶ στοργῆς. Ἐπεὶ καὶ συνετοῖς πολεμίοις αἰδέσιμος ἀνδρὸς ἀρετή. Καὶ γὰρ Δημοσθένην τὸν Ἀττικὸν ἐν τοῖς μάλιστα πολεμίοις ὄντα Φίλιππος ἐμακάριζε, λέγων· « Εἰ μέν τις Ἀθηναῖος ὢν ἐν Ἀθήναις φάσκει τῆς πατρίδος ἐμὲ προτιμᾶν, τοῦτον ἀργυρίου μὲν πριαίμην ἄν, φιλίας δ' οὐκ ἄν· εἰ δέ τις ὑπὲρ τῆς πατρίδος ἐμὲ μισεῖ, τούτῳ προσπολεμῶ μὲν, ὡς ἀκροπόλει καὶ τείχει, νεωρίοις καὶ τάφρῳ· θαυμάζω δὲ τῆς ἀρετῆς καὶ μακαρίζω τὴν πόλιν τοῦ κτήματος. » Ἀλλὰ ταῦτα μὲν ὕστερον. Νῦν δ' ἐπανιτέον ὅθεν ἐπὶ ταῦτα ἐξέβημεν.

IV. Tum autem Melenici castello et circumjacentibus locis præerat Nicephorus Basilicus. Erat is nobilis quidem genere, **414** sed perverso quorumdam judicio, simplicis ingenii vir, et rerum gerendarum omnino rudis esse credebatur. Atqui eumdem cæteris omnibus re ipsa prudentiorem esse tempus ipsum declaravit. Nam alii partim ex desperatione et consilii inopia acerbam mortem oppetierunt; partim inviti capti et infinita mala perpessi sunt, partim ultro se ipsos prodiderunt. Hic vero solus spe in Deum collocata tantæ rerum perturbationi se opposuit, et ad extremum usque senioris imperatoris spiritum sincerum animum et fidem ipsi præstitit. Neque enim junioris imperatoris vel præclaris magnificisque pollicitationibus cessit, vel sævissimas minas et obsidiones pertimuit. Sed castellum illud sibi commissum optime munivit, in eoque contemptis rebus illis omnibus sedit, donec senioris imperatoris obitum audivisset. Nimirum eo usque contentionem æquam judicavit, ultra vero iniquam et ratione minime probabili subnixam. Quapropter statim pactione cum juniore imperatore facta ab eoque magnificis præmiis donatus castellum dedidit; ac deinde ejusdem principis voluntate illi ipsi castello præfuit, eam quoque fidei erga dominum suum et charitatis mercedem ac remunerationem consecutus. Nam viri prudentes etiam ejus, cujus hostes sunt, virtutem reverentur. Itaque Demosthenem Atheniensem, quanquam acerrimum inimicum, Philippus beatum judicabat, cum diceret: « Si quis Atheniensis, **415** Athenis degens, patriæ me præferre non recusat, eum ego argento emerim, amicitia vero mea non item. Si quis autem propter patriam me odit, eum ego quidem ut arcem et murum et navale et fossam oppugno; sed tamen virtutem ejus admiror, et urbem propter eam possessionem fortunatam judico. » Sed hæc postea. Nunc eo redeundum est, unde digressi sumus.

Ε'. Ἔαρος γὰρ ἀρχομένου κατὰ τὴν ἕκτην δηλαδὴ τῆς ἁγίας Τεσσαρακοστῆς ἑβδομάδα (80), συνεκρό-

V. Initio veris, sexta videlicet hebdomade sanctæ Quadragesimæ, prælium commiserunt utriusque

Variorum notæ.

(77) Dubium utrum Βασιλικός hoc loco sit nomen proprium, an dignitatis. Vide Ducangii *Glossarium med. Græcit.* in v. Βασιλικοί. Item ejusdem *Glossar. med. Latin.* in *Basilicus*. BOIVIN.

(78) Wolfius legit ἔῴκει, et ad eam lectionem accommodavit interpretationem suam. BOIVIN.

(79) Wolfius legebat, ἀλλὰ τὸ φρούριον ἐκεῖνο Σέρρας ἀσφαλισάμενος, et interpretabatur, *sed castellum Serrhas sibi commissum munivit*: id quod plane absurdum erat, cum de Serrharum deditione paulo ante facta constaret ex ipsius Gregoræ verbis, capite superiori, sect. 4. BOIVIN.

(80) Wolfius legebat, ἑβδομάδος, vertebatque, *sexto die sanctæ hebdomadis Quadragesimæ*. Legendum

imperatoris exercitus ad Mauropotamum, hinc Constantino Asane, inde protostratore duce. Atque illic quoque adversarii vicerunt. E nostris autem in acie ceciderunt milites non amplius decem. Tribuni plerique una cum duce Asane capti. Cæteri spoliati Byzantium infeliciter pervenerunt. Junior igitur imperator, fortunam videns conatibus suis obsecundantem, rebus per omnem Macedoniam et Thraciam suo arbitratu ordinatis medio vere Byzantium et ipse properat, ne Bulgaricus exercitus prior in Urbem introrumpat; tum eamdem nec justo exercitu munitam, et fame præterea, quam illo ipso tempore Veneta classis attulerat, laborantem nactus, imperatorem cum omni ætate mactet, unumque et continuum imperium suo duci a Byzantio usque ad Istrum efficiat; aut si id non possit, saltem seniori imperatori novis viribus derepente additis, juniori ipsi **416** deinceps aditum Byzantii intercludat; ut cum omnium votorum finem pene jam adeptus fuerit, naufragium faciat, ac post tot demum cursus spes suas omnes ita submersas abjiciat. Accidit itaque, ut infelix isthæc urbium princeps tria simul pericula experiretur, quæ singulatim exponemus.

τησε πόλεμον τὰ ἀμφοῖν τοῖν βασιλέοιν στρατεύματα ἀγχοῦ τοῦ Μαυροποτάμου (81). Ἐστρατήγει δὲ τούτων μὲν Κωνσταντῖνος ὁ Ἀσάν, ἐκείνων δ' ὁ πρωτοστράτωρ. Εἱλήφεσαν τοίνυν κἀνταῦθα τὸ κράτος οἱ ἐναντίοι. Τῶν δ' ἡμετέρων πεπτώκασι μὲν ἐν τῷ πολέμῳ οὐ πλείους τῶν δέκα στρατιωτῶν· ἐάλωσαν δὲ τῶν ταξιάρχων οἱ πλείους μετὰ τοῦ στρατηγοῦντος Ἀσάν. Οἱ δ' ἕτεροι γυμνωθέντες δυστυχῶς τὴν ἐπὶ τὸ Βυζάντιον ἐπανῆεσαν. Ἰδὼν δὲ ὁ νέος βασιλεὺς κατὰ ῥοῦν τοῖς αὐτοῦ κινήμασιν ἑπομένην τὴν τύχην, τὰ κατὰ Μακεδονίαν καὶ Θρᾴκην πάντα καταστησάμενος ὡς αὐτῷ γε ἦν βουλομένῳ ἐπὶ τὸ Βυζάντιον μεσοῦντος ἔαρος ἔσπευδε καὶ αὐτὸς, μὴ φθάσαντες ἐντὸς ὁ τῶν Βουλγάρων στρατὸς εἰσπτήσωσιν, ἔπειτα μήτε στρατὸν ἀνάλογον ἔχουσαν εὑρηκότες τὴν βασιλεύουσαν καὶ ἄλλως πεπονηκυῖαν ἰδόντες ἐκ τοῦ λιμοῦ, ὃν ὁ τῶν Βενετικῶν τηνικαῦτα στόλος προὐξένησε, [P. 255] κατασφάξωσι τόν τε βασιλέα καὶ πᾶσαν εἰπεῖν ἡλικίαν καὶ μίαν ἀρχὴν καταστήσωσι τῷ σφῶν αὐτῶν ἀρχηγῷ τὴν ἀπὸ Βυζαντίου μέχρι τοῦ Ἴστρου· ἢ εἰ μὴ τοῦτό γε δυνηθεῖεν, ἀλλ' οὖν τό γε δεύτερον δύναμιν αἰρνίδιον τῷ γηραιῷ βασιλεῖ παρασχόντες ἄδατον αὐτῷ δὴ τῷ νέῳ τοῦ λοιποῦ τὴν ἐπὶ τὸ Βυζάντιον καταστήσωσι, κἀνταῦθα περὶ τὸ τῆς σπουδῆς ἅπασης συμπέρασμα τὸ σκάφος αὐτῷ τῆς τύχης ἀνατραπείη, πάσας τὰς τῶν δρόμων ἐκείνων ἐλπίδας ὑποβρυχίους πεποιηκός. Ἔτυχε τοίνυν τρεῖς ἐν ταυτῷ κινδύνους ἡ ταλαίπωρος αὕτη μεγαλόπολις θεασαμένη τότε, οὓς κατὰ μέρος λέξοντες ἥξομεν.

VI. Quadraginta longæ naves a Venetis splendide armatæ contra Genuenses, qui Galatæ habitabant, missæ sunt; propterea quod ii pecuniam, quam Genuenses piratæ in medio infero mari ab oneraria Venetorum nave per vim abstulissent, bona gratia restituere recusabant. Ac duæ quidem et triginta in sinum Ceratinum qui Byzantio prætenditur invectæ frontes obverterunt, Genuensibus Galatæis obsidionem minitantes, si pecuniæ restitutionem differrent. Octo reliquæ progressæ ulterius fretum, quod est ante Hierum, custodiebant, quod Ponti collum appellant. Ubi quatuor rotundas naves ad solvendum paratas nactæ ceperunt, easque copiis impositis contra Genuenses onerarias, quæ e Ponto remeabant, armarunt. Intra paucos igitur dies tot Romanas et Latinas onerarias captas videres, ut totum pene fretum iis compleretur. Capiebant enim una etiam Romanas naves, ne multi Genuensium in eas recepti clanculum evaderent. Ita factum, ut frumentatione interclusa fames Byzantios non parva vexaret. Nam ea obsidio dies **417** quindecim duravit, quibus prælium factum non est. Neque enim

Ϛ'. Νῆες μακραὶ τετταράκοντα (82) παρὰ Βενετικῶν ὁπλισθεῖσαι λαμπρῶς τὸν ἔκπλουν κατὰ τῶν ἐν τοῖς Γαλάτου Γενουϊτῶν ἐποιήσαντο, μὴ βουλομένων μεθ' ἡσυχίας ἀποδιδόναι τὰ χρήματα, ὅσα παρὰ φορτίδος νεὼς αὐτῶν πειραταὶ Γενουῖται περὶ μέσα που τὰ πελάγη τῆς κάτω θαλάσσης βιαίως ὠφείλοντο. Καὶ ἐλθοῦσαι αἱ μὲν δύο καὶ τριάκοντα ἐσέπλευσάν τε ἐς τὸ πρὸ Βυζαντίου Κέρας, καὶ ἔστησαν ἑαυτὰς μετωπηδὸν ἐς ἐπαγγελίαν πολιορκίας τῶν ἐν ταῖς Γαλάτου Γενουϊτικῶν, εἰ ἀναβάλοιντο τὴν τῶν χρημάτων ἀπόδοσιν· αἱ δ' ὀκτὼ παρεφύλαττον ἀνοῦσαι τὸν πρὸ τοῦ Ἱεροῦ πορθμὸν (83), ὃν δὴ τοῦ Πόντου καλοῦσιν αὐχένα. Ἔνθα στρογγύλας τέτταρας ναῦς εὑρηκότες πρὸς ἔκπλουν ἑτοίμους ἐκράτησάν τε καὶ δύναμιν αὐταῖς ἐνεβίβασαν καὶ κατὰ τῶν ἐκ τοῦ Πόντου καταγομένων Γενουϊτικῶν ὁλκάδων καὶ ταύτας ὁπλίσαντες ἔστησαν. Ἦν οὖν ἡμερῶν ὀλίγων ἰδεῖν τοσαύτας ὁλκάδας ἁλούσας Ῥωμαϊκὰς ὁμοῦ καὶ Λατινικάς, ὡς πεπλῆρῶσθαι τούτων πάντα μικροῦ τὸν πορθμόν. Ἠλίσκοντο γὰρ σφισιν ὁμοῦ καὶ Ῥωμαίων ὁλκάδες, μὴ λάθωσι δι' αὐτῶν παραῤῥυέντες καὶ Λατίνων συχναί. Καὶ συνέ-

Variorum notæ.

ἑβδομάδα, et vertendum, *sexta videlicet hebdomade sanctæ Quadragesimæ*. Græci Quadragesimam, ut nos, in septem hebdomadas dividebant, quarum ultima non ἁγία, sed μεγάλη dicebatur. Vide *Glossar. med. Græcit.* in v. ἑβδομά. Nos hebdomadem sanctam vocamus. Sexta ἑβδομάς inibat κυριακὴ πέμπτη τῶν ἁγίων νηστειῶν, quæ est nobis Dominica Passionis. BOIVIN.

(81) Quem Cantacuzenus Μέλανα ποταμὸν dictum ait *Histor.* lib. I, cap. 18. Huc pertinet id quod legitur cod. Reg. 2990, fol. 70, v. Ἡ λεγομένη νῦν Ἀργυρολίμνη, Γυρολίμνη γράφεται· καὶ τὸ Μαυροπόταμον, μέλας ποταμός. BOIVIN.

(82) Sabellicus decad. II, *Rerum Venet.* lib. I, pag. 325; Petrus Justinian. lib. IV *Rerum Venet.* sub init. DUCANG.

(83) *Fretum, quod est ante Hierum.* De utroque *Hiero*, quorum alterum fuit Jovis Urii, alterum Serapidis, fuse Gyllius lib. I, cap. 2, de Bosporo Thracio. BOIVIN.

βαινεν οὕτω τῆς σιτοπομπίας ἀποκλεισθείσης λιμὸν τοῖς Βυζαντίοις ἐγγίνεσθαι οὐ μικρόν. Διήρκεσε γὰρ τὸ τῆς τοιαύτης πολιορκίας ἄχρι πεντεκαίδεκα ἡμερῶν, ἐν αἷς πόλεμος μὲν οὐκ ἐγίγνετο. Οὐ γὰρ ἀπελέγοντο τὴν τῶν ζητουμένων χρημάτων οἱ Γενουῖται ἀπόδοσιν, ἀλλ' ὑπισχνοῦντο μὲν, ὑπερετίθεντο δέ· τοῖς δὲ Βενετικοῖς ἥκιστα τῶν δυνατῶν ἦν ὅλως ἐπανιέναι κενούς. Ἦσάν γε μὴν οὐδένες, οὓς οὐ μάλα ἐξέπληξεν ἡ τῶν Βενετικῶν εὐταξία καὶ ἡ μετὰ δικαιοσύνης μεγαλοπρέπεια. Οὐδὲ γὰρ ἠξίωσε κῶν πάντων ἐκείνων οὐδεὶς, ἐξελθὼν ἀφελέσθαι τι τῶν ἁπάντων ἄνευ τιμῆς ἀργυρίου, καὶ ταῦτα τοσούτου πεμπληθοῦς τε καὶ σύρφακος ὄχλου συνόντος. Ἀλλ' ἦσαν ἅπαντες πρὸς τὴν τῶν ἀρχόντων ἐξουσίαν ἑπόμενοι, καθάπερ ποιμέσι τὰ ποίμνια. Καὶ ἦσαν ἀνὰ πάσας ἐκείνας τὰς ἡμέρας ἱστάμενοι ἐπὶ τῶν νεῶν, μηδαμῶς ἐνδιδόντες πρὸς τὴν ἀκμὴν ἐκείνην τῆς τοῦ ἡλίου φλογός. Τὰ δὲ τῶν Ῥωμαίων ἀκάτια κατὰ πλῆθος περιεκύκλουν αὐτούς, [P. 256] πᾶν ὅ τι χρειῶδες ἐτύγχανέ σφισιν ἀφθόνως κομίζοντα καὶ ἀντιλαμβάνοντα πλείονα ἢ ἐχρῆν τὸν μισθόν. Ἀλλ' οὐδὲ τῶν ἁλισκομένων ἐκείνων νεῶν ἁπασῶν τοῦ πληρώματος ἐλυμήναντο τὸ παράπαν οὐδέν. Ἦν γὰρ τῶν μὲν πλήρωμα σῖτος καὶ κριθή, τῶν δὲ ὄψων ταρίχη, ὁπόσα γεωργοῦσι λίμναι Κωπαΐδες τε καὶ Μαιώτιδες καὶ ποταμοὶ Τανάϊδες (84)· ἀλλὰ διετήρησαν ἐς τἀκριβὲς ἀλώβητα, ἕως ἀπολαβόντες τὸ χρέος ἀπέδοσαν ἅπαντα. Ἓν μὲν δὴ τοῦτο δεινὸν ἐπέστη τότε τῇ πόλει. Δεινότερον δ' ἂν ἦν, εἰ καὶ εἰς πέρας προὔβαινον τὰ λαθραῖα βουλεύματα. Ὁ γὰρ βασιλεὺς ἔξωθεν πρεσβείαν πρὸς αὐτοὺς κρύφα ἀπεστάλκει χρήματα ὑπισχνούμενος, εἰ συνεργοὶ συνεσκιασμένοι γένοιντό οἱ πρὸς τὴν τῆς πόλεως ἅλωσιν. Τοῦτο μὲν οὖν οὐκ ἐγεγόνει, εἴτε μὴ δεξαμένων τῶν Βενετικῶν τὴν τοιαύτην πρεσβείαν, εἴτε οὐ ῥᾴδιον εἶναι τοῦτο συννενοηκότων διὰ τὸ ἅπαν ὁμοῦ καὶ τὰς πύλας τῶν Βυζαντίων.

Ζ'. Δεύτερον δὲ τῶν περιστάντων τότε τῇ πόλει δεινῶν, τρισχιλίους ἱππέας κατὰ τὰ ξυγκείμενα ὁ τῶν Βουλγάρων ἀπολεξάμενος ἀρχηγὸς συμμαχήσοντας ἀποστέλλει τῷ βασιλεῖ κατὰ τοῦ νέου βασιλέως· οἷς δὴ προστεταγμένον ἦν, ὡς ἐθρυλλήθη παρ' ὀντινωνοῦν, εἰ ἀδείας ἐπιτύχοιεν προσηκούσης, νεωτερισμόν τινα διαπράξασθαι περὶ τὸ Βυζάντιον. Ἀλλ' ἐληλυθόσιν οὐ συγκεχώρηταί σφισιν ἐντὸς γενέσθαι πυλῶν, πλὴν ἢ μόνῳ τῷ σφῶν στρατηγῷ. Διὰ καὶ παρεκκλίναντες ἐστρατοπεδεύκασι περὶ τόπον σταδίους ἀπέχοντα τῆς βασιλευούσης πέντε καὶ ἑννενήκοντα.

Η'. Ἀλλὰ μιᾷ ἡμέρᾳ πρότερον ἐξιππασάμενός ποτε βασιλεὺς μετ' ὀλίγων πάνυ τινῶν ἦκεν ἐξ ἀφανοῦς ἀθρόως εἰσπηδήσων ἐς τὸ Βυζάντιον. Αἰσθομένων δὲ τῶν πυλωρῶν ἀπεκλείσθη, ὡς ἐντεῦθεν ἀναγκασθέντα δεῖσθαι τοῦ βασιλέως καὶ πάππου θερμῶς, καὶ ὑπισχνεῖσθαι πρὸς ἅπαν ὑπείξειν τὸ προσταττόμενον, ὡς εἷς τῶν ἀργυρωνήτων, πρίν τι γενέσθαι τῶν ἀπευκτῶν θατέρῳ δυοῖν, οὕτω χορευ-

A postulatam pecuniam reddere Genuenses recusabant; sed cum pollicerentur, differebant. Veneti autem nullo modo vacui abire poterant. Cæterum nemo erat, cui non admirationi esset Venetorum disciplina militaris et cum æquitate magnificentia. Nemo enim omnium illorum quidquam cuiquam adimere nisi pecunia data sustinuit, idque cum tanta et promiscua turba cum eis esset. Enimvero parebant omnes magistratibus suis, ut pastoribus oves, et omnes dies illos in navibus stabant, solis ardori, qui tunc vehementissimus erat, minime cedentes. Romanarum vero navicularum magna multitudo circumiens abunde eis quidquid erat opus afferebant, et ab iis vicissim majus, quam quod debebatur, pretium accipiebant. Sed neque B iis rebus, quibus captæ illæ naves plenæ erant, ullum omnino detrimentum attulerunt. Erant autem plenæ aliæ frumento et hordeo, aliæ salsamentis, quot et qualia Copaides et Mæotides paludes, et Tanais fluvius, suppeditant. Sed ea prorsus illæsa religiose conservarunt, donec recepto debito omnia restituerunt. Ac unum quidem hoc periculum urbi tunc supervenit. Gravius autem fuisset, si arcana consilia successum habuissent. Foris quippe imperator missa ad eos legatione pecuniam ipsis promiserat, si occulti sibi ad urbem capiendam adjutores essent. Id vero factum non est, **418** sive repudiata a Venetis legatione tali, sive quod eam rem haud facilem esse cernerent, cum continentibus præsidiis mœnia et portæ Byzantiorum munita essent.

C

VII. Alterum urbis periculum fuit, cum Bulgarorum princeps seniori contra juniorem tria millia delectorum equitum subsidio ex pacto misisset, quibus mandatum, nescio quibus auctoribus, ferebatur, ut data opportunitate res novas in urbe molirentur. Sed ii cum advenissent, intra urbis portas non admissi sunt, quas ingredi nemini nisi eorum duci permissum est. Quamobrem inde declinarunt, ac circa locum stadiis quinque et nonaginta ab urbe distantem castra posuerunt.

D

VIII. Pridie vero ejus diei junior imperator equitando progressus cum paucissimis hominibus ex occulto advenerat, subito impetu in urbem irrupturus. Sed animadverso ejus conatu a custodibus exclusus fuerat. Quæ res eum subegerat, ut vehementer avum imperatorem oraret, ac ipsi polliceretur, se quidquid is jussisset dicto audientem fore perinde ac mancipium, potius quam ut

Variorum notæ.

(84) Hæc omnia Gregoras plurali numero, insolenter et poetica audacia: quanquam et nos vulgo dicimus, *les Palus-Méotides*. Copais, palus Bœotiæ est. Nomen dedit urbs Κῶπαι, cujus meminerunt Homerus, Strabo, Stephanus et alii. Boiv.

alterutri aliquid gravius accideret, cum eo discriminis ventum esset. Sed Bulgarica spes, senioris animum adhuc erigens, precibus ejus nullum relinquebat locum. Deinde plane illi fidem habere ob illa multa, quæ præcesserant, non poterat. Tres igitur hæ calamitates urbi tunc minitatæ sunt; nec ulla tamen ad exitum est perducta.

419 IX. Enimvero junior imperator irrita consilia sua gravissime dolens, et illum, qui tunc inciderat, rerum eventum ægre ferens, quasi desperanti similis inde discessit; atque ultra progressus ad locum quemdam divertit, cui Logus nomen est. Inde ad Bulgarorum ducem, qui castra in propinquo habebat, legatos mittit; ac dona eidem partim jam nunc perferri curat, partim in futurum promittit, si copias suas domum reducat. Assensum ad epulas invitat cum tribunis, eosque postridie lætos domum versus abeuntes prosequitur.

φωθείσης τῆς μεταξὺ μάχης. Ἀλλ' αἱ τῶν Βουλγάρων ἐλπίδες κουφίζουσαι τὴν τοῦ γηραιοῦ βασιλέως ἔτι ψυχὴν οὐκ εἴων συνθέσθαι ταῖς ἐκείνου δεήσεσιν. Ἔπειτα οὐδὲ πιστεύειν εἶχεν αὐτῷ καθαρῶς ἐκ πολλῶν τῶν προειληφότων. Τούτων μὲν δὴ τριῶν περιστάντων τότε κινδύνων τῇ πόλει οὐδεὶς τοῦ σκοπουμένου τετύχηκε τέλους.

Θ'. Ὁ γε μὴν βασιλεὺς ὁ νέος ἅρας ἐντεῦθεν ἀπῄει, σφοδρῶς ἀνιώμενος πρὸς τὴν ἀωρίαν τῶν βουλευμάτων, καὶ τὴν οὕτω συμβᾶσαν τῶν πραγμάτων ἐμέμφετο περιπέτειαν καὶ οἷον εἰπεῖν ἀπεγνωκότι ἐῴκει· καὶ προελθὼν κατέλυσε παρά χωρίῳ τινὶ Λόγους ἐπικεκλημένῳ. Ἐκεῖθεν διαπρεσβεύεται πρὸς τὸν στρατηγὸν τῶν Βουλγάρων, ἀγχοῦ που στρατοπεδεύοντα· [P. 237] καὶ δῶρα τὰ μὲν ἤδη πέπομφε, τὰ δὲ ὑπισχνεῖται, εἰ λαβὼν τὸν οἰκεῖον στρατὸν ἐπὶ τὰ οἴκοι ἀναχωροίη. Καὶ συνθέμενον πρὸς εὐωχίαν καλεῖ μετὰ τῶν αὐτοῦ ταξιάρχων· καὶ τῇ ὑστεραίᾳ ψυχαῖς ἡδομέναις οἴκαδε προὔπεμψε.

CAPUT VI.

Duo Urbis custodes cum juniore agunt de proditione. Aliis custodibus astu circumventis illum noctu intromittunt. Senior bis prænonitus cavendum censet. Magnus logotheta providentiam ejus non probat. Imperator valde anxius. Nepotis adventu cognito ad imaginem Dei Matris confugit. Nepos injuriam avo fieri vetat. Suos, ne victoria abutantur, admonet. Avi supplicatio miserabilis. Humanitas nepotis. Patriarcha triumphans reducitur. Triumphi pompa immodesta. Opulentissimæ ædes diripiuntur: in primis domus logothetæ. Ejus bona omnia aut expilata, aut in fiscum redacta Ipse maledictis vexatus. Civiles discordiæ junioris imperatoris prudentia compressæ. Gregoras seniori addictus. Calamitatis particeps.

I. Quæ cum ita se haberent, duo custodes mœnium urbis ad juniorem imperatorem, in eo quem diximus loco castra habentem, transfugiunt, nomine alter Camaris, alter Castellanus, fabrilem quamdam artem exercentes: qui seducto imperatore, omnibus arbitris remotis, Cantacuzeno magno domestico excepto, de proditione verba faciunt et scriptas pollicitationes pecuniarum ac possessionum amplarum exigunt. Quibus facile impetratis, et hora et ratione rei gerendæ indicata, ipsi quidem veriti, ne vicinis suspecti essent, postridie redeunt. Imperator vero quatuor dies ibi cunctatus scalas e funibus confecit, quales sunt eæ quæ in maximis onerariis circa malum suspenduntur. Cum destinata nox adesset, proditores vesperi multum vinum mercati vicinis excubitoribus merum bibendum dederunt, ut **420** somno gravissimo omnes oppressi, respiratione excepta, nihil differrent a mortuis. Media nocte adsunt qui scalas ad mœnia apportent, quas mox fune demisso attraxerunt proditores, ac per eas subvectos octodecim armatos introduxerunt; qui deinde, cum in urbem descendissent, portam quæ Romani dicitur facile demoliti sunt, ut imperator cum exercitu, prohibente nemine, ingrederetur.

Α'. Τούτων οὕτως ἐχόντων αὐτομολοῦσι πρὸς βασιλέα τὸν νέον περὶ τὸ δηλωθὲν χωρίον στρατοπεδεύοντα δύο τινὲς τῶν τοῦ τείχους τῆς βασιλευούσης φρουρῶν, ὄνομα Κάμαρίς τε καὶ Καστελλάνος, τεκτονικήν τινα μετιόντες τὴν τέχνην· οἳ καὶ ἀπολαβόντες τὸν βασιλέα μηδενὸς ἄλλου συνόντος πλὴν τοῦ μεγάλου δομεστίκου Καντακουζηνοῦ, διαλέγονται περὶ προδοσίας καὶ ἀπαιτοῦσιν ἐγγράφους ὑποσχέσεις χρημάτων ὁμοῦ καὶ κτημάτων ἀφθόνων. Ἃ δὴ πάντα λαβόντες ῥᾳδίως καὶ διδάξαντες τὴν ὥραν καὶ τὸν τρόπον αὐτοὶ μὲν ἐπανῆκον ἐς τὴν ὑστεραίαν δέει τοῦ μὴ ἐς ὑποψίας ἐμπεπτωκέναι τοῖς ἐκ γειτόνων. Ὁ δὲ βασιλεὺς τέτταρας περιμείνας ἡμέρας ἐκεῖ κλίμακα διὰ μηρίνθου κατεσκευάκει, ὁποίας καὶ περὶ τὸν ἱστὸν αἱ μέγισται αἰωροῦσιν ὁλκάδες. Τῇ δὲ κυρίας ἐληλυθυίας νυκτὸς οἱ μὲν προδόται ὠνιον εἰληφότες ἐξ ἑσπέρας οἶνον πολὺν ἄκρατον πίνειν παρεῖχον τοῖς γείτοσι τῶν φρουρῶν, ὡς ἐντεῦθεν εἰς ὕπνον τραπέσθαι πάντας βαθύτατον καὶ μηδὲν πλὴν τοῦ ἀναπνεῖν ἀπεοικέναι νεκρῶν. Περὶ δὲ μέσας νύκτας ἥκουσιν οἱ τὴν κλίμακα φέροντες παρὰ τὸ τεῖχος· ἣν εὐθὺς ἀνιμήσαντο σχοῖνον χαλάσαντες ἄνωθεν οἱ προδόται, δι' ἧς καὶ ἀνήγαγον τῶν ἔξωθεν ὁπλιτῶν ὀκτωκαίδεκα· οἷς καταβεβηκόσιν ἐκμοχλεύσαι ῥᾳδίως (85) τὴν τοῦ Ῥωμανοῦ καλουμένην ξυμβέβηκε πύλην, καὶ λοιπὸν ἀκωλύτως στρατὸς εἰσεχώρει ξύν γε τῷ βασιλεῖ.

II. Sed illud pene me præteriit. Post solis occasum, Byzantii portis clausis, quidam e proximis

Β'. Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε. Δύντος γὰρ ἤδη τοῦ ἡλίου καὶ τῶν Βυζαντίων πυλῶν κλεισθεισῶν

Variorum notæ.

(85) Capta urbs ab Andronico juniore anno mundi juxta Græcos 6835 Christi 1328). Indict. 11, Maii 19. Cantacuzen. lib. 1, cap. 59. Ducang.

ἦκέ τις καὶ τῶν ἐγγιστα χωρίων τῷ δρόμῳ ἀσθμαί- A
νων· καὶ κρούσας τὰς παρὰ τῇ Γυρολίμνῃ πύλας
ἐκπληκτικώτερον ἐκάλει τινὰ τῶν ἔνδον· καὶ ἐλθόντι
ὡραχέναι ἔφασκε [P. 258] πρὸ βραχέος πολλούς
τινας τῶν τοῦ νέου βασιλέως σπουδῇ προστλαύνον-
τας πρὸς τὰ περὶ τὸν Ῥωμανὸν τείχη (86) τῆς πό-
λεως. Ὅπερ ἀκουσθὲν τῷ βασιλεῖ φόβον ἐνέβαλε
πλεῖστον καὶ θόρυβον ἐνεποίησε λογισμῶν. Καὶ ἔδο-
ξεν ἀνοίξαντι συχνοὺς τῶν στρατιωτῶν ἐξαποστεῖ-
λαι, φύλακας περιπόλους τοῦ χερσαίου γενησομένους
τείχους ἀπὸ θαλάττης ἄχρι θαλάττης. Ἀλλ' ὁ μέγας
ἐμποδὼν γεγένηται λογοθέτης, ἀνάξιον εἶναι φήσας
μεγαλοπρεπέσι φρονήμασιν ἐνδιδόναι πρὸς οὕτω
σμικροπρεπεῖς ἀκοὰς καὶ φήμας ἀγεννεῖς. Ἢ γὰρ
μὴ εἶναι τὸ λαληθὲν ἀληθὲς, ἢ μωρὰν εἶναι τὴν
ἐπιχείρησιν, τοσούτοις ὅπλοις τῶν τε πυλῶν ὁμοῦ B
καὶ τῶν τειχῶν πεφραγμένων. Ταυτὸν γὰρ πείσον-
ται, εἰ τῇ εἰσόδῳ νῦν ἐπιχειρεῖν ἐθελήσαιεν οἱ πολέ-
μιοι, ὁποῖον καὶ οἱ πρὸς κέντρα λακτίζοντες. Ταυτὶ
δ' ἔφασκεν οὗτος, εἴτε διὰ τὸ ἀδαὴς στρατιωτικῶν
εἶναι πραγμάτων, εἴτε τοῦ Θεοῦ σφήλαντος τὴν τού-
του διάνοιαν, ἵνα καὶ πέρας ἡ κυρωθεῖσα ἄνωθεν
ψῆφος σχοίη κατὰ τοῦ γηραιοῦ βασιλέως καὶ τῶν
τούτου πραγμάτων.

Γ'. Οὔπω τὸ τρίτον τῆς νυκτὸς παρερρύη, καὶ
συχνοὶ παρὰ τὰς πύλας αὖθις τῆς Γυρολίμνης ἦκον
ἀγροῖκοί τινες ἐκ τῶν προαστείων τῆς Βυζαντίδος
καὶ πολὺν ἐδήλουν τοῖς φύλαξιν ἀθροίζεσθαι ὅμιλον
ἔξωθεν παρὰ τὰς πύλας τοῦ Ῥωμανοῦ. Ὅπερ αὖθις
εἰς τὰς βασιλικὰς ἀκοὰς ἀνενηνεγμένον εἰς φόβον C
καὶ θόρυβον ἦγαγε πλείονα· καὶ τραχυτέρᾳ χρησά-
μενος τῇ φωνῇ πρὸς τὸν μέγαν ἔφασκε λογοθέτην·
« Ἔοικας, ἄνθρωπε, σιδήρου φύσιν εἰληφέναι. Διὰ
γὰρ τοῦτο καὶ ἀδεῶς ἔχεις τῶν λογισμῶν καὶ οὐκ
ἐπαισθάνῃ τῶν περιστοιχιζόντων ἡμᾶς ἄρτι κινδύ-
νων. Ἢ οὐχ ὁρᾷς, ὡς οὐκ ἐᾷ με τὸ πρᾶγμα καθῆ-
σθαι, μηδὲ καταδαρθάνειν; Ἀλλ' ὥσπερ τις ἰσχυρὸς
πάταγος ὁ τοῦ ἐγγόνου μου θόρυβος κροτεῖ μου τὰς
ἀκοὰς καὶ συγχεῖ μου τὴν διάνοιαν καὶ δεινῶν μοι
πέλαγος ἐρρώγε, τάς γε φρένας τινάττων συχνὰ καὶ
κυκῶν καὶ βυθίζων μου τὴν καρδίαν. » Ὅδ' ἄντικρυς
Μακκαβαῖος ἦν, τοῖς προτέροις ἐμμένων δόγμασι
καὶ περιφρονῶν τὰ λεγόμενα, καθάπερ τις προβλὴς
θαλάττιος· ὥστε καὶ ἀναστὰς ἀπῆει καθευδήσων,
ἔργῳ δεικνὺς ὡς μάταιος ὄχλος καὶ οὐδὲν ἰσχυρὸν τὰ D
πρὸς πολεμίων ἔξωθεν δρώμενα.

Δ'. Ὁ δὲ βασιλεὺς μόνος ἀπολειφθεὶς καὶ οὐκ ἔχων
πλὴν τῶν οἰκειακῶν μειρακίσκων ἕτερον, ᾧ κοινω-
νήσει τοῦ πάθους, ἐπὶ τῆς βασιλικῆς καὶ αὐτὸς ἑαυ-
τὸν κατέκλινε κλίνης, μηδὲν τῶν ἱματίων ἐκδύς·
ἀλλ' ἅμα τούτοις καὶ ὅλην ἐνδεδυμένος σαφῆ τὴν
ἀπόγνωσιν ἔκειτο μεμερισμένος πικροῖς καὶ ἀλλεπ-
αλλήλοις λογισμοῖς τὴν ψυχὴν καὶ ὅλον τὸ σῶμα
περιστρεφόμενος, τῇδε κἀκεῖσε συχνά, ὥσπερ ἂν εἰ

bus evulsiones. Sin illa non erunt, necessario sequitur, omnem montem, omnem urbem suo loco mansuram esse. Neque enim ignoramus, sublato eo quod propter aliquid fit quodque alterius causa est, ipsos quoque et effectus et eas res, quarum causa illud futurum erat, necessario simul tolli. In hanc autem absurditatem isti devoluti sunt, quod eam quæ causa est causam non putarunt, et quæ causa non est, causam putarunt. Nimirum astrorum alii alias aspectus eventus etiam alias alios præsignificant, partim brevi, partim longiore post intervallo exstituros. Isti vero ne hoc quidem intelligere potuerunt et alienas causas attulerunt, multum a via aberrantes : non secus ac si quis, quia Themistocle Megaris Athenas eunte pluit, casum eum Themistocli imputet : aut Cræso, quod cum is Halyn transiret, sol eo tempore supra horizontem ascenderat. Namque etiam Themistocle absente natura fert, ut imbres effundantur; atque ex quo Lydus discessit, sol post quamlibet noctem pergit nihilominus supra horizontem ascendere. Erant alia sexcenta, quibus illos convinceremus, quæ ob prolixitatis fastidium omittemus. Nam pulchrum argumentum pulchre tractare, quantumvis prolixe **454** id fiat, laude sua non caret. In rugis vero et rebus absurdis idem facere, nec laudis quidquam habet et parum abest a ridiculo. Itaque fertur Philippus Alexandrum filium derisisse, quod cithara belle et modulate caneret; quoniam turpe aiebat esse, generosum hominem ingenium vilibus in rebus ostentare. »

σθαι, σπόρου δ' οὐκ ὄντος οὐδὲ βλάστην ἐκδέχεσθαι χρή· οὕτω κἀν τούτοις. Εἰ ἔσται ἔκλειψις ἡλίου καὶ συνδρομὴ Κρόνου καὶ Ἄρεος, φαίεν ἂν ἴσως καὶ ἀνέμων ἔσεσθαι κυκεῶνας καὶ πόλεων καταστροφὰς καὶ ἀναμοχλεύσεις ὀρῶν· εἰ δ' ἐκεῖνα οὐκ ἔσται, ἐξ ἀνάγκης ἕπεται καὶ κατὰ χώραν ἵστασθαι πᾶν ὄρος καὶ πόλιν ἅπασαν. Ἴσμεν γὰρ, ὡς τούτων ἀναιρουμένων, ὅσα γε ἕνεκά του γίνεται καὶ αἴτια νομίζεται τῶν ἐξῆς, συναναιρεῖται πάντως ὁμοῦ τά τε αἰτιατὰ καὶ ὧν ἕνεκα γίγνεσθαι ἔμελλεν. Ἐκκεκύλισται δὲ τούτοις ὁ λόγος ἐς τόδε τῆς ἀτοπίας παρὰ τὸ νομίζειν τό τε αἴτιον ὡς μὴ αἴτιον καὶ αὖ τὸ μὴ αἴτιον ὡς αἴτιον. Τὰ γὰρ τῶν ἀστέρων ἄλλοτ' ἄλλως ἔχονται σχήματα καὶ ἄλλοτ' ἄλλως ἐχούσας τὰς ἐκβάσεις προφαίνει· τὰς μὲν γὰρ ἐκ τοῦ σύνεγγυς, τὰς δὲ μεθ' ἱκανὸν τὸν χρόνον. Οἱ δ' οὔτε τοῦθ' ἱκανοὶ ξυνιέναι ἐγένοντο καὶ ἄλλα ἀντ' ἄλλων ἠτιάσαντο, ὁδὸν τοῦ προσήκοντος πόρρω βαδίσαντες· ὥσπερ ἂν εἴ τις, ὅτι Θεμιστοκλέους ἐκ Μεγάρων [P. 279] Ἀθήναζε κατιόντος ὑετὸς κατερράγη, αἴτιον εὐθὺς τοῦ συμπτώματος ἡγοῖτο Θεμιστοκλέα· ἢ πάλιν Κροῖσον, ὅτ' αὐτοῦ διαπεραιουμένου τὸν Ἅλυν ἥλιος ὑπερέβαλε τὸν ὁρίζοντα. Καὶ γὰρ Θεμιστοκλέους ἀπόντος φύσις ὑετοὺς κατερρήγνυσθαι· καὶ ἀπαλλάξαντος τοῦ Αυδοῦ διηνεκῶς τὸν ὁρίζοντα μετὰ πᾶσαν ἥλιος ὑπερβάλλει τὴν νύκτα. Ἦν ἕτερα μυρία πρὸς ἔλεγχον, ἀλλὰ μήκους ἕνεκα καὶ κόρου σιωπῶμεν. Τὸ μὲν γὰρ καλῶς ἐν καλαῖς ὑποθέσεσι λέγοντας εὐδοκιμεῖν, κἂν εἰς μῆκος ὁ λόγος ἐξβύῃ, ἀλλ' οὖν ἐπαίνων οὐκ ἐκπέπτωκε· τὸ δ' ἐν ἀτόποις καὶ ἀηδέσι, τοῦτο δὲ καὶ τῶν ἐπαίνων πάμπαν ἐξεκεχωρήκει καὶ μυκτῆρος κατατρέχοντος οὐ σφόδρα ἀπαλλάττει. Λέγεται γὰρ καὶ Φίλιππος ἀποσκῶψαι πρὸς τὸν παῖδα Ἀλέξανδρον, ὅτι δεξιῶς τε καὶ ἐμμελῶς ἐκιθάρισεν, αἰσχρὸν εἶναι φήσας ἐν ταῖς φαύλοις ἐπιδείκνυσθαι φιλοτίμως τὸν εὐγενῆ. »

CAPUT XII.

Michaël Bulgarus cur bellum Crali intulerit. Imperator in belli societatem ascitus. In Pelagonia castrametatur. Solis defectus. Bulgarus Triballorum agros vastat. Crales cum eo confligit. Gallorum equitum virtute adjutus eumdem vincit et capit. Michael ex vulneribus moritur. Imperator nulla re gesta Byzantium redit. Fortunæ inconstantia. Cralis uxores duæ. Filius ex prima susceptus rebellat. Potitur principatu. Ipse Crales a factiosis in carcere suffocatus.

I. Insecuto vere, cum Serviæ Cralem appareret non quieturum, nisi Michaelem ob injuriam et contumeliam sorori factam ultus esset; quod is eam legitimam conjugem, ex qua et liberos regni hæredes futuros susceperat, nulla de causa repudiasset, ac sororem imperatoris duxisset : Michael legatos ad imperatorem mittit eumque hortatur, ut per Romanas provincias transiens in Triballorum terram impressionem faciat. Nam et se magnis cum copiis arma eidem infesta illaturum, ut duobus bellis sustinendis impar multis utrinque agris amissis debilior exsisteret. Proinde ad expeditionem sub veris usque exitum sese parant.

Α'. Τοῦ δ' ἐπιγενομένου ἦρος (24) ἐπειδήπερ ὁ Κράλης Σερβίας δῆλος ἦν οὐκ ἠρεμήσων, εἰ μὴ ἐπεξέλθοι Μιχάηλον τῆς ἐς τὴν ἀδελφὴν ὕβρεως καὶ ἀδικίας, ὅτι γυναῖκα νόμιμον οὖσαν αὐτῷ καὶ παῖδας τεκοῦσαν αὐτῷ τῆς ἀρχῆς διαδόχους διωσάμενος αὐτὴν ἐπ' οὐδεμιᾷ προφάσει τὴν τοῦ βασιλέως ἠγάγετο ἀδελφήν· διαπρεσβεύεται πρὸς τὸν βασιλέα Μιχάηλος, ξυνωθῶν αὐτὸν διὰ τῆς τῶν Ῥωμαίων ἰόντα χώρας εἰσβάλλειν εἰς τὴν τῶν Τριβαλλῶν γῆν. Μέλλειν γὰρ καὶ αὐτὸν ἐκστρατεύειν κατ' ἐκείνου μετὰ βαρείας δυνάμεως, ὡς ἂν μὴ ἔχων ὅπως ἀρκέσειε πρὸς τὰς ἑκατέρωθεν μάχας ἀσθενέστερος γένηται, πολλὴν ἀποβεβληκὼς ἑκατέρωθεν χώραν ἑαυτοῦ. Καὶ δὴ παρεσκευάζοντο πρὸς ἐκστρατείαν ἄχρι φθίνοντος ἔαρος.

II. Cæterum æstate incipiente imperator, cui ad-

Β'. Θέρους δ' ἤδη ἱσταμένου ὁ μὲν βασιλεὺς ἐπει-

Variorum notæ.

(24) Cantacuzen. lib. II, cap. 21, 25. DUCANG.

δὴ μὴ ἀξιόλογον εἶχε στρατὸν πρὸς τὴν τοῦ Κράλη δύναμιν, ἐστρατοπεδεύσατο παρελθὼν παρὰ πεδίον τι τῆς Πελαγόνων χώρας, ὅπη καὶ ὅμορα ἦσαν Ῥωμαίοις ὑπείκοντα πολίχνια, καραδοκῶν ἐκεῖθεν τὴν ἐτέρωθεν τοῦ Μιχαήλου στερρότεραν κατὰ τῶν Τριβαλλῶν [P. 280] ἔφοδον ὅπη χωρήσειεν ἀκούσεσθαι πρότερον, κἄπειθ' ὅ τι γνοίη καὶ αὐτὸς διαπράξεσθαι. Ὅτε δὴ καὶ ἡλίου γεγενῆσθαι ἐπισκότησιν ἐξεγένετο περὶ τὴν δωδεκάτην ὥραν τῆς ἑκκαιδεκάτης τοῦ Ἰουλίου ἡμέρας, οὐ μεῖον τῶν ια' δακτύλων, εἴ τις παρὰ τὸν διὰ Βυζαντίου παράλληλον ποιοῖτο τὴν οἴκησιν, τετάρτην καὶ εἰκοστὴν τοῦ Καρκίνου τηνικαῦτα μοῖραν ἀμείβοντος τοῦ ἡλίου (25), καὶ τὴν μὲν ἀρχὴν τῆς ἐπισκοτήσεως ἀπὸ μέσου δεικνύντος ἰάπυγος καὶ θρασκίου, τὸ δὲ τέλος ἀπ' ἀρχομένου ἐγγιστα ἀπηλιώτου. A versus Cralis vires copiæ non satis magnæ erant, in planitie quadam regionis Pelagonum castrametatur, cui finitima erant oppidula, quæ Romanis parebant; atque ibi præstolatur, donec audiat, quorsum ex altera parte evaserit Michaelis in Triballos firmior impressio, ut ipse deinde quod e re visum fuerit exsequatur. Tunc autem circa **455** horam duodecimam, die Julii decima sexta, solis obscuratio facta est non minor undecim digitis, observata nempe ab eo, qui in parallelo per Byzantium ducto habitaret : quo tempore sol partem Cancri vicesimam quartam pertransibat. Ejus porro eclipseos observandæ initium a medio Japyge et Thrascia, finis ab initio fere Subsolani fuit. B

Γ'. Ὁ μέντοι Μιχάηλος πλεῖστον ἀγείρας στρατὸν, δώδεκα μὲν χιλιάδας ἐκ τῆς οἰκείας χώρας, τρεῖς δ' ἑτέρας Σκυθῶν μισθοφόρων, ἐσβάλλει διὰ τῶν ἀρκτικωτάτων Αἵμου τοῦ ὄρους ἐς τὴν τῶν Τριβαλλῶν χώραν, ἔνθα δὴ μάλιστα καὶ ποταμοῦ τοῦ Στρυμόνος εἰσὶν αἱ πηγαί. Τέτταρας μὲν οὖν ἡμέρας διηνυκὼς ἐπὶ τῆς πολεμίας ἐδῄου καὶ ἔκειρε τὴν γῆν ἀδεῶς καὶ ἐδενδροτόμει τοὺς ἀγροὺς καὶ κακῶς ἐποίει τὴν χώραν, οὔπω μηδενὸς ἐκεῖθεν ὅπλα ἀνταίροντος. Τῇ πέμπτῃ δ' ἅμα ἡλίῳ ἐπιφαίνεται καὶ ὁ Κράλης Σερβίας, χεῖρα βαρεῖαν ἐπαγόμενος καὶ ὅπλα τῇ λαμπρότητι τὰς τῶν ὁρώντων ἀποκρύπτοντα ὄψεις. Ἐπεὶ δ' ἑκάτερα τὰ στρατεύματα παρετάξαντο καὶ τὰ σημεῖα ἤρθη, ὁ Κράλης τὰς ἑαυτοῦ τάξεις ἐρρωμένως παρακελευσάμενος μάχεσθαι, ὁ δ' ἐπὶ τὴν τοῦ Μιχαήλου σημαίαν ἐκτρέχει, ἔχων περὶ αὐτὸν χιλίους ἱππέας Κελτοὺς μεγέθει τε σώματος καὶ ῥώμης περιουσίᾳ καὶ ὅπλων ἐμπειρίᾳ πολεμικῶν κράτιστα ἠσκημένους τε καὶ ἐσκευασμένους. Καὶ ταύτην ξὺν οὐ πολλῷ πόνῳ καθῃρηκὼς ἑδραμεν ἐπὶ τὴν τοῦ Μιχαήλου παράταξιν· καὶ συμπατήσας τὸ πολὺ τοῦ περὶ αὐτὸν στρατεύματος καὶ καταβαλὼν ζῶντα χειροῦται καὶ τετραυματισμένον καὶ τὸν Μιχάηλον. Τὸ δὲ Βουλγαρικὸν ἄλλο στράτευμα τὸ μὲν πλεῖον ἐκεῖ κατεκόπη, τὸ δὲ περιλειφθὲν γεγυμνωμέναις σαρξὶν ἐς τὰ οἴκοι ἐχώρουν. Ὁ μέντοι Μιχάηλος τρεῖς ἡλίους τὸ ἐξ ἐκείνου τεθέαται ζῶν καὶ μόλις μόλις τὴν συμφορὰν ἐπιγινώσκειν δυνάμενος, τῷ δὲ τετάρτῳ μετήλλαξε, μὴ δυναμένου τοῦ σώματος πλέον ἐξαρκέσαι πρὸς τὸ καίριον τῶν τραυμάτων. Ὁ δὲ βασιλεὺς μαθὼν τὸ πραχθὲν τὴν ταχίστην ἐς Βυζάντιον ἐπανῆλθε, μηδὲν μήτε δεδρακὼς μήτε πεπονθώς. C D

III. Michael vero ingenti coacto exercitu (nam indigenarum millia duodecim, Scytharum mercenariorum tria millia erant), per septentrionalem montis Hæmi partem in Triballorum ditionem impetum facit, ibi fere ubi Strymonis fluvii fontes sunt. Quatuor igitur continuis diebus in hostico traductis agros impune ferro et flamma vastat, arbores exscindit, tota denique regione grassatur, nemine interim arma adversus eum movente. Quinto demum una cum solis ortu Crales Serviæ se ostendit, magnis secum copiis adductis, quæ splendore armorum oculos intuentium perstringebant. Cum autem utraque acies in procinctu staret, et signa sublata essent, Crales suos ad fortiter pugnandum cohortatus, ipse ad Michaelis vexillum cum mille Gallis equitibus magnitudine corporum et robore insignibus et in re bellica exercitatissimis excurrit, eoque citra magnum laborem revulso ad Michaelis agmen properat : et magna ejus militum parte prostrata et conculcata vivum et saucium Michaelem capit. Reliquus Bulgarorum exercitus majori ex parte ibi cæsus **456** est. Qui superstites fuere, nudis corporibus domum redierunt. Michael autem tres ex eo dies vivus solem aspexit, sic affectus, ut vix eladem suam intelligeret; quarto die exspiravit, cum ejus corpus lethalibus vulneribus ferendis impar fuisset. At imperator cognita re Byzantium rediit, nulla neque re gesta neque clade accepta.

Δ'. Ἐπεὶ δ', ὡς πολλάκις εἰρήκαμεν, οὐδὲν τῶν ἐν βίῳ εὐτυχημάτων ἀκήρατον ἐς τέλος διαπερᾷ τὸν αἰῶνα, οὐδὲ βασκανίας ἐκτὸς, οὐδ' ἐνταῦθα ἐπέλιπε τὸ χρεών· ἀλλ' ἀντέπνευσε καὶ τοῖς τοῦ Κράλη λαμπροῖς εὐτυχήμασι χειμὼν χαλεπός τε καὶ φρικωδέστατος, ὃς πάντα ἐπέκλυσε καὶ κατέχωσεν αὐτῷ τὰ τοῦ βίου τερπνὰ καὶ αὐτό γε τὸ ζῆν προσαφῄρηκεν. IV. Sed cum, ut sæpe diximus, nulla sit perpetuo sincera et incorrupta invidiæque expers ullius mortalium felicitas, nec tum quoque fatalis ea necessitas defecit. Nam illustribus Cralis successibus tempestas gravis et supra modum horrenda reflavit, quæ omnia illi vitæ gaudia inundavit et demersit, et ipsam ei vitam eripuit. Res autem ita se habet

Variorum notæ.

(25) Nostra ætate, 16 Julii sol tertium gradum ♌, non autem 24 ♎ tenet. Quare videant οἱ ἀστρολόγοι καὶ χρονολόγοι, an intra 200 annos 9 graduum discrimen conflari potuerit; atque, ipsine errent, an errarint Byzantini. WOLFIUS.

Erat ei filius annum tum alterum et vicesimum agens, ex alia uxore natus, quem ad principatus successionem diligenter educabat. Sed cum Cæsaris filiam annos natam duodecim ipse quinquagenarius duxisset, et priusquam filio despondisset uxorem, liberos ex illa suscepisset : in suspicionem et metum filius ejus impulsus est, cujusmodi probabile est ab æqualibus luxurianti adolescentis animo ingeri. Itaque defectionem et rebellionem contra patrem molitur. Quem cum proceres, duces et tribuni aliique imperium patris ob diuturnitatem temporis fastidientes sic affectum viderent, singuli privatim adeunt; defectionis consilia animo **457** volventem inflammant; post dies non multos ad se recipiunt; hostem patri suscitant, et summa potestate ipsi delata, Serviæ Cralem declarant. Cum aut in compluribus diebus paulatim omnis flos exercitus ad eum confluxisset, patrem etiam vinctum sine nullo negotio ad eum perduxint, ac mox in carcerem conjiciunt, invito fortassis et graviter ferente filio : sed tamen tacente et furori populi adversari non audente. Verebatur enim, ne in se ipsum nec opinantem gravius aliquid consuleretur. Post paucos dies patrem quidem in vinculis suffocant, suavibus illis successibus in acerbum interitum versis; filio autem principatum firmant atque stabiliunt. Mox statim una cum eo egressi Romanam provinciam usque ad Strymonem et Amphipolin, capta etiam Strummitza et aliis oppidulis, subigunt.

Ἔχει δὲ οὕτως. Ἦν αὐτῷ παῖς (26) δεύτερον τὴν ἡλικαῦτα καὶ εἰκοστὸν παραλλάττων ἔτος, ὃν ἐξ ἑτέρας γεγέννηκε γυναικὸς καὶ ἐς διαδοχὴν ἀνῆγε τῆς ἀρχῆς μάλα ἐπιμελῶς. [P. 281] Ἐπεὶ δ' αὐτὸς μὲν τῇ τοῦ Καίσαρος θυγατρὶ (27) συνεζύγη, πεντηκοντούτης ἀνὴρ κόρῃ δωδέκατον ἀγούσῃ τὸν χρόνον, καὶ πρὶν τῷ παιδὶ γυναῖκα ἀγαγέσθαι, παιδοποιεῖν ἤρξατο μετὰ τῆς τοῦ Καίσαρος θυγατρὸς, ἐς ὑποψίας καὶ φόβους ὁ παῖς ἐξενήνεκται, ὁποίους ὑποπτεύειν εἰκὸς τοὺς ἡλικιώτας ἐς τὴν σφριγῶσαν τούτου ψυχὴν· καὶ ἀποστασίαν λοιπὸν ἐμελέτα καὶ ἐπανάστασιν κατὰ τοῦ πατρός. Ὃν οὕτως ἔχοντα βλέποντες οἱ ἐκεῖ μεγιστᾶνες καὶ στρατηγοὶ καὶ ταξίαρχοι, καὶ ὅσοι κόρον εἵλκυσαν τῆς ἀρχῆς τοῦ πατρὸς διὰ τὸν χρόνον, λάθρα τούτῳ προσῆσαν ἕκαστοι καὶ τοὺς τῆς ἀποστασίας ἐξεπύρσευον αὐτῷ λογισμούς· καὶ μετ' οὐ πολλὰς τὰς ἡμέρας ἀπολαβόντες αὐτὸν ἐξεπολέμωσάν τε κατὰ τοῦ πατρὸς καὶ Κράλην Σερβίας αὐτοκράτορα ἀνηγόρευσαν. Ἐπεὶ δὲ συχνῶν ἡμερῶν κατ' ὀλίγους ἅπαντες αὐτῷ προσερρύησαν τοῦ στρατοῦ τὸ ἀπόλεκτον, προσελάσαντες δέσμιον ἀπονητὶ καὶ τὸν πατέρα προσήνεγκαν τῷ υἱῷ· κἀκεῖθεν ἐς εἱρκτὴν ἀπήνεγκαν, ἄκοντος μὲν ἴσως καὶ ἀσχάλλοντος τοῦ υἱέως, σιωπῶντος δ' οὖν ὅμως καὶ ἀντιλέγειν οὐ ξυναμένου τῇ τοῦ πλήθους ὁρμῇ. Ὑδεδίει γάρ, μήπου τι καὶ αὐτὸς πάθοι τῶν ἀδοκήτων. Οὐ πολλαὶ παρῆλθον ἡμέραι, κἀκεῖνον μὲν ἐν δεσμοῖς ἀπέπνιξαν, πικρὸν αὐτῷ τοῦ βίου τὸ πέρας ἐπενεγκόντες ἀντὶ τῶν ἡδέων ἐκείνων εὐτυχημάτων· τῷ δὲ υἱῷ τὴν ἀρχὴν ἤδη βεβαιοτέραν καὶ ἀσφαλῆ κατεστήσαντο καὶ ἅμα αὐτῷ ἐξελάσαντες εὐθὺς ὠκειώσαντο τὴν Ῥωμαίων χώραν ἕχρι Στρυμόνος καὶ Ἀμφιπόλεως· ὅτε δὴ καὶ Στρούμμιτζαν εἷλον ξὺν γε ἄλλοις πολιχνίοις.

CAPUT XIII.

Bulgaris per interregnum dissidentibus, imperator Mesembriam et alia oppida invadit. Alexander, Bulgariæ principatum adeptus, Romanorum fines vastat. Urbes amissas recipit. Turci Niceam capiunt. Imagines, libros et sacras reliquias vendunt Byzantiis. Maritimam Bithyniæ oram occupant. Tributarios omnibus modis vexant. Choræ monasterium a quo conditum; a quibus instauratum. Metochitæ ab exsilio reversi domicilium. Hujus ædes ut dirutæ sint. De evulso pavimento. Adempta libertas alloquendi seniorem.

I. Proximo anno, cum audisset imperator Bulgaricum imperium et a priore Michaelis uxore et a cognatis ejusdem Michaelis divelli (nam imperatoris soror agre fuga salutem quæsierat), in ea multorum contentione de principatu occupando, justis copiis delectis, oppidula Hæmo vicina invasit, et fere omnia citra negotium cepit, habitatoribus ultro sese ad eum conferentibus. Inter cætera vero etiam urbs munita et frequens, nomine Mesembria, ad mare sita, deditionem fecit. In qua cum imperator **458** fere cum militibus versaretur, statim gravis esse cœpit, tum quia urbem res necessariæ ob illos deficiebant, tum quia pecuniæ consumptæ

Α'. Ἐς δὲ τοὐπιὸν ἔτος (28) ἀκούων ὁ βασιλεὺς διασπωμένην τὴν τῶν Βουλγάρων ἀρχὴν ὑπό τε τῆς προτέρας τοῦ Μιχαήλου γυναικὸς ὑπό τε τῶν τοῦ Μιχαήλου συγγενῶν (ἡ γὰρ τοῦ βασιλέως ἀδελφὴ μόλις ἐκεῖθεν φυγοῦσα τὸ ζῆν ἐπορίσατο), πολλῶν οὖν ἐκεῖ μαχομένων καὶ ὑπὲρ τῆς ἀρχῆς ἀντιποιουμένων, στρατὸν ἀπολέξας ὁ βασιλεὺς ἱκανὸν ἐπέθετο τοῖς περὶ τὸν Αἷμον πολιχνίοις καὶ εἷλε μικροῦ πάντα ἀπονητὶ, τῶν οἰκητόρων προσερρυηκότων ἑκόντων. Μεθ' ὧν προσερρύη καὶ παραθαλασσία πόλις ὀχυρά τε καὶ πολυάνθρωπος καλουμένη Μεσημβρία. [P. 282] Ἐν ᾗ διατριβῶν ὁ βασιλεὺς ὡς τὰ πολλὰ μετὰ τοῦ στρατοῦ φορτικὸς ἔδοξε

Variorum notæ.

(26) Inde incipiebat caput, περὶ τῆς ἐπιβουλίας τοῦ Κράλη παρὰ τοῦ υἱοῦ αὐτοῦ, *de insidiis quas Crali filius suus fecit*, non, *quas Crales filiis suis fecit*, ut legebatur in Wolfiana editione. Boivin.

(27) Maria Palæologina Joannis Palæologi Cæsaris filia, et Michaelis Palæologi imperatoris neptis. Vide *Famil. Byzant.* et seriem regum Serviæ n. 61. Ducang.

(28) Cantacuz. lib. II, cap. 26, 27. Vide seriem regum Serviæ in *Famil. Byzant.* n. 47 et 48. Ducang. — Ἐς δὲ τοὐπιὸν ἔτος *proximo anno*, scilicet post Michaelis Bulgari cladem : anno autem non Christi, sed mundi, eoque Byzantino, qui inibat mense Septembri. Is annus fuit mundi 6859, Christi 1350 exiens. Boivin.

τὴν ταχίστην διά τε τὴν γενομένην ὀι' αὐτοὺς ἐπιλειψιν τῶν χρειωδῶν, καὶ διὰ τὴν τῶν προσόδων φθοράν. Ἐπεί γε μὴν μετὰ πολλοὺς τοὺς περὶ τῆς ἀρχῆς ἀγῶνας τὴν νικῶσαν Ἀλέξανδρος εἰλήφει ὁ τοῦ Μιχαήλου ἀδελφιδοῦς, καὶ τῆς ἡγεμόνίας τὸ κράτος βεβαίως περιεζώσατο, τὸν Βουλγαρικὸν συλλέξας στρατὸν, προσεταιρισάμενος δὲ καὶ μισθοφορικὸν ἐκ Σκυθῶν οὐκ ὀλίγον ἐς τὴν ὅμορον ἐσέβαλε χώραν Ῥωμαίων καὶ ἤλασεν ἄχρις Ὀρεστιάδος· καὶ πλείστην μὲν λείαν ξυνηλόησε, πολλὰ δὲ καὶ τῶν περὶ τὸν Αἷμον πολιχνίων κα0' ὁμολογίαν παραστησάμενος καὶ ἐς τὰ τῶν Βουλγάρων ἤθη πάλιν ἐπανεστράφθαι πεποιηκὼς ἐπανῆκε χαίρων οἴκαδε μετὰ πολλῶν τῶν λαφύρων.

A perihant. Sed cum post multas de regno concertationes ad Alexandrum Michaelis consobrinum summa rerum delata esset, is firmato principatu exercitum Bulgaricum cogit, et Scytharum non parva manu mercede conducta in finitimam Romanorum provinciam irrumpit: tum ad Orestiadem usque progressus, maxima præda parta ac plerisque ad Hæmum oppidulis deditione captis et ad instituta Bulgarorum reductis, lætus cum magnis spoliis domum redit.

Κ'. Ἐν τούτῳ τῷ χρόνῳ καὶ Νίκαιαν εἷλον (29) οἱ βάρβαροι, τὸ μέγα καὶ περιβόητον ἄστυ, λιμῷ καὶ στρατῷ πολιορκηθεῖσαν μακρῷ· καὶ πολλὰς τῶν ἐκεῖσε θείων εἰκόνων καὶ βίβλων ἐς Βυζάντιον κομίσαντες, καὶ ἁγίων γυναικῶν λείψανα δύο (30), χρήμασιν ἠλλάξαντο. Ἀδεῶς δὲ ἤδη τὰς οἰκήσεις ἐν τοῖς παραλίοις τῆς Βιθυνίας (31) οἱ βάρβαροι ποιήσαντες βαρυτάτους ἐπέθηκαν φόρους τοῖς ἐναπολειφθεῖσι βραχέσι πολιχνίοις, δι' οὓς τέως οὐκ αὐτανδρα πρὸς ὄλεθρον ἤλασαν παντελῆ, μάλα ῥᾳδίως δυνάμενοι καὶ ἐν βραχυτάτῳ χρόνῳ τοῦτο τελεῖν. Οὐκ ἐπιλείπουσι δ' ὅμως συχνὰς ποιούμενοι τὰς ἐφόδους καὶ ζωγροῦντες τῶν ταλαιπώρων τοὺς πλείους ἔκ τε γῆς καὶ θαλάττης ἀεί.

B

II. Sub hoc tempus etiam Nicæam, magnam illam et celebrem urbem, diuturna fame et obsidione oppressam Barbari ceperunt; ac multas inde imagines sacras multosque codices una cum duarum sanctarum mulierum reliquiis Byzantium advectos vendiderunt. Jam vero impune in maritimæ Bithyniæ ora sedibus delectis gravia tributa reliquis oppidulis imposuerunt. Quæ quoniam ipsis pendebantur, ideirco non prorsus una cum habitatoribus illa oppida deleverunt, cum facile possent, et brevissimo quidem tempore. Nec tamen crebris incursionibus vexare et mari terraque plerosque ex illis miseris capere desistunt.

Λ'. Ὁ μέντοι μέγας λογοθέτης ὁ Μετοχίτης ἐλθὼν ἐκ τῆς ἐξορίας (32) οὐ παρὰ τῇ οἰκίᾳ κατέλυσε· πάλαι γὰρ, ὡς εἰρήκειμεν, εἰσελθόντος τοῦ βασιλέως ἐν Βυζαντίῳ αὕτη διέφθαρται καὶ τελέως ἠρήμωται πρὸς τῶν δημοτῶν κατέλυσε δ' ἀπέναντι καὶ πλησίον παρὰ τῇ ἱερᾷ δηλαδὴ μονῇ τῆς Χώρας, ἣν πολλοῖς αὐτὸς ἀναλώμασιν ἀνεκαίνισε πρότερον, τοῖς δόμοις τοῦ χρόνου δεινῶς κοπτομένην ἰδών. Ἐδομήθη γὰρ αὕτη τὸ ἀρχαῖον πρὸς τοῦ βασιλέως Ἰουστινιανοῦ ἐπιμήκης τὸ σχῆμα. Εἶτα τοῦ χρόνου ταύτην μέχρι χρηπίδων συντρίψαντος ἄλλον ἐκ βάθρων ἀνήγειρε νεὼν, εἰς ὃ καὶ νῦν ὁρᾶται σχῆματος, ἢ τοῦ βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ πανθερά (33). Τοῦ δὲ χρόνου πάλιν φθορὰν ἀπειλοῦντος οὗτος ἀδροτέρᾳ χρησάμενος δεξιᾷ, πλὴν τοῦ μεσαιτάτου νεὼ, πάντα καλῶς ἐπεσκεύασεν. Ὅθεν καὶ πάντων εἰς τέλος ἀπολωλότων ἤδη τἀνδρὶ

C

III. Magnus autem logotheta Metochites ab exsilio reversus non domi suæ divertit, quæ (ut jam diximus) **459** imperatore urbem ingresso pridem erat diruta et vastata prorsus a populo: sed e regione et in proximo, nempe in Choræ monasterio, quod ipse antea dentibus ævi labefactatum magnis sumptibus instaurabat. Exstructum enim initio fuerat a Justiniano imperatore forma oblonga. Deinde, cum vetustate usque ad fundamenta concidisset, aliud templum, ea qua nunc forma cernitur, Alexii imperatoris socrus condiderat. Sed cum rursus temporis injuria ruinam minitaretur, hic medio templo excepto omnia liberali manu probe instauravit. Itaque cum omnium fortunarum naufragium fecisset, salutaris hic ei et corporis et animi portus in necessitate exstitit. Cum igitur sacrum monasterium intueretur, arcana voluptate animus ejus deliniebatur: cum

Variorum notæ.

(29) Ut Nicæa capta fuerit ab Orchane sultano, anno scilicet Mahumetano 734, Christi 1333, narrat Leunclavius, lib. IV *Hist. Musulman*, tum ex *Annalibus Turcicis*, tum ex Laonico, tum aliis scriptoribus pag. 180, 181, 190. Illa autem, ut et Nicomedia ab Orchane pariter capta, tum Græcis parebat, ut patet ex Gregora, lib. IX, cap. 9, et Cantacuz. lib. II, cap. 24, 26, quod ignorasse videtur Leunclavius, qui nescio quem regulum Nicææ præfuisse ait. Utriusque porro urbis frustra tentatæ obsidionis, non vero captæ, meminit ibidem Cantacuzenus: contra vero Phranz. lib. I, cap. 27. DUCANG.

(30) Nicææ martyrium passas S. Antoninam 12 Junii et S. Theodotam cum tribus filiis suis 28 Julii, habent Menæa: an istas intelligat Gregoras, incertum manet. DUCANG.

(31) Hinc scribit Leunclavius post captam Nicæam, Orchanum ipsum diu hanc urbem Portæ sive Regiæ loco habuisse pag. 195. DUCANG.

(32) Dialog. Φιλοσόφου, seu Περὶ σοφίας, cod. Reg. 3284, fol. 246, v. Μητρόδωρος μὲν ἐκεῖνος (ita illic vocatur Metochites) ὁ περιττὸς τὴν σοφίαν, ὦ φίλε Κριτόβουλε, ἐπειδὴ τὰ τῆς ἡγεμονίας ἐς Ἡρακλείδας (id est ad Andronicum juniorem) μετακεχώρευται, διδήμευται μὲν τὴν οὐσίαν, πάνυ τοι πλείστην οὖσαν· αὐτὸς δ' ἐπὶ δυοῖν ἐξοστραχίζεται τοῖν ἐνιαυτοῖν. Ἔπειτα ἐπανελθὼν οἴκαδε, καὶ μικρὸν ἐπιβιοὺς, ἐτελεύτησε, νόσοις βαρείαις τὸ σῶμα δαπανηθείς. Itaque Metochites in exsilium missus, domum rediit post biennium, anno scilicet 1330. BOIVIN.

(33) Vide *Constantinopolim Christ.* lib. IV, sect. 13, n. 5, ubi de Choræ monasterio et illius conditoribus ac instauratoribus multa. DUCANG.

vero domus eversionem, oculi ejus gravi mœrore turbabantur, et animum ipsius pervadebat doloris ignis ac flamma, qualem hujusmodi angores et calamitates solent accendere. Et cum secum reputaret, ut nullis pœnis fortuna satiaretur, obstupescebat, ne solo quidem splendidarum ædium ornatum suum inviolatum permansisse : sed, quod ab omni ævo nusquam in alio esset excogitatum, id tum huic accidisse. Evulsum enim pavimentum omne occidentalium Scytharum principi, pavimentum ad suas ædes ornandas splendidius requirenti, dono missum est. Porro eidem **460** Metochitæ interdicta erat ab iis, qui imperium administrabant, omnis cum seniore imperatore sermonis communicatio, ut cum nec præsens nec per internuntium alloqui ei liceret. Quæ res homini non parvam doloris accessionem attulit.

A τῶν ἔξω πραγμάτων σωτήριος· αὕτη λιμὴν ἐν καιρῷ περιστάσεως ὤφθη ψυχῆς ὁμοῦ καὶ σώματος. Πρὸς μὲν οὖν τὴν ἱερὰν ἀποβλέπων μονὴν τὸ λοιπὸν ἡδονὴν ἀπόῤῥητον παρείχετο τῇ ψυχῇ· πρὸς δ' αὖ τὴν ἐρήμωσιν τῆς οἰκίας, κατήφειαν τοῖς ὀφθαλμοῖς ἐτρύγα μακράν, καὶ πλήθουσαν εἶχεν αὖθις τὴν ψυχὴν πυρὸς καὶ φλογὸς, ἣν ἐκπυρσεύουσι τοιαῦται βαρυθυμίαι καὶ συμφοραί. [P. 283] Καὶ μέντοι καὶ τὸ τῆς τύχης πρὸς τιμωρίας ἀκόρεστον ἀναλογιζόμενος ἐξεπλήττετο, πῶς οὐδὲ τοῦδαφος τῆς λαμπρᾶς ἐκείνης οἰκίας ἐς τὸν ἐνόντα κόσμον ἀφείθη· ἀλλ' ὃ μήπω πρότερον ἐξ αἰῶνος ἐφ' ἑτέρου ἐπινενόηται, νῦν ἐπὶ τοῦδε καὶ πέπραχται. Ἐκσπασθὲν γὰρ ἅπαν ἐπέμφθη δῶρον τῷ τῶν δυτικῶν Σκυθῶν ἄρχοντι, λαμπρότητός τινος ἕνεκα τοῦ τῆς οἰκίας ἐδάφους ἐκείνου ζητήσαντι. Ἐκωλύετο δὲ πρὸς τῶν τὴν ἡγεμονίαν διοικούντων, μηδ' ὅλως μήτε δι' ὄψεως, μήτε διὰ γλώττης ἐκδήμου τῷ γηραιῷ προσομιλεῖν βασιλεῖ. Καὶ ἦν οὐ μικρὰ καὶ τοῦτο λύπης προσθήκη τἀνδρί.

B

CAPUT XIV.

Varia ostenta, solis et lunæ defectus. Terræ motus. Cruces et columnæ dejectæ. Vox temere emissa; ipso eventu probata. Gregoras seniorem invisere solitus. Cum eo ultimum colloquitur. Senior, amicis dimissis, cibum capit. Frigidam potat. Subito morbo corripitur. Peccata precibus et lacrymis expiat. Sacris mysteriis destitutus, Dei matris imaginem ori suo admovet. Exspirat. Liber, in quo imperatorum facta figuris ænigmaticis involuta fuerunt. Oraculum de seniore Andronico explicatur. Corpus ejus quonam perlatum. Justa de more persoluta.

I. Jam tempus postulat, ut etiam senioris imperatoris obitum exponamus, quem multa ostenta prænuntiarunt. Fuerunt autem hujusmodi. Primum eclipsis solis, quæ ejus obitum tot diebus præcessit, quot annos ipse vixerat. Hanc solis obscurationem secutus est lunæ defectus. Tum huic successit terræ motus, ea vespera qua D. Antonii, cujus illi nomen inditum erat, memoria veteri more a Christianis celebrabatur. Ipso autem die Februarii duodecimo, quem inexspectati ejus obitus consecutura erat vespera, cum e meridiei barathris vehemens ventus erupisset, marini fluctus ita efferati sunt, ut suos egressi limites multas murorum Byzantii maritimorum et orientalium partes prostraverint, et multas illic portas effregerint, et hostium instar irrumpentes multa quoque ædificia urbana inundarint.

Α'. Καιρὸς δὲ ἤδη καὶ περὶ τῆς τοῦ γηραιοῦ βασιλέως διεξελθεῖν τελευτῆς, ἣν θεοσημεῖαι πολλαὶ προεμήνυσαν· αἳ ἦσαν τοιαίδε. Ἐπισκότησις πρῶτον ἡλιακὴ (34), τοσαύτας ἡμέρας προειληφυῖα τὴν αὐτοῦ τελευτήν, ὅσα καὶ αὐτὸς ἦν ἔτη τὰ πάντα βεβιωκώς (35). Ταύτην τὴν ἡλιακὴν ἐπισκότησιν ἔκλειψις διεδέξατο σεληνιακὴ (36)· καὶ ταύτην αὖθις σεισμὸς γῆς ἐν ἑσπέρᾳ (37), ᾗ τὴν μνήμην ἐτέλουν ἐκ χρονικῆς περιόδου Χριστιανοὶ τοῦ ὁμωνύμου, αὐτῷ Ἀντωνίου. Κατ' αὐτὴν μέν γε τὴν τοῦ Φεβρουαρίου δωδεκάτην (38) ἡμέραν, ἣν ἡ τῆς ἀπροσδοκήτου τελευτῆς ἐκείνου διαδέχεσθαι ἔμελλεν ἑσπέρα, βιαίου πεπνευκότος ἐκ τῶν βαράθρων τῆς μεσημβρίας ἀνέμου, ἠγρίωται μὲν τὰ θαλάττης κύματα τοσοῦτον, ὥστε τοὺς ὅρους ὑπερβάντα πολλὰ μέρη τῶν ἐῴων καὶ παραλίων τοῦ Βυζαντίου τειχῶν καθῃρηκέναι, πολλὰς δὲ καὶ τῶν ἐν ἐκείνῳ τῷ μέρει πυλῶν ἐκμοχλεῦσαι καὶ εἰσδραμόντα δίκην τινῶν πολεμίων πολλὰ τῶν ἔνδον οἰκημάτων κατακλύσαι.

C

II. Tum etiam multæ ferreæ cruces templis impositæ, impetu ventorum non tolerato, deciderunt. Columna quoque, olim ante ædem Quadraginta Martyrum posita, concidit; quæ juxta basin ustu-

Β'. Τηνικαῦτα μέντοι πεπτώκασι καὶ πολλοὶ τῶν ἐπὶ τοὺς νεὼς ἱδρυμένων ἐκ σιδήρου σταυρῶν (39), ὑπενεγκεῖν οὐ δυνάμενοι τὴν τοῦ πνεύματος βίαν. Πέπτωκε δὲ καὶ ὁ πρὸ τοῦ νεὼ τῶν Τεσσαράκοντα

D

Variorum notæ.

(34) Anno Chr. 1331 die 30 Nov. Calvisio. BOIVIN.

(35) Ergo dies 74. Vide Possini Observationes Pachymerianas, lib. III, cap. 8, sect. 4, ad Hist. Michaelis. BOIVIN.

(36) Die 15 Decemb. BOIVIN.

(37) Id est, vigilia ante diem festum. BOIVIN.

(38) Wolfius, codice usus male interpuncto, hæc conjungebat cum iis quæ præceduut, et ita vesperam commemorationis D. Antonii conferebat in diem Februarii duodecimum. Bollandus ad diem 11 Februarii pag. 507, in indice prætermissorum adnotat, *S. Antonium patriarcham Constantinopolitanum hoc die* (id est *die 11 Februarii*) *memorari in catalogo generali Ferrarii: at in Martyrologio Romano et Menæis, 12 Februarii.* Favent itaque Wolfianæ interpretationi *Martyrologium Romanum* et *Menæa;* nostræ codex Regius, constructio ipsa verborum, et catalogus Ferrarii. BOIVIN.

(39) Quas quidem cruces Σιγνόχριστα appellabant. Vide *Glossarium med. et infimæ Græcitatis* in hac voce. DUCANG.

Μαρτύρων ἱστάμενος πάλαι κίων, ὃς ὑπό τινος μὲν καυτηρίας τεθραυσμένον εἶχε τὸ πρὸς τῇ βάσει μέρος· ὃ καὶ τοῖς παριοῦσιν ὑπόνοιαν παρεῖχεν αὐτίκα ἀνατραπήσεσθαι καὶ φόβον ἐντεῦθεν οὐ μάλα παράλογον. [P.284] Ὥστε παριόντα ποτὲ καὶ τὸν βασιλέα τοῦτον ἐκώλυόν τινες τῶν περὶ αὐτὸν μὴ πλησίον ἰέναι δεδιότες ἴσως τὸν κίνδυνον. Ὁ δὲ πρὸς τὴν σφῶν εἰρωνευσάμενος δειλίαν καὶ τοιόνδε τινὰ λόγον οὐτωσί πως ἐπελθόντα τῇ γλώττῃ τότε προήνεγκεν· « Εἴθε συμπαρατείνοιτό μοι τὸ ζῆν τῇ τοῦδε τοῦ κίονος στάσει. » Ὃ δὴ καὶ κατὰ τὴν πρόῤῥησιν νῦν ἀποβὰν θαυμάζειν ἐπῆει τοῖς μεμνημένοις.

A lata et confracta prætereuntibus ruinam proximam minitari videbatur, adeoque metum **461** ipsis non sine justa ratione incutiebat. Quamobrem aliquando hunc ipsum imperatorem illac prætereuntem quidam ex iis, quos circa se habebat, veriti fortasse periculum, propius accedere vetuerunt. Ille autem derisa eorum timiditate hæc fere verba, ut fortuito in os venerant, pronuntiavit: « Utinam tam diu ego viverem, quam diu hæc columna stabit! » Quod cum tunc demum, quemadmodum ille effatus erat, accidisset, admirationi eis erat, qui dicti illius recordabantur

Γ'. Τοῦ δ' ἡλίου πρὸς ἑσπέραν ἤδη ἐπειγομένου ἄπῃειν κἀγὼ πρὸς τὸν βασιλέα κατὰ τὸ εἰωθός. Εἰωθὸς γάρ μοι πορεύεσθαι πρὸς αὐτὸν παραμυθίας ἕνεκα κατὰ περίοδον τριῶν που ἢ τεττάρων ἡμερῶν. Ἀπιὼν μὲν οὖν καὶ νῦν αὖθις κατὰ τὸ εἰωθὸς πρὸς αὐτὸν καὶ παρακαθίσας τῆς συνήθους ἀπήλαυον ὁμιλίας. Συνήθεια δ' ἦν αὐτῷ, ἐλλογίμῳ τινὶ πρὸς ἡμᾶς καὶ σπουδαιοτέρᾳ χρῆσθαι τῇ ὁμιλίᾳ μετά τινος ἀστειότητος καὶ χάριτος. Παρῆν δὲ καὶ αὐτοῦ θυγάτηρ Σιμωνὶς ἡ Κράλαινα καί τινες ἕτεροι τῶν ὁμοίαν ἐμοὶ τρεφόντων γνώμην καὶ τρόπου διάθεσιν πρός τε τὸν βασιλέα καὶ τὴν αὐτοῦ θυγατέρα τὴν Κράλαιναν καὶ τὴν ἴσην ἐχόντων ἐμοὶ πρὸς αὐτοὺς οἰκειότητα. Παρετάθη δὲ τὰ τῆς ὁμιλίας ἐκείνης ἡμῖν ἄχρι μέσων νυκτῶν καὶ πρός γε ἔτι μέχρι πρώτης ἀλεκτοροφωνίας, μηδενὸς ἐκφανέντος συμβόλου νοσήματος οὐτινοσοῦν.

B Ad eum igitur cum me tum quoque, ut mos erat, contulissem et assedissem, illius familiari colloquio fruebar. Consueverat autem eruditos et graves mecum sermones habere cum quadam urbanitate et gratia. Aderat et ejus filia Simonis Cralæna, et alii quidam, iisdem quibus ego animis præditi et ita affecti erga imperatorem et Cralænam, eademque cum illis familiaritate conjuncti. Is vero sermo noster ad mediam noctem est productus; imo et ad primum usque galli cantum, nullo ullius morbi signo in eo apparente.

Δ'. Ἔπειτα ἡμῖν μὲν, « Ἄπιτε χαίροντες, » ἔφησε, « τὰ δὲ τῆς νῦν ὁμιλίας λείψανα ἐς τὴν ὑστεραίαν πάντα λελέξεται. » Ὁ δὲ τροφῆς αὐτῷ κομισθείσης ἐδεδειπνήκει. Ἦν δὲ τὰ τῆς τροφῆς ὀστρακόδερμα πάντα διὰ τὰ τῶν νηστίμων ἐκείνων ἡμερῶν (40) νόμιμα· ἐφ' οἷς δέον ἀκρατοποσίᾳ χρήσασθαι, δυναμένῃ γηραιὸν τονῶσαι στόμαχον πρὸς κατεργασίαν τῆς σκληροτέρας ἐκείνης τροφῆς, ὁ δὲ ψυχροποσίᾳ ἐχρήσατο. Ἔθος γὰρ αὐτῷ ἦν, ὁπότε αἴσθοιτο θερμοτέρας τῆς ἕξεως τῶν οἰκείων φλεβῶν γινομένης, ἀμέτρῳ χρῆσθαι ψυχροποσίᾳ, ὑπὲρ τοῦ μὴ ἠναγκάσθαι ποτὲ τῶν φλεβῶν μηδεμίαν τεμεῖν. Τοιαύτῃ τοίνυν διαίτῃ καὶ νῦν χρησάμενος δυσφορεῖν εὐθὺς ἤρξατο καὶ πάνυ πονήρως ἔχειν τοῦ στομάχου καὶ τῆς καρδίας. Ἐπεὶ δὲ καὶ τῶν ἀναπνευστικῶν ὀργάνων ἐμφραττομένων ἤδη καὶ στενοχωρουμένων ἠσθάνετο καὶ ὅσον αὐτίκα τεθνηξόμενον ἔβλεπεν ἑαυτὸν, καὶ διὰ τὴν ἀωρίαν οὐχ εὗρισκεν οὐδένα, ὃς αὐτῷ μεταδοίη τῶν θείων μυστηρίων, κεκλεισμένων ἁπασῶν τῶν περὶ τὰ βασίλεια πυλῶν, ἀναστὰς ηὐχαριστησέ τε τῷ Θεῷ καὶ ὑπὲρ σωτηρίας τῆς αὐτοῦ ψυχῆς ἠύξατο σὺν πλουσίοις τοῖς δάκρυσι καὶ γονυκλισίαις πολλαῖς. Εἶτα ἐγκόλπιον (41) φέρων τὴν τῆς Θεομήτορος θείαν εἰκόνα ἐς τὸ στόμα ἐνέβαλεν ἀντὶ τῶν θείων μυστηρίων καὶ κεθίσας ἐπὶ τῆς κλίνης εὐθὺς ἀπήλ-

C IV. Deinde, « Vos, inquit, valete atque abite: ea vero, quæ restant, cras omnia dicentur. » Atque ipse allato cibo edit. Erant autem illa, quibus vescebatur, **462** omnia testacea propter illorum dierum solemne jejunium. Post quæ cum merum bibendum fuisset, quo vetulus stomachus ad duriorem illum cibum conficiendum firmaretur, ille frigida usus est. Solebat quippe, cum venas suas calore nimio affectas sentiebat, immoderate frigidam bibere, ne ulla venæ sectione esset opus. Tali ergo dieta tum quoque usus statim æger; cese et e stomacho et corde graviter laborare cœpit. Cum autem ipsius spiritus meatus obturari et coarctari sentiret, ac mortem jam sibi instare cerneret, et propter intempestam noctem neminem reperiret, qui sibi divina mysteria impertiretur, omnibus circa palatium portis clausis, surrexit et gratias egit D Deo et pro salute animæ suæ cum uberibus lacrymis et genuflexionibus multis oravit. Deinde sacram Dei Genitricis imaginem, quam in sinu gestabat, loco divinorum mysteriorum in os inseruit: cumque in lecto consedisset, ea nocte nondum elapsa subito decessit. Lectus autem in præsenti intelligatur non consuetus ille, sed omnium intimus, is videlicet qui ad latrinæ latus situs fuit. Ex quo enim male habere cœpit et difficilius spirare, sæpius uno horæ qua-

Variorum notæ.

(40) Quibus monachi ξηροφαγίαν obervabant. Vide *Gloss. med. Græcit.* in hac voce, ubi istius ξηροφαγίας cibi recensentur, in quibus παγούρια seu *cancri marini*, proinde ὀστρακόδερμα recensentur. DUCANG.

(41) Vide *Gloss. med. Latin. et Græcit.* in *Encolpium*, et Ἐγκόλπιον. DUCANG.

drante ad requisita nature eo se conferebat. Postremo autem, cum ad solitum et apertum lectum pervenire non **463** posset, nervis et compagibus corporis jam obtorpescentibus, in eo quem diximus decessit.

λαξεν (42), οὕπω τῆς νυκτὸς [P. 285] ἐκείνης ληξάσης. Κλίνην δ' ἐνταῦθα νοητέον οὐ τὴν συνήθη καὶ ἐν τῷ φανερῷ κειμένην, ἀλλὰ τὴν πάνυ τοι ἐνδοτάτην καὶ παρὰ πλευρὰν τοῦ οὐρηδόχου κειμένην οἰκίσκου. Ἀφ' οὗ γὰρ ἤρξατο δυσφορεῖν καὶ στενοχωρεῖσθαι τὰ ἔνδον, συχνάκις καὶ κατὰ μόριον ὥρας ἐς τὸν τοιοῦτον εἰσῄει οἰκίσκον χρείας ἀναγκαίας εἵνεκα τῆς γαστρός. Τὸ δ' οὖν τελευταῖον μὴ δυνηθεὶς ἐς τὴν συνήθη καὶ φανερὰν ἑαυτὸν ἀνασώσασθαι κλίνην, νάρκῃ παθηθέντων τῶν νεύρων τε καὶ ἁρμονιῶν ἤδη τοῦ σώματος, ἐς τὴν εἰρημένην καθίσας ἀπήλλαξεν.

V. Ex eo nos quoque oraculum, prius omnibus obscurum, facile intelleximus. Multo enim antea repererat imperator librum, cujus auctor omnino erat incertus, in quo perplexis litteris et obscuris imaginibus indicia continebantur eorum omnium, qui unquam imperio potituri essent. Ibidem autem animi et prudentiæ signum huic imperatori, præter cætera, attributa erat vulpes; obitum vero designabant tali in loco posita sella et duo nigro vestitu astantes adolescentuli, apertis omnino capitibus. Niger autem vestitus et aperta capita et duo tantum adolescentuli imperatori monasticum cucullum significarunt et imperatorii diadematis amissionem et biennium ex eo transigendum. In eo enim habitu annos duos exegit; et in hac oraculi explicatione me non falli arbitror.

Ε'. Ἐντεῦθεν δὲ καὶ ἡμῖν ἐξεγένετο ῥᾴδιον ἤδη ξυνιέναι τὴν τοῦ χρησμοῦ λύσιν, δῆλον οὖσαν τὸ πρότερον ἅπασιν. Εὕρηται γὰρ ἐκ πολλοῦ βίβλος (43) τῷ βασιλεῖ, ἣν ὁ γεγραφὼς ἄδηλος ἦν τὸ παράπαν γράμμασί τε αἰνιγματώδη καὶ ἀμυδρά τινα δι' εἰκόνων γνωρίσματα φέρουσα τῶν μελλόντων ἀεὶ βασιλεύειν. Ἐν ᾗ τὰ μὲν τῆς γνώμης καὶ περινοίας τοῦ τοιούτου βασιλέως γνωρίσματα ξύν τε ἄλλοις καὶ ἡ τῆς ἀλώπεκος ἐδείκνυ εἰκών· τῆς δὲ τελευτῆς, ἐν τοιούτῳ κειμένη τόπῳ καθέδρα καὶ δύο παριστάμενα μελανειμονοῦντα μειράκια, ἀπερικαλύπτους ἔχοντα πάντη τὰς σφῶν αὐτῶν κεφαλάς. Τὸ οὖν μελανειμονεῖν καὶ τὸ ἀσκεπεῖς εἶναι καὶ τὸ δύο τὰ μειράκια φανῆναι ἐδήλου τῷ βασιλεῖ τὸ τοῦ μέλανος ῥάκους ἔνδυμα καὶ τὴν στέρησιν τῆς βασιλικῆς καλύπτρας, καὶ τὴν ἐπὶ τούτοις διετίαν. Δύο γὰρ ἔτη συνέζησε τοῖς τοιούτοις ῥάκεσιν. Καὶ οἶμαί γε μὴ διαμαρτάνειν ἐμὲ τῆς προσηκούσης λύσεως, τοιαῦτα περὶ τοῦ χρησμοῦ διεξιόντα.

VI. Sole orto cadaver ejus in Libis monasterium est perlatum, quod mater ejus domina Theodora renovarat. Ubi de more exsequiæ ejus per novem dies celebratæ sunt.

Ϛ'. Ἅμα δ' ἡλίῳ τὸν ἐκείνου νεκρὸν ἐς τὴν μονὴν τοῦ Λιβὸς (44) ἐπικεκλημένην ἀπήνεγκαν, ἣν ἡ μήτηρ αὐτοῦ Θεοδώρα ἡ δέσποινα ἀνεκαίνισεν. Ἔνθα δὴ καὶ τὸ πένθος κατ' ἔθος (45) ἐπὶ ἐννέα ἡμέρας (46) τετέλεσται.

Variorum notæ.

(42) 13 Februarii, circa horam 12 noctis, ut præfert ascripta nota Codici Cantacuz. lib. II, cap. 28, anno Chr. 1332, indict. 15. DUCANG.

(43) Vide notata ad lib. VIII, p. 188 C. DUCANG.

(44) De quo monasterio egimus in *Constantinopoli Christ.* lib. VI, sect. 2, n. 26. DUCANG.

(45) *Ubi de more exsequiæ ejus*, etc. Verterat Wolfius, *ubi de more quotannis*, etc., quasi non solum κατ' ἔθος, sed et κατ' ἔτος, legisset. BOIVIN.

(46) Vide *Glossar. med. Græcit.* in Ἔννατα. DUCANG.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ
ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
ΛΟΓΟΣ Ι'.

—

NICEPHORI GREGORÆ
BYZANTINÆ HISTORIÆ
LIBER DECIMUS.

—

CAPUT PRIMUM.

Crulena, defuncti filia, luctui præest. Gregoras, ea hortante, ad canendam lamentationem prodit. Funebris lamentatio. Auditores ut ea oratione commoti sint. Principis mortui ætas. Forma. Mores. Ejusdem in summa inopia liberalitas duobus exemplis declarata. Æs alienum post ejus mortem repertum. Annus mundi. Ætas nevolis.

[P. 286] Α'. Τῇ μέντοι δευτέρᾳ τοῦ πένθους (47) ἡμέρᾳ προτραπεὶς ἐγωγε ὑπὸ τῆς θυγατρὸς τοῦ βασιλέως τῆς Κραλαίνης, ἅτε τοῦ πένθους προεξαρχούσης, ᾄσαί τινα θρῆνον ἀπὸ γλώττης αὐτοσχεδίως προσήκοντα τῷ καιρῷ, ἐπὶ τῇ τοῦ πλήθους ἀθροίσει παρελθὼν ἔλεξα τοιάδε·

465 I. Altera die luctus, cum me imperatoris filia Cralæna (nam ea luctui præerat) hortata esset, ut neniam aliquam ex tempore canerem, in mediam prodii et cœtu frequente ejusmodi orationem habui:

Β'. « Τὸ μὲν τῆς συμφορᾶς μέγεθος, ὦ παρόντες, σιωπᾷν ἡμᾶς ἀναγκάζει καὶ ὥσπερ νενεκρωμένα φέρειν καὶ γλῶτταν καὶ ἀκοὴν καὶ διάνοιαν, τῆς ζωτικῆς τοῦ ἡμετέρου ἡλίου ἀκτῖνος σβεσθείσης καὶ ὑπὸ γῆν καταδύσης. Ἀλλ' ἡ θορυβοῦσα καὶ καταπλήττουσα τὴν οἰκουμένην μεγάλη τῆς λύπης βροντὴ μάλα ἄτοπον αὖθις ἐνταῦθα τὴν σιωπὴν ἀπελέγχει. Ποῦ γὰρ εἰκὸς, οὐρανοὺς μὲν βοᾷν ἄνωθεν τῶν θρήνων τὸ μέγεθος, ὅτι τοὺς ἑαυτῶν ἔσβεσαν ὀφθαλμοὺς ἥλιον καὶ σελήνην, γῆν δὲ κάτωθεν ὡς ὁρᾶτε σειομένην καὶ θάλασσαν καταιγίζουσαν ἐναργῶς ἀπαγγέλλειν, παγκόσμιον εἶναι τὴν τῆς συμφορᾶς αἴσθησιν, ἡμᾶς δὲ σιωπῇ τὴν τοσαύτην ἀνέχεσθαι φέρειν ζημίαν; Ἀλλ', ὦ γῆς ἥλιε, ποῦ γῆς ἔδυς, καταλιπὼν ἡμᾶς τῷ παγετῷ νεκροῦσθαι τῶν συμφορῶν; ὦ κοινὴ τῶν Ῥωμαίων ψυχή, ποῖ ποτε ἦρθης; Φεῦ τῆς δρεπάνης τοῦ χρόνου, οἵαν τῆς οἰκουμένης ἀπηνῶς ἐξεθέρισε κεφαλήν, οἷον τῶν πόλεων ἐξώρυξεν ὀφθαλμόν; ὦ τίς τῶν κοινῶν πραγμάτων ἔσβεσε τὴν μεγάλην λαμπάδα; ὦ τίς τὸν τοῦ καλοῦ παντὸς εὐεργέτην ἐξαίφνης ἡμᾶς ἀπεστέρησεν; Ἐκεῖνος ἦν ὁ τῆς βασιλικῆς εὐταξίας θεμέλιος· ἀλλὰ νῦν κεῖται βραχεῖ καλυπτόμενος λίθῳ. Ὢ οἵαν πικρίας ἀνέφλεξε κάμινον ταῖς ἁπάντων καρδίαις. Ἐκεῖνος ἦν ὁ νύκτας ὅλας ἐγ-

II. « Magnitudo quidem casus hujus tacere nos cogit et quasi emortua circumferre lingua, aures, cogitationem, vitali solis nostri radio exstincto et terra oppresso. Magnum autem illud perturbans et percellens orbem terrarum mœroris tonitru silentium hoc loco magnæ absurditatis arguit. Qui enim convenit, cum cœli superne magnitudinem luctus proclament, cum sua lumina solem et lunam exstinxerint, terra vero inferne (ut videtis) quatiatur, et mare fluctibus inhorruerit, ac evidenter hæc omnia nuntiarint, hujus calamitatis sensum ad universum mundum pertinere, nos tantam jacturam silentio dissimulare? At tu, o terræ sol, in qua terra occidisti, relictis nobis, ut glacie calamitatum exanimemur? O communis Romanorum anima, quo tandem ablata es? Heu falcem temporis, quale orbis terrarum caput crudeliter demessuit? qualem urbium oculum effodit? O quis reipublicæ magnam facem exstinxit? O quis viro de omni pulchra et honesta arte bene merito subito nos spoliavit? Ille imperatoriæ disciplinæ fundamentum fuit; nunc vero exiguo saxo conlectus jacet. Heu qualem cordibus omnium acerbitatis caminum incendit? Ille fuit, qui totas noctes pervigil excubaret, ne quid respublica Romana caperet detrimenti; nunc vero

Β

C

Variorum notæ.

(47) Hinc discimus tempus quo exæ orationes funebres haberi solebant, statim scilicet post exactum novendiale. Ducang.

in sepulcro longum illum somnum dormit. Ille fuit arguta et plena mellis lingua, illud omnis prudentiæ instrumentum; nunc autem jacet diuturno illo silentio oppressus. Heu dirum nuntium, qui celeriter terras simul et maria perambulans omnium **467** animos quovis ense gravius sauciat. Ille fuit magna illa orbis terrarum gloria et eruditionis præstantissimum exemplar; nunc autem pulvis exiguus illius corpori insultat. Ille fuit suavis illa omnium linguarum narratio et commemoratio; nunc autem acerba illum mors violenter oppressit. At o, unde subito nobis tantum erupit calamitatum pelagus, mari quovis amarius? Unde tantæ malorum tempestates et fluctus excitati animos nostros perturbarunt ac stupore perculerunt? Quis tantus tumultus et fremitus hominum? Numquid horribilium fulminum, e cœlo multorum simul erumpentium, ictus aliquis percussit homines intolerabilis, atque alios humi prostravit, alios semianimes oberrantes reliquit? Fuit, proh dolor, et contra nos miseros plaga in hoc tempus reservata, multis fulminibus ætheriis gravior, imperatoris inquam obitus. Nunc oportebat omnes homines, magni tonitrus vocem mutuatos, symphoniam quamdam toto orbe resonantem et publicum luctum maximum instituere, ut calamitas, ita uti decet, declararetur. Nunc oportebat magnitudine et pulchritudine præstantes stellas uno in loco congressas depingere et firmissime exsculpere imperatoris nostri pulcherrima insignia: ut quemadmodum Dei gloriam enarrant cœli, ita et hujus decora explicantes **468** in omnibus suis revolutionibus posteris semper illustrissimum imperatoriæ majestatis exemplar proponerent. Ille enim fuit imperii norma et amussis. Ille fuit sacerdotii reverentia et dignitas et splendidissima Ecclesiæ lucerna, nunc vero sub modio tegitur. Ille fuit, qui Ecclesiam velut in magna tempestate fluctuantem firmaret, et tempestatem serenitate commutaret, et velut immota turris dogmatum ejus consisteret; sed nunc, heu dolor, humi concidit. Ille fuit regula morum et humanæ formæ ornatus; cujus etiam silentium utilior erat admonitio, quam aliorum verbosæ præceptiones. Natura enim a primo ortu regia et plena dignitatis eum forma ornarat, gravitate et pulchritudine temperata et veluti statua proposita pudoris et majestatis, quæ omnia hilaritas et placabilitas gratiarum plena et venustatis adornabat; nunc autem hæc omnia telluris recessus sibi vindicarunt. O inliquam calamitatum tyrannidem! O profundam noctem, quæ nostros obtexit oculos, nec quo eamus videre sinit! O quæ ventorum procellæ, velut ex uno antro erumpentes, animos nostros hostiliter perturbant et radicitus evellere conantur! O quis tot bonorum paradisum noctu vastavit! O quot lamentationes, suspiria, ejulatus e terris in cœlos, veluti fumus

ρηγορώς τε καὶ ἄγρυπνος διαμένων, ὡς μὴ τῶν Ῥωμαϊκῶν πραγμάτων κλαπῇ τὸ συμφέρον· ἀλλὰ νῦν ἐν τάφῳ τὸν μακρὸν ὕπνον ὑπνώττει. Ἐκεῖνος ἦν ἡ εὔστροφος καὶ μέλιτος [P.287] γέμουσα γλῶσσα, τὸ πάσης καὶ παντοίας φρονήσεως ὄργανον· ἀλλὰ κεῖται νῦν τὴν μακρὰν σιωπὴν σιωπῶν. Ὦ δεινῆς ἀγγελίας, ἡ ταχέως διερχομένη γῆν ὁμοίως καὶ θάλασσαν τὰς ἁπάντων πλήττει ψυχὰς ξίφους παντὸς χαλεπώτερον. Ἐκεῖνος ἦν τὸ μέγα τῆς οἰκουμένης κλέος καὶ τὸ τῆς παιδεύσεως κράτιστον ἀρχέτυπον· ἀλλὰ νῦν βραχεῖα κόνις τοῦ ἐκείνου καταχορεύει σώματος. Ἐκεῖνος ἦν τὸ γλυκὺ τῶν ἐν γῇ γλωσσῶν ἁπασῶν διήγημά τε καὶ περιλάλημα· ἀλλὰ νῦν ὁ πικρὸς ἐκείνου κατετυράννησε θάνατος. Ἀλλ' ὦ πόθεν ἐξ-

B αίφνης ἡμῖν τὸ τοσοῦτον ἀνερράγη τῶν συμφορῶν πέλαγος, θαλάσσης ἁπάσης ὑπάρχον πικρότερον; πόθεν ἡμῖν ἐπιόντες οἱ τοσοῦτοι τῶν δεινῶν χειμῶνες καὶ κλύδωνες τοὺς ἡμῶν ἐτάραξαν λογισμοὺς καὶ πρὸς τὴν τῶν ἀναισθήτων φύσιν ἐπείγεσθαι συνωθοῦσι; Τίς ὁ τοσοῦτος κλόνος καὶ βρασμὸς τῶν ἀνθρώπων; Μὴ κεραυνῶν ἐξαισίων οὐρανόθεν πολλῶν ὁμοῦ συρραγέντων πληγή τις ἐνέσκηψε τοῖς ἀνθρώποις ἀφόρητος; καὶ τοὺς μὲν εἰς γῆν κατήνεγκε, τοὺς δ' ἡμιθνῆτας κατέλιπε φέρεσθαι; Ἦν ἄρα καὶ καθ' ἡμῶν, ὡς ἔοικε, τῶν δυστήνων πληγὴ παμπευομένη τῷ χρόνῳ, πολλῶν κεραυνῶν αἰθερίων ἀντάξιος, τὴν τοῦ βασιλέως φημὶ συμφοράν. Νῦν ἔδει πάντας ἀνθρώπους, βροντῆς μεγάλης ἀνειληφότας ἐνταῦθα φωνήν, συμφωνίαν τινὰ πεποιηκέναι παγ-

C κόσμιον καὶ κοινὴν ἀνεγεῖραι μέγιστον θρῆνον, ἵν' ἀρκοῦσαν τὴν ἔνδειξιν οὕτω τὸ πάθος ἴσως προσλάβῃ. Νῦν ἔδει (48) τοὺς μεγέθει καὶ κάλλει διαπρεπεῖς τῶν ἀστέρων ἐφ' ἓν συνδραμόντας διαγράψαι καὶ ἀσφαλέσταια ἐγχαράξαι τῶν τοῦ βασιλέως ἡμῶν γνωρισμάτων τὰ κάλλιστα, ἵν' ὥσπερ τὴν τοῦ Θεοῦ διηγοῦνται δόξαν οἱ οὐρανοί, οὕτω καὶ τὸ τούτου διατρανοῦντες εἶεν μνημόσυνον ἐν πᾶσι τοῖς αὐτῶν ἐξελιγμοῖς ἀεὶ καὶ περιφανέστατον αὐτοκρατορίας ἀρχέτυπον τοῦτον προβάλλοιντο τοῖς ἐπιοῦσι. Ἐκεῖνος γὰρ ἦν ἡ τῆς βασιλείας εὐθύτης καὶ στάθμη· ἐκεῖνος ἦν ἡ τῆς ἱερωσύνης αἰδὼς καὶ σεμνότης καὶ ὁ τῆς Ἐκκλησίας φαιδρότατος λύχνος· ἀλλὰ νυνὶ τῷ τάφου μοβίῳ συγκρύπτεται. Ἐκεῖνος ἦν

D ὁ καθάπερ ὁλκάδα μεγάλην σαλευομένην τὴν Ἐκκλησίαν στηρίξας καὶ τοὺς ταύτης εἰς γαλήνην τρέψας χειμῶνας καὶ ἀεὶ τῶν ταύτης δογμάτων ἱστάμενος πύργος ἀκλόνητος· ἀλλὰ νῦν εἰς ᾅδου πυθμένας φεῦ κατενήνεκται. Ἐκεῖνος ἦν ὁ τοῦ ἤθους κανών, ἡ τοῦ ἀνθρωπίνου εἴδους εὐκοσμία· οὗ καὶ ἡ σιωπὴ πολλῷ βελτίων ὑπῆρχε τῶν ἄλλων λαλούντων παραίνεσις. Ἡ γάρ τοι φύσις εὐθὺς βασιλικόν τε καὶ μεγαλοπρεπείας μεστὸν τὸ εἶδος ἀρχῆθεν ἐνήρμοστε, κάλλει τε καὶ ἐμβριθείᾳ τῇ προσηκούσῃ ταύτην κεράσασα καὶ οἱονεί τινα στήλην κατεσκευακυῖα αἰδοῦς καὶ σεμνότητος· οἷς ἅπασιν ἐπέπρεπέ τε καὶ ἐπεκόσμει τό τε ἱλαρὸν καὶ τὸ εὐμενὲς,

Variorum notæ.

(48) Sic supra lib. VIII, cap. 9, sect. 2. Boivin.

ὅλον χαρίτων γέμον καὶ ἵν' εἴπω, ὅλον μεστὸν ἀνθέων ἡρινῶν· ἀλλὰ νῦν κόλποι γῆς σὺν ἀκοσμίᾳ πικρῶς ἐμερίσαντο. [P. 288] Ἀλλ' ὦ τῆς ἀδίκου ταύτης τῶν συμφορῶν τυραννίδος· ὦ βαθείας νυκτὸς, ἣ τοὺς ἡμῶν ὀφθαλμοὺς συσκιάζουσα ὅπη πλανώμεθα βλέπειν οὐ συγχωρεῖ. Ὦ πόθεν οἱ τοσοῦτοι καταῤῥαγέντες τῶν δεινῶν ἀπαρκτίαι καὶ νότοι, καθάπερ ἐξ ὁρμητηρίου κοινοῦ, τὰς ἡμῶν δυσμενῶς συγκυκῶσι ψυχὰς καὶ ῥιζόθεν ἐπείγονται ἀνασπᾶν; Ὦ τίς τῶν τοσούτων καλῶν τὸν λειμῶνα τὸν εὐανθῆ λάθρα καὶ νυκτὸς ἐπελθὼν ἐξέτεμε; Τίς τὸν πάσης ψυχῆς ναυαγούσης λιμένα κατέχωσεν; ὦ πόσοι κλαυθμοὶ καὶ στεναγμοὶ καὶ κραυγαὶ πρὸς αἰθέρα σήμερον ἐκ τῆς γῆς ἀνατρέχουσι, καθάπερ καπνὸς ἐκ μεγάλου πυρὸς τῆς καρδίας ἑκάστων ἀναῤῥηγνύμενοι; ὦ πόσοι τὰς τοῦ Νείλου πηγὰς προθυμοῦνται ζητεῖν εἰς δακρύων φορὰν, ὡς ἂν οὕτωσί πως δυνηθεῖεν ἐξισῶσαι τοὺς θρήνους τῷ κατασχόντι τὴν οἰκουμένην πάθει; ὦ τὰ πολυειδῆ τῶν ἁπάντων ὀνόματα κτησάμενος μόνος αὐτὸς, βασιλεῦ. Οἱ μὲν γάρ σε πατέρα καλοῦσι κοινόν· οἱ δὲ κηδεμόνα τε καὶ προστάτην καὶ ὀρφανίας ἐπίκουρον· οἱ δὲ λιμένα σωτήριον καὶ στερρὸν προμηθέα· οἱ δὲ γυμναστήν τινα καὶ διδάσκαλον πάσης ἰδίας καλοῦ καὶ παγκόσμιον δικαστὴν τῶν ἐν κόσμῳ παντοίων πραγμάτων. Σκώληξ τὴν φύσιν τῶν ξύλων πολλάκις διέφθειρεν· ἡμῶν δὲ φθείρει νῦν τὰς καρδίας πικρότερον ὁ τοῦ βασιλέως ἔμμονος λογισμός. Τὰς ἀμπέλους καὶ τὰ λήϊα πολλάκις ἐλυμήναντο χάλαζαι καὶ ἄνθρακες οὐρανίου πυρός· ἡμᾶς δὲ πλέον ἡ τοῦ βασιλέως ἐλυμήνατο στέρησις. Κῆπος ἐκεῖνος ἦν παντοίοις βρίθων καρποῖς καὶ ὥσπερ ἔαρος ὥραν ἄγων ἀεί. Ἀλλὰ νῦν αὐτὸν ἐμάρανεν, φεῦ τοῦ πάθους, αἱ τοῦ θανάτου φλόγες. Ὦ πολλῶν πόλεων οἰκιστὰ, κατά τε Ἀσίαν φημὶ καὶ Εὐρώπην, οὐκ ὀκνήσω δ' εἰπεῖν καὶ ταυτησὶ τῆς βασιλίδος τῶν πόλεων, ἣν πάλαι μὲν Κωνσταντῖνος ὁ μέγας ἐκεῖνος καὶ σοί γε ὁμότροπος ἔστησε, σὺ δ' ἐπὶ γόνυ κλιθεῖσαν ἀνώρθωσας. Πᾶσα μὲν γὰρ ἡ τῆς προτέρας ἐκείνης οἰκοδομῆς κάλλονὴ καὶ τερπνότης δουλείας ἀλλαξαμένη ζυγὸν ἐτεθνήκει καὶ ἀπερρύη· καὶ γενέσθαι τὸν βασιλικὸν ἐξεγένετο θρόνον Λατίνων λῃστῶν καταγώγιον καὶ βεβήλων ἑστίαν. Ἀλλὰ δεύτερος αὐτὸς καταστὰς οἰκιστὴς, βασιλεῦ, ἐκ μέσου πεποίηκας τά τε τῆς Ἐκκλησίας εὐθὺς καὶ πῶν δογμάτων ἐγκλήματα καὶ φερομένην ἐστήριξας ταύτην ἐς ἅπαν τὸ κράτιστον· τείχεσι δὲ καὶ νεῴς καὶ οἰκίαις ἐς τὸ πρὶν ἀνήνεγκας κάλλος αὐτήν. Ὦ τοῦ μεγάλου τοῦδε καὶ ἱεροῦ χρέους, ὃ πάντες οἱ ἐφεξῆς σοι ὀφείλουσιν εὐσεβεῖς, καθάπερ εὐεργέτῃ κοινῷ καὶ ἀρχηγῷ τῆς ὀρθῆς ἡμῶν πίστεως. Ὦ πῶς ὁ τοῦ παντὸς ἄξιος; ὡς ἄνθος παρῆλθες ἀγροῦ; ὦ πῶς ἐπὶ σοὶ καὶ τὰ στοιχεῖα θρηνοῦσι, βασιλεῦ, καὶ δέος μὴ ἡμᾶς καταχλύσωσιν; Ὦ πῶς ἐπὶ τῷ σῷ πάθει καὶ τείχη πίπτουσι πόλεων καὶ κίονες ἀκριζοῦνται πάλαι πολὺν ἤδη τὸν χρόνον βεβιωκότες; [P. 289] Ἀλλὰ δότε μοι τὴν τὸν μέγαν ἡμῶν θησαυρὸν κατέχουσαν κιβωτὸν,

A e magno cordis incendio, tendunt! O quot sunt, **469** qui ipsos Nili fontes ad fundendas lacrymas exoptant, ut fletum magnitudini casus, quo terrarum orbis oppressus est, æquare possent! O qui varios omnium titulos solus meruisti, imperator! Nam alii communem te parentem vocant; alii curatorem et patronum et orbitatis adjutorem; alii portum salutarem, et fortem providumque; alii præceptorem et magistrum omnis boni, et toti mundo communem omnis generis negotiorum arbitrum et judicem. Vermis sæpe lignorum naturam erodit; nostra vero corda nunc acerbius lædit perpetua imperatoris cogitatio. Vitibus et segetibus sæpe nocuerunt grandines et cœlestis ignis ardores; nobis imperator ademptus plus nocuit. Hortus ille B fuit omnis generis fructibus refertus et perpetuo vernans; sed nunc æstu mortis emarcuit. O multarum urbium in Europa et Asia conditor: non autem dubitabo dicere, etiam hujus imperatricis urbis, quam olim Constantinus Magnus et moribus tibi similis condidit, tu vero in genua prolapsam erexisti. Omnis enim pristinæ illius structuræ elegantia et ornatus, in servitutis jugum commutatus, obierat atque conciderat; eoque res redierat, ut regium tuum solium Latinorum prædonum esset diversorium et profanorum hominum domicilium. Sed tu alter illius conditor exstitisti. Ecclesiæ et dogmatum crimina sustulisti, eamque ruinam minitantem **470** probe constabilisti: mœnibus, C templis, ædibus pristinam ejus pulchritudinem renovasti. O magnum et sacrum debitum, quo universos fideles, quotquot deinde exstituri sunt, tibi obstrictos habes; tibi, inquam, de omnibus bene merito, et veræ fidei nostræ summo assertori! Heu! quomodo, cui par nihil dici potest, ut flos agri præteristi! En ipsa elementa te lugent, ac periculum est, ne nos obruant. En ob tuum obitum etiam urbium mœnia concidunt, et columnæ evertuntur, quæ multis sæculis firmæ steterunt. Sed date mihi meam arcam, quæ continet magnum nostrum thesaurum, ut videam, quomodo lacrymarum rivis innatare queat. Quas enim mortales omnes ubertim profundunt lacrymas, facile illam, ut arcam Noæ aquarum illa abundantia, sustinebunt. Enimvero illa eos quos vehebat e diluvio D eripiebat; hæc contra nos in mille diluviorum tempestates conjecit. O horrendum casum, o insolitam vesperam illam, quæ contrarium mihi Davidici illius carminis ostendit: « Nam ad vesperum, inquit ille, mihi demorata est lætitia et ad matutinum fletus [1]. » Papæ, qualis hæc est et quam absurda inversio, quæ mihi quovis absinthio amariorem craterem temperavit? O noctem illam inclementem, ut in clementissimum et humanissimum **471** infesta et inhumana fuit, omni benevolentia et verecundia repudiata! O maxime bonorum thesaure imperator, cur nos te desiderantes

[1] Psal. xxix, 6.

ui aspernantes deseruisti? Omnibus enim tua bona, ut horrea publica, patuerunt. Per te enim et nobiles nobiliores facti sunt, et cœtus sacerdotum venerabilior, et collegium sapientum sapientius, et urbium mœnia firmiora. Denique omnes te moderatore ipsi nos ipsos superavimus. At o immensam et inexplicabilem malorum implexionem! Interit mundi regimen, interit urbium ornatus, interit rhetorum et philosophorum gymnasium, quod omnem Academiam, omne Lyceum vincit, omnem Stoam Atticam. O quis dabit capitibus nostris aquam et fontes lacrymarum oculis nostris, ut nova mala Hierosolymitanis graviora deploremus[1]? Date mihi Orphei in tragicis lamentationibus facultatem, ut inanimes etiam naturas ad mali commiserationem moveam. Date mihi eos, qui ad flumina Babylonis olim Sionem ex animo deplorarunt, ut nostros etiam dolores illi pro dignitate lugeant, quos nobis imperatoris obitus attulit. Heu, ut noster sol nos despexit, et præter omnem exspectationem decepit, et pro matutino ortu matutinum occasum subiit! O cur iis, qui in acerbitate sunt, datur lumen; et iis vita, qui doloribus conflictantur[2]? Mori optabilius est, quam continenter panem doloris edere et calicem luctus potare. Nam illum quidem divinum et immortale **472** regnum justa remuneratione excepit; nos vero pupilli relicti suspirare miserabiliter et lacrymare nunquam desinemus, dum illius adempti memoriam in animis nostris circumferemus. Necesse autem est orationis finem facere. Omnem enim orationem lamentationes de imperatoris morte excedunt. »

III. Hæc cum ego recitassem, fletus simul omnium et lamentatio maxima et varia est exorta, quæ pene dixerim ad cœlos penetrare potuisset. Omnes quippe eum ut patrem et requirebant et deplugebant. Temporis enim diuturnitas rei præsentis fortasse fastidium parit: magnam tamen familiarium animis affectionem imprimit, qua fit, ut ipsa re sublata non evanescat simul rei memoria, sed quam diutissime maneat, ac velut quodam vere

Ἵνα θεάσωμαι, πῶς ὑπερπλέειν τὰ πολλὰ τῶν δακρύων δύνηται ῥεύματα. Ἀρκέσουσι γὰρ οἶμαι ταύτην ἀνέχειν ἃ πάντες ἄνθρωποι νῦν κρουνηδὸν προχέουσι δάκρυα, καθάπερ τὴν τοῦ Νῶε κιβωτὸν τῶν ὑδάτων ἐκεῖνα τὰ πλούσια ῥεύματα. Ἀλλ' ἐκείνη μὲν ἐκ τῶν κατακλυσμῶν οὓς ἔφερεν, ἔσωζεν· αὕτη δὲ τοὐναντίον εἰς μυρίων κατακλυσμῶν ἡμᾶς συνήλασε κλύδωνας. Ὦ φρικτοῦ συναντήματος· ὦ ξένης ἑσπέρας ἐκείνης, ἣ τἀναντία μοι τῆς Δαβιδικῆς ἔδειξεν ᾠδῆς· « Τὸ ἑσπέρας γάρ μοι ηὐλίσατο ἀγαλλίασις καὶ εἰς τὸ πρωῒ κλαυθμός. » Βαβαὶ τῆς ἐναλλαγῆς ταυτησὶ τῆς ἀτόπου, ἣ μοι παντὸς ἀψινθίου πικρότερον ἐκέρασε τὸν κρατῆρα. Ὦ νυκτὸς ἐκείνης ἀσυμπαθοῦς, πῶς ἐς τὸν σφόδρα συμπαθῆ καὶ φιλάνθρωπον ἐκεῖνον ἄνθρωπον δυσμενὴς καὶ ἀφιλάνθρωπος ἔδοξε, πᾶσαν εὔνοιαν καὶ αἰδὼ κατόπιν ὥσπερ ἐς ἀβύσσους καὶ ῥεύματα ποταμῶν ἀποῤῥίψασα; Ὦ μέγιστε θησαυρὲ τῶν καλῶν, βασιλεῦ, ἵνα τί τοὺς ποθοῦντας ὡς μισοῦντας κατέλιπες; πάντες γὰρ ὡς ἐκ κοινοῦ πρυτανείου τῶν σῶν ἀπολελαύκασιν ἀγαθῶν. Διὰ σοῦ γὰρ καὶ οἱ εὐγενεῖς εὐγενέστεροι καθεστήκασι καὶ ὁ τῶν ἱερέων ὄῆμος σεμνότερος καὶ ὁ τῶν σοφῶν κατάλογος σοφώτερος καὶ τὰ τείχη τῶν πόλεων ἰσχυρότερα καὶ ἁπλῶς εἰπεῖν ἅπαντες διὰ σοῦ βελτίους γεγόναμεν ἑαυτῶν. Ἀλλ' ὦ τῆς ἀμετρήτου καὶ ἀνεικάστου πλοκῆς τῶν δεινῶν. Οἴχεται ἡ τοῦ κόσμου πολιτεία· οἴχεται ὁ τῶν πόλεων κόσμος· οἴχεται τὸ τῶν ῥητόρων καὶ φιλοσόφων γυμνάσιον τὸ πᾶσαν ὑπερβαῖνον Ἀκαδημίαν καὶ Λύκειον καὶ Στοὰν Ἀττικήν. Ὦ τίς δώσει ταῖς ἡμῶν κεφαλαῖς ὕδωρ καὶ πηγὰς δακρύων τοῖς ἡμῶν ὀφθαλμοῖς, ἵνα τὰ μείζω τῶν τῆς Ἱερουσαλὴμ νέα θρηνήσωμεν πάθη. Δότε μοι τὴν Ὀρφέως ἐν τραγῳδίαις δύναμιν (49), ἵνα καὶ τὰς ἀψύχους φύσεις κινήσω πρὸς οἶκτον τοῦ πάθους. Δότε μοι τοὺς ἐν ποταμοῖς Βαβυλῶνος ἐκ βάθους καρδίας πάλαι θρηνήσαντας τὴν Σιών, ἵνα καὶ τὰς ἡμετέρας ὀδύνας ὀξίως ἐκείνοις πενθήσωσιν, ἃς ὁ τοῦ βασιλέως ἡμῖν ἐπήνεγκε θάνατος. Ὦ πῶς παρέβλεψεν ἡμᾶς ὁ ἡμέτερος ἥλιος καὶ παρὰ πᾶν τὸ εἰκὸς ἀπεπλάνησε καὶ ἀντὶ τῆς ἑῴας ἀνατολῆς ἑῴαν τὴν δύσιν πεποίηται. Ὦ ἵνα τί δέδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς; θανεῖν αἱρετώτερον, ἢ διηνεκῶς ἄρτον ὀδύνης ἐσθίειν καὶ πόμα πίνειν κλαυθμοῦ. Ἀλλ' ἐκεῖνον μὲν, ὦ παρόντες, ἀμειβομένη δικαίως ἡ θεία καὶ ἄκήρατος διεδέξατο βασιλεία· ἡμεῖς δ' ὀρφανοὶ καταλελειμμένοι τὸ μὲν οἰνεῖν ἐλεεινῶς καὶ δακρύειν οὐδέποτ' ἂν οἶμαι παυσαίμεθα, ἕως ἂν ἐν ταῖς ψυχαῖς ἡμῶν τὴν τῆς ἐκείνου στερήσεως περιφέρωμεν μνήμην· παύσασθαι δ' ἀνάγκη τοῦ λέγειν. Πάντα γὰρ λόγον εἰ τοῦ βασιλέως ὑπερβαίνουσι θρῆνοι (50). »

[P. 290] Γ'. Ταῦτα διεξιόντος μου θρῆνος ὁμοῦ παρὰ πάντων καὶ ὀλοφυρμὸς ἠγείρετο μέγιστος καὶ πολυειδὴς καὶ, οἷον εἰπεῖν, ἄχρις αἰθερίων ἀϋτῶν φθάνειν δυνάμενος. Πάντες γὰρ ὡς πατέρα τοῦτον ἐπόθουν τε καὶ ἐπένθουν. Ὁ γὰρ μακρὸς χρόνος κόρον μὲν ἴσως, ὡς ἄν τις φαίη, ποιεῖ παρόντος τοῦ πράγματος· πολλὴν δ' ὅμως ἐνίησι καὶ τὴν σχέσιν ταῖς τῶν χρωμένων ψυχαῖς, ὡς καὶ ἀπιόντος τοῦ πράγματος μὴ συναπαίρειν τὴν μνήμην, ἀλλὰ παρα-

[1] Jerem. IX, 1. [2] Job III, 20.

Variorum notæ.

(49) *In tragicis lamentationibus*, non *in tragœdiis*. Nam Orpheum tragœdias scripsisse, nemo hactenus dixit quod sciam: ac longo post Orpheum tempore floruit is qui

Ignotum tragicæ genus invenisse Camœnæ

Dicitur, et plaustris vexisse poemata Thespis.

BOIVIN.

(50) Pro οἱ τῆς τοῦ βασιλέως τελευτῆς Op. Sic infra cap. 2, sect. 2 τὴν τοῦ βασιλέως τελευτῆς συμφοράν, pro τὴν τῆς τοῦ βασιλέως τελευτῆς συμφ. BOIVIN.

μένειν ἐπὶ πολὺ ταῖς τῶν λειπομένων ἀνθοῦσαν ψυχαῖς, ὥσπερ ἐν ἠρινῇ καταστάσει, τῆς τέως δυσμενοῦς κηλίδος φύσιν ἐχούσης διαδιδράσκειν ὡς τὰ πολλά.

A restituta, floreat in animis eorum, qui superstites vivunt, veterum inimicitiarum macula facile plerumque exolescente.

Δ'. Τέταρτον μὲν δὴ καὶ ἑβδομηκοστὸν ἔτος (51) ἀπὸ γενέσεως αὐτῷ τελευτῶντι ἦνύετο, πεντηκοστὸν δ' ἀφ' οὗ τὰ σκῆπτρα τῆς αὐτοκρατορίας ἐδέξατο. Ἦν δὲ τὴν ἡλικίαν εὐμήκης, τὸ εἶδος εὐπρεπὴς καὶ λίαν αἰδέσιμος καὶ ὥσπερ ἐκ φύσεως ἔχων τὸ ἡγεμονικόν τε καὶ φοβερόν· οὐκ ἄκρατόν γε μὴν, ἀλλ' ὥσπερ τῷ ἀέρι κιρνάμενον τὸ τῆς ἡλιακῆς ἀκτῖνος φῶς χρῶμα γίνεται τούτῳ καὶ ὥσπερ μέλιτι γλυκύτης αὐτοφυὴς γίνεται ποιότης· οὕτω δὴ καὶ πραότης ἀποίητος μετά τινος θελγούσης χάριτος τοῖς ἤθεσιν αὐτοῦ κιρνωμένη χρῶμά τε ἅμα καὶ αὐτοχάλκευτος αὐτῷ ποιότης ἐφαίνετο. Πολλὴν μὲν γὰρ ἐπὶ τοῦ προσώπου τὴν εὐφροσύνην ἡ φύσις ἐκένωσε, πολλὴν δ' ἐπὶ τοῖς ὀφθαλμοῖς τὴν γαλήνην, λαμπρὰν δ' ἐπὶ τῇ γλώττῃ τὴν τῆς ἠχοῦς ἁρμονίαν. Τῷ δὲ ἤθει παντὶ τὸ ἱλαρὸν καὶ σεμνὸν ἐφαπλώσασα τερπνόν τι καὶ ἔνθεον παρεσκεύαζεν ἐπιπρέπειν. Ἅ πάντα μάλα σαφεῖς τῶν σιωπώντων ἠθῶν τῆς ἐκείνου ψυχῆς ἐγίγνοντο ἄγγελοι.

IV. Annum ætatis moriens implebat quartum et septuagesimum; ex quo vero imperium susceperat, quinquagesimum. Procera statura fuit, decora facie et perquam venerabili; ab ipso ortu principale aliquid et formidabile præ se ferens; non tamen hoc merum et integrum, sed ut aeri mistum solaris radii lumen fit ei color, et ut melli dulcedo qualitas nativa accedit, ita etiam clementia non ficta cum blando quodam gratiæ lepore moribus ejus contemperata color ipsius et **473** inaffectata qualitas videbatur. Multum enim hilaritatis natura vultui ejus indiderat, multum oculis serenitatis; linguæ autem claram et canoram vocem; in omni denique ejus habitu ac gestu hilaritatem et gravitatem sic explicuerat, ut amœnum quiddam ac divinum in eo emineret. Quæ universa tacitos ejus mores et animum nuntiabant.

Ε'. Ἵνα γὰρ τοὺς τρόπους τῆς γνώμης, ὁποῖος ἐκεῖνος, παραστήσω, ἑνὸς ἢ καὶ δυοῖν τῶν ἐκείνου μνησθήτομαι. Μικρὸν πρὸ τῆς τελευτῆς ἐν πενίᾳ καὶ τῇ τῶν ἀναγκαίων ἐνδείᾳ διάγων ἐπεὶ μὴ ἐδύνατο καθάπαξ τὴν τοῦ ψύχους φέρειν ἀκμὴν (χειμῶνος γὰρ τηνικαῦτα τὸ ἀκμαιότατον ἦν), σκέπην ἐπέταξεν αὐτῷ γενέσθαι νυκτερινὴν ἐξ ἀλωπεκῆς. Πάσης οὖν τῆς αὐτοῦ περιουσίας ἀριθμηθείσης τριῶν νομισμάτων οὐχ εὕρηται πλέον οὐδέν. Ὅθεν τούτων μόνων ἐξ ἀνάγκης ὤνιον γενέσθαι, ὃ τῆς ψυχρότητος μεμελέτηται παραμύθιον. Μετεώρου δὴ τῆς μελέτης οὔσης, προσελθών τις τῶν πάλαι οἰκειακῶν τὸν τῆς ἐνούσης πενίας ἐξετραχύνετο κίνδυνον βιαίως ἐπιτιθέμενον καὶ πρὸς θάνατον ὁλοσχερῶς συνωθοῦντα. Τούτῳ καμφθεὶς ἐδεδώκει τὰ τρία ἐκεῖνα νομίσματα, συμφορῶν ἀλλοτρίων τὸν ἑαυτοῦ προελόμενος θάνατον, ὅσον τὸ ἐπ' αὐτόν. Ἓν μὲν δὴ τοῦτο τῆς αὐτοῦ συμπαθοῦς γνώμης τεκμήριον (52). Δεύτερον δέ· ἐπεὶ γὰρ ἰατρῶν μὲν παῖδες αὐτῷ τὴν πολυήμερον ψυχροποσίαν ἀπηγόρευον, ὁ δ' οὐ προσίετο τὴν οἰνοποσίαν, μέστην βαδίσας νομίσματος ἑνὸς μόλις, ἐκ δανείου κἀκείνου παρευρεθέντος, ὤνιον ἔσχε μέρος τι τῶν ἐξ Αἰγύπτου καὶ Ἀραβίας [P. 291] κομιζομένων γλυκέων ὑγρῶν, ἵνα γε τούτῳ κουφίζῃ τὸ τῆς ψυχροποσίας ἄκρατον. Ἀλλὰ πρὶν γεύσασθαι τούτου, πρόσεισιν αὖθις ἕτερός τις τῶν πάλαι οἰκειακῶν, μακροῦ νοσήματος βραχύ τι ζητῶν παραμύθιον. Ὁ δὲ μὴ ἔχων οὐδέν,

V. Ut autem ingenium ejus etiam declarem, unius atque alterius ejus facti mentionem faciam. Paulo ante obitum, cum paupertate et rerum necessariarum inopia urgeretur et hiemis vim ferre non posset (nam hiems tum maxime sæviebat), vulpinam sibi nocturnam vestem fieri jussit. Omni autem ejus opulentia perquisita tribus nummis non plus est repertum. Tanti itaque necesse fuit emi vestem, quæ ei in frigoribus solamen paratum esset. Id vero consilium cum adhuc agitaretur, quidam e veteribus ejus familiaribus præsentem paupertatem deplorabat, quæ ita atrox sibi incumberet, ut jam in aperto mortis periculo versaretur. Ei adductus misericordia tres illos nummos dedit; mori præoptans, quod in se esset, quam alienarum calamitatum spectator esse. Unum igitur hoc ejus benignitatis signum esto. Alterum illud. Cum ei frigidæ aquæ potu diuturno medici interdicerent, atque ipse vini potationem repudiasset; medium ingressus viam vix uno aureo, eoque mutuaticio, aliquid sibi dulcium liquorum emit, qui ex Ægypto et Arabia advehuntur, ut **474** his frigidæ potum meraciorem temperaret atque levaret. Sed priusquam eos gustasset, rursus alius veterum domesticorum eum accedit, longi morbi breve quærens solatium. At ille, cum nihil haberet quo hominem consolaretur, et huic dari jussit remedium suæ infirmitatis causa comparatum. Tanta ejus erat hu-

Variorum notæ.

(51) *Moriens annum ætatis explebat septuagesimum quartum.* Mortuus est (ut infra dicetur, hujus cap. sect. ult.) anno mundi 6840, Christi 1332. Ergo natus erat anno mundi 6766, Christi 1258. Vide adnotata ad pag. 51 A. Cantacuzenus *Hist.* lib. II, cap. 28, Andronicum avum obiisse ait annos natum 72. Ita de annorum numero biennium detrahit. Sed mihi, ut jam dixi, Cantacuzeni chronologia suspecta est. Vide adnotata ad pag. 262 B. BOIVIN.

(52) Ob pietatem et alias animi dotes etiam laudatur a Nicephoro Xanthopulo:

Τῆς εὐσεβείας Ἀνδρόνικος ὁ στῦλος,
Ἀσύγκριτος νοῦς, ἐξηρημένη φύσις. DUCANG.

manitas et commiseratio eorum qui male habebant.

ὀτῳ τὸν ἄνθρωπον παραμυθήσαιτο, δοθῆναι προσέταξε καὶ τούτῳ τὸ τῆς ἑαυτοῦ ἀσθενείας εἵνεκα παρασκευασθὲν ἐκεῖνο φάρμακον. Τοσοῦτον αὐτῷ τῆς συμπαθείας περιῆν καὶ ῥᾷστα πρὸς τοὺς κακῶς ἔχοντας κάμπτεσθαι.

VI. Quin et eo mortuo æs alienum emersit; nummus autem ne unus quidem uspiam inventus. Hunc iste exitum sortitus est anno ab orbe condito sexies millesimo octingentesimo et quadragesimo; quo tempore annum ætatis tricesimum sextum imperator Andronicus explebat.

Ϛ'. Ἀλλὰ καὶ τελευτήσαντι χρέος μὲν εὕρηται, νόμισμα δ' οὐδὲν οὐδαμῆ. Ἀλλ' οὗτος μὲν τοιοῦτον ἔλαχε τέλος. Ἔτος δὲ τότ' ἐνειστήκει τῆς τοῦ κόσμου γενέσεως ἑξακισχιλιοστὸν (53) ὀκτακοσιοστὸν τεσσαρακοστόν. Τηνικαῦτα δὲ καὶ τῷ νέῳ βασιλεῖ Ἀνδρονίκῳ ἕκτον καὶ τριακοστὸν (54) ἠνύετο ἔτος ἀπὸ γενέσεως.

CAPUT II.

Metochites tribus malis afflictus. Habitum monasticum induit. Moritur. Gregoras lamentandi munus suscipit. Monodia, seu funebris lamentatio. Luctus cognatorum. Breve elogium Metochitæ.

I. Triginta diebus ex eo elapsis magnus logotheta Metochites decessit, tribus maximis malis victus et corporis et animi. Nam stranguriæ quidem morbo pridem laborare cœperat. Jam autem filiis quoque ejus comprehensis et in carcerem conjectis ejus morbi vim animi dolor auxit. Paulo post imperatoris etiam mors consecuta desperationem illi de summa rerum attulit, et naturam ejus ad extremum debilitavit, laxatis nervis præcipuorum organorum vitalibusque viribus resolutis. Quare monastico habitu induto decessit. Sed quia et ego, uti par erat, ex eorum numero fui, qui illum gravissime lugerent, hujusmodi de eo funebrem orationem habui:

Α'. Ἐκεῖθεν ἡμέραι τριάκοντα μεταξὺ (55) παρερρύησαν καὶ ὁ μέγας τετελεύτηκε λογοθέτης ὁ Μετοχίτης, τρισὶ μεγίστοις δεινοῖς κυριευθεὶς τό τε σῶμα καὶ τὴν ψυχήν. Ἐπιέζετο μὲν γὰρ ἐκ πολλοῦ τῷ τῆς στραγγουρίας νοσήματι. Κρατηθέντων δ' ἤδη καὶ τῶν υἱέων εἰς δεσμωτήριον κραταιότερον εἰργάσατο καὶ ἐντεῦθεν λύπη τὸ τοῦ πάθους δριμύ. Ἐκ τοῦ σύνεγγυς δὲ καὶ ὁ τοῦ βασιλέως ἐπελθὼν θάνατος καὶ βεβαίαν ἤδη κομίσας αὐτῷ τὴν τῶν ὅλων ἀπόγνωσιν ἀνίσχυρον ἐς τέλος τὴν φύσιν πεποίηκε, χαλάσας τοὺς τόνους τῶν καιριωτέρων ὀργάνων καὶ τὰς ζωτικὰς παραλύσας δυνάμεις. Ὅθεν τὸ μοναδικὸν ἐπελθὼν σχῆμα μετήλλαξεν. Ἐπεὶ δὲ μέρος κἀγὼ τῶν ἐκεῖνον θρηνούντων θερμῶς, ὡς εἰκὸς, ἐτιγνόμην, παρελθὼν μονῳδίαν διῆλθον τοιάνδε·

475 II. Mihi quidem, auditores, idem usu venit, quod navi subito adversis ventis circumventæ, cujus puppis cum demergenda sit, priusquam consistere possit, ab alio fluctu a latere obruatur. Priusquam enim priorem illam et maximam obitus imperatoris calamitatem excussissem, altera hæc hodie me aggressa, veluti fluctus post fluctum, tempestas post tempestatem, graviter demersit et in abyssos et fundum calamitatum heu dejecit. O anima, cur non statim evolasti? cur adhuc in misero isto corpore permanes? Heu, cur non præ doloribus ruptum est corpus meum, sed adhuc tot

Β'. « Ἐμοὶ δὲ, ὦ παρόντες (56), ταυτόν τι συνέβη παθεῖν, ὥσπερ ἂν εἴ τις ναῦς ἐξαίφνης ἐναντίοις ἐντετυχηκυῖα τοῖς πνεύμασιν ἐπὶ πρύμναν ἐκινδύνευσε καταδῦναι· ἔπειτα πρὶν ἢ δυνηθῆναι στῆναι καλῶς, ἕτερον ἐπιδραμὸν ἐκ πλευρᾶς κλυδώνιον ὑποβρύχιον ἠνάγκασε ταύτην γενέσθαι. Πρὶν γὰρ τὴν προτέραν καὶ μεγίστην ἐκείνην τοῦ βασιλέως ἀποτινάξασθαι συμφορὰν, ἑτέρα μοι σήμερον αὖτ' ἐπιδραμοῦσα, καθάπερ ἐπὶ κλύδωνι κλύδων κἀπὶ χειμῶνι χειμὼν, δεινῶς κατεβάπτισε καὶ πρὸς ὀβύσσους (57) πυθμένας φεῦ! κατήνεγκε συμφορῶν. Ὦ πῶς οὐκ εὐθὺς ἀπέπτης, ψυχὴ, ἀλλ' ἔτι τῷ δυ-

Variorum notæ.

(53) Christi 1332, ut paulo ante notavimus. DUCANG.

(54) Andronicus junior, indictione octava incunte, annos natus erat 27. teste Cantacuzeno Hist. lib. I, cap. 40; porro annus is erat Christi 1324 ad finem vergens. Anno igitur 1332 cum avus ejus Andronicus supremum diem obiit, nondum ipse explebat annum ætatis 35. Itaque nec de ætate Andronici junioris Cantacuzenum inter et Gregoram convenit. BOIVIN. — *Ἕκτον καὶ τριακοστόν.* Natus igitur Andronicus junior anno 1295. DUCANG.

(55) Obiit proinde Theodorus Metochita 14 Martii anno 1332. DUCANG.

(56) Abest hæc Monodia a codice Regio 2558 ut et Monodia in obitum Andronici senioris. Lectiones a vulgatis diversas suppeditavit codex Colbertinus, in quo hanc de Theodori Metochitæ obitu lamentationem, cum variis recentiorum Græcorum opusculis conjunctam, reperimus. Cæterum Gregoras non Monodia solum, sed et Epitaphio Metochitam mortuum prosecutus est. En epigramma, quale occurrit initio codicis Regii 2541:

Τοῦ Γρηγορᾶ ἐπίγραμμα ἐπὶ τῷ τάφῳ τοῦ μεγάλου λογοθέτου.

Ὅς πάρος ἐν σοφίῃ μέγα κῦδος ἔην γε θνητῶν,
Βαιὸς ὠδὶ λᾶας τοῦ γε κέκευθε νέκυν.
Δῆμος ἑπτῶν Μουσάων ὁλολύξατε πᾶσαι·
Ὤλετο κεῖνος ἀνὴρ· ὤλετο σοφίη πᾶσα.

Scripserat credo, ὤλετο πανσοφίη. Nam ὤλετο σοφίη πᾶσα est nimis inconditum. Cætera, quanquam et ipsa minime modulata, non corrigo, cum sciam illius temporis poetas plerosque leguin metricarum ignaros prorsus fuisse: cui quidem rei argumento sunt poemata ipsius Metochitæ, viri quidem docti, sed versificatoris pessimi, cujus sepulcro nefas fuit bonum epigramma inscribi. BOIVIN.

(57) Τὸ ἀβύσσου; adjective usurpatum videtur. WOLFIUS.

στήνῳ τούτῳ παρέμεινας σώματι; ὦ πῶς οὐχ ὑπὸ τῶν ἀλγεινῶν διερράγη μοι τὸ σῶμα, ἀλλ' ἀντέχειν ἔτι δύναται πρὸς τοσαύτας κυμάτων ἐπαγωγάς; ὦ δυστυχής μοι [P. 292] γλῶττα, οἵας σοι τὰς μονῳδίας ὁ χρόνος ἐταμιεύσατο; Φεῦ τῆς τῶν δεινῶν συνεχείας· βαβαὶ τῆς ἐναλλαγῆς τῶν πραγμάτων. Οὓς γὰρ ἀεὶ κατὰ τῶν συμφορῶν προβόλους εἴχομεν ἀῤῥαγεῖς καὶ λαμπροὺς παρηγόρους, οὗτοι στρατεύματα συμφορῶν ἐφ' ἡμᾶς ὁπλίζουσι σήμερον. Ἡμεῖς δὲ καρτεροῦμεν ἔτι καὶ μονῳδεῖν ἀνεχόμεθα. Ποῦ σοφῶν συναυλίαι καὶ λογίων ἅμιλλαι καὶ σεμνὰ παλαίσματα; ποῦ ῥητόρων πανηγύρεις καὶ κρότοι καὶ θέατρα πολλῷ τῶν Παναθηναίων ἐκείνων λαμπρότερα; φροῦδα τὰ πάντα, κόνις ἅπαντα. Ὦ κάκιστε χρόνε, πῶς ἐκ μέσης ἡνέσχου τῆς οἰκουμένης τὴν τῆς σοφίας μητρόπολιν ἐξελεῖν ἀπηνῶς; πῶς τὴν τῶν λόγων καθεῖλες ἐπιβουλεύσας ἀκρόπολιν; πῶς οὕτω νεανιεύῃ καθ' ἡμῶν συνεχῶς, μήτε τινὰ οἰκτον λαμβάνων, μήτε κορεννύμενος ὑπὸ τῆς τρυφῆς τῶν δεινῶν; Χθὲς ἀφεῖλες ἡμῶν τὸν μέγιστον βασιλέα· σήμερον τὸν δεξιὸν ὑπηρέτην, τὸν Νέστορα τὸν βουληφόρον, τὸν μόνον τοσούτῳ βασιλεῖ δυνάμενον ἐξαρκεῖν. Χθὲς τὸν τῶν Χαρίτων θάλαμον· σήμερον τὰ τῶν Χαρίτων προπύλαια· χθὲς τὸ ἔαρ τῶν ἀγαθῶν· σήμερον τὴν τὸ τοιοῦτον ἔαρ ἀγγέλουσαν χελιδόνα· χθὲς τὸν μέγαν καὶ ἀπαράμιλλον νοῦν· σήμερον τοῦ τοιούτου νοῦ τὸν ἐναρμόνιον κήρυκα· χθὲς τῆς χρυσῆς καὶ μεγάλης γλώττης τοὺς λόγους· σήμερον τὴν Ἀκαδημίαν καὶ τὸν Περίπατον καὶ τὴν Στοὰν ἐκείνης τῆς γλώττης κἀκείνων τῶν λόγων· χθὲς τὰς Μούσας· σήμερον τὸ ζῶν καὶ κινούμενον μουσεῖον· χθὲς τῆς εὐσεβείας καὶ τῶν δογμάτων τὸν κράτιστον πρόβολον· σήμερον τὴν δογματικὴν πανοπλίαν· χθὲς τὸν τῆς ἱερωσύνης κανόνα τε καὶ τὴν στάθμην· σήμερον τὴν ἱερὰν ὁπλοθήκην. Ἀλλ' ὦ πόσοι κλαυθμοὶ καὶ στεναγμοὶ συνελήλυθότες εἰς ἓν ἐξισωθῆναι δυνηθεῖεν ἂν τοῖς νῦν κατασχοῦσιν ἡμᾶς πάθεσιν; οἶμαι γάρ, οἶμαι, ἂν θάλασσα μὲν ἅπασα μεταβάλῃ πρὸς φύσιν δακρύων, ποταμοὶ δ' αὖ, ὁπόσοι τὴν γῆν περικλύζουσι, πρὸς δακρύων τραπῶσι φοράν, οὐδ' οὕτως ἂν ἱκανῶς δειχθείη τὸ μέγεθος ὅσον τῶν νῦν συμφορῶν. Ἐκεῖνος ἦν ὁ τῆς ἡγεμονικῆς τῶν Ῥωμαίων ὁλκάδος ἄριστος κυβερνήτης· οὗτος ὁ τὴν Ἑλίκην καὶ τὸν πόλον διασκοπούμενος ἄριστα. Ἐκεῖνος ὁ τὰς αἰθρίας καὶ τὰ νέφη τῶν πόλεων καὶ τοὺς ἐκεῖθεν χειμῶνας προβλέπων· οὗτος ὁ τὰ ἱστία καὶ τοὺς κάλως καὶ τὰ πρυμνήσια διατιθέμενος εὖ. Ἐκεῖνος ὁ τῆς φρονήσεως πρύτανις· οὗτος ὁ τῆς φρονήσεως ἐκείνου διανομεὺς δεξιός. Ἀλλ' ἄμφω νῦν ὁ θάνατος ὀξέως ἐπιδραμὼν, ὁ δυσμενὴς ὁπλίτης, φεῦ τοῦ πάθους, εἰς γῆν καὶ κόνιν κατέχωσεν. Ὦ πῶς οὐ γῆν μόνον, ἀλλ' ἤδη καὶ αὐτοὺς οὐρανοὺς καὶ ἀστέρας ὀξέως τὰ νῦν περιέδραμε πάθη καὶ αὐτῆς τῆς ἀνωτέρας ἁψάμενα λήξεως; Ἀλλὰ δεῦρο δή μοι πᾶς ὁ τῶν λειπομένων σοφῶν χορὸς, εἴπερ [P. 293] τινὲς λείπονται, θρηνήσατε τὴν πηγὴν τοῦ λόγου φραγεῖσαν. Θρηνήσατε σιγῶσαν τὴν πάνυ τοι ἐμμελῶς ἀττικίζουσαν πρότερον γλῶσσαν. καὶ τὸ γλυκὺ νέκταρ

fluctuum violentiæ resistere potest? O infelicem linguam meam, ad hujusmodi lamentationes reservatam! Heu malorum cumulum: heu mutationem rerum! Quos enim firmos quasi obices contra malorum insultus habebamus et illustria solatia, ii hodie contra nos calamitatum cohortes educunt. Nos vero adhuc subsistimus et lamentari non desistimus? Ubi est familiaritas sapientium? ubi doctorum certamina et honestæ velitationes? ubi oratorum cœtus, applausus, theatra, multo Panathenæis illis splendidiora? Evanuerunt omnia; in pulverem abierunt omnia. O tempus iniquissimum! itane e medio terrarum orbe sapientiæ metropolin tollere crudeliter haud dubitasti? itane per insidias eloquentiæ arcem evertisti? Cur tam continenter insultas **476** nobis sine ulla misericordia et satietate malorum? Heri maximum nobis imperatorem abstulisti; hodie solertissimum illius ministrum, Nestorem consiliarium, eum qui solus tanto imperatori satis fuit. Heri Gratiarum thalamum, hodie Gratiarum vestibulum. Heri ver bonorum; hodie nuntiam ejus hirundinem. Heri magnam et incomparabilem mentem; hodie mentis illius argutum præconem. Heri aureæ et magnæ illius linguæ sermones; hodie Academiam et Peripatum et Stoam illius linguæ et illorum sermonum. Heri Musas; hodie vivum et motu præditum Museum. Heri pietatis et dogmatum firmissimum munimentum; hodie dogmaticam panopliam. Heri sacerdotii regulam et amussim; hodie sacrum armamentarium. Sed quæ tandem lamenta, quæ suspiria in unum conjuncta malis nostris æquari queant? Arbitror, arbitror enim, si mare totum in lacrymarum naturam conversum, et omnes fluvii, qui terram irrigant, in lacrymarum abundantiam mutentur, ne sic quidem magnitudinem calamitatum, quibus nunc oppressi sumus, satis ostendi posse. Ille principalis Romanorum navigii optimus fuit gubernator; hic Helices et poli diligentissimus inspector. Ille serenitates et nubila urbium et imminentes inde tempestates prospexit; hic vela, funes, rudentes probe direxit. Ille prudentiæ penu; hic dexter illius promus **477** condus fuit. Sed utrumque nunc mors celeriter arreptum, infestus ille miles (proh dolor) in terram et pulverem depressit. O quomodo non terram tantum, sed jam ipsos etiam cœlos et stellas celeriter hæc mala percurrerunt et superiorem provinciam etiam invaserunt? Age vero prodi mihi huc omnis reliquus doctorum cœtus, si qui supersunt. Deplorate fontem eloquentiæ obturatum. Lugete Atticam illam linguam, non ita pridem suavissime locutam, et dulce illud nectar prorsus humi effusum. Lugete os illud, quod paulo ante mellis vobis favus fuit, nunc vero a mortis fucis est perditum. Lugete eum, qui Romanorum gloriam sua sapientia magis auxit, quam olim Atheniensium Socrates et Platones. Lugete universæ crateres sapientiæ, paulo momento in terram effusos. Atlo quis e medio terrarum orbe Musarum abripuit He-

licuem? Quis sapientiæ destruxit Olympum? Quis lucernam exstinxit, mentis nostræ oculos illustrantem et cilia nostri animi pulchre aperientem? Quis artem artium, scientiam scientiarum perdidit? Quis cœlestem hominem in fundum tumuli dejecit? Olim quidem Græcia Athenas eloquentiæ domicilium deploravit, cum eas per insidias celeres destruxisset Lysander Lacedæmonius. Nos vero hodie non satis deplorare possumus totam Græciam cum ipsis Athenis demersam. Unus enim hic vir fuit omnia. O Musæ, o facundia, **478** o virtutes, o omnes disciplinæ, quomodo agrestia lilia adeo celeriter estis imitatæ, cito quidem in alium decus arrectæ, sed citius arefactæ et dejectæ? Divina enim vestra cella, magnum illud et celebre vestrum diversorium, nunc terra et interitu oppressum una vestram quoque gloriam depressit. Hic fuit, qui omnes voce philosophos superaret et oratores, quos omnia sæcula celebrant: sed heu, jacet jam in pulvere et tumulo mutus. Hic fuit, qui mente et lingua cœlos et terras dimetiretur, quovis perpendiculo, quavis amussi rectius, nunc vero lapis exiguus eum dimetitur. Hic fuit magnorum cœli et terræ horizontum et parallelorum optima dioptra, hic optimus et sponte natus horoscopus; sed nunc eum ante tempus, o miseriam, brevis horizon terræ complectitur. Hic fuit, qui magnum impendit studium, ne in posterum Græci eruditi in judiciis veterum sapientum hallucinarentur. Hic fuit, qui contemplatricis siderum sapientiæ scientiam facilem reddiderit. Hic fuit, qui Aristotelicæ linguæ labyrinthos extricarit, at nunc obscuri sepulcri labyrinthi acerbe circa eum intricantur. Hic optimæ verecundiæ et modestiæ regulas; sed nunc eum mors impudenter amputavit. Heu, quo pacto tempus hoc paulo momento vetustatem omnem lamentationibus vicit: quod post multa solis curricula tantum detrimenti universæ naturæ humanæ in hunc usque diem inferre non **479** potuit, nostra vero ætate facillime potuit. Heri enim maxima et pulcherrima bona abripuit; ea vero quæ restabant hodie reversum etiam ademit. Heri terræ solem terræ visceribus occultavit, nunc etiam Luciferum simul occultavit. Heri musicam harmoniam abstulit, hodie magadem et nervos. O quomodo is, qui effecit ut cœli, qui longo jam tempore tacuerant, Dei gloriam enarrarent, nunc ipse in sepulcro tacet? Heu, quomodo ipse mortuus atque immotus viventem et mobilem misero mihi dolorem facit; qui toto die cor meum quovis cuse acutius penetrat ac potius totas noctes, si quod majus est dici debet? Interdiu enim et familiarium congressus crebri, et cœli ac terræ, eorumque quæ his continentur, pulchritudo forsitan a dolore nonnihil avertunt atque paulisper abstrahunt animum nostrum; nocte vero cum datur otium, nec est quod prohibeat, omnes calamitatum dolores simul irruunt; et pectore ac memoria mea occupata, ut eri canes cadaver, huc atque illuc distrahunt ac

A ἐκείνης ἀθρόως εἰς γῆν καταῤῥεῦσαν. Θρηνήσατε στόμα ἐκεῖνο, ὃ χθὲς μὲν καὶ πρότερον οἱονεί τι σίμβλον κατεφαίνετο μέλιτος, νῦν δὲ θανάτου κηφῆνες διέφθειραν. Θρηνήσατε τὸν τὸ Ῥωμαίων κλέος τῇ σοφίᾳ σεμνύνοντα πλέον, ἢ τὸ τῶν Ἀθηναίων πάλαι Σωκράτεις καὶ Πλάτωνες. Θρηνήσατε τοὺς τῆς σοφίας κρατῆρας ἁπάσης ἐν βραχεῖ κενωθέντας εἰς γῆν. Ἀλλ' ὦ τίς ἐκ μέσης τῆς οἰκουμένης τὸν τῶν Μουσῶν ἁφῆρπασεν Ἑλικῶνα; τίς τὸν τῆς σοφίας κατέχωσεν Ὄλυμπον; τίς τὸν λύχνον ἔσβεσε τὸν φωτίζοντα τοὺς ἡμῶν τῆς ψυχῆς ὀφθαλμοὺς καὶ καλῶς ἡμῶν τὸ τοῦ νοῦ διανοίγοντα βλέφαρον; τίς τὴν τέχνην τῶν τεχνῶν καὶ τὴν τῶν ἐπιστημῶν ἐπιστήμην διέφθειρε; τίς τὸν οὐράνιον ἄνθρωπον εἰς ᾅδου πυθμένας κατήνεγκε; Πάλαι γε μὴν ἡ Ἑλλὰς

B τὴν τῶν λόγων ἑστίαν ἐθρήνησε τὰς Ἀθήνας, ὁπόθ' ἐπιβούλως δρακὼν καθεῖλεν αὐτὰς ὁ Λακεδαιμόνιος Λύσανδρος. Ἡμεῖς δ' οὐδ' ἀξίως θρηνεῖν ἔχομεν σήμερον ὅλας Ἑλλάδας αὐταῖς Ἀθήναις συγκαταδύσας. Πάντα γὰρ εἷς ἀνὴρ οὗτος ἦν. Ὦ Μοῦσαι καὶ λόγοι καὶ ἀρεταὶ καὶ πᾶσα παιδεία, πῶς τὰ κρῖνα ταχέως οὕτωσί πως ἐμιμήσασθε τοῦ ἀγροῦ, ὀξέως μὲν πρὸς ὕψος καὶ κάλλος ἀρθέντα, ὀξύτερον δ' αὖ καταδύντα πρὸς μαρασμὸν καὶ φθοράν; Τὸ γὰρ θεῖον ὑμῶν ἀνάκτορον, τὸ μέγα καὶ περιβόητον ὑμῶν ἐνδιαίτημα ὑπὸ γῆν καὶ φθορὰν νῦν κατελθὸν καὶ τὸ ὑμέτερον συγκατέχωσε κάλλος. Οὗτος ἦν ὁ πάντας ὑπερφωνήσας φιλοσόφους καὶ ῥήτορας, ὁπόσους ὁ μακρὸς ὕμνησε χρόνος· ἀλλ' εἶμαι κεῖται νῦν ἐν κόνει καὶ χώμασιν ἄφωνος. Οὗτος ἦν ὁ τῷ νῷ καὶ τῇ

C γλώττῃ διαμετρῶν οὐρανὸν καὶ ἀστέρας βέλτιον ἢ κατὰ πάντα κανόνα καὶ στάθμην ἀνθρώπων· ἀλλὰ νῦν βραχὺς αὐτὸν διεμέτρησε λίθος. Οὗτος ἦν ἡ τῶν μεγάλων οὐρανοῦ καὶ γῆς ὁριζόντων καὶ παραλλήλων ὁρίστη διόπτρα, οὗτος ὁ κράτιστος καὶ αὐτοφυὴς ὡροσκόπος· ἀλλὰ νῦν αὐτὸν καὶ πρὸ τῆς ὥρας, φεῦ τοῦ δεινοῦ, βραχὺς ὁρίζων τῆς γῆς περιείληφεν. Οὗτος ἦν ὁ πολλὴν ἐνδειξάμενος πρόνοιαν τῶν ἐξῆς ἐλλογίμων Ἑλλήνων, ὡς μὴ διακινδυνεύοιεν περὶ τὰς κρίσεις τῶν πάλαι σοφῶν· οὗτος ὁ βαθίαν τὴν τῆς ἀστροθεάμονος ἐπιστήμης σοφίαν πεποιημένος· οὗτος ὁ τῆς Ἀριστοτελικῆς γλώττης τὰς λαβυρίνθους ἁπλώσας· ἀλλὰ νῦν αἱ ζοφώδεις τοῦ τάφου λαβύρινθοι πικρῶς περὶ αὐτὸν φεῦ ἐξελίσσονται. Οὗτος ὁ τῆς

D ἀρίστης αἰδοῦς καὶ τῆς σωφροσύνης κανών· ἀλλὰ νῦν αὐτὸν ὁ θάνατος ἀναιδῶς ἐξέτεμε δραμών. Ὦ πῶς ὁ παρὼν οὗτος χρόνος ἐν βραχεῖ πάντας ἀθρόον τοὺς πάλαι [P. 294] χρόνους τοῖς θρήνοις νενίκηκε; Πολλοὺς γὰρ ἀμείψας ἡλίους τοσαύτην ζημίαν καθ' ὅλης τῆς ἀνθρωπίνης ἐπενεγκεῖν φύσεως μέχρι νῦν οὐ δεδύνηται· νῦν δ' ἐφ' ἡμῶν ῥᾷστα δεδύνηται. Χθὲς μὲν γὰρ τὰ πρῶτα καὶ μέγιστα τῶν καλῶν ἐλθὼν ἀφείλετο· τὰ δὲ λειπόμενα σήμερον ἐπανελθὼν προσαφείλετο. Χθὲς τὸν τῆς γῆς ἥλιον γῆς πυθμέσιν ἀπέκρυψε· νῦν δὲ καὶ τὸν ἑωσφόρον ὁμοῦ συναπέκρυψε. Χθὲς τὴν μυστικὴν ἀνεῖλεν ἁρμονίαν· σήμερον τὴν μαγάδα καὶ τὰς νευράς. Ὦ πῶς ὁ σιγῶντας τοὺς οὐρανοὺς εὑρηκὼς ἐκ πολλοῦ, ἔπειτα τὴν τοῦ Θεοῦ διηγεῖσθαι δόξαν αὐτός, παρεσκευακὼς, νῦν ἐν

τάφῳ σιγᾷ; ὦ πῶς νεκρὸς ὢν αὐτὸς (φεῦ τῆς ἐμῆς A συμφορᾶς) κινούμενόν τε καὶ ζῶν ἐμοὶ παραπέμπει τὸ πάθος, ὅλην τὴν ἡμέραν τὴν ἐμὴν κατατέμνον καρδίαν ξίφους παντὸς χαλεπώτερον, μᾶλλον δὲ καὶ νύκτας ὅλας, εἰ χρὴ τὸ μεῖζον εἰπεῖν; Ἡμέρας μὲν γὰρ καὶ τῶν ἐντυγχανόντων ὁμιλίαι συχναὶ καὶ κάλλος οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις κτισμάτων ἴσως ἀφέλκουσί τε τοῦ πάθους καὶ ἀποσπῶσιν ἐπὶ βραχὺ τὸν ἡμέτερον νοῦν· νυκτὸς δὲ σχολῆς γενομένης ἤδη κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν αἱ πᾶσαι τῶν συμφορῶν ἀλγηδόνες· ἀθρόαι δραμοῦσαι καὶ τὴν ἐμὴν μετὰ τῆς μνήμης καρδίαν συνειλήφυῖαι, καθάπερ τινὲς κύνες ἄγριοι σῶμα πεπτωκὸς, ἔνθεν κἀκεῖθεν πικρῶς περιέλκουσι, φεῦ! καὶ συμπίγουσιν. Ὦ πῶς πολλάκις ἐς αὐτὸν ἔγωγε ἀπ' ὧν σοφίας ἁπάσης ἐπιδημίαν ἐς ἀνθρώπους αὐτὸν εἶναι B ἐνόμισά, ψυχὴν καὶ σῶμα προσειλῆφυίας καὶ συνδιαιτωμένης ἀνθρώποις, ἵνα σοφοὺς ἀκροατὰς συνετίσῃ καὶ τὰ τῆς ἐπιστήμης καταστορέσῃ ναυάγια; ὦ πῶς μετεμψύχωσίν τινα δοξάζειν καὶ αὐτὸς κεκινδύνευκα ἐπ' ἐκείνῳ γενέσθαι καὶ πάντων ὁμοῦ τὰς ψυχάς, Ὁμήρου καὶ Πλάτωνος καὶ Πτολεμαίου, καὶ ὅσοι ῥητορεύουσαν πεπλουτήκασι γλῶσσαν, ἐν ἑνὶ τῷ τούτου σώματι συνδραμεῖν καὶ διατρίβειν αὖθις ἐν βίῳ, καθάπερ ὀλκάδι μυριοφόρῳ χρωμένους αὐτῷ; Ἀλλὰ νῦν ὁ τοσοῦτος καὶ τηλικοῦτος, φεῦ τῆς ἐμῆς συμφορᾶς! ἥρπτο ἀπιὼν εἰς τάφον καὶ κόνιν, πολὺν τὸν τῆς λύπης ἀνάψας πυρσὸν κατὰ τῆς ἐμῆς καρδίας. Οὐ γὰρ ἠδύνατο ζῆν ἄνευ ψυχῆς καὶ πνοῆς. Ψυχὴ δὲ πάντως αὐτοῦ καὶ πνοή, καὶ πᾶν εἴ τι C ζωογονεῖν ἐπέφυκε, οὐχ ἕτερον ἦν τῶν ἁπάντων αὐτῷ; ἢ βασιλεὺς ὁ θεῖος ἐκεῖνος καὶ ὑπὲρ ἄνθρωπον ἄνθρωπος, ὃς καὶ ζῶν ἔτι ἐξαίρειν ἠπείγετο πολλῷ τῶν ἄλλων αὐτὸν, δεικνὺς ἐναργῶς, ὡς τοσούτῳ βασιλεῖ τοσοῦτον εἶναι καὶ τὸν ὑπηρέτην χρεών· τῷ φρονιμωτάτῳ δηλαδὴ τῶν ὅσοι τὴν γῆν διενείμαντο ἄνθρωποι τὸν πάσῃ σοφίᾳ πάντων ἐπέκεινα χρώμενον. Καὶ νῦν δ' αὖ τῶν ἐντεῦθεν ἀπαλλαγεὶς οὐκ ἔκρινε δεῖν ἀπηρτῆσθαι τοῦτον ἐπὶ τοσοῦτον αὐτοῦ· καὶ μέντοι ταχέως προσκαλεσάμενος [P. 295] ταχέως καὶ προσειλήφει. Εἰ μὲν δὴ οὖν ἀπελθόντος ἐκείνου ζῆν οὗτος οὐκ ἠδύνατο, καθάπερ σῶμα ψυχῆς ἀπερρωγὸς, βαθεῖ τῆς συμπνοίας τε καὶ τῆς μίξεως, ἣν εἰς ἄῤῥηκτόν τινα τὸν δεσμὸν ἡ μακρὰ συνήρμοσε σχέσις. Εἰ δὲ καλέσαντος ἐκείνου ἔδραμε, παραχρῆμα D ῥίψας τὸ σῶμα, βαθεῖ τῆς ἀγάπης καὶ τῆς στοργῆς, ἣν προσηκόντως ἔσχε πρὸς τὸν δεσπότην. Ἡρακλῆς μέντοι ἐκεῖνος, εἰ δὴ τὰ ὄντα εἰρήκασιν οἱ τῶν μύθων ἐνταῦθα πατέρες, πᾶσαν δ' ἔδραμε τὴν ὑφ' ἥλιον, ὡς ἂν μάρτυρα τῶν οἰκείων ἅπασαν κτήσηται ἄθλων· οὗτοι δ' ἐντὸς ὅρων μένοντες μόνῃ τῇ βελτίστῃ φήμῃ καὶ τὰς Ἡρακλείους διέβησαν στήλας καὶ ῥᾷστα πᾶσαν ἀνηρτήσαντο τὴν ὑφ' ἥλιον. Ἀλλὰ νῦν ἐξ ἀνθρώπων ἀπῆλθον, ἀθανατίσαντες πρότερον ἑαυτοὺς καὶ μνήμην καταλιπόντες ζῶσαν διηνεκῶς ἐν ταῖς τῶν ἐπιγινομένων ἀνθρώπων ψυχαῖς. Ἡμῖν δὲ τοιούτων καὶ τοσούτων προβόλων καὶ στηριγμάτων οὕτωσι στερηθεῖσι τίς ἐλπὶς λείπεται τἀγαθοῦ; Ταυτὸν γάρ τι καὶ ἡμῖν νῦν ἔπεται δεδιέναι, ὅπερ ἄμπελοι καὶ φυτὰ νεογνά, ἐπειδάν τις ἐπιβούλως τοὺς κύκλῳ περιβόλους τε καὶ φραγμοὺς καθελὼν μηλόβοτον καταστήσῃ τὸν χῶρον. Ἀλλὰ γὰρ εἴρηται κἀμοὶ τῆς μὲν ἀξίας, ὦ παρόντες, πάντως ἔλαττον· τῆς δὲ τῶν ἄλλων προθυμίας ἴσως οὐκ ἔλαττον. Ἡ μὲν γὰρ ἀξία τῆς ἐκείνου γλώττης ἐδεῖτο· ἡ δὲ προθυμία γνώμης τῆς ἐμαυτοῦ. »

A discerpunt. Quoties ego illum intuitus universam sapientiam mortales invisisse cogitavi, et animo corporeque assumptis hominum consuetudine esse usam, ut sapientes auditores sapientia augeret et scientiæ naufragia sedaret! Parum certe abfuit, quin et ipse animos in alia migrare corpora statuerem, et omnium simul animos Homeri, **480** Platonis et Ptolemæi ac præstantium oratorum in unius hujus concurrisse corpore, atque in vita versatos esse, eoque tanquam maximo navigio ingeniorum suorum usos. At tunc tantus et tam præstans ille vir, heu calamitatem! sepulcrum et pulverem subiit, magna doloris flamma incensa in meo pectore. Vivere etenim sine anima et spiritu utique non potuit. Animus vero ejus et spiritus, et si quod B est quod vitam conferre queat, nihil omnium fuit aliud, quam imperator divinus ille, et homine superior homo; qui et vivens illum longe super alios omnes evehere conatus evidenter ostendit, tanto imperatori tanto etiam ministro esse utendum; prudentissimo nimirum terram incolentium omnium hominum, eo qui omni sapientia omnes superaret. Nunc vero ille rebus humanis relictis non diu a se remotum esse hunc oportere censuit, sed celeriter arcessitum secum conjunxit. Quod si ergo illo digresso vivere hic non potuit, veluti corpus ab animo divulsum: papæ, qualis illa fuit conspiratio atque conjunctio, quam indissolubili vinculo diuturnus usus conglutinavit! Quod si ab illo arcessitus statim abjecto corpore accurrit: o amorem et C charitatem singularem, qua, ut decuit, dominum est prosecutus! Hercules ille quidem, siquidem hoc vere dixerunt fabularum patres, terrarum orbem peragravit, ut is suorum certaminum testis esset. Illi vero cum intra limites manerent, sola optima fama etiam **481** Herculanas columnas superarunt; et quidquid sol intuetur, in se converterunt. Nunc vero e rebus humanis discesserunt, cum se prius immortalitati consecrassent suique memoriam perpetuo in posterorum animis victuram reliquissent. Nobis autem, talibus et tantis præsidiis ac munitionibus destitutis, quæ ullius boni spes relinquitur? Idem enim et nobis vereri nunc subit, quod vitibus et plantis novellis, si quis D maceriis et sæpibus fraude remotis eas pecudibus patere sinat. Enim vero dictum est a me, auditores, prorsus infra viri dignitatem; at non fortasse infra cæterorum affectum. Nam dignitas facundiam ipsius, aliorum affectus meum animum requirebat. »

Γ'. Τούτων οὕτω λεγομένων πολὺς πρὸς τῶν συγ-

III. Quæ cum ad hunc modum dicerentur, magnus

cognatorum ejus luctus est exortus. Fuit ille vir animo quidem bonus atque in primis temperans; corpore autem robusto, cujus staturam omnem velut ad amussim natura a capite ad calcem usque direxerat, nec non singula membra et partes. Ornabatur præterea hilari vultu, in quo ipsius risus suavitatem gravitas quædam temperabat; moribus placidis et humanis. Honorem vero ex eloquentia magis quam ex ulla re alia expetebat. Quam ad rem ingenii celeritate ac fœcunditate incitabatur. Ardentissimo autem religionis studio et pietate plane similis erat defuncto imperatori.

γενῶν ἐγίνετο θρῆνος. Εἶναι δὲ τὸν ἄνδρα συνέβαινε τὰ ἐς ψυχὴν ἀγαθὸν μὲν καὶ σώφρονα ἐν τοῖς μάλιστα· ἐῤῥωμένον δὲ τὸ σῶμα καὶ πάντα σύμμετρα κεκτημένον, ὥσπερ ὑπὸ κανόνι καὶ στάθμῃ τῆς φύσεως τελεσιουργησάσης αὐτῷ τήν τε ἡλικίαν ὁμοῦ πᾶσαν καὶ αὖ καθ' ἕκαστα τῶν μελῶν καὶ μερῶν· ἐπιπρέπειν δ' αὐτῷ καὶ ἱλαρότητα ὄψεως μετά τινος σεμνοῦ μειδιάματος καὶ ἦθος γαληνὸν καὶ εὐπρόσιτον· φιλότιμον δ' εἶναι τὰ ἐς λόγους μᾶλλον ἢ πάντα χρήματα· ἐχορήγει γὰρ αὐτῷ πολλὴν τὴν ὁρμὴν καὶ ἡ τῆς διανοίας ὀξύτης καὶ τὸ τῶν νοημάτων γόνιμον· τὴν δὲ πρὸς τὰ θεῖα διάπυρον εὐλάβειαν καὶ εὐσέβειαν ὁμότροπον εἶναι καθάπαξ τῷ τελευτήσαντι βασιλεῖ.

CAPUT III.

Joannes Palæologus nascitur. Andronicus pater, ea re audita, lætus Didymotichum rediit. Vestem mutat. Ludos celebrat. Duo certamina: Justa et Torneamentum; utrumque periculosum. Imperator utrique se immiscet, senioribus frustra reclamantibus. Ludorum missio.

482 I. Sequente æstate imperatoris conjux Anna domina, quæ Didymotichi prægnans agebat, decimo' octavo die Junii filium Joannem imperatorem peperit. Quo imperator audito celerrime Didymotichum rediit: et lætitia exsultans, lugubri veste quam propter avi mortem gerebat deposita, splendidiorem sumpsit. Deinde duo etiam certamina celebravit, Olympicorum ludorum similitudinem quamdam servantia: quæ cum antea quoque sæpius edidisset, nunc tamen majore apparatu exornavit. Hi ludi a Latinis olim sunt excogitati exercendi corporis gratia, cum a re bellica vacabant.

II. Eorum unus duelli speciem præ se ferens Justa apud Latinos dicitur. Dividuntur secundum tribus, municipia, curias. Deinde ex utraque parte armantur singuli contra singulos, qui volunt, et ab omni parte armis teguntur. Deinde uterque sumpto hastili, cujus extremum tribus cuspidibus armatur, in se invicem irruunt et valido impetu concurrunt, et alii alios hastis quam fortissime impellunt. Qui adversarium equo dejecerit, victor proclamatur. Istud singulare certamen ipsi etiam imperatori sortito obtigit: et parum abfuit, quin sæpe lethalem ictum acciperet. Unde cum a senioribus moneretur, ut hujusmodi rebus abstineret (nec enim decere imperatorem a servis pulsari, idque non simulate, imo cum aliquo periculo), non paruit: **483** sed illis repulsis, ut qui degeneris sibi metus auctores essent æqualibus suis militibus magis est obsecutus.

Γ'. Θέρους δ' ἐπιγενομένου (58) ἔγκυος ἐν Διδυμοτείχῳ διάγουσα ἡ τοῦ βασιλέως σύζυγος Ἄννα ἡ δέσποινα υἱὸν κατὰ τὴν ιη' Ἰουνίου γεγέννηκεν, Ἰωάννην τὸν βασιλέα. Ὁ δὴ πυθόμενος ὁ βασιλεὺς τὴν ταχίστην αὖθις ἐπανῆκεν ἐς Διδυμότειχον· καὶ περιχαρὴς [P. 296] γενόμενος ἠμείψεν ἐς τὸ λαμπρότερον τὰ ἐνδύματα, ἃ διὰ τὴν τοῦ πάππου τελευτὴν ἐνεδέδυτο. Εἶτα καὶ ἀγῶνας ἐξετέλεσε δύο, μίμησίν τινα τῶν Ὀλυμπιακῶν ἀποσώζοντας, οὓς καὶ πρότερον μὲν πολλάκις ἐτέλει, νῦν δὲ φιλοτιμότερον· οἱ δὴ τοῖς Λατίνοις πάλαι ἐπινενόηνται γυμνασίας ἕνεκα σώματος, ὁπότε σχολὴν ἄγοιεν τῶν πολεμικῶν.

Β'. Τούτων ὁ μὲν εἷς μονομαχίας ἔνδειξιν ἔχει καὶ κιντζούττρα (59) παρὰ Λατίνοις καλεῖται. Μερίζονται γὰρ κατὰ φυλὰς καὶ δήμους καὶ φρατρίας· ἔπειτα ὁπλίζουσιν ἀφ' ἑκατέρου μέρους ἕνα καὶ ἕνα τῶν βουλομένων τινὰς καὶ πάντη καταφράκτους καθιστῶσιν. Ἔπειτα δόρυ λαβόντες ἑκάτερος ἐν τρισὶν ὀβελίσκοις ἐσκευασμένα τὰ ἄκρον ἐπιπηδῶσιν ἀλλήλοις καὶ ἀπαντῶσιν εὐρώστως καὶ ὠθοῦσιν ἀλλήλους τοῖς δόρασι μετὰ πάνυ γενναίας τῆς ὁρμῆς· καὶ ὁ τοῦ ἵππου καταβαλὼν τὸν ἀντίπαλον στεφανίτης ἀναγορεύεται. Κλήρῳ γοῦν καὶ ὁ βασιλεὺς τὴν τοιαύτην λαγχάνει μονομαχίαν, ὥστε καὶ παρὰ μικρὸν ἦλθε πολλάκις πληγῆναι καιρίαν. Διὸ καὶ παραινούμενος ὑπὸ τῶν γηραιοτέρων ἀπέχεσθαι τῶν τοιούτων ἔργων· ἀνοίκειον γὰρ εἶναι πάντη βασιλεῖ πρὸς τῶν δούλων παίεσθαι, καὶ ταῦθ' οὕτως ἀνυποστόλως, ᾧ καὶ κίνδυνος ἕπεται· οὐκ ἐπείθετο, ἀλλὰ τοῖς ἡλικιώταις τῶν στρατιωτῶν μᾶλλον βραβεύων τὴν τῆς βουλήσεως ψῆφον τούτου; ἀπήλαυνε, δειλίαν ἀγεννῆ ταῖς αὐτῶν καταψηφιζόμενος παραινέσεσιν.

Variorum notæ.

(58) Cantacuzenus lib. III, cap. 2, scribit Joannem, cum pater obiit (an. scilicet 1356 *, Junii 25) novennem fuisse, proinde natum anno 1337. Laonicus quodennem fuisse ait. DUCANG.

(59) Videtur legendum καὶ δζούστρα. De hac utraque apud Latinos usitata decursionis ac monomachiæ ludicræ specie dissertationes duas edidimus ad Joinvillæ Historiam, 6, 7, ubi Gregoræ et cæterorum scriptorum Græcorum eo spectantes locos multis expendimus, maxime pag. 168. DUCANG. — *Καὶ ντζούστρα παρὰ Λατίνοις καλεῖται.* Ita cod. Regius. At in Wolfiana editione legebatur Κιντζούστρα, vox, ut mihi videtur, facta ex Gallico *qui joustera?* Vide et notas Ducangii ad hunc locum. BOIVIN.

* imo 1341, *Junii* 15, et *natus anno* 1352. BOIVIN.

Γ'. Ὁ δ' ἕτερος τῶν ἀγώνων τορνεμὲν (60) προσαγορεύεται. Ἔχει δὲ οὕτως. Μερίζονται κἀνταῦθα κατὰ φυλὰς καὶ δήμους καὶ φρατρίας, καὶ ὁπλίζονται πάντες ὁμοῦ. Καὶ ἀρχαιρεσιῶν γιγνομένων κλήρῳ λαγχάνουσι τὴν ἡγεμονίαν δύο τινὲς ἐξ αὐτῶν, ἑκατέρου μέρους ἑκάτερος. Τούτου τοίνυν οὕτω μὲν πρότερον, νῦν δὲ συνεχῶς (61), τελουμένου συναρίθμιος γίνεται καὶ ὁ βασιλεὺς [P. 297] τοῖς ὑφ' ἡγεμόνι τεταγμένοις, οἱῳδήτινι στρατιώτῃ· καὶ συῤῥηγνυμένων κατ' ἴσον ἀριθμὸν ἀμφοτέρων τῶν τάξεων μετὰ ῥοπάλων στερρῶν παίει τε καὶ ὁ βασιλεὺς καὶ παίεται ἀφειδῶς. Ἐπεὶ καὶ τὸν τρώσαντα, ἢ καὶ ἀποκτείναντα, συμβὰν οὕτωσί πως, κἂν τοῖς ἀγῶσιν ἀμφοτέροις, ἀνέγκλητον (62) εἶναί σφισι νόμιμον ἦν. Μετὰ δὲ τὴν τοῦ ἀγῶνος τούτου διάλυσιν ἀπολαμβάνοντες ἑκάτερα τὰ μέρη τὸν σφῶν αὐτῶν ἡγεμόνα, μεθ' ὧν καὶ ὁ βασιλεὺς τὴν τῶν ὑποτεταγμένων τάξιν οὐκ ἀπολιμπάνων τυγχάνει, ἄγουσι προπομπεύοντες εὐρύθμως· καὶ κατὰ συζυγίαν ἐκ διαστήματος, ἄχρις οὗ συμπέπτωκε καταλύειν ἑκάτερον· ἔνθα προπίνων ἐκεῖνος ἅπασιν οἴνου κρατῆρα καὶ δεξιὰν ἑκάστῳ προτείνων, οἴκαδε ἀπαλλάττεσθαι πάντας κελεύει.

III. Alterum certamen Torneamentum appellatur. Ita autem se habet. Dividuntur et hic secundum tribus, municipia, et curias, et simul omnes armantur. Deinde habitis comitiis duo ex iis duces sorte diliguntur, suæ quisque parti præfuturus. In eo certamine, quod et antea usurpatum fuerat, nunc autem quotidie celebratur, imperator ipse ex eorum numero fuit, qui duci, hoc est militi, qualiscunque is foret, obtemperarent. Cum igitur utrinque acies pari numero congrederentur, imperator robustis clavis et feriebat et sine reverentia feriebatur. Ea enim certaminis lex est, ut qui alterum vulnerarit aut fortasse occiderit, indemnis sit. Post certaminis hujus finem utraque pars, atque inter cæteros imperator ipse inferiorem locum non deserens, ducem suum rite et composite præcedentes, bini intervallis divisi, in suum diversorium deducunt. Ubi ille cuique vini craterem propinans et dextram porrigens omnes domum redire jubet.

CAPUT IV.

Imperator bellum infert Alexandro. Bulgarorum agros vastat. Castella aliqua recuperat. Alexander pacem per legatos petit. Non impetrat. Quot castella in monte Hæmo ab Andronico seniore exstructa aut munita fuerint. Alexandri copiæ et improvisus adventus. Romanæ vires Bulgaricis impares. Acies utrinque instruuntur. Imperator suos hortatur ad pugnam. Cruentum prælium. Cantacuzenus et Protosebastus quantum virtute præstiterint. Equi mira constantia. Romani effuse fugiunt. In castellum proximum vi irrumpunt. Laborant omni parte. Præsidia Romana Mesembriæ et alibi exterminantur. Cum Alexandro offenso nulla spes pacis componendæ. Imperator consilii inops spem in Deo collocat, stimulante tamen conscientia. Alexander misericordia motus pacem ei ultro concedit. Benigna admonitione castigatum dimittit.

Α'. Τούτων τοίνυν (63) ἐν Διδυμοτείχῳ καὶ νῦν τελεσθέντων, ἀναλαβὼν ὁ βασιλεὺς ἱκανὴν στρατιὰν ἀκήρυκτόν τινα καὶ αἰφνίδιον ἐξάγει πόλεμον κατὰ Βουλγάρων, πρὶν ἐκείνους αἰσθέσθαι, βουλόμενος αὖθις σφετερίσασθαι τὰ περὶ τὸν Ἄῖμον φρούρια, ὅσα πρὸ βραχέος Ἀλεξάνδρῳ προσεχωρήκει. Ἐμβαλὼν οὖν ἐς τὴν πολεμίαν ἐδῄου καὶ ἔκαε τὴν χώραν, μηδὲ τῶν ἀσταχύων φειδόμενος ἔν ἄλωνι τυγχανόντων· ἐπιπορευόμενος δὲ καὶ τὰ φρούρια, καὶ ἀπειλῶν περιστρατοπεδεύσεις καὶ πολιορκίας, παρεστήσατο καθ' ὁμολογίαν καὶ τούτων ἔστιν ἃ, ὑποσπόνδων ἀπιόντων τῶν ἐν φρουρᾷ τεταγμένων παρ' Ἀλεξάνδρῳ.

I. His nunc quoque Didymotichi peractis, imperator cum justis copiis bellum Bulgaris prius infert quam indicit, cum ii haud præsensissent, ut castella juxta Hæmum recuperaret, quæ paulo ante ad Alexandrum se contulerant. **484** Igitur impressione in hostilem terram facta ferro et igni agros vastat, ne desectæ quidem segeti et in horrea comportatæ parcens. Castella item obeundo, et obsidiones ac oppugnationes minitando, in deditionem nonnulla accepit, ex quibus præsidia Alexandri, compositione facta, discesserunt.

Β'. Ταῦτα πυθόμενος Ἀλέξανδρος καὶ περιαλγὴς

II. Quibus Alexander auditis dolore affectus

Variorum notæ.

(60) *Τόρνε.* Expressit Gallicum *Tournoi.* DUCANG. — *Ὁ δ' ἕτερος τῶν ἀγώνων Τορνεμέν.* Ita idem codex Regius, non Τόρνε μὲν, ut legebat Wolfius. Facta etiam hæc vox ex Gallico vocabulo *Torneiment*, vel *Tournoiement*, quod et *Torneamen* et *Torneamentum* ab infimæ Latinitatis scriptoribus dici solet. Cantacuzenus, *Hist.* lib. I, cap. 47, vocat Τερνεμέντα. BOIVIN.

(61) Testis est Cantacuzenus eos ludos non fuisse in usu apud Byzantinos, antequam Andronicus junior uxorem duxisset Annam Sabaudam. Ἐκ μέντοι Σαβωΐας, inquit, οὐκ ὀλίγοι τῶν εὐπατριδῶν εἰς τὴν Ῥωμαίων ἀφικνούμενοι.... τὴν λεγομένην Τρουστρίαν· καὶ τὰ Τερνεμέντα αὐτοὶ πρῶτοι ἐδίδαξαν Ῥωμαίους, οὔπω πρότερον περὶ τῶν τοιούτων εἰδότας οὐδέν. Unde suspicor legendum esse hoc loco apud Gregoram, τούτου τοίνυν οὔπω μὲν πρότερον, νῦν δὲ συνεχῶς τελουμένου, id est, *hoc itaque certamen nunquam superiori ætate, at nunc quotidie celebrari solitum.* Nec obstat quod idem Gregoras supra (hoc cap. sect. 1) dixerit, *sæpius jam antea eosdem ludos fuisse ab Andronico editos.* Nam illud, *sæpius jam antea*, non pertinet ad superiora sæcula, sed ad ipsius Gregoræ ætatem. Οὔπω in οὕτω mutatum passim in codicibus manuscriptis occurrit. Vide lib. XVII, infra cap. 2, sect. 1. BOIVIN.

(62) Vide eamdem dissertation. 7, pag. 169, 170. DUCANG.

(63) De hoc suscepto bello adversus Alexandrum Bulgarorum regem ab Andronico Juniore, et pace inita, agit Cantacuzenus, lib. II, cap. 26, 27. DUCANG.

legatos de pace ad imperatorem mittit. Indignum enim esse Christianis, adeo crudeliter contra sese grassari, cum pax et concordia inter ipsos constitui possit et belli acies in impios utriusque inimicos converti. Ad hæc imperator respondet, æquum esse, ut Romanis exstructa castella pacem, ac legatos re infecta dimittit. Amplius enim quindecim castella avus ejus imperator Andronicus in cacuminibus et præruptis Hæmi locis partim a fundamentis exstruxerat, partim novis operibus munierat, Protostratoris-Glabæ opera, qui tum provinciam Thraciam administrabat, ut crebræ Scytharum incursiones veluti perpetuo muro interjecto prohiberentur.

A γενόμενος διαπρεσβεύεται πρὸς τὸν βασιλέα περὶ εἰρήνης, οὐκ ἄξιον εἶναι λέγων Χριστιανοῖς ἀπηνῶς οὕτωσὶ κατ' ἀλλήλων ἐπιέναι, ἐνὸν ὁμοδοξεῖν ἀλλήλοις τὰ πρὸς εἰρήνην καὶ ὁμοῦ κατὰ τῶν ἀσεβῶν ἀντιπαρατάττεσθαι, πολεμίων ὄντων ἀμφοῖν. Ὁ δὲ βασιλεὺς δίκαιον εἶναι φήσας ὑπείκειν Ῥωμαίοις τὰ πάλαι παρὰ Ῥωμαίων ἀνοικοδομηθέντα φρούρια, τοὺς πρέσβεις ἀπράκτους ἀπέπεμψε. Πλείονα γὰρ ἢ πεντεκαίδεκα [P. 298] φρούρια παρὰ τὰς ἀκρότητας καὶ ἀποτομὰς τοῦ Αἵμου ὁ πάππος αὐτοῦ καὶ βασιλεὺς Ἀνδρόνικος, τὰ μὲν ἐκ βάθρων ἀνήγειρε, τὰ δ' ἐπῳκοδόμησε διὰ τοῦ τότε ἐπιτροπεύοντος Θράκην Γλαβᾶ τοῦ πρωτοστράτορος, ἵν' εἴη κώλυμα καὶ διάφραγμα τῆς συνεχοῦς τῶν Σκυθῶν διαβάσεως.

III. Quæ ab illo sic dicta cum Alexander æquo animo ferre minime posset, copias suas statim contractas ad octo millium numerum, et duo millia Scytharum mercede conductorum arcessit; Termoeque profectus quinto die ad castellum, cui Rhaucocastra nomen est, pervenit, ibique castrametatur. Ibi enim etiam imperatorem esse audierat. Qui quamvis inopinato hostium adventu perculsus, **485** tamen in media hostili terra, cum aliud consilium rerum difficultas præsens non patefieret, Romanas et ipse copias ut licet eduxit, hostibus minime pares, ut quæ vix trium millium numerum explerent, iisque in tres acies distributis non procul a castello est progressus, quod subsidio sibi et receptui esse volebat, si cessim recedendum foret. Cum vero hostes innumeros videret, eorumque aciem ita instructam, ut dextrum et sinistrum cornu in longissimam seriem utrinque porrigeretur, gravis armatura in medio esset, extremum autem agmen profundum et firmi cujusdam fundamenti instar foret; veritus, ne circumveniretur, statim consilio mutato Romanas copias in unam ancipitem aciem contraxit, lunæ corniculantis speciem imitatus.

B Γ'. Ταῦθ' οὕτω λεχθέντα καθ' ἡσυχίαν Ἀλέξανδρος ἥκιστα φέρειν δυνάμενος τὰς αὐτοῦ συναθροίζει δυνάμεις εὐθὺς ἐς ὀκτακισχιλίους τὸν ἀριθμόν. Μεταπέμπεται δὲ καὶ δισχιλίους ἐκ Σκυθῶν μισθοφόρους. Ἅρας οὖν ἐκ Τερνόβου πεμπταῖος ἀφίκετο καὶ κατεστρατοπέδευσεν ἀγχοῦ τοῦ φρουρίου τοῦ ἐπιλεγομένου Ῥουσοκάστρου. Ἐκεῖ γὰρ εἶναι καὶ τὸν βασιλέα ἐπύθετο. Ὁ δὲ βασιλεὺς καταπλαγὴς μὲν ἐγεγόνει πρὸς τὴν αἰφνίδιον ἔφοδον τῶν πολεμίων· τῆς δὲ περιστάσεως ἥκιστα συγχωρούσης ἐν μέσῃ τῇ πολεμίᾳ βουλεύσασθαί τι βέλτιον, ἐξῆγε καὶ αὐτὸς ὡς ἐξῆν τὴν Ῥωμαϊκὴν δύναμιν, οὐκ ἀξιόμαχον οὖσαν τοῖς ἀντιπάλοις, ἀλλὰ μόλις ἐς τρισχιλίους τὸν ἀριθμὸν ἀνιούσης, καὶ ἐς τρεῖς αὐτὴν διανεῖμας τάξεις οὐ πάνυ πόρρω τοῦ φρουρίου προῆγεν. Ἔχειν γὰρ αὐτὸ μεμελέτητο καταφυγήν τινα πρὸς τὴν ἐπὶ πόδα ἀναχώρησιν. Ἐπεὶ δὲ τοὺς πολεμίους ἐπιόντας ἑώρα τό τε δεξιὸν καὶ λαιὸν κέρας εἰς ἐπιμήκη στίχον ἑκατέρωθεν ἐκτείναντας, τὰ δὲ βαρύτερα τῶν ὅπλων εἰς μέσον ἔχοντας καὶ ἅμα τὸ βάθος τῆς οὐραγίας ὥσπερ τινὰ στερρὸν θεμέλιον, φοβηθεὶς τὴν κύκλωσιν μεταβουλεύεται τάχιστα καὶ πρὸς μίαν τὰς Ῥωμαϊκὰς δυνάμεις ἤθροισε τάξιν ἀμφίστομον, ὥσπερ σεληνοειδὲς σχῆμα πεποιηκώς, ὁπότε μηνοειδὴς εἴη.

IV. Ipse in medium progressus suos inclamat et confirmat. « Cogitate, inquit, viri, nos in peregrina et hostili pugnare terra et longe a patria exclusos; nec socias habere civitates, quæ nobis ad improvisum hoc prælium opem ferant, neque D unde mercenarium militem arcessamus. Quare nec pugnemus hodie, ut statim morituri et una cum hoc sole occubituri. Fortium nostrorum et generosorum laborum testes relinquamus hostilem hanc terram, in qua hodie de vita dimicamus, et hostium qui supererunt oculos. Quorum **486** vos multitudo ne perturbet. Scimus enim multos magnos exercitus a parvis facillime esse cæsos. Eadem et ipsi spe nitamur, ineffabilem Dei clementiam intuentes, qua tum alia, tum illud effectum est, ut Themistocles Atheniensis cum parvis copiis, in angustiis ad Salaminem, omnes fere Persarum vires demerserit; atque ut post hunc rursus Thebanus Epaminondas bis maximas

Δ'. Αὐτὸς δ' ἐς μέσους περιερχόμενος ἐπεφώνει τε καὶ παρεθάρρυνε, « Σύνετε δή, λέγων, ὦ ἄνδρες, ὡς ἐν ἀλλοτρίᾳ καὶ πολεμίᾳ μαχόμεθα γῇ καὶ πόρρω που τῆς πατρίδος ἀποκεκλείσμεθα· καὶ οὔτε συμμαχίδας ἔχομεν πόλεις, αἳ παραβοηθήσουσι τήμερον ἡμῖν ἐς τὸν αἰφνιδίως συμπεσόντα τουτονὶ πόλεμον, οὔθ' ὁπόθεν ἂν μισθοφορικὸν μεταπεμψώμεθα στράτευμα. Μαχώμεθα τοίνυν ὡς τεθνηξόμενοι τήμερον καὶ συγκαταδύειν μέλλοντες τῷ τήμερον τούτῳ ἡλίῳ. Κτησώμεθα μάρτυρας τῶν ἡμετέρων ἀνδρικῶν καὶ γενναίων ἀγώνων τήν τε πολεμίαν ταυτηνὶ γῆν, ἐφ' ἧν τὸν περὶ ψυχῆς σήμερον τρέχομεν ἄθλον, καὶ τὰς τῶν ὑπολειφθησομένων πολεμίων ὄψεις. Μὴ δὲ θορυβείτω τὰς ὑμετέρας καρδίας τὸ πλῆθος τῶν πολεμίων· πολλὰς γὰρ ἴσμεν δυνάμεις μεγάλας ὑπὸ βραχέων ῥᾷστα κατακοπείσας. Ἔστω καὶ ἡμῖν ἐλπὶς ἡμῖα πρὸς τὴν ἀπόῤῥητον ἀφορῶσι φιλανθρωπίαν Θεοῦ, δι' ἣν τά τε ἄλλα καὶ Θεμιστοκλῆς ἐξ Ἀθηνῶν μετ' ὀλίγου στρατεύματος μικροῦ πᾶσαν ἐν τοῖς περὶ

Σαλαμῖνα στενοῖς τὴν τῶν Περσῶν κατεδάπτισε δύναμιν· καὶ μετὰ τοῦτον ὁ Θηβαῖος αὖθις [P. 299] Ἐπαμεινώνδας δὶς τὴν μεγίστην ἐκείνην Σπάρτης νενίκηκε δύναμιν μετὰ βραχυτέρας πολλῷ περί τε Ἁλίαρτον καὶ τόπους Λευκτρικούς· ὅτε δὴ καὶ Λύσανδρον ἀπώλεσεν ἡ Σπάρτη καὶ ξὺν ἀκοσμίᾳ φεύγοντα τὸν πολὺν ἐδέξατο Ἀγησίλαον καὶ καπνὸν ἤδη διὰ μακροῦ τεθέαται παρὰ τὸν Εὐρώταν πολέμιον.»

Ε'. Πάντες μὲν οὖν γενναίως καὶ εὐρώστως, ὅσον ἐξῆν, καὶ παραβόλους ἀγῶνας ἀγωνιζόμενοι βαρείας καὶ ἀφειδεῖς φονευτρίας τοῖς πολεμίοις ἐπήνεγκαν χεῖρας· μάλιστα δὲ πάντων ὁ μέγας δομέστικος ὁ Καντακουζηνός· ὃς πολλὰ μὲν δεξάμενος πολέμια ξίφη, πολλὰς δὲ δοράτων βολὰς καὶ ὠθήσεις, αὐτὸς μὲν πλείστους τῶν πολεμίων κατήνεγκεν· ὁ δὲ μήτ' ἀσπίδα μήτε ξίφος ἀποβαλὼν ἀπαθὴς τὸν ἀγῶνα διήνυσεν, ὥσπερ κεκολλημένος καὶ ἀκλόνητα ἡδρασμένος τῇ ἐπιβάσει τοῦ ἵππου. Καὶ δεύτερος μετ' αὐτὸν λαμπρῶς ἠγωνίσατο Πρωτοσέβαστος ὁ τοῦ Καίσαρος μὲν υἱὸς (64), ἔγγονος δὲ τοῦ Πορφυρογεννήτου. Οὗτός τε γὰρ πολλοῖς περιπαρεὶς βέλεσι καὶ τὸν ἵππον ὁρῶν πανταχόθεν τοῖς πολεμίοις κατακοπτόμενον ξίφεσιν, ὡς καὶ τὸν τῆς κεφαλῆς μυελὸν (ὡς εἰπεῖν) τοῖς ἔξωθεν βλέπουσι φαίνεσθαι ἤδη, νῶτα τοῖς ἐχθροῖς οὐκ ἠνέσχετο δοῦναι. Καὶ ὁ ἵππος δ' αὖ, ὥσπερ ἀντιφιλοτιμούμενος τῷ δεσπότῃ, οὐδ' αὐτὸς πεσεῖν ἠνέσχετο πρότερον, πρὶν αὐτὸν ἐκβαλεῖν τοῦ πολέμου καὶ οἴκαδε διασῶσαι, κἀκεῖ παρὰ τὰς τοῦ δεσπότου θύρας ἐκμετρῆσαι τὸ ζῆν.

Β'. « Ἐμοὶ μὲν οὕτως ἔχειν πρὸς τὴν παροῦσαν ἅμιλλαν καὶ οὕτω προθυμίας οὐδὲν οὐδαμῇ γε ἐλλείπειν ἔπεισιν, ὥστ' οὐ γλῶτταν μόνον ὁπλίζειν περίεστιν, ἀλλὰ πρό γε ταύτης καὶ γνώμην αὐτὴν, ῥίζαν ταύτην οὖσαν καὶ πηγὴν τῆς γλώττης καὶ ἅρα χορηγὸν καὶ πρύτανιν τῶν λεγομένων. Ὁρῶντι δὲ τοὺς πολλοὺς πρὸ τοῦ καιροῦ καὶ τῆς χρείας μεγάλην τινὰ καὶ θρασεῖα προϊεμένους τὴν γλῶτταν, καὶ τῷ σφῶν αὐτῶν βουλομένῳ ἅμα καὶ τοὺς καιροὺς εὐθὺς καὶ τὰ πράγματα σύνδρομά τε καὶ πρόδρομα γίνεσθαι οἰομένους, δεδιέναι μοι ἔπεισι, μὴ τῆς χρείας καὶ τοῦ καιροῦ παραστάντος λειποτάξιον δίκην ὀφλήσωσι, τῶν ὅπλων ἐκόντες τοῖς ἐναντίοις παραχωρήσαντες. Ἔνθα γὰρ φιλοτιμία τρόφιμος ἀπειρίας ὅλην ἐνδυσαμένη τὴν ἀωρίαν τῶν ὅρων καταχορεύει τῆς εὐταξίας, ἐκεῖ καὶ πέρας ἀκολουθεῖν τοῖς προοιμίοις ἀπαικῶς ἀντιστρατευόμενον, οὐδὲν ἀπαικός. Οὐδὲ γὰρ, ὡς ἔοικεν, εἰδέναι ἔπεισι τοῖς τοιούτοις, μὴ τὴν γλῶτταν δύνασθαι καθιστᾶν τοὺς καιροὺς ἀνυσίμους, τοὺς δὲ καιροὺς τὴν γλῶτταν· οὐδ' ὅτι Τυρσηνικῆς σάλπιγγος οὐδεὶς ἀνδρῶν μεγαλοφωνότερος ὁμοῦ δ' ὅμως τῷ πληγέντι ἀέρι καὶ αὕτη δαπανᾷ καὶ λύει τὸ κράτος τῆς τέρψεως, οὐδένα καρπὸν τοῖς ἔπειτα καταλείπουσα τῆς ἠχοῦς μονιμώτερον. Ὅτι δ' οὐ χρεὼν ὁμοῦ καὶ τοὺς ὅσοι γε βαθεῖαν αὔλακα διὰ φρενὸς καρποῦνται, παραλόγοις ἑπομένους ὁρμαῖς ἐς αὐθαιρέτους ἰέναι κινδύνους, δῆλον οἶμαι τοῖς ἅπασιν εἶναι· δηλώσομεν δὲ καὶ αὐτοὶ προϊόντες. Ὥσπερ γὰρ δυοῖν στρατοπέδοιν ἐς μάχην ἀποκριθέντων ἡ τοῦ ἑνὸς εὐβουλία φθοροποιόν τινα θατέρῳ χορηγεῖ τὴν δύναμιν βουλευομένῳ κακῶς καὶ τοὐναντίον αὖθις, οὕτω κἀνταῦθα· εἰ πρὶν καλῶς ὁμοῦ καὶ συντῶς ἐσκέφθαι

πρὸς διαλέξεις καὶ ἡμεῖς ἀπαντῶμεν τῶν ἐναντίων, ἕψεται πρὸς αἰσχύνην ὁρῶσι χρῆσθαι τοῖς τῶν κακῶς δεδογμένων πέρασι. Καὶ μή μοι λεγέτω τις, ὡς πολλοὶ πολλάκις ὁρμαῖς ὀξυτέραις τοῦ δέοντος τὴν ἡγεμονίαν τῆς γλώττης ἐγκεχειρικότες νίκης καὶ τροπαίων κληρονόμοι γεγένηνται. Πρῶτον μὲν γὰρ οὐ κανόνα καὶ στάθμην εὐνομίας ἡγεῖσθαι χρεὼν ἀστάθμητον πρᾶγμα· ἔπειτα οὐδὲ τὴν ἀπερίσκεπτον ἴσμεν ὁρμὴν οἴκοθεν φέρουσάν ποτε τὰ τῆς νίκης ἐφόδια· ἀλλὰ τῆς τῶν ἀντιπαρατεταγμένων μείζονος κακοβουλίας ὕλην παράδοξον χορηγησάσης πολλάκις ἐς τὸ κοτορθοῦν τῇ ἀντιστρατήγῳ θρασύτητι, ἐς τὴν τοῦ βελτίονος μοῖραν ἀπενηνέχθαι ἔδοξε καὶ τὰ φαῦλα· ὥσπερ αὖ πολλάκις τὸ τῶν ἀντιπάλων συνετώτερον [P. 311] βούλευμα παρῆλασε καὶ τοὺς ὀρθῶς βεβουλεῦσθαι δόξαντας. Ἀδήλου γὰρ ὄντος τοῦ μέλλοντος ἐγχωρεῖ καὶ τοιαῦτα συμβαίνειν ἐνίοτε. Ἀλλ' ἡμῖν γε οὐ νόμον ποιεῖσθαι δήπου χρεὼν παραλόγων κατορθωμάτων κατάλογον· καὶ μάλιστα νῦν, ὁπότε περὶ τοῦ τῆς εὐσεβείας κράτους τὰ παλαίσματα διακινδυνεύεται. Τούτων γὰρ εἵνεκα παρελήλυθα· συμβουλεύσων ἃ συμφέρει ἐνόμισα καὶ τῇ παρούσῃ χρείᾳ ὅσον ἔξεστι καὶ αὐτὸς συνεισενεγκεῖν. Εἰ δ' ὀρθῶς ἢ μή, σκοπεῖν λείπεται. Οὐδὲ γὰρ νομοθετήσοντες ἥκομεν, οὐδ' ἀποφαντικῶς τὰ ἡμέτερα λέξειν δόγματα. Ἀλλ' ὥσπερ πάλαι ταῖς ἀριστοκρατουμέναις ἐγίγνετο πόλεσιν, οὕτω καὶ ἡμῖν ἐράνου δίκην τὰ τῇ διανοίᾳ πρὸς τὸ παρὸν ἐπιτρέχοντα συνεισφέρειν ἔδοξε δίκαιον. Ἃ τοίνυν λέγειν προήγμεθα τήμερον, ἀπαγόρευσίς ἐστι μὴ πάντας αὐτονομίᾳ βουλήσεως ῥέοντας ὁμόσε χωρεῖν ἐς διαλέξεις καὶ ἀντήσεις τῶν ἐξ Ἰταλίας ἰόντων· ὅπου γε μηδὲ τοῖς προεδρεύουσι καὶ τιμῆς τοιαύτης ἠξιωμένοις, πρὶν μετ' ἀλλήλων τὸν τῆς διαλέξεως ἐσκέφθαι σκοπὸν, χρεὼν ἁπάντᾳ· εἰδόταις, ὅτι πρᾶξις πᾶσα καὶ λόγος ἅπας ἔχει σκοπὸν καὶ τέλος, πρὸς ὃ βλέποντας τόν τε πράττοντα καὶ λέγοντα τήν τε πρᾶξιν ὁμοῦ καὶ τὸν λόγον εὐθύνειν προσήκει. Τούτου δ' ἀπόντος κίνδυνον εἶναι, μάταιον σπουδήν τε πᾶσαν καὶ πόνον ἅπαντα νομίζεσθαι. Οἷον ὁ πλέων οὐ τοῦτο βούλεται καὶ τοῦτ' ἔχει σκοπὸν, ὅπερ ἐργάζεται, ἀλλ' ἐκεῖνο μᾶλλον, οὗ ἕνεκεν ἐργάζεται ὅπερ ἐργάζεται. Κέρδους γὰρ ἕνεκα, καὶ οὐ τοῦ κύμασι καὶ πνευμάτων βίαις διακυβεύειν τὸ ζῆν, ἀνάγει τὴν ναῦν. Καὶ ὁ τοξότης δ' ὁμοίως· οὐκ αὐτὸ καθ' αὐτὸ τὸ τοξεύειν, ἀλλὰ τοῦ βαλεῖν τὸν πολέμιον εἵνεκα τοῦτο προῄρηται. Ἐνταυθοῖ δ' οὐχ ὁρῶ, τίνος εἵνεκα κέρδους καὶ πρὸς τίνα βλέπων σκοπὸν διαλέγεσθαι ἄν τις ἕλοιτο, εἰ μήτ' αὐτοὶ τοῖς ἡμῶν, μήθ' ἡμεῖς τοῖς αὐτῶν συνθέσθαι βουλήμασιν ἔγνωμεν πώποτε, κἂν πάντες φῶσι λίθοι, κἂν πάντα φυτά. Ἔτι μὴν καὶ τῶν ἀτοπωτάτων ἂν εἴη καὶ πόρρω που τοῦ προσήκοντος πορευόμενον λόγου, τοὺς μὲν Ὀλυμπιάσιν ἀγωνιστὰς, καὶ ὅσοι γῆς ἕνεκα σταδιαίας ἀμφισβητοῦσι, καὶ εἴ τις λωποδυσίαις ἁλίσκοιτο, τούτοις ἐξεῖναι πᾶσιν Ἑλλανοδίκας τινὰς καὶ κριτὰς ἀῤῥεπεῖς προκαθίζειν, ὡς μὴ λάθῃ παραῤῥυεὶς ὁ τοῦ δικαίου κανὼν, μᾶλλον δ' ἵνα μὴ ἀνήνυτον ἔχῃ τὸν δρόμον ἡ τῆς ἀμφισβητήσεως ἔρις, μηδενὸς προκειμένου κανόνος καὶ στά-

tinuisse. Primum enim ea res, quæ neque modum neque rationem in se ullam habet, modus et ratio æquitatis ducenda non est. Deinde satis scitur, inconsideratum impetum non suapte natura parere victoriam : sed, si adversariorum major stultitia occasionem rei bene gerendæ præter opinonem præbeat contrariæ audaciæ, eo casu malas quoque res bonarum rerum locum occupare ; sicut vicissim major sæpe adversariorum prudentia eos etiam, qui bene suis rebus consuluisse **504** videntur, superat. Nam cum res futuræ incertæ sint, nihil obstat, quo minus interdum etiam tale aliquid usu veniat. Sed fortuitorum successuum enumeratio non debet apud nos legis loco esse, nunc præsertim, cum de religionis victoria sit certandum. Enimvero hac de causa prodii, quod et me ipsum putaverim, si utile consilium darem, quidquid in me opis foret in rem præsentem esse contributurum. Id autem rectene an secus facturus sim, considceretur. Neque enim legum ferendarum gratia adsumus, aut ut nostra decreta firma et inconcussa haberi velimus ; sed ut olim in liberis civitatibus fiebat, ita et nobis quæ in mentem pro tempore venissent velut stipem conferre visum est. Is vero hujus nostræ orationis scopus est, ut dehortemur, ne quivis pro suo libito cum iis qui ex Italia venerunt temere congrediatur et disputet ; cum id ne præsulibus quidem et viris ea auctoritate præditis concedendum esse videatur, priusquam inter sese disputationis scopum et finem considerarint ; quippe qui sciant, omni sive actioni sive orationi scopum ac finem aliquem esse propositum, ad quem is qui vel agit vel disserit collimare et suam tum actionem tum orationem dirigere debeat. Quod nisi fiat, periculum est, ne omne studium, omnis labor inanis et irritus habeatur. Veluti is qui navigat non id vult, nec scopum sibi proponit id quod agit ; sed illud potius, cujus causa id ipsum agit. Lucri nimirum causa, non autem ut ventorum et fluctuum arbitrio de vita **505** dimicet, e portu solvit. Eodem modo sagittarius non ideo sagittas emittit, ut ventum verberet ; sed ut hostem sternat, id facit. Hic vero cujus emolumenti spe, quo fine proposito, quisquam disputare cum Latinis velit, equidem non video, si nec ipsi nostris, nec nos illorum decretis assentiri unquam decrevimus, vel si omnes hoc lapides, omnes stipites dicent. Deinde absurdissimum et ab omni ratione alienissimum fuerit, iis qui in Olympiis certant et in stadio decurrunt, aut qui furti arguuntur, ad Hellanodicas et incorruptos judices esse provocationem, ne justitiæ regula furtim declinet ac fallat, aut litis disceptatio frustra procedat, nulla regula aut norma adhibita, ad quam disceptantium rationes exactæ litem finiant : eos vero, qui de rebus divinis disputaturi et in longissimo illo stadio maximam cladem animis et corporibus minitante decursuri sunt, nullum habere judicem, qui utriusque partis verba expendat, ac illa quidem victricia pronuntiet, illa vero ut inania

et importuna explodat et ex choro veritatis expungat: sed eos non aliter facere, ac si qui, verbi gratia, de limitibus agrorum disceptantes primum conviciis de victoria certent, deinde litis dirimendæ potestatem manibus et lacertis permittant, ut is vincat, **506** qui robore firmior alterius capiti vel lapidem incusserit, vel pugno impacto lethalem plagam inflixerit; vel denique, si ita fors ferat, gladio per latus adacto adversarium suum e vivis quam celerrime sustulerit. Quod si duæ partes summus, qui contendimus, nec tertium veritatis arbitrum et judicem habere possumus, eaque de causa alterutris de controversia pronuntiandum est, nos illorum esse judices, non illos nostri oportet. Nostrum enim dogma illi non minus quam nos rectum esse concedunt. Additamentum autem ab ipsis excogitatum et illam a recta via aberrationem soli illi reprehensione vacare existimant; nobis autem minime istuc videtur. Pendente itaque lite, dum quæritur, an nova illorum opinio admittenda sit, judicare et pronuntiare nostrum fuerit, non illorum, qui rei sunt. Quod si illi se magni Petri sedis successores et hæredes esse dicunt, idque telum in nos vibrant, ut nubes fulmina, eaque ratione nos, causa indicta damnatos, opinionum suarum ministros et exsecutores esse oportere opinantur; id minime curandum est. Ob hoc enim majore odio et aversatione digni sunt, quod aliter quam sancta sede dignum sit egerunt. Neque enim Clementem et cæteros quæ vellent dogmata statuere jussit Petrus: sed ea ligare, quæ liganda essent, et ea solvere, quæ solvenda essent. At isti, iis quæ omnibus sacris conciliis statuta et decreta sunt negletis, ea fecerunt, quæ **507** ipsis solis placuerunt. Deinde nec morem bene olim constitutum et ab ipsis tum imperatoribus tum Ecclesiæ doctoribus antiquitus confirmatum negligi decet. Est enim in more positum, cum in Ecclesia certamina de dogmatibus moventur, omnes communi edicto et decreto Ecclesiæ propugnatores citare, nec eos tantum, qui evangelici præconii causa metropoles ubique gentium sortiti sunt, sed patriarchica etiam auctoritate præditos: ut sunt Alexandrinus, Hierosolymitanus et Antiochenus antistes: quibus non arcessitis, locus dabitur turbandæ concordiæ nostræ quibusdam quasi fluctibus ac procellis et Ecclesiæ ver in hiemem commutandi. Nam si olim Theodoretus, Cyri episcopus, unus quidem ille, nec patriarchali dignitate ornatus, nec alioqui sedem illustrem obtinens, tantum contentionis incendium excitavit, ut cum plurimi episcopi ex Europa et Asia Ephesum convenissent, illius fumi molestias longo tempore sentirent: quanto magis tanta episcoporum et patriarcharum absentium multitudo contra nos paucos infestam linguam exacuet et plurimas discordiarum faces ventilabit? Præterea ii qui disputant sic statuunt, syllogismum instrumentum esse, quod ipsis ad conficiendum opus suum ita conducat, ut ligo fossori et remus nautæ. Eum

Α θμης, πρὸς ἃ παρεμετρηθέντες οἱ τῶν ἀνταγωνιζομένων λόγοι τῆς ἔριδος ἀπαλλάξωνται· τοὺς δὲ τῶν περὶ Θεοῦ λεγομένων κοινολογεῖσθαι βουλομένους καὶ οὕτω μέγιστον διανύειν τὸν δίαυλον καὶ μεγίστην ἐπισείοντα βλάβην ψυχαῖς [P. 312] ὁμοῦ τε καὶ σώμασι, τούτοις δὲ μηδένα προκαθίζειν κριτήν, ὃς ἂν τὰ παρ' ἑκατέρων βασανίζων λεγόμενα τοῖς μὲν τὴν νικῶσαν χαρίσηται ψῆφον, τὸ δ' ὡς ἀνεμιαῖα καὶ κηφηνώδη παρακρούσηταί τε καὶ τοῦ χοροῦ διαγράψῃ τῆς ἀληθείας· ἀλλ' ὅμοια ποιεῖν ἐκείνοις, εἰ περὶ γῆς ὅρων, ὡς ἔπος εἰπεῖν, πρὸς ἀλλήλους μαχόμενοι πρῶτα μὲν ταῖς ἀπὸ γλώττης λοιδορίαις περὶ τῆς νίκης διαγωνίζονται, εἶτα βραχίονι καὶ παλάμῃ τὴν ἀπαλλαγὴν ἐπιτρέπουσιν, ὃς ἂν ἐπικρατέστερος κατα-

Β στὰς ἢ λίθῳ θατέρου πατάξῃ τὴν κεφαλὴν, ἢ κονδύλῳ τρώσῃ καιρίαν, ἢ τυχὸν οὕτωσί πως ξίφος παρὰ πλευρὰν ἐλάσας ἐναρίθμιον τοῖς ᾅδου καθεύδουσι τάχιστα τὸν ἀνταγωνιστὴν ἀποδείξῃ. Εἰ δὲ δυοῖν ὄντων ἡμῶν τῶν ἀμφισβητούντων μερῶν τρίτον οὐκ ἔστιν εὑρόντας προσεγκεῖν ἐπόπτην καὶ πρύτανιν τἀληθοῦς, καὶ δεῖ διὰ ταῦτα θάτερον τῶν μερῶν ἐπικρίνειν τοῖς λεγομένοις, ἡμᾶς ἔδει κριτὰς αὐτῶν εἶναι καὶ οὐχ αὐτοὺς ἡμῶν. Τὸ μὲν γὰρ ἡμέτερον δόγμα παρ' ἀμφοτέρων, ἡμῶν τε καὶ αὐτῶν, ὁμοίως εὖ ἔχον ὁμολογεῖται. Τὴν δὲ παρ' αὐτῶν καινοτομηθεῖσαν προσθήκην καὶ τῆς εὐθείας παρεκτροπὴν μόνοις αὐτοῖς ἀκατηγόρητον εἶναι δοκεῖ, ἡμῖν δὲ καὶ μάλα ἥκιστα. Μετεώρου τοίνυν τῆς ζητήσεως οὔσης, εἰ χρὴ κοινωνεῖν αὐτοῖς τοῦ καινοτομήματος, ἐς ἡμᾶς τὸ κρίνειν καὶ ἀποφαίνεσθαι περιήκει καὶ οὐκ εἰς αὐτούς, ὑπευθύνους γε ὄντας. Εἰ δὲ τῆς τοῦ

C μεγάλου Πέτρου καθέδρας αὐτοὶ διάδοχοι καὶ κληρονόμοι γενέσθαι φασὶ καὶ τοῦτ' ἐπισείουσι καθ' ἡμῶν, καθάπερ τὰ νέφη τοὺς κεραυνοὺς, κἀντεῦθεν τῶν σφισι δοξάντων αὐτουργοὺς ἡμᾶς κατὰ τὸν τῶν ἀκρίτων νόμον ἀξιοῦσι γενέσθαι, φροντίζειν οὐ χρή. Διὰ γὰρ τοῦτο μᾶλλον μεμισῆσθαι καὶ ἀπεστράφθαι δίκαιοι, ὅτι τῆς τοῦ θρόνου τιμῆς ἀναξίως ἐπεπράχεσαν. Οὐ γὰρ ὅσα βούλονται, ταῦτα καὶ δογματίζειν ἐκέλευσε Κλήμεντι καὶ τοῖς ἑφεξῆς διαδόχοις ὁ Πέτρος, ἀλλ' ὅσα δεῖ (φησὶ) δεσμεῖν καὶ λύειν αὖθις ὅσα δεῖ. Οὗτοι δὲ τὰ πάσαις ταῖς ἁγίαις βεβαιωθέντα καὶ κυρωθέντα συνόδοις παραδραμόντες εἰς ἔργον ἐξήνεγκαν, ἃ μόνοις αὐτοῖς βουλομένοις

D ἦν. Ἔπειτα οὐδὲ τὸ πάλαι καλῶς κρατῆσαν ἔθος καὶ παρά τε τῶν βασιλέων παρά τε τῶν διδασκάλων τῆς Ἐκκλησίας ἄνωθεν κυρωθὲν παρορᾶσθαι δίκαιον. Ἔθος γάρ, ὁπότε περὶ δογμάτων ἀγῶνες τῇ Ἐκκλησίᾳ καθίστασθαι μέλλοιεν, πάντας διὰ κοινοῦ θεσπίσματος καὶ ψηφίσματος τοὺς τῆς Ἐκκλησίας προμάχους καλεῖν, οὐ μόνον ὁπόσαι τὰς πολλαχῇ τῆς γῆς διέλαχον μητροπόλεις εὐαγγελικοῦ κηρύγματος ἕνεκα, ἀλλὰ καὶ ὅσοι πατριαρχικὴν ὀξίαν περίκεινται· τόν τε Ἀλεξανδρείας καὶ Ἱεροσολύμων φημὶ καὶ τὸν τὴν Ἀντιόχου διέποντα· οἳ χύραν ἔξουσι μὴ κληθέντες [P. 313] σάλους καὶ κλύδωνας κατὰ τῆς ἡμῶν ὁμονοίας ἐγεῖραι καὶ εἰς χειμῶνα τὸ τῆς Ἐκκλησίας ἔαρ μεταβαλεῖν. Εἰ γὰρ πάλαι Θεοδώρητος, ὁ τῆς Κύρου ἐπίσκοπος, εἷς ὢν καὶ οὐδὲ

πατριαρχικὴν ἀξίαν περικείμενος, οὐδ' ἄλλως ἐπίσημον ἔχων θρόνον, τοσαύτην φιλονεικίας ἀνῆψε κάμινον, ὥστε πλείστους ὄντας τοὺς ἐξ Ἀσίας τε καὶ Εὐρώπης ἐν τῇ κατ' Ἔφεσον ἀθροισθέντας συνόδῳ μακροῦ μετασχεῖν τοῦ καπνοῦ· πολλῷ ἂν ῥᾷον ὀλίγους ὄντας ἡμᾶς πλείους ὄντες οἱ μὴ παρόντες ἐπίσκοποί τε καὶ πατριάρχαι ταῖς τε ἀπὸ γλώττης καταβράμοιεν λοιδορίαις καὶ πολὺν καθ' ἡμῶν ἀναφλέξαιεν τὸν τῆς φιλονεικίας πυρσόν. Ἄλλως τε καὶ τοῖς διαλεγομένοις ὄργανον εἶναι νομίζεται τὸν συλλογισμὸν εἰς τὴν τοῦ προκειμένου κατασκευήν, καθάπερ τὴν σκαπάνην τῷ σκάπτοντι καὶ τὴν κώπην τῷ πλέοντι. Ὃ καὶ παρ' αὐτοῖς δὴ τοῖς Ἰταλικοῖς, εἴπερ ἄλλο τι, σπουδαζόμενον ἴσμεν (78). Ἐνταῦθοι δὲ χώραν οὐκ ἔχειν εὑρίσκομεν τὸν συλλογισμὸν, οὔτε τὸν κατ' ἐπιστήμην τὴν ἀποδεικτικὴν, οὔτε μὴν τὸν κατὰ τὴν διαλεκτικὴν τέχνην, περί τε Θεοῦ καὶ τῶν τῆς θείας καὶ ζωαρχικῆς Τριάδος τῆς ζητήσεως οὔσης. Εἰ γὰρ τὴν ἐπιστημονικὴν ἀπόδειξιν ὁμολογουμένων τε καὶ ἀναποδείκτων δεῖσθαι προτάσεων καὶ γνωριμωτέρων τοῦ συμπεράσματος ἕπεται, αὗται δ' ἡ ἐπαγωγὴ, ἢ αἴσθησει, ἢ ἐμπειρίᾳ γίνονται φανεραί· οὐκ ἔστιν ἄρα συλλογίζεσθαι κατ' ἐπιστήμην τὴν ἀποδεικτικὴν ἐνταυθοῖ. Δυσθεωρήτους γὰρ τοὺς περὶ τῶν θείων εἶναι λόγους καὶ μάλα ἀκαταλήπτους· καὶ τοῦτο δείκνυται μὲν ὥσπερ τοῖς ἡμετέροις, οὕτω δὴ καὶ τοῖς θύραθεν θεολόγοις, τοῖς τε ἄλλοις καὶ οὐχ ἧττον Πλάτωνι τῷ Ἀριστωνος. « Θεὸν γάρ, » φησὶ, « νοῆσαι μὲν (79) χαλεπὸν, φράσαι δ' ἀδύνατον. » Ὃ δὴ μικρὸν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος ἡγησάμενος (80) ἐν τοῖς περὶ θεολογίας λόγοις οὕτωσί πως ἐπιδιορθοῦται λέγων· « Θεὸν φράσαι μὲν ἀδύνατον (81), ὡς ὁ ἐμὸς λόγος· νοῆσαι δὲ ἀδυνατώτερον. » Τὸ γὰρ νοηθὲν τάχα ἂν λόγος δηλώσειεν, εἰ καὶ μὴ μετρίως, ἀλλ' ἀμυδρῶς γε τῷ μὴ πάντη τὰ ὦτα διεφθαρμένῳ καὶ νωθρῷ τὴν διάνοιαν. Τὸ δὲ τοσοῦτον πρᾶγμα τῇ διανοίᾳ περιλαβεῖν πάντως ἀμήχανον καὶ ἀδύνατον, μὴ ὅτι τοῖς καταβεβλαχευμένοις καὶ κάτω νεύουσιν, ἀλλὰ καὶ τοῖς λίαν ὑψηλοῖς τε καὶ φιλοθέοις καὶ ὁμοίως πάσῃ γεννητῇ φύσει καὶ οἷς ὁ ζόφος οὗτος ἐπιπροσθεῖ καὶ τὸ παχὺ τοῦτο σαρκίον πρὸς τὴν τοῦ ἀληθοῦς κατανόησιν· οὐκ οἶδα δὲ, εἰ μὴ καὶ ταῖς ἀνωτέρω καὶ νοεραῖς φύσεσι. Τούτου δ' οὕτως ἔχοντος οὔθ' ὁ συλλογίζεσθαι θέλων ἐν τούτοις [P. 314] οἶδεν ἃ συλλογίσεται, οὔθ' ὁ ἐρωτῶν εἴσεται ἅπερ ἀκούσεται. Ὅτι μὲν οὖν ἥκιστα χρήσιμος ὁ κατ' ἐπιστήμην ἀποδεικτὴν ἐνταῦθα συλλογισμὸς, δῆλον· ὅτι δ' ὁμοίως καὶ ὁ κατὰ τὴν διαλεκτικὴν τέχνην ἀχρεῖος, ἐνδόξους καὶ ἀμφιβόλους ἔχων τὰς προτάσεις, ἐκ τῶν ἑφεξῆς ἔσται δῆλον. Φησὶ γὰρ ὁ Νύσσης Γρηγόριος, ὅτι (82) Τὸ κατὰ τὴν διαλεκτικὴν τέχνην διὰ συλλο-

porro nos Italis, ut quidquam aliud, studio esse novimus. At eidem locum hic nullum esse scimus; sive is scientiam per demonstrationem polliceatur; **508** sive a probabili disserendi ratione proficiscatur: cum hic de Deo ei vitæ principio ac fonte divina Trinitate agatur. Nam si scientifica, quam vocant, demonstratio propositiones certas et per se claras requirit et conclusione notiores; hæ vero aut inductione aut sensu aut experientia fiunt evidentes; hic utique demonstratione scientifica ratiocinari non licet. Cognitu enim difficiles perceptuque arduæ sunt rationes divinarum rerum; idque ut a nostris, ita etiam ab exteris theologis demonstratur cum aliis, tum maxime a Platone, Aristonis filio. « Deus, inquit, vix mente concipi, verbis autem exprimi nullo modo potest. » Quod, ut parvum, magnus ille theologus Gregorius in suis de theologia disputationibus ita correxit: « Deus mea quidem sententia explicari nullo modo potest, intelligi vero multo minus. » Quod enim mens intellexerit, lingua forsitan declarabit, ut non satis explicate, at obscure, ei nimirum qui non omnino auribus captus, nec ingenio hebes sit. At tantam rem animo complecti nulla arte, nulla ratione queant, non modo stupidi et hebetes humique defixi, sed ne acutissimi et ingeniosissimi quidem et in cœlum animis intenti. Hærebit ex æquo omnis genita natura, quam caligo circumdat, cui crassa hæc caro ad rei perspicientiam obstat. Atque haud scio an etiam supernis et intelligentibus naturis id sit negatum. Quod cum ita sit, nec is qui in his ratiocinari **509** vult quid ratiocinetur novit; nec qui percontatur, sciet, quid audierit. Minime igitur esse utilem hac in re eum syllogismum, qui demonstratione fit, perspicuum est. Æque autem inutilem esse syllogismum dialecticum, cujus propositiones opinionibus probabilibus et ambiguis nituntur, ex iis quæ subjiciemus constabit. Sic autem ait Gregorius Nyssenus: Nostrorum dogmatum per artem dialecticam et syllogisticam atque analyticam doctrinam confirmatio, cum ad veritatem demonstrandam infirma sit et suspecta, id orationis genus relinquemus. Omnibus enim perspicuum est, dialecticas argutias pares in utramque partem vires habere, tam ad eversionem veritatis, quam ad mendacii accusationem. Unde fit, ut ipsam veritatem, quando tali arte profertur, suspectam sæpe habeamus, quasi ea quæ in his versatur solertia oculos mentis nostræ perstringat et a veritate avertat. Si quis autem simplicem expositionem et omni quasi amictu nudam admittit orationem; observata serie ipsius sacrarum Littera-

Variorum notæ.

(78) Græci Latinis theologis passim objiciunt istud cacoethes argumentandi per syllogismos. Vide adnotata ad Vitam Gregoræ. BOIVIN.

(79) Justinus Martyr in Parænetico ad Græcos hæc verba non Platoni, sed Mercurio tribuit. Ἑρμοῦ δὲ, inquit, σαφῶς καὶ φανερῶς λέγοντος, Θεὸν νοῆσαι μέν ἐστι χαλεπὸν, φράσαι δὲ ἀδύνατον. Idem Justinus in *Apologia* I, hæc, quæ fere idem sonant, Socrati tribuit, τὸν δὲ Πατέρα καὶ Δημιουργὸν πάντων οὔθ' εὑρεῖν ῥᾴδιον, οὔθ' εὑρόντα εἰς πάντας εἰπεῖν ἀσφαλές. BOIVIN.

(80) Vide notas Billii ad illud Gregorii Nazianzeni dictum. BOIVIN.

(81) Gregor. Naz. orat. 2, De Theologia. BOIVIN.

(82) Ὁμολογοῦμεν γὰρ ἀνεπαισχύντως ἡμεῖς, μήτε τινὰ λόγον διὰ ῥητορικῆς τεθηγμένον ἐπὶ τοὺς

rum doctrinæ, pro virili verba faciemus, atque ista explicabimus. Quod si et nobis sanctorum Patrum scriptis niti et his armis cum adversariis pugnare necessarium esset; simplicem et ipsi secuti rationem dilucidioribus scripturis uteremur; iis nempe, quæ evidentem et irrefragabilem sensum lectoribus ostenderent, non autem obscuris, nec iis quæ propter **510** multiplicem vocum significationem dictionisque ac verborum tenebras et ambiguitatem, in plures sententias accipi possent. Sæpe enim in sacra Scriptura verbis quædam obscuris involuta occurrunt; quod et consentaneum est. Ut enim regum thalami, aliaque quæ sancta et magno in pretio ab hominibus habentur, aliis atque aliis velis occultantur, ne aut profano vulgo exposita contaminentur, aut quia omnibus absque labore pateant contemptui sint; sic etiam plurimi sacræ Scripturæ loci, præsertim in quibus arcana quæpiam doctrina continetur, tanquam velis quibusdam, absconduntur ejusmodi verbis, quæ multam caliginem secum trahunt, et tenebras sibi latibulum [1] ponunt et in circuitu suo tabernaculum sibi ipsis. Monent et sancti Patres, Basilius, Chrysostomus, Maximus et Cyrillus, non ea omnia verba, quæ in omni materia eumdem sonum edunt, statim eodem modo accipienda esse; neque mentem in verbis prorsus defigendam, sed propositi argumenti sententias intuendas, et scopum atque propositum Scripturæ ejus in qua versentur exquirendum, uti deceat, et personis atque temporibus apte convenienterque accommodandum et applicandum. Est et Gregorius Theologus auctor, quosdam res cum vocabulis consentire nec minutius dividi arbitratos opiniones divinis rebus indignas animo concepisse. **511** Cum igitur tanta sit de verbis et nominibus dissensio, propterea quod eadem nomina possunt rebus diversis convenire, atque aliter in Deo intelligenda sunt, aliter in hac orta et peritura natura: quis hæc pro dignitate explicabit? Num si sanctos illos Patres, Spiritus sancti instrumenta, qui omni humana sapientia cæteros omnes supergressi sunt, si ergo illos in sacrarum Scripturarum enarrationibus sæpenumero dissentire videmus, et fere contraria afferre, propter obscuritatem ingentem, qua divinæ sententiæ et altiores sensus veluti firmis atque adamantinis vestibulis muniuntur: quid alius aliquis dicat, nec humana sapientia cum illis conferendus, idemque pravis affectibus obnoxius, et corpoream labem totus redolens? Ecce enim (ut pleraque silentio dissimulem) illud: « Dominus creavit me principio viam suam [2], » divinus ille et magnus Basilius de ea sapientia, quæ in mundo apparet, dictum esse

γιστικῆς τε καὶ ἀναλυτικῆς ἐπιστήμης βεβαιοῦσθαι καὶ τὰ ἡμέτερα δόγματα, ὡς σαθρόν τε καὶ ὕποπτον εἰς ἀπόδειξιν ἀληθείας, τὸ τοιοῦτον εἶδος τοῦ λόγου παραιτησόμεθα. Πᾶσι γάρ ἐστι πρόδηλον, τὸ τὴν διαλεκτικὴν περιεργίαν ἴσην ἐφ' ἑκάτερα τὴν ἰσχὺν ἔχειν, πρός τε τὴν τῆς ἀληθείας ἀνατροπὴν καὶ πρὸς τὴν κατηγορίαν τοῦ ψεύδους. Ὅθεν καὶ αὐτὴν τὴν ἀλήθειαν, ὅταν μετά τινας τοιαύτης τέχνης προσάγηται, δι' ὑποψίας πολλάκις ποιούμεθα, ὡς τῆς περὶ τὰ τοιαῦτα δεινότητος παραχρουομένης ἡμῶν τὴν διάνοιαν καὶ τῆς ἀληθείας ἀποσφαλλούσης. Εἰ δέ τις τὸν ἀκατάσκευόν τε καὶ γυμνὸν πάσης περιβολῆς προσίεται λόγον, ἐροῦμεν, ὅπως ἂν οἷόν τε ᾖ, κατὰ τὸν εἰρμὸν τῆς γραφικῆς ὑφηγήσεως, τὴν περὶ τούτων θεωρίαν προσάγοντες. Εἰ δὴ οὖν καὶ ἡμῖν θείων Πατέρων γραφαῖς ὁπλίζεσθαι καὶ ἀντιστρατεύεσθαι κατ' αὐτῶν ἀναγκαῖον ἐτύγχανεν, ἀκατασκεύῳ τῷ τρόπῳ καὶ αὐτοῖ ταῖς σαφεστέραις ἂν ἐχρησάμεθα, καὶ ὁπόσαι προφανῆ καὶ ἀνανταγώνιστον τὸν ἐγκείμενον τοῖς μετιοῦσι παρέχουσι νοῦν, καὶ οὐ μάλα δὴ ταῖς αἰνιγματώδεσι καὶ δυναμέναις διά τε τὰς τῶν ὑποκειμένων ὁμωνυμίας καὶ διὰ τὸ τῆς λέξεως καὶ τῶν ὀνομάτων ὁμιχλώδές τε καὶ ἀμφιῤῥεπὲς πολλαχῶς ἑρμηνεύεσθαι. Εὑρίσκομεν γὰρ πολλαχῇ τῆς θείας Γραφῆς ἐπίκρυψίν τι αὐτοῖς ὀνόμασιν ὁποκαθημένην, ὡς τὸ εἰκός. Ὥσπερ γὰρ οἱ τῶν βασιλέων θάλαμοι, καὶ ὁπόσα ἀνθρώποις ἱερά τε καὶ τίμια, ὑπὸ παραπετάσμασιν ἄλλα ἄλλοις καλύπτονται, ἵνα μήτε δήμοις ἀνοσίοις προκείμενα κιβδηλεύηται, μήτε περιφρονῆται διὰ τὸ τῆς καταλήψεως πρόχειρόν τε καὶ ἄπονον, οὕτω δὴ καὶ τὰ πλεῖστα τῆς θείας Γραφῆς καὶ μάλιστα οἷς μυστικοί τινες ὑφεδρεύουσι λόγοι, καθάπερ ὑπὸ παραπετάσμασι καλύπτονται τοῖς τοιούτοις ὀνόμασιν, ὅσα πολὺν τὸν γνόφον ἐπισύρονται καὶ σκότος ἀποκρυφὴν ἑαυτῶν τίθενται καὶ κύκλῳ αὐτῶν τὴν σκηνὴν αὐτῶν. Εὑρίσκομεν δὲ καὶ τοὺς θείους Πατέρας, Βασίλειόν φημι καὶ Χρυσόστομον, Μάξιμόν τε καὶ Κύριλλον, παραγγέλλοντας, μὴ ὅσα τῶν ὀνομάτων, μηδ' ἐν ὅσοις ὑποκειμένοις ἠχοῦσι ταυτὸν, καὶ κατὰ τρόπον εὐθὺς ἐκλαμβάνειν ὁμοῦ τὸν αὐτὸν, μηδὲ ταῖς λέξεσι προσέχειν καθάπαξ τὸν νοῦν, ἀλλὰ ταῖς τῆς ὑποκειμένης ὑποθέσεως ἐννοίαις καὶ τὸν σκοπὸν ὁμοῦ καὶ τὴν πρόθεσιν τῆς μελετωμένης Γραφῆς ἐξετάζειν, ὡς τὸ εἰκὸς, [P. 315] καὶ τοῖς προσώποις καὶ τοῖς καιροῖς ἀναλόγως καὶ καταλλήλως ἐφαρμόζειν καὶ συμβιβάζειν. Φησὶ δὲ καὶ ὁ θεολόγος Γρηγόριος (83), ὅτι ταῖς προσηγορίαις τινὲς ὁμοῦ καὶ τὴν οὐσίαν παχυμερῶς συνδιαιρεῖσθαι δοξάζοντες ἀνάξια παντάπασι τῶν θείων ταῖς ἑαυτῶν ἐννοίαις δοξάζουσι. Τοσαύτης τοίνυν διχοστασίας ἐπιχωριαζούσης περὶ τὰς λέξεις καὶ τὰ ὀνόματα, διὰ τὰς ὁμωνυμίας τῶν ὑποκειμένων πραγμάτων, καὶ ἄλλως μὲν ἐπὶ Θεοῦ λαμβάνεσθαι ὀφειλόντων αὐτῶν, ἄλλως δ'

[1] Job. XXII, 14. [2] Prov. IX, 22.

Variorum notæ.

ἀγῶνας παρεσκευάσθαι, μήτε δεινότητα διαλεκτικῆς ἀγχινοίας εἰς συμμαχίαν κατὰ τῶν ἀντιτεταγμένων προβάλλεσθαι, ἢ καὶ τὴν ἀλήθειαν πολλάκις εἰς ὑπόνοιαν ψεύδους ἐπὶ τῶν ἀπείρων ἀντιμεθίστησιν. Gregor. Nyss. lib. II, *Contra Eunomium*, eodem sensu, sed non iisdem verbis. Boivin.

(83) Ad Evagrium, *De Divinitate*. Boivin.

ἐπὶ τῆς γεννητῆς ταύτης καὶ ῥευστῆς φύσεως, τίς ἱκανὸς ἐφικέσθαι δὴ τῆς ἀξίας; Εἰ γὰρ τοὺς θείους Πατέρας ἐκείνους, τὰ τοῦ Πνεύματος ὄργανα, τοὺς πᾶσαν ὑπὲρ ἅπαντας ἀνθρωπίνην σοφίαν διεξελθόντας, εἰ οὖν ἐκείνους ἐν ταῖς θείων Γραφῶν ἐξηγήσεσι διαφωνοῦντας εὑρίσκομεν πολλαχῇ καὶ μικροῦ τἀναντία πολλάκις διεξιόντας, διὰ τὸ γνόφῳ πολλῷ καὶ, οἷον εἰπεῖν, προπυλαίοις στερροῖς καὶ ἀδαμαντίνοις δορυφορεῖσθαι τὰς θείας ταύτας καὶ ὑψηλοτέρας ἐννοίας· τί ἂν ἔχοι τις ἕτερα λέγειν, μήτε τὴν ἀνθρωπίνην σοφίαν ἐγγύς που τυγχάνων ἐκείνων καὶ ἅμα πολλῆς ἀπόζων τῆς μοχθηρᾶς ταύτης καὶ ὑλικῆς προσπαθείας; Ἰδοὺ γάρ, ἵνα σιωπῇ παραδράμω τὰ πλεῖστα, τὸ, « Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, » ὁ μὲν θεῖος καὶ μέγας Βασίλειος περὶ τῆς ἐμφαινομένης τῷ κόσμῳ σοφίας εἰρῆσθαί (84) φησι, μονονουχὶ φωνὴν ἀφιείσης διὰ τῶν ὁρωμένων, ὅτι παρὰ Θεοῦ γέγονε καὶ οὐκ αὐτομάτως ἡ τοσαύτη σοφία τοῖς ἀποτελεσθεῖσιν ἐμπρέπει· καθὰ καὶ τοὺς οὐρανοὺς ὁ Δαβὶδ διηγεῖσθαί φησι τὴν δόξαν τοῦ Θεοῦ φωναῖς ἀλαλήτοις. Ὁ δὲ μέγας ἐν Θεολογίᾳ Γρηγόριος τοῦ Σωτῆρος τοῦτον εἶναι φάσκει τὸν λόγον (85)· καὶ ἑξῆς ἑρμηνεύων, ὅσα μὲν μετὰ τῆς αἰτίας εὑρίσκει, τῇ ἀνθρωπότητι ταῦτα προστίθησιν· ὅσα δ' ἁπλᾶ καὶ ἀναίτια, ταῦτα διελὼν λογίζεται τῇ θεότητι. Ἀλλ' οὗτοι μὲν σκεύη τοῦ Πνεύματος ὄντες καὶ πρὸς ἕνα βλέποντες σκοπὸν καὶ τὴν τοιαύτην διαφωνίαν ὥσπερ ἐκ διαφόρων ὁδῶν πρὸς ἓν περιάγουσι τέλος, εὐσεβὴς δηλαδὴ καὶ σωτήριον. Οἱ δὲ τῶν ἀλλοτρίων αἱρέσεων ἡγεμόνες, πρόφασιν λαμβάνοντες τὸ τῆς διανοίας δυσέφικτον τῶν Γραφῶν, δίκην ἱεροσύλων καταξαίνουσι ταύτας καὶ πρὸς ἀδύστους πυθμένας καθέλκουσι τῶν βλασφημιῶν. Εἰ γοῦν ἀναγκαῖον ἐτύγχανε καὶ ἡμῖν ἐπὶ τοῦ παρόντος ὁπλίζειν τὴν γλῶτταν κατὰ τῶν ἐναντίων, ὡς ἔφαμεν, οὐ τοιούτοις ἂν ἐχρησάμεθα τοῖς ὀνόμασιν, οἷς τὸ πολύτροπον καὶ πολυσχιδὲς ἐμφωλεύει τοῦ νοῦ, ἀλλὰ τοῖς ἀναμφισβητήτως ὡμολογημένοις καὶ συμπεφωνημένοις ἐξ ἀμφοῖν καὶ ὅτῳ εἰς ἐπινοίας ἄγουσιν ἡμᾶς ἐξ ἀνάγκης τῶν νοητῶν κατὰ τὸ ἁπλούστερον· ἐπεὶ πάμπολλα σφόδρα καὶ ταῦτα ἐπανθεῖ τῇ θείᾳ Γραφῇ. [P. 316] Ἐπεὶ δ' οὐκ ἀναγκαῖον τοῦθ' ἡμῖν ἐστιν ἐν τῷ παρόντι, ἐρρωσμένοις καὶ ἡδρασμένοις ἐπὶ ταῖς κρείττοσι ῥήσεσι καὶ ἀσφαλεστέραις, ταῖς τε εὐαγγελικαῖς δηλαδὴ καὶ ὡς ἄνωθεν τοῖς ὁσίοις Πατράσι τὸ θεῖον τῆς πίστεως κεκύρωται σύμβολον (ταῦτα γὰρ ὅροι καὶ θέσεις ὡς ἀληθῶς γνωριμώτεραί τε καὶ ἀναπόδεικτοι)· σιωπῇ τὰς αὐτῶν φιλονείκους ἐνστάσεις ἀνατρέπειν μᾶλλον ἢ λόγοις, ἐμοὶ δοκεῖ δικαιότερον. Εἰ δέ τις ἐνίσταιτο, τοὺς θείους Πατέρας συλλογισμοῖς πολλάκις χρωμένους παράγων ἐν τοῖς τοιούτοις· οὐκ ἂν ἔγωγε καίρια φάσκειν φήσαιμι τοῦτον. Οὐ γὰρ ἵνα δείξωσιν, οὔθ' ὅ τι ἐστὶ τὴν φύσιν ὁ Θεὸς,

ait; quoniam hæc tantum non voce edita per ea, quæ sub aspectum oculorum cadunt testetur, se a Deo esse conditam et non casu exstitisse, ut tanta in iis quæ facta sunt sapientia emineret; quemadmodum et David cœlos dixit Dei gloriam enarrare vocibus ineffabilibus. At magnus in theologicis Gregorius Servatoris hanc orationem esse ait, eamque ordine interpretans, quæ cum causa esse conjuncta invenit, ea humanitati accommodat: quæ vero simplicia et sine causa, distinguit ac **512** Divinitati attribuit. Enimvero hi, cum Spiritus vasa sint et ad eumdem scopum colliment, tale dissidium velut diversis viis ad unum finem eumque pium ac salutarem inflectunt. Extranearum vero sectarum auctores, arrepta obscuritatis Scripturarum occasione, sacrilegorum instar eas dilacerant et in extremam blasphemiarum abyssum detrudunt. Quod si nobis etiam in præsentia esset opus linguam contra adversarios acuere, ut diximus, non iis vocabulis uteremur, in quibus sententia multiplex et varia lateret; sed iis, quæ extra omnem controversiam consentientibus animis utrique confiterentur, quæque necessario nos ad cogitanda ea deducerent, quæ simpliciori sensu intelligerentur. Nam et hujusmodi permulta e sacris Litteris velut efflorescunt. Sed quia nobis id hoc tempore non est necessarium, qui melioribus et tutioribus dictis, evangelicis videlicet, et sacro fidei Symbolo, a sanctis Patribus olim sancito, nitimur et veluti fundamento insistimus (hi enim limites, hæc pronuntiata revera sunt notiora, nullamque demonstrationem requirunt): silentio rixosas illorum contentiones et adversationes quam disputationibus evertere mihi videtur esse æquius. Quod si nobis occurritur ab aliquo, sanctos Patres sæpe syllogismis usos in ejusmodi quæstionibus, eum ego haud opportuna dicere affirmarim. Neque enim eo id fecerunt, ut ostenderent, quæ Dei natura esset, aut quæ Filii **513** generatio, aut quæ Spiritus sancti processio: sed potius, ut eos coercerent, qui sine ulla modestia in theologiam invaderent. Alioqui dicat mihi aliquis, quo consilio magnus ille theologus Gregorius eos, qui contentiose de generatione Filii et de Spiritus sancti processione interrogabant, hac verborum figura aggressus sit: « Dic mihi, inquit, quo pacto Pater natus non sit, et ego naturam generationis Filii explicabo et Spiritus processionem; et ambo insaniemus, in arcana Dei curiosos oculos inserentes: ii præsertim, qui nec ea quæ ante pedes sunt, intelligere possumus, non arenam maris, non guttas pluviarum, nec dies sæculi enumerare: tantum abest, ut in Dei profunditates descendere et adeo ineffabilis naturæ et

Variorum notæ.

(84) Basilius Magnus lib. IV. *Adversus Eunomium*, ad illa verba, ΚΥΡΙΟΣ ΕΚΤΙΣΕ ΜΕ, Ἀνάγκη οὖν, inquit, εἰς τὴν ἀνθρωπότητα αὐτοῦ γοεῖν. Εἶποι δ' ἄν τις καὶ τὸν Σολομῶντα περὶ τῆς σοφίας εἰρηκέναι, ἧς καὶ ὁ Ἀπόστολος μέμνηται, εἰπών· ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω κόσμος διὰ τῆς σοφίας τὸν Θεόν. Fortasse ad ea verba Gregorius respexit. Boivin.

(85) Gregor. Naz. oratione 2 de Filio. Boivin.

omnem rationem superantis rationem reddere queamus.» Ac paulo post iterum, adversario quærente specimen et similitudinem, ac, « Da mihi, inquiente, ex eodem partim Filium, partim non Filium, deinde et eamdem substantiam; ac Deum et Deum admittam, » respondet: « Dato et tu mihi Deum alium et naturam Dei; et ego tibi eamdem Trinitatem dabo, cum iisdem et nominibus et rebus. Si vero unus est Deus, una suprema natura: unde tibi afferam similitudinem? » Est enim valde turpe, nec modo turpe, sed et perabsurdum, ex inferioribus superiorum petere imaginem, et eorum quæ immota sunt ex iis quæ fluxa et caduca, et quod Isaias ait, viventia in mortuis requirere. Quapropter etiam alibi ait: « Intra limites nostros **514** consistentes ingenitum et genitum inducimus, et id quod e Patre procedit, ut ipse Deus et Verbum ait. » Hæc igitur ejus sunt, non qui asserendo constituere velit, quid hæc sint, sed ejus, qui repellat et deterreat eos, qui temere ad hujusmodi assertiones confugiunt. Ecquomodo autem aliter sentiat, qui ne vocabula quidem Dei naturæ congruentia reperiri ab hominibus posse affirmat? Res enim divinas nostris nominibus, ut licet, exprimimus. «Nam si in iis, inquit, quæ intelliguntur, ea quæ infimum locum obtinent, nempe ψυχή et λόγος, propriis nominibus carent (etenim ψυχή femineo nomine appellatur, cum ea ejus natura non sit, et λόγος masculino, etsi ejus non sit masculæ naturæ); ea intellectilia, quæ omnium prima sunt et omnem intellectum superant, propriis appellari nominibus quomodo affirmabimus? » Cum igitur tantæ et notionum et appellationum tenebræ nostræ menti offundantur, quis ratiocinari in his queat? Quod qui conatur, bifariam peccat. Neque enim horum quidquam novit, simulque ea se ignorare ignorat. Qui autem ignorat, quando et ubi oporteat ratiocinari, ne tum quidem cum ratiocinandum erit, ea quæ oportet atque eo modo quo oportet argumentando concludet. Quod etsi fortasse præstet, tamen suspecta erit audientibus ejus oratio, qui eum ut simplicem et amentem semel reprobatum cavebunt. Fortassis etiam sancti illi Patres istiusmodi absurdas contentiones silentio prorsus repulissent, nisi inviti eas refutare coactiessent, cum populum, non-dum **515** in fide stabilitum nec omnis dubitationis expertem, alias aliis sectis suborientibus facile adhærere vidissent. Nunc autem cum multitudo ita confirmata et in fide defixa sit, ut ferri naturam facilius mutes, quam eos paululum a patriis dogmatibus abducas: quid opus est disputationibus nihil profuturis? Ut enim et ipse Apostoli verbis[1]

οὔθ' ὅ τι ἐστὶν Υἱοῦ γέννησις, οὔθ' ὅ τι ἐστὶ Πνεύματος ἁγίου ἐκπόρευσις, ἀλλ' ἵνα μᾶλλον ἄλλως ἐπίσχωσι τοὺς ἀτάκτως τῇ θεολογίᾳ ἐπιπηδῶντας. Εἰ δ' οὖν, λεγέτω μοί τις παρελθών, τί βουλόμενος ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος οὕτως σχηματίζει τὸν λόγον πρὸς τοὺς ἐριστικῶς ἐρωτῶντας περί τε τῆς τοῦ Υἱοῦ γεννήσεως καὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως· « Εἰπέ μοι, » φάσκων (86), « σὺ τὴν ἀγεννησίαν τοῦ Πατέρος, κἀγὼ τὴν γέννησιν τοῦ Υἱοῦ φυσιολογήσω καὶ τὴν ἐκπόρευσιν τοῦ Πνεύματος, καὶ παραπληκτίσομεν ἄμφω, εἰς Θεοῦ μυστήρια παρακυπτοντες· καὶ ταῦτα τίνες; Οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι, μηδὲ ψάμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος (87) ἐξαριθμεῖσθαι, μὴ ὅτι γε Θεοῦ βάθεσιν ἐμβατεύειν καὶ λόγον ὑπέχειν τῆς οὕτως ἀῤῥήτου καὶ ὑπὲρ λόγον φύσεως. » Καὶ μετ' ὀλίγα πάλιν, τοῦ ἐναντίου ζητοῦντος ὑπόδειγμα καὶ ὁμοίωσιν καὶ· « Δός μοι, » λέγοντος, « ἐκ τοῦ αὐτοῦ τὸ μὲν Υἱὸν, τὸ δὲ οὐχ Υἱὸν, εἶτα ὁμοούσια, καὶ δέχομαι Θεὸν καὶ Θεὸν, » ἀποκρίνεται λέγων· « Δός μοι καὶ σὺ Θεὸν ἄλλον καὶ φύσιν Θεοῦ, καὶ δώσω σοι τὴν αὐτὴν Τριάδα μετὰ τῶν αὐτῶν ὀνομάτων τε καὶ πραγμάτων. Εἰ δὲ εἷς Θεὸς μία φύσις ἢ ἀνωτάτω, πόθεν παραστήσω σοι τὴν ὁμοίωσιν; » Λίαν γὰρ αἰσχρὸν, καὶ οὐκ αἰσχρὸν μόνον, ἀλλὰ καὶ μάταιον ἐπιεικῶς, ἐκ τῶν κάτω τῶν ἄνω τὴν εἰκασίαν λαμβάνειν, καὶ τῶν ἀκινήτων ἐκ τῆς ῥευστῆς φύσεως, καὶ, ὅ φησιν Ἡσαΐας, ἐκζητεῖσθαι τὰ ζῶντα ἐν τοῖς νεκροῖς. Διὰ τοῦτο καὶ ἀλλαχοῦ φησιν· « Ἐπὶ τῶν ἡμετέρων ὅρων (88) ἱστάμενοι τὸ ἀγέννητον εἰσάγομεν καὶ τὸ γεννητόν· καὶ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ὡς φησιν αὐτὸς ὁ Θεὸς καὶ Λόγος. » Ταῦτα δὴ τοίνυν οὐ θέλοντός ἐστι κατασκευάζειν ὅ τι ἐστὶ ταῦτα, ἀλλ' ἀναισθῶντος καὶ ἀποτρέποντος τοὺς ἀλόγως εἰς τοιαύτας κατασκευὰς καταφεύγοντας. Πῶς γάρ; ὃς οὐδ' ὀνόματά (89) φησι πρόσηκόντα φύσει Θεοῦ τοῖς ἀνθρώποις ἔστιν εὑρεῖν. [P. 517] Ὀνομάζομεν γὰρ, ὡς ἡμῖν ἐφικτὸν, ἐκ τῶν ἡμετέρων τὰ τοῦ Θεοῦ. « Εἰ γὰρ τῶν νοητῶν (φησὶν) ἔσχατα ψυχὴ καὶ λόγος κύριον οὐ κέκτηνται τοὔνομα· ψυχὴ μὲν γὰρ ὀνόματι θηλυκῷ προσαγορεύεται, τοιαύτην οὐκ ἔχουσα φύσιν, καὶ ὁ λόγος δ' ἄῤῥενος φύσεως ἥκιστα ὢν ἀῤῥενικὸν καὶ αὐτὸς ἐκτήσατο τοὔνομα· εἰ οὖν ταῦτα κύριον οὐ κέκτηνται τοὔνομα, πῶς ἂν τὰ πρῶτα καὶ πάντων ἐπέκεινα τῶν νοητῶν νοητὰ κυρίοις ὀνόμασιν ἐπεκεχλῆσθαι φήσαιμεν; » Τοσαύτης τοίνυν νυκτὸς ἐπιπροσθούσης τῇ ἡμετέρᾳ διανοίᾳ τῶν τε νοημάτων καὶ ὀνομάτων, τίς ἂν ἐν τούτοις συλλογίζεσθαι δυνηθείη; Εἰ δέ τις ἐπιχειροίη, διπλῶς ἁμαρτάνει. Οὔτε γὰρ οἶδεν ἐν τούτοις οὐδὲν καὶ ἅμα λέληθεν ἑαυτὸν οὐκ εἰδώς. Ὃ δ' οὐκ εἰδὼς ὅτι δεῖ καὶ ὅπη δεῖ συλλογίζεσθαι, οὐ-

[1] Rom. VIII, 9.

Variorum notæ.

(86) Gregor. Naz. oratione de Spiritu sancto. BOIVIN.

(87) *Dies sæculi*, non, ut vertebat Wolfius, *æternitatis*. Nam *dies æternitatis* numerare non magis facile est, quam *in Dei profunda descendere*. BOIVIN.

(88) Greg. Naz. oratione prima de Filio. BOIVIN.

(89) Greg. Naz. ad Evagrium de Divinitate. BOIVIN.

ὅτε δεῖ συλλογιζόμενος, συλλογίσεται οἷα δεῖ καὶ ὅπως δεῖ· εἰ δ' αὐτὸς ἴσως, ἀλλ' οἵ γε ἀκούοντες δι' ὑποψίας ποιήσονται τὰ λεγόμενα καὶ φυλάξονται, ἀφέλειάν τε καὶ ἄνοιαν ἅπαξ αὐτοῦ καταγνόντες. Τάχα δ' ἂν καὶ σιωπῇ παντελεῖ τὰς τῶν ἀτόπων ἐκείνων ἔριδας καὶ οἱ θεῖοι ἐκεῖνοι Πατέρες ἀπεκρούσαντο, εἰ μὴ ἐς ἀνάγκας καὶ ἄκοντες ἀντιλέγειν ἦγοντο, ῥᾷστα τὸν ὄχλον ὁρῶντες ταῖς ἄλλοτε ἄλλως ἐπιφυομέναις αἱρέσεσι προσιόντα διὰ τὸ ἀνέδραστον ἔτι περὶ τὴν πίστιν καὶ οὐ σφόδρα τοι ἀναμφίβολον. Νῦν δ' οὕτω βεβαιωθέντων καὶ στηριχθέντων εἰς τὴν πίστιν τοῦ πλήθους, ὥστε θᾶττον ἂν ἴδοι τις τὸν σίδηρον μεταθέντα τὴν φύσιν, ἢ τούτους βραχὺ τῶν πατρίων μεταθεμένους δογμάτων, τίς χρεία λόγων ὠφεληκάντων οὐδέν; Καὶ γὰρ ἵνα κἀγὼ τὰ τοῦ Ἀποστόλου κατὰ καιρὸν φθέγξωμαι, πέπεισμαι, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε κτίσις ἑτέρα δυνήσεται τούτους τῶν πατρίων ἀποστῆσαι θεσμῶν καὶ δογμάτων. Ἔπειτα, εἰ μὲν πρώτως ἦδη ταῦτ' ἐνοχλοῦντες ἦσαν, καὶ πρώτοις ἡμῖν τὰ τοιαῦτα προὐτίθεσαν, ἴσως ἂν καὶ αὐτοὶ πρὸς λόγων ἀγῶνας παρεσκευαζόμεθα τήμερον ξύν γε Θεῷ. Ἐπεὶ δὲ πάλαι ταῦτ' ἐξήτασται καὶ τάξιν εἴληφεσαν τὴν προσήκουσαν, καὶ τὸ κῦρος λαμπρὸν παρεπέμφθη τῷ χρόνῳ, κἀνταῦθα πολλάκις ἐνδημήσαντες οὗτοι πολλάκις καὶ ἀπεκρούσθησαν· ποῦ δίκαιον τοῖς πάλαι καλῶς δεδογμένοις τήμερον ἡμᾶς ἐνοχλεῖν καὶ ἀνήνυτα μοχθεῖν, ἀνακυκλοῦντας ἀεὶ τὰ αὐτά; καὶ τούτοις μὲν ἀνεπιχθὲς τοῦτο καὶ σφόδρα τοι περισπούδαστον. Λογισμοὺς γὰρ ἐκ λογισμῶν ἀμείβοντες [P. 518] ὑποσαίνοντάς τε καὶ ὑπισχνουμένους ἀεὶ τὰ βέλτιονα, ἢ περιτρέψειν ἠλπίκασι τὴν ἧττάν ὀψὲ τοῖς αὐτῶν ἐναντίοις ἡμῖν καὶ τὸ φθάσαν αἶσχος ἀποτρίψεσθαι, ἢ πολλὴν τῆς συνόδου καταχεαμένους τὴν γλωττσαλγίαν μετὰ τῆς συνήθους ὀφρύος, ἔπειτα ἐξελεύσεσθαι διασπείροντας πανταχῇ φήμην ἀναιδείας μεστὴν καὶ κλέπτουσαν τὴν ἀλήθειαν, ὡς ἐστήσαντο τρόπαιον, οἷα τὰ σφῶν αὐτῶν σμικρολογήματα. Ἀλλ' ἡμῖν γε οὐ προδιδόναι τὸ μεγαλοπρεπὲς ἡμῶν δεῖ, οὐδ' ἃ συμφέρει τοῖς ἐναντίοις, ταῦθ' ἡμᾶς πράττειν χρεών· ἀλλὰ ταῦθ' ἡμᾶς μᾶλλον, ἅπερ ἡμῖν. Ποῦ δ' οὐκ ἂν ἀγνωμοσύνης εἴη ἐλαύνειν, Ἑλλήνων μὲν ὁπόσοι Πυθαγόρειοί τε καὶ Ἐπικούρειοι, τούτους οὕτω τοι θεῖα καὶ ἀναντίρρητα τὰ τῶν διδασκάλων οἴεσθαι δόγματα καὶ θεσπίσματα, ὡς σιωπῇ τὰ σφίσι λεγόμενα δέχεσθαι (90), μήτ' ἀμφιβάλλουσαν ἀκοὴν, μήτε γλῶτταν προϊεμένους ἀντίφωνον· ἡμᾶς δὲ τοῖς θείοις νόμοις καὶ δόγμασι τῶν τῆς ἡμῶν ἀρχηγῶν εὐσεβείας καὶ πίστεως οὐ μάλα ἐθέλειν ἀναποδείκτοις καὶ οἷά τισιν ὅροις κεχρῆσθαι, ἀλλ' ἀμφιβαλλόντων καὶ πολυπραγμονούντων ἄλλων ἀνέχεσθαι καὶ κατακερματιζόντων τὸν νοῦν, καθάπερ ποιοῦσι καὶ οἱ πολέμιοι τὰ λάφυρα ξύν γε πολλῇ περιέλκοντες ἀκοσμίᾳ. Εἰδέναι μέντοι

A apposite utar, certus sum, quia neque mors, neque vita, neque angeli, neque principatus, neque virtutes, neque instantia, neque futura, neque altitudo, neque profundum, neque creatura alia poterit istos a patriis institutis et decretis abducere. Deinde si jam nunc primum et primis nobis molesti essent Latini ista proponentes, fortassis et ipsi ad verborum concertationes Deo propitio hodie accingeremur. Sed cum olim hæc examinata et ita ut decebat definita et diuturnitate temporis luculenter confirmata sint, atque isti sæpius huc profecti subinde repudiati fuerint : quo jure ea quæ olim recte decreta sunt hodie turbabimus et inani labore eadem semper repetemus? Quod istis quidem nec grave est, et summo studio quæritur. Nam aliis

B atque aliis rationibus comminiscendis, iis videlicet quæ ipsis blandiantur et subinde meliora promittant, aut victoriam sibi de adversariis nobis, conversa fortuna et abolito vetere probro, cessuram pollicentur : aut ubi mala multa in conventum nostrum solito cum supercilio dixerint; tum demum famam de victoria **516** reportata impudentissimam sparsuros se ubique sperant, dissimulata veritate, quæ est eorum vaniloquentia. Verum nos committere haud decet, ut dignitatis nostræ amplitudinem prodamus ; neque ea, quæ e re adversariorum sunt, sed ea potius, quæ nobis expediunt, agere debemus. Quantæ porro vecordiæ

C esset, cum Græci illi, qui Pythagoram aut Epicurum auctorem sequuntur, adeo divina et certa putent dogmata ac decreta magistrorum, ut quidquid illi dixerint, taciti ipsi admittant, ac neque auribus dubitanter accipiant, neque linguam contra exserant; nos legibus et decretis primorum religionis et fidei nostræ auctorum nolle citra demonstrationem uti ac iis velut certis limitibus insistere, sed alios ferre disceptantes et curiose inquirentes et mentem quasi minutim concisam in diversa trahentes, non aliter quam hostes hostium spolia diripere ac fœdissime distrahere solent? Cæterum illud quoque scire est operæ pretium, non simpliciter, nec uno modo sanctorum Patrum scripta intelligenda esse. Quorum alia ad institutionem et utilitatem legentium accommodate

D edita sunt; personarum quidem et temporum habita ratione, sed religiose omnia; quædam inquam sic edita; alia dogmatice, alia encomiastice, alia denique contentiose. Quæ contentiosa, ea non debent aliunde alio transferri. Neque enim si quis pugnans cum hostibus et toto animo in gladium et clypeum intentus commilitonem ante pedes stantem disturbaverit, vel lex ea putanda **517** est, vel is accusandus, qui id fecit, cogitationem alio trahente necessitate et minime sinente, ut id, quod factum est, aliter fieret. Itaque illud caven-

Variorum notæ.

(90) *Ut quidquid illi dixerint, taciti ipsi admittant*, non, ut interpretabatur Wolfius, *ut quidquid dixeris, taciti ferant*. Boivin.

dum : item ne iis quæ encomiastice dicta sunt, pro legibus utamur. Nam laudantibus ars ipsa quidvis dicendi licentiam dedit. Quæ vero dogmatice et sententiose enuntiata sunt, iis demum rectum et tutum est veluti regulis et amussi quoad fidem uti. Ego vero sicut Italos improbo et reprehendo, adeo temere et arroganter in theologiam irruentes; ita etiam turpe et levitatis esse duco, eorum quæ probamus facere nos contraria, eorum vero quæ improbamus similia. Non enim quia confidentes illi sunt et audaces in hujusmodi rebus, idcirco nos eorum exemplum sequi par est; neque eo, quod iidem a recta via deflexerunt, et nos ea negligere oportet, quæ recte constituta sunt. Quin potius immoti intra legitimos terminos consistamus, et istiusmodi strepitus repellamus, sicut rupes inconcussa fluctus incurrentes propulsat. Vereor enim, vereor, ne fumum fugientes in blasphemiæ flammam incidamus. Quod enim a veteribus Græcis de Platone jactatum est, cum is ad Dionysium Siciliæ tyrannum hospes venisset, regiam pulvere impletam fuisse, cum plerique describendis lineis incumbere illico cœpissent; id et apud nos hodie alio modo accidit. Etenim ipsis, ut ita dicam, cerdonibus patent effusa theologiæ mysteria, quorum rationibus syllogistica **518** arte penetrandis ita omnes incumbunt et inhiant, ut pecudes herbis et pascuis. Atque ii quorum fides an recta sit ambiguum est, nec non ii qui quomodo sit credendum et quid sit illud, quod vocant credere, ignorant; it, inquam, et fora et porticus et theatra omnia theologia compleverunt, neque solem hunc impudentiæ suæ facere testem reverentur. Et quid absurdius cogitari queat, quam cum olim Græcorum dogmata florerent, certum ordinem exstitisse, et mystica arcana, Delphorum theologis commissa, nulli alii vel vulgare vel indagare licuisse, sive is Plato, sive Socrates esset, aut quivis alius sapientiæ laude celebris : apud nos autem, qui sincerum veræ religionis mysterium profitemur, ita res divinas profanari et quibuslibet de iis disserendi potestatem dari, vel potius quemlibet eam sibi ipsi arrogare? Gregorius vero divinarum rerum peritissimus linguam ad theologicas disputationes appellere sic reformidat, ut manum ad flammam. Proinde multis verbis se excusat, declaratque, se non libenter accedere ad disputandum de Deo, et eos qui id temere audeant improbat. « Neque enim, inquit, laudabile est desiderium, sed et conatus ipse formidabilis. » Et Oziæ exemplum adducit, qui Arcam olim solummodo attingere ausus periit; Deo, inquit, reverentiam Arcæ debitam sic asserente. Quod si rex eum quam primum e medio tolleret, qui regiam coronam impudenter **519** suo capiti imponere auderet; quot fulmina, quot turbines is meretur, qui temerario ausu irrumpere in theologiam non dubitat? Volo enim brevem narratiunculam veteris memoriæ, huic negotio valde consentaneam, subjungere. Alexan-

καὶ τοῦτο χρεών, ὡς οὐχ ἁπλῶς οὐδὲ καθ' ἕνα γε τὸν τρόπον τὰς τῶν θείων Πατέρων γραφὰς ἐκλαμβάνειν δέον. Τὰ μὲν γὰρ αὐτῶν διδασκαλικώτερόν τε καὶ οἰκονομικώτερον ἐξεδόθη τὸν τρόπον, καταλλήλως μὲν τοῖς προσώποις καὶ τοῖς ἄλλοτε ἄλλως ἀνθοῦσι καιροῖς· εὐσεβῶς δ' ἅπαντα· αἱ μὲν γοῦν τῶν γραφῶν οὕτως ἐξεδόθησαν, αἱ δὲ δογματικῶς, αἱ δὲ ἐγκωμιαστικῶς, αἱ δὲ ἀγωνιστικῶς. Οὔτ' οὖν τὰς ἄλλοθεν ἀγωνιστικὰς ἄλλοσε μεταφέρειν χρεών. Ἐπεὶ οὐδ' εἴ τις πολεμίοις μαχόμενος καὶ ὅλην ἀπασχολῶν τὴν διάνοιαν ἐς τὸ ξίφος καὶ τὴν ἀσπίδα πρὸ ποδῶν ἱστάμενον τὸν συστρατιώτην ἐξώθησεν, οὔτε νόμον ἡγεῖσθαι τὸ πεπραγμένον, οὔτε τῷ πεπραχότι δίκαιον ἐγκαλεῖν, τῆς ἀνάγκης ἄλλοσε τηνικαῦτα περισπώσης τὸν λογισμὸν καὶ ἥκιστα συγχωρούσης ἄλλως πεπρᾶχθαι τὸ πεπραγμένον. Οὔτ' οὖν ταῦθ' οὕτω χρὴ ποιεῖν, οὔτε μὴν ταῖς ἐγκωμιαστικαῖς ὡς νόμοις κεχρῆσθαι. Αὐτονομία γὰρ ἐκ τῆς τέχνης καὶ τοί; ἐγκωμιάζουσι δέδοται λέγειν ὅσα βουλομένοις εἴη ἄν. Ὅσας γε μὴν δογματικῶς τε καὶ ἀποφαντικῶς ἐκεῖνοι ἐξενηνόχασι, τούτοις δ' ἆρα ἀνέγκλητόν τε καὶ ἀσφαλὲς οἷά τισι κανόσι καὶ στάθμαις πρὸς τὴν πίστιν κεχρῆσθαι. Ἐγὼ τοίνυν ὥσπερ τοὺς Ἰταλοὺς διασύρω καὶ μέμφομαι, ἰταμῶς οὑτωσὶ καὶ μετὰ πολλῆς τῆς ὀφρύος τῇ θεολογίᾳ ἐπιπηδῶντας, τὸν αὐτὸν δὴ τρόπον αἰσχρὸν καὶ παλίμβολον ἡγημαι, ὧν μὲν ἐπαινοῦμέν τἀναντία ποιεῖν ἡμᾶς, οἷς δὲ ψέγομεν τὰ παραπλήσια. [P. 519] Οὐ γὰρ ὅτι ἐκεῖνοι τολμηροὶ καὶ θρασεῖς περὶ τὰ τοιαῦτα, διὰ τοῦτο καὶ ἡμᾶς ἕπεσθαι δεῖ· οὐδ' ὅτι τῆς εὐθείας ἐκεῖνοί γε ἐξετράποντο, καὶ ἡμᾶς τῶν καθεστώτων χρεὼν ἀμελεῖν· ἀλλ' ἀκλινεῖς τῶν προσηκόντων ὅρων ἱσταμένους ἐντὸς τοὺς τοιούτους παραχρύεσθαι κρότους, καθάπερ προβλῆτες ἀτίναχτοι τὰ προσπίπτοντα κύματα. Δέδοικα γὰρ, μὴ καπνὸν φεύγοντες εἰς πῦρ βλασφημίας ἐμπίπτωμεν. Ὃ γὰρ παρ' Ἕλλησι πάλαι τεθρύλληται περὶ Πλάτωνος, ὡς ἐκείνου γε παρὰ Διονύσιον τὸν τῆς Σικελίας ἐπιδημήσαντος τύραννον κονιορτοῦ τὰ βασίλεια ἐνεπίμπλαντο, περὶ τὰς γραμμικὰς ἀσχολίας τηνικαῦτα τῶν πλείστων ὁρμώντων, τοῦτο δὴ καὶ παρ' ἡμῖν τρόπον ἕτερον γίγνεται σήμερον. Οὕτω γὰρ καὶ παρ' αὐτοῖς εἰπεῖν τοῖς βαναύσοις ἐκκέχυται τὰ θεολογίας μυστήρια καὶ οὕτω κεχήνασιν ἅπαντες ἐπὶ τῷ συλλογιστικῶς ἐμβατεύειν τοῖς λόγοις αὐτῶν, ὥσπερ ἐπὶ τῇ χλόῃ καὶ ταῖς νομαῖς τὰ βοσκήματα. Καὶ οἱ τὸ πιστεύειν ὀρθῶς ἀμφίβολον ἔχοντες, καὶ οἱ μηδ' ὅπως δεῖ πιστεύειν εἰδότες μηδ' ὅ τι ἐστὶν ὃ πιστεύειν φασὶν, ἀγορὰς καὶ περιπάτους καὶ θέατρα πάντ' ἐμπεπλήκασι τῆς θεολογίας καὶ οὐδὲ τουτονὶ τὸν ἥλιον αἰσχύνονται μάρτυρα τῆς ἀναιδείας ποιούμενοι. Πῶς δ' οὐκ ἂν εἴη τῶν σφόδρα ἀτοπωτάτων, πάλαι μὲν ὁπότε τὰ Ἑλλήνων ἤχμαζε δόγματα, τάξιν ἐπιπολάζειν καὶ ἃ τοῖς Δελφῶν θεολόγοις ἐφεῖται μυστήρια, μηδενὶ τῶν ἄλλων ἐξεῖναι μήτε λέγειν μήτε περινοεῖν, κἂν Σωκράτης ᾖ, κἂν Πλάτων, κἂν εἴ τις ἐπὶ σοφίᾳ περιφανής τε καὶ διαβόητος· παρ' ἡμῖν δὲ, οἷς ἀκίβδηλον τὸ τῆς εὐσεβείας ὁμολογεῖται μυστήριον, οὕτωσὶ βεβήλοῦσθαι τὰ θεῖα καὶ πᾶσι τοῖς θεολογεῖν βουλομένοις εἶναι τοῦτ' ἐφειμένον καὶ

αὐτοχειροτόνητον; Ἀλλ' ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος τοσοῦτον ἀποδειλιᾷ πρὸς θεολογίαν τὴν γλῶτταν κινεῖν, ὥσπερ τὴν χεῖρα πρὸς φλόγα πυρός; Ὥστε καὶ πολλοὺς πρὸς παραίτησιν προβάλλεται λόγους, ἐν οἷς οὐθ' ἑαυτὸν ἐγχειρεῖν προθυμούμενον τοῖς περὶ Θεοῦ δείκνυσι λόγοις, οὔτε τὸν ἐγχειροῦντα θρασέως ἀποδέχεται. « Οὔτε γὰρ ἐπαινετὸς, » φησὶν (91), « ὁ πόθος, ἀλλὰ καὶ φοβερὸν τὸ ἐγχείρημα. » Παρεισάγει δὲ καὶ Ὀζᾶν ἐκεῖνον, ὃς τῆς κιβωτοῦ πάλαι ψαῦσαι τολμήσας μόνον ἀπώλετο, φυλάσσοντος, φησὶ, τοῦ Θεοῦ τῇ κιβωτῷ τὸ σεβάσμιον. Εἰ δὲ καὶ βασιλεὺς τάχιστ' ἂν ἐξ ἀνθρώπων ποιήσειεν, εἴ τις τῶν ὑπηκόων ἀναιδῶς ἐπὶ τῆς ἑαυτοῦ κεφαλῆς τὸ βασιλικὸν ἐπιθεῖναι τολμήσειε στέφος, πόσων ἂν εἴη κεραυνῶν καὶ πρηστήρων ἄξιος, εἴ τις αὐτονομίᾳ θρασύτητος οὕτωσὶ τῆς θεολογίας κατατολμᾷ; Ἐθέλω γὰρ καὶ μικρὸν ἐκ τῶν πάλαι προσθεῖναι τῷ λόγῳ διήγημα, τῇ ὑποθέσει πάνυ τοι σφόδρα προσῆκον. [P. 320] Ἀλέξανδρόν φασιν, ἐκεῖνον τὸν Μακεδόνα, μετὰ τὸν πολὺν ἐκεῖνον δρόμον καὶ τὰ μεγάλα τρόπαια, ἐπειδήποτε ῥᾳστώνης ἕνεκά τινος καὶ θυμηδίας ἐπιβὰς τριήρους ἔπλει περισκοπῶν καὶ ποταμὸν τὸν Εὐφράτην, ἐκπίπτει τῆς αὐτοῦ κεφαλῆς, συμβὰν οὕτωσί πως, ἡ βασιλικὴ καλύπτρα περὶ μέσον τὸν ποταμόν· ἣν τάχιστά τις τῶν ναυτῶν εἱλήφει διανηξάμενος· καὶ αὐτὴν μὲν τῇ χειρὶ βαστάζειν ἅμα καὶ νήχεσθαι μὴ ἔχων, τῇ ἑαυτοῦ κεφαλῇ περιθεὶς ἐξενήξατο κομίζων ταύτην τῷ βασιλεῖ· ὅ γε μὴν βασιλεὺς (92), ὅτι μὲν τὴν βασίλειον καλύπτραν αὐτῷ διεσώσατο, τάλαντον ἐδωρήσατο· ὅτι δ' αὐτὴν ἀναξίως τῇ ἑαυτοῦ κεφαλῇ περιέθηκεν, ἀφαιρεῖται τῆς κεφαλῆς τὸν ἄνθρωπον. Εἰ δ' ἄνθρωπος ἄνθρωπον οὐκ ἠνέσχετο τὴν αὐτὴν ἑαυτῷ περιθέντα καλύπτραν ζῶντα βλέπειν ἐᾶσαι τοῦ λοιποῦ τὴν τὰ πάντα βόσκουσαν αἰθερίαν λαμπάδα, τί φήσομεν περὶ τῶν ἀδεῶς οὕτωσὶ τῇ θεολογίᾳ ἐπιπηδώντων καὶ ταῦτα μήτε δαίμονας δυναμένων ἐκβάλλειν, μήτε θάλασσαν τέμνειν, μήτε ποταμοὺς ὑδάτων παρασκευάζειν ἐκβλύζειν ἐκ πέτρας, ἵνα τούτοις γοῦν μεταπείσωσι τοὺς πολλοὺς καὶ πρὸς ἑαυτοὺς ὡς εἰκὸς ἀνθελκύσωσιν; Ἀλλ' ἐγὼ μὲν ἃ συμφέρειν ἐνόμισα, ταῦτα καὶ λέγειν προῆγμαι. Εἰ δὲ καὶ τοῖς ἀκούουσιν ἀκοῆς ἄξια ταῦτα φανείη, τῷ Θεῷ χάρις τῷ πάντων καλῶν χορηγῷ. Εἰ δ' οὖν, σκεπτέον τὸ βέλτιον. »

A drum aiunt, Macedonem illum, post longum victoriarum cursum et magnos triumphos cum animum relaxare et recreare vellet, triremi conscensa in Euphrate navigasse circumspectantem, ac in medio flumine diadema illi fortuito e capite delapsum esse : quod cum nauta quidam natando provectus apprehendisset, et quia manu gestare ac simul natare non poterat, capiti suo imposuisset, ac denique enatans ad regem reportasset : homini illi, quod regium diadema servasset, talentum donavisse; sed quia idem diadema indigne capiti suo imposuisset, caput abstulisse. Quod si homo hominem, qui eodem secum pileo usus foret, vivum ferre non potuit, neque ultra passus est omnium rerum altricem intueri solis lucem, quid de iis dicemus, qui adeo petulanter in theologiam irrumpunt? idque cum neque dæmones ejicere, neque mare interscindere, nec aquarum amnes e rupibus elicere possint, ut istis saltem inductum vulgus deduceant atque adeo in suas partes trahant. Ego vero quæ utilia esse judicavi, ea in medium proferenda esse censui. Quæ si auditoribus digna auditu visa sunt, Deo accepta refero, qui, quidquid pulchrum, largitur. Sin minus, quærenda sunt meliora. »

Γ'. Ταῦτα διεξελθὼν ὁμόστοιχα λέγειν ἔδοξα (93) τοῖς ἐλλογιμωτέροις τῶν ἐπισκόπων τοῖς τε ἄλλοις καὶ μάλιστα Δυῤῥαχίου τῷ πάνυ· ὃς πολιᾷ βίου καὶ συνέσεως ὀξύτητι καὶ μεγαλοψυχᾳ γνώμης διέπρεπεν ἐν τοῖς ἐπισκόποις, λόγῳ τε τὴν ἀρετὴν κοσμῶν καὶ ἀρετῇ τὸν λόγον. Οἷς ἀκολουθεῖν πεπείκασιν ἑαυτοὺς καὶ ὅσοι μὴ λόγοις τὴν γλῶσσαν ὁπλίζειν ἐδύναντο, πᾶσαν ἐριστικὴν ἐξ ἀνάγκης ἀποθέμενοι γνώμην.

III. Hæc cum dixissem, visus sum eruditiorum episcoporum opinioni congruentia dixisse, cum aliorum, tum maxime Dyrrhachini, viri præstantissimi; qui et senili gravitate et ingenii acumine et animi magnitudine inter episcopos excellebat, ac virtutem eruditione et eruditionem virtute ornabat. Hos ii sibi sequendos putaverunt, qui eloquentia non valebant, omne contentionis studium coacti abjicere.

Δ'. Ἐν τούτῳ τῷ χρόνῳ καὶ ὁ δεσπότης (94) τετελεύτηκε Κωνσταντῖνος, ἑαυτῷ γε συνθάψας ὁμοῦ καὶ τὰς ἀκαίρους τῶν πολλῶν προσδοκίας.

IV. Hoc tempore etiam despota Constantinus decessit, et una secum inanem vulgi expectationem sepelivit.

Variorum notæ.

(91) Gregor. Naz. oratione περὶ δόγματος. Boivin.

(92) Vitiosa constructio. Boivin.

(93) Leo Allatius, *De Eccles. Occid. et Orient. perp. consens.* lib. II, cap. 16, sect. 2, pontificis Romani Benedicti XII ad Robertum Siciliæ regem epistolam profert, datam Avenione III Kal. Sept. an. Chr. 1339, eique epistolæ subjungit acta eodem anno inter eumdem Benedictum papam et Andronici junioris legatos, Barlaamum et Stephanum Pandulum, qui de Ecclesiarum concordia acturi Avenionem venerant. Denique, his omnibus velut præstructis, hæc ipse addit de suo : *Concordia tamen subsecuta non est, Nicephori Gregoræ omnia tum, et favore principis et eloquentiæ nervis susque deque miscentis pervicacia, qui prolixa oratione patriarcham ipsum, Dyrrhachinum episcopum, et alios perplures, seductos in suam traxit sententiam, ne legati pontificis audirentur, repudiarenturque omnia, quæ concordiam similem stabilire viderentur.* Leo Allatius tempora confundit. Nam oratio illa Gregoræ non ad an. Chr. 1339 aut 1340 pertinet, sed ad. an. 1333, ut supra dictum est. Boivin.

(94) Andronici senioris imp. filius secundo genitus ex Anna prima uxore. Vide stemma Palæolog. et scriptores ibi laudatos. Ducang.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ
ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
ΛΟΓΟΣ ΙΑ.

—

NICEPHORI GREGORÆ
BYZANTINÆ HISTORIÆ
LIBER UNDECIMUS.

—

CAPUT PRIMUM.

Turci Latinos ac Romanos terra et mari infestant. Latini principes cum Italiæ rege et cum imperatori agunt de ineunda adversus communem hostem societate. Imperator pecunias cogit. Classem apparat Latinorum adventum exspectat. Latini inter se dissidentes ejus exspectationem frustrantur. Rhodii, Phocæenses et Cycladum rector in imperatorem conspirant. Mitylenen proditione capiunt. Catanes Genuita, dux Phocæensium, eam sibi vindicat; navium numero sociis superior. Uxorem et liberos Phocæa arcessit. Quonam jure huic urbi præfuerit. Genuenses Galatæi insolescunt. Eorum opulentia unde creverit. Variis artibus castellum suum amplificant ac muniunt. Imperator munitiones eorum incendit. Eosdem bellum aperte molientes oppugnare negligit, ad majora intentus. Galatæi in summas angustias redacti ferociam exuunt. Pacem impetrant. Imperator Mitylenen proficiscitur. Naves quinque hostiles comprehendit et Chium perducit. Interim Catanes Mitylenen munit. Romani adjunctis sibi Turcis Phocæam obsident.

523 I. Anno sequente Turci, plurimis navibus A a dilectis, non insulas tantum vexarunt in Ægæo et ultra Ægæum mare sitas, sed mercatorias etiam naves captas spoliarunt, et crebros excensus in mediterranea fecerunt, non secus ac si in sua terra versarentur, obsistente nemine. Quæ res Latinis æque ac Romanis exitio erant, et graviora etiam in posterum pericula minabantur.

II. Latinorum itaque principes conveniunt, ac de ea re inter sese et cum Carolo Italiæ rege communicant; sequo ad propulsandum hostem **524** paratos fore pollicentur. Missis etiam ad imperatorem legatis consensum et ardorem Latinorum ei declarant, hortanturque, ne communibus periculis desit, et ut serio ac sedulo in rem gerendam in- B cumbat. Intolerabilia enim esse quæ Turci Latinis et Romanis detrimenta in dies inferant et in posterum inferre destinent. Ad hæc absurdum ac ignavissimi esse ingenii et animi, cum liceret ea jactura et translatione opum nostrarum, quibus quotannis inviti a barbaris spoliemur, ad navalium copiarum apparatum et propulsationem hostium ui, ultro cedere illis, et in evidens atque indubitatum discrimen nos ipsos una cum facultatibus

Α'. Τοῦ δ' ἐπιόντος ἔτους οἱ Τοῦρκοι πλεῖστα ναυπηγησάμενοι πλοῖα οὐ μόνον τὰς νήσους κακῶς διετίθεσαν τάς τε κατὰ τὸν Αἰγαῖον καὶ μετὰ τὸν Αἰγαῖον, ἀλλὰ καὶ τὰς ἐπ' ἐμπορίᾳ ἐξιούσας ὁλκάδας αἱρούντες ἐληΐζοντο· συχνὰς δὲ καὶ τὰς ἀποβάσεις ἐς τὴν μεσόγειον ἐποιοῦντο, καθάπερ ἐν φιλίᾳ γῇ, μηδένα τὸν προϊστάμενον ἔχοντες. Ἃ δὴ κοινήν τε ἐπῆγε φθορὰν Λατίνοις ὁμοῦ καὶ Ῥωμαίοις καὶ ἔτι μείζονα ἠπείλει τὸν φόβον ἐν τοῖς ἐξῆς.

[P. 321] Β'. Κοινολογοῦνται τοίνυν συνελθόντες οἱ τῶν Λατίνων ἄρχοντες περὶ τοῦ πράγματος πρός τε ἀλλήλους καὶ πρὸς Κάρουλον τὸν τῆς Ἰταλίας ῥῆγα (95), καὶ πρὸς ἄμυναν τῶν πολεμίων παρασκευάζεσθαι ἐπαγγέλλονται. Πέμπουσι δὲ καὶ πρὸς βασιλέα πρεσβείαν, διασαφοῦντές τε τὴν κοινὴν τῶν Λατίνων ὁρμήν, καὶ ἅμα ἀξιοῦντες διαναστῆναι καὶ αὐτὸν ἐς τὴν κοινὴν χρείαν καὶ μὴ ἐν παρέργῳ θεῖναι τὰ τῆς σπουδῆς. Οὐ γὰρ ἀνεκτὰ ἔφασκον εἶναι, ὅσα Ῥωμαίοις ἐπάγουσι καὶ Λατίνοις οἱ βάρβαροι καθ' ἡμέραν δεινά, καὶ ὅσα ἐπάξειν ἔτι ἐπαγγέλλονται. Ἄτοπον δὲ καὶ ἄλλως καὶ νωθροτάτης πάντη διανοίας καὶ γνώμης, παρὸν τῇ καθ' ἕκαστον ἔτος γινομένῃ ζημίᾳ καὶ παραπομπῇ τῶν ἡμετέρων χρημάτων πρὸς τοὺς βαρβάρους ἀκόντων ἡμῶν ἐς παρασκευὴν ναυτικῆς δυνάμεως καὶ ἄμυναν κατ' αὐτῶν [P. 322] χρήσασθαι,

Variorum notæ.

(95) Fallitur Gregoras. Robertus enim tum Italiæ imperabat, cum Joannis XXII papæ suasu ipse ac Latini principes invicem convenerunt ad comprimendas crebras Turcorum in Christianorum ditiones excursiones, anno scilicet 1326. DUCANG.

ἔπειτα ἐκόντας ἐνδιδόναι καὶ ἐς προφανῆ καὶ ἀναμφισβήτητον κίνδυνον ὥσπερ συνωθεῖν μετὰ τῶν ἡμετέρων καὶ ἡμᾶς αὐτούς. Ἐπήνεγκαν δὲ τῇ πρεσβείᾳ καὶ ὥσπερ τινὰ ἐπῳδόν, ὡς εἰ μὴ διαναστείης καὶ σὺ μεθ' ἡμῶν ἐς ἄμυναν τῶν κοινῶν πολεμίων, οὐκ ἂν φθάνοις καὶ αὐτὸς ὑφ' ἡμῶν ἴσα τοῖς ἐχθροῖς πολεμούμενος.

A nostris ultro præcipitare. Legationi illud etiam conclusionis vice adjecerunt : ni expergisceretur et una secum communes hostes oppugnaret, et ipsum hostis loco futurum.

Γ'. Ταῦτα τὸν βασιλέα ἠνάγκασεν εἰς τὴν κοινὴν καὶ αὐτὸν ταύτην χρείαν διαναστῆναι. Καὶ ἐπεὶ χρημάτων ἐσπάνιζε τὰ βασιλικὰ ταμιεῖα, πέμπει τὴν ταχίστην τοὺς τὰς ἐπὶ Θράκῃ καὶ Μακεδονίᾳ χώρας καὶ πόλεις ἀργυρολογήσοντας, καὶ ταῦτα πολλὰ πεπονηκυίας ὑπό τε τῶν ἄλλοτε ἄλλως ἐπιόντων φόρων καὶ ὑπὸ τῶν συχνῶν ἐφόδων ἔνθεν μὲν τῶν Τούρκων, ἐκεῖθεν δὲ τῶν Βουλγάρων. Τούτων οὕτως ἐχόντων τάς τε παλαιὰς ἐπεσκεύαζον ναῦς καὶ ἑτέρας ἐξ αὐτῶν ἤδη κρηπίδων ἐναυπηγοῦντο παρ' ὅλον τουτονὶ τὸν χειμῶνα. Ἔαρος δὲ ἤδη λήγοντος ὁ μὲν βασιλεὺς εἴκοσι ναῦς πεπληρωκὼς πρὸς ἔκπλουν παρεσκευάζετο, ναύαρχος ἐθελοντὴς αὐτὸς τοῦ στόλου γιγνόμενος, καὶ ταῦτα πρὸς τῆς συζύγου δεσποίνης καὶ τῶν ἄλλων ἁπάντων κωλυόμενος, διὰ τὸ μὴ ἐς ἀξίαν βασιλικῆς περιωπῆς τὰ τοιαῦτα τῶν ἔργων ἀνήκειν. Ὁ δ' ὥσπερ ἐν τοῖς ἄλλοις αὐτουργὸς αὐτὸς τῶν γιγνομένων ἐφιλοτιμεῖτο γίγνεσθαι, οὕτω κἀνταῦθα πολὺ τὸ φιλότιμον ἔσχε καὶ πλήρης ἦν πολεμικῆς ὁρμῆς. Ἐκάθητο δὲ ὅμως καὶ τὴν τῶν Λατινικῶν δυνάμεων ἄφιξιν περιμένων. Ἀλλὰ περὶ τοὺς νεωστὶ φυέντας ἐν σφίσιν αὐτοῖς θορύβους καὶ ταραχὰς οἱ Λατῖνοι ἀσχοληθέντες ἄπρακτοι καὶ ψευδεῖς περὶ τὰς ἐπαγγελίας ἐφάνησαν.

III. Ita imperator, communis illius belli socius esse coactus, cum fiscus imperatorius pecuniæ inopia laboraret, tributorum exactores in Thraciam et Macedoniam statim misit ; quamvis illius tractus urbes ac provinciæ multum jam vexatæ erant, tum exactionibus alias aliis, tum incursionibus crebris hinc Turcorum, illinc Bulgarorum. Interea et veteres naves reficiuntur, et aliæ novæ per totam hanc hiemem a fundamentis exstruuntur. Sub veris exitum imperator **525** viginti navibus completis parat se ad profectionem, et ipse ultro classis præfectum agit ; idque imperatrice uxore et cæteris omnibus prohibentibus, quod istiusmodi res ab imperatoria majestate alienæ essent. At ille, ut cætera, ita hanc quoque rem sua præsentia et opera confici volebat, alacritate et bellico impetu plenus. Latinarum tamen copiarum adventum exspectabat. Verum illi nuper inter ipsos ortis tumultibus occupati, spem ejus fefellerunt, ac nihil eorum quæ promiserant exsecuti sunt.

Δ'. Οἱ δὲ Ῥόδιοι (96) καὶ οἱ τὴν παράλιον Φώκαιαν οἰκοῦντες, ἣ πλησίον κεῖται τῆς Σμύρνης, καὶ πρὸς τούτοις ὁ τῶν Κυκλάδων νήσων ἡγεμονεύων (97), δόλῳ μεταθέμενοι τὸν σκοπὸν, σύνθημα ἔσχον λάθρα ἐπιθέσθαι ταῖς τε Ῥωμαϊκαῖς νήσοις καὶ αὐταῖς ταῖς τοῦ βασιλέως ναυτικαῖς δυνάμεσι· δείσαντες ἴσως, μὴ ὁ βασιλεὺς τῶν ἄλλων ἀφέμενος ἐπ' αὐτοὺς τρέψηται. Ὅθεν ἐπὶ Λέσβον ὁρμήσαντες ἅμα ναυσὶ πεντεκαίδεκα τῆς μὲν ἄλλης νήσου κύριοι γενέσθαι τέως οὐκ ἠδυνήθησαν· αὐτοὶ δὲ τῷ λιμένι τῆς Μιτυλήνης (98) ἐξαίφνης προσσχόντες προδοσίᾳ τὴν πόλιν εἷλον εὐθύς.

IV. Rhodii vero et maritimæ Phocææ habitatores, quæ urbs prope Smyrnam sita est, ac præterea Cycladum insularum princeps, consilio fraudo mutato pepigerant, se Romanas insulas et ipsas imperatoris copias clam adorturos : veriti fortasse, ne hic aliis omissis arma in ipsos converteret. Itaque cum navibus quindecim Lesbum profecti reliqua quidem insula potiri illico non potuerunt ; sed Mitylenes portum derepente ingressi urbem proditione statim ceperunt.

Ε'. Βουλομένων δὲ τῶν τε Ῥοδίων καὶ τοῦ τῶν Κυκλάδων νήσων ἡγεμόνος τά τε χρήματα διαρπάσαι καὶ τὴν ὅλην ἐπίσης ἐπικράτειαν διανείμασθαι τῶν Λεσβίων, δόλῳ τινὶ καὶ ἀπάτῃ χρησάμενος ὁ τῶν Φωκαέων ἀρχηγὸς Κατάνης (99) οἰκείαν τε φρουρὰν εἰσήγαγεν εἰς τὴν Μιτυλήνην καὶ ταύτην ἐφρούρισατο, τούτους παρακρουσάμενος. Ἐνόμισε γὰρ ῥᾳδίως ἐκεῖθεν καὶ ὅλης ἄνευ συμμάχων τῆς νήσου κρατήσειν, ἅτε πλείονα συναμφοτέρων ἐκείνων μόνος αὐτὸς κεκτημένος δύναμιν. Ὀκτὼ μὲν

V. Cum autem Rhodii et Cycladum insularum princeps opes diripere et reliquam pariter Lesbiorum ditionem partiri vellent : Phocæorum ductor Catanes dolo ac fraude usus suum præsidium in urbem introduxit, illisque deceptis eam sibi vindicavit. Inde enim totius insulæ vel **526** sine sociis se facile potiturum esse putabat ; quippe qui solus utrisque illis simul junctis superior viribus foret. Is enim solus octo triremes adduxerat, quas Genuæ compleverat : Rhodii vero quatuor : reli-

Variorum notæ.

(96) Milites ordinis Hospitalis Hierosolymitani, qui Rhodum anno 1310 Turcis abstulerant. DUCANG.

(97) Nicolaus Sanutus, qui Naxi, interdum Ægæopelagi ducem seso inscribebat. Vide *Hist. Franco-Byzant.* lib. VII, n. 20. Infra Κυκλάδων νήσων ἀρχηγός. DUCANG.

(98) Cantacuzen. lib. II, cap. 29, ubi de capta a Catania Mitylene agit. DUCANG.

(99) Dominicus Catanias, Andreæ qui Phocæam novam subjugaverat filius, ut est apud Cantacuz. lib. II, cap. 15. Duplex enim fuit Phocæa : altera quam antiquam, altera quam novam vocant, Gregoras παραλίαν. Hanc postremam jure clientelæ deinceps ex pacto cum Andronico seniore inito tenuere Cataniæ. DUCANG.

quas tres Cycladum insularum princeps. Ac Mitylenæos quidem cives statim urbe exegit; et uxore ac liberis Phocæa arcessitis, ibi considere decrevit, justo præsidio Phocææ relicto. Erat autem Phocæa patrimonium ejus, transmissum videlicet a majoribus, qui eam urbem ab imperatore eodemque avo imperatoris acceperant, procurationis et alicujus pecuniarii reditus gratia. Quamobrem certis temporibus qui in ejus loci præfecturam aliis succedebant, factam olim donationem novis imperatoris litteris perpetuo renovabant, ne longo temporis spatio exclusus imperator dominio imprudens excideret. Catanes autem iste, cum jam Romanam rem afflictam cerneret, insolentius erga imperatorem se gessit, officiumque neglexit. Unde imperatoris subitam impressionem veritus saluti suæ qua potuit omni modo consuluit, et Mitylenen per insidias occupare instituit: idque data occasione perfecit. Cæterum Rhodii, et alii qui ad invadendam Mitylenen concurrerant, improbitatem Phocæensis Catanis exosi domum recesserunt.

A γὰρ ἦλθεν ἔχων τριήρεις μόνος αὐτὸς, ἃς ἐκ Γενούας ἔφθη πεπληρωκώς· οἱ δὲ Ῥόδιοι τέτταρας· τὰς δ' ἑτέρας τρεῖς ὁ τῶν Κυκλάδων νήσων ἀρχηγός. [P. 323] Αὐτὸς μὲν οὖν τοὺς μὲν τῆς Μιτυλήνης οἰκήτορας εὐθὺς ἐξῴκισε τῆς πατρίδος· ὁ δὲ τὴν γυναῖκα καὶ τὰ τέκνα μεταπεμψάμενος ἐκ Φωκαίας ἐκεῖ τὴν οἴκησιν ἔχειν εἵλετο, φρουρὰν ἱκανὴν ἐγκαταλιπὼν τῇ Φωκαίᾳ. Κλῆρος δ' αὐτῷ περιελθὼν ἦν ἀπὸ προγόνων ἡ Φώκαια, πρὸς τοῦ βασιλέως καὶ πάππου τοῦ βασιλέως σφίσι δοθεῖσα ἐπιτροπῆς τε εἵνεκα καὶ χρημάτων τινὸς πορισμοῦ. Διὸ καὶ κατὰ χρόνους τακτοὺς οἱ τὴν ταύτης ἐφορείαν διαδεχόμενοι γράμμασι βασιλικοῖς ἀνανεοῦντες ἀεὶ διετέλουν τὴν δόσιν τοῦ κλήρου, μὴ λάθῃ παραχρουσαμένη τὴν βασιλικὴν δεσποτείαν ἡ μεταξὺ τοῦ χρόνου μακρὰ περίοδος. Ὁ δὲ Κατάνης οὗτος, νοσοῦντα ἐωρακὼς ἤδη τὰ Ῥωμαίων πράγματα, θρασύτερον διετέθη πρὸς βασιλέα καὶ ἠμέλει τῶν καθηκόντων δικαίων. Ὅθεν καὶ τὴν τοῦ βασιλέως ὑφορώμενος αἰφνίδιον ἔφοδον ἑαυτόν τε κατὰ πᾶν τὸ δυνατὸν ἠσφαλίζετο καὶ τὴν τῆς Μιτυλήνης ἐμελέτα ἐπιβουλήν. Καιροῦ δὲ ἤδη λαβόμενος εἰς πέρας καὶ τὴν ἐπιβουλὴν ἐξέβρηξεν. Οἱ μέντοι συνδεδραμηκότες ἐπὶ τὴν τῆς Μιτυλήνης ἅλωσιν Ῥόδιοι μετὰ τῶν ἑτέρων τὴν τοῦ Φωκαέως Κατάνη μοχθηρίαν τῆς γνώμης κατεγνωκότες ἐς τὰ οἴκοι ἀνεχώρησαν.

VI. Hoc rerum statu Genuenses, qui Galatam tenebant, cum antea audaces, tum illo Catanis **527** successu audaciores facti (nam et is Genuensis erat), pluribus majoribusque injuriis et contumeliis Romanos onerabant. Nam propter immunitatem, quam primum a Michaele Palæologo impetraverant, ut supra diximus, maxima pars Romanæ classis ad illos se contulerat, eorumque habitum assumpserat. Unde Latinorum opes auctæ, Romanorum vero imminutæ sunt. Quæ sane res eos asperiores contra Romanos atque etiam superbos et contumaces effecit. Proinde et fossam circumductam profundiorem fecerunt, et firmas turres clanculum per speciem ædium exstruxerunt. Tum iidem largitione corruptis iis, qui imperii administrationi præerant, omnem licentiam nacti sunt et vineas emendi, et ædes in vicino colle splendidis muris ac velut propugnaculis munitas ædificandi; adeo ut si bellum cum Byzantiis gerendum esset, nihil esset, quod eos aut terreret, aut impediret.

Ϛ'. Τούτων οὕτως ἐχόντων τοῦ προτέρου πλεῖον ἀναλαβόντες θράσος οἱ ἐν τοῖς Γαλάτου οἰκοῦντες Γενουῖται διὰ τὸ τοῦ Κατάνη προτέρημα (Γενουΐτης γὰρ κἀκεῖνος ἐτύγχανε), πλείονα τῶν προτέρων ἐπῆγον καὶ προσετίθεσαν τοῖς Ῥωμαίοις τὰ ἀδικήματα καὶ τὰς ὕβρεις. Διὰ γὰρ τὴν ἀτέλειαν, ἣν παρὰ πρώτου Παλαιολόγου Μιχαὴλ τοῦ βασιλέως εἰλήφεσαν, ὡς ἀνωτέρω εἰρήκαμεν, τὸ πλεῖον τοῦ τῶν Ῥωμαίων ναυτικοῦ προστιθέμενον ἐκείνοις καὶ μετασχηματιζόμενον ἐς μέγα μὲν τὸν Λατινικὸν ηὔξησε πλοῦτον, μέγα δ' ἠλάττωσε τὸν Ῥωμαϊκόν. Ὃ δὴ καὶ σκληροτέρους κατὰ Ῥωμαίων αὐτοὺς ὑπερφρονάς τε καὶ αὐθάδεις ἐπεποιήκει. Ὅθεν τήν τε περὶ αὐτοὺς τάφρον βαθυτέραν ἐποίουν καὶ πύργους ὀχυροὺς κατὰ τὸ λεληθὸς ἐν σχήμασιν οἰκιῶν ἀνίστων· καὶ ἐπὶ τούτοις, χρήμασιν ὑποφθείροντες τοὺς τῶν βασιλικῶν προεστηκότας πραγμάτων, ἄδειαν πᾶσαν εἰλήφεσαν, ἀμπελῶνά τε ὠνεῖσθαι καὶ οἰκίας ἀνιστᾷν ἐπὶ τοῦ πλησιάζοντος λόφου λαμπρὰς πεπυργωμένας τοῖς τείχεσιν· ὡς καὶ δεῆσαν πολεμεῖν Βυζαντίοις, μηδὲν εἶναι τὸ φόβον ἐπάγον καὶ κώλυμα τούτοις.

VII. Imperator autem, cum primum Mitylenen esse captam audisset, et hos in vicinia plus satis insolescere cerneret et pacta conventa pleraque violare; iis subito circumventis magnas illas et munitas ædes in colle exstructas incendit: in quibus multi arcus, multa tela et arma, eaque diversi generis, reperta sunt. Quæ cum Latini præter expectationem viderent, pavere ac trepidare et extrema timere cœperunt. Putabant enim, imperatorem eodem die cum navalibus copiis solito majoribus in se ipsos **528** quoque impetum esse facturum. Quare clam armis sese munichant. Sed cum ne postridie quidem imperatorem quidquam

Ζ'. Ἐπεὶ δ' ἀρτίως ὁ βασιλεὺς τήν τε τῆς Μιτυλήνης ἐπόθετο ἅλωσιν, καὶ τούτους αὖ ἐγγύθεν πέρα τοῦ δέοντος ἐώρᾳ θρασυνομένους καὶ ἐς τὰ πλεῖστα παρασπονδοῦντας, περιελθὼν αἰφνιδίως ἐνέπρησε τὰς περὶ τὸν λόφον μεγάλας καὶ ὀχυρὰς ἐκείνας οἰκίας αὐτῶν· [P. 324] ἐν αἷς πολλά τε εὑρηται ὅπλα καὶ τόξα καὶ βέλη καὶ διάφορα. Ταῦτα παρὰ προσδοκίαν ἰδοῦσι τοῖς Λατίνοις κατεπτηχέναι καὶ ἐκπεπλῆχθαι ἐπῆλθε καὶ δεδιέναι τὰ ἔσχατα. Ἤλπισαν γὰρ αὐθημερὸν ἐπεισπεσεῖσθαι καὶ σφισιν τὸν βασιλέα ὁλοσχερῶς, πολλῆς παρεσκευασμένου εἴπερ ποτὲ ναυτικῆς δυνάμεως. Διὸ καὶ λάθρα ὡπλίζοντο καθ' αὑτούς. Ἐπεὶ δ' ἄχρι τῆς ὑστεραίας περιμείναντες,

οὐδὲν πλέον διαπραττόμενον τὸν βασιλέα ἐώρων ἐπ' αὐτοὺς, ἀλλ' ὅλον ἠσχολημένον περὶ τὸν ἐς Μιτυλήνην ἀπόπλουν, ἀναθαῤῥήσαντες μάχην ἐκήρυξαν φανερὰν καὶ ἀδεῶς ἔς τε Βυζαντίους καὶ ἐς αὐτὸν βασιλέα ἐνύβριζον ξυλίνους τε περιῆλασαν πύργους τοῖς ἑαυτῶν τείχεσι· καὶ τῶν μεγάλων ὁλκάδων τὰς μὲν εἰς πυθμένας θαλάσσης κατέδυσαν, τὰς δ' ὁπλίσαντες πρὸ τοῦ λιμένος ἀντ' ἄλλων προβόλων καὶ χαρακωμάτων ἔστησαν. Ὁ δὲ βασιλεὺς μὴ βουλόμενος τὴν τοσαύτην παρασκευὴν ἐνταυθοῖ περισπᾷν μεγαλοψύχως τε ἐχρήσατο τοῖς παροῦσιν, ἡμελημένως τὸ παράπαν αὐτῶν, καὶ πρὸς ἔκπλουν παρεσκευάζετο πάσῃ σπουδῇ, πλείονας ἔτι δυνάμεις ἀθροίζων.

A contra se moliri cernerent, sed totum Mitylenæa navigatione occupari: elati animis apertum bellum denuntiant; nec solum Byzantiis, sed et ipsi imperatori audacter illudunt, ligneis turribus sua mœnia circumplectuntur, magnas denique onerarias partim in fundum maris demergunt, partim ante portum armatas munitionum et aggerum vice opponunt. Imperator vero, cum copias tanto apparatu a se instructas nollet eo bello distrahi, magnum inter hæc animum præ se tulit, illis prorsus neglectis, et omni studio ad navigationem se paravit ac novas sibi vires quæsivit.

Η'. Ἐπεὶ δὲ μέχρις ὅλων ἑπτὰ ἡμερῶν ἐντὸς τείχους οἱ ἐν τοῖς Γαλάτου Λατῖνοι συγκλεισθέντες ἔμελλον ὑπὸ τοῦ οἰκείου δήμου διασπαραχθήσεσθαι, διὰ τὸ μὴ δύνασθαι φέρειν πλέον τὰ συμπεσόντα σφίσι δεινά· ὕδατός τε γὰρ ἐσπάνιζον καὶ ὅση ἐκ τῶν λαχάνων καὶ ὀπωρῶν ἦν ψυχαγωγία· οἵ τ' αὖ ἀγοραῖοι καὶ πένητες ἄνθρωποι, καὶ ὅσοι ἐκ τῶν ὠνίων τὸ ἐφήμερον ταλαντεύουσι κέρδος, οὗτοι δὲ πλείστην ὑπομένοντες ζημίαν πολλῷ πλέον κατὰ τῶν προστατῶν Λατίνων ἐμαίνοντο· διὰ δὴ ταῦτα πρὸς τὸ ταπεινότερον ἀπαλλάξαντες ὑπέκυψάν τε τῷ βασιλεῖ καὶ συγγνώμην ἔσχον τῆς ἀκαίρου ὀφρύος.

B VIII. Sed cum Latini Galatæi ad septem integros dies mœnibus suis inclusi mansissent, ac jam iis tumultus ab civibus suis immineret, qui mala urgentia diutius tolerare non poterant (nam et aqua et omni herbarum pomorumque solatio carebant), et circumforanei ac pauperes homines, et qui e quotidiano venditionis lucello sustentabantur, ii demum maxima jactura facta magis etiam contra magistratus Latinos insanirent: ob hæc igitur facti modestiores imperatori sese submiserunt, et intempestivæ superbiæ veniam impetrarunt.

Θ'. Τοῦ γε μὴν ἔτους ἤδη μετὰ τὰς τοῦ Κυνὸς ὄντος ἐπιτολάς, ὅτε δὴ καὶ ἀφθονώτερα τὰ ἀρκτικὰ πνεύματα ἐς τὴν κάτω χέονται θάλατταν, ἅρας ὁ βασιλεὺς μετὰ πάσης τῆς ναυτικῆς δυνάμεως ἔπλει ἐς Μιτυλήνην. Αἱ δ' ἑπτὰ τοῦ Κατάνη τριήρεις τὴν Μιτυλήνην παραπλέουσαι, πλείους ἢ κατὰ προσδοκίαν ἐπιούσας τὰς τοῦ βασιλέως ἐωρακυῖαι, αἱ μὲν δύο φθάσασαι προσωρμίσθησαν τῷ τῆς Μιτυλήνης λιμένι, αἱ δὲ πέντε ἀπεγνωκυῖαι ἐς τὴν χέρσον ἐξώκειλαν, καὶ πάντες οἱ ἐν αὐταῖς ἀποβέμενοι τὰ ὅπλα ἔφευγον· ὧν οἱ μὲν ἔδραμον εἰς τὴν Μιτυλήνην, οἱ δ' ἀνοδίᾳ χρησάμενοι διεφθάρησαν ὑπὸ τῶν Λεσβίων. Τὰς δὲ πέντε ναῦς πλήρεις ὅπλων καὶ ὀψωνίων ναυτικῶν οἱ τοῦ βασιλέως λαβόντες ἀπέπλευσαν ἐς Χίον τὴν νῆσον ἅμα τῷ βασιλεῖ, πληρώσοντες τὰς ἤδη ληφθείσας πέντε τριήρεις ἐκείνας ἐρετῶν τε καὶ ὁπόσοι ἐκ τῶν καταστρωμάτων μάχεσθαι ἔμελλον. Μέγα δ' ἐγένετο ἐναντίωμα τῇ τοῦ βασιλέως σπουδῇ καὶ θελήσει ἡ πρὸς τὴν Χίον αὖτη διατριβή. [P. 325] Ἀδείας γὰρ ὁ Κατάνης λαβόμενος τήν τε Μιτυλήνην ὠχυρώσατο καὶ πολλὴν εἰσήνεγκε δύναμιν στρατιωτικὴν καὶ χορηγίαν ἀφθονωτέραν τῶν χρειωδῶν· καὶ ἔτι ἐς Φώκαιαν πέμψας ἃς εἶχε δύο ταχυπλοούσας τριήρεις τὰ ὅμοια ἐπεπράχει πολλῇ χρησάμενος τῇ σπουδῇ. Μετὰ δὲ ταῦτα καταπλεύσας ὁ βασιλεὺς μετὰ τῶν δυνάμεων ἐς Φώκαιαν, προσκαλεσάμενος δὲ καὶ τὸν τὴν πέριξ ἐπαρχίαν ἔχοντα Τοῦρκον, ἅτε εἰδὼς κἀκεῖνον ἀχθόμενον ἐκ πολλοῦ τοῖς Φωκαεῦσι Λατίνοις διὰ τὰς ὑπὸ σφῶν ἐπαγομένας αὐτῷ συχνοτέρας ζημίας, καὶ θαλάττης πολιορκῶν, πολλῆς τῆς χορηγίας τῶν χρειωδῶν παραγινομένης ἐς τὰς τριήρεις παρὰ τῶν Τούρκων.

IX. Post Caniculæ exortum, anno jam tergente, **529** cum septentriones in mari inferiori vehementius spirant, imperator cum omnibus navalibus copiis Mitylenen tendit. At Catanis triremes, quæ tum septem numero Mitylenes oram legebant, cum plures exspectatione sua naves conspexissent, duæ quidem in portum statim evaserunt; quinque vero per desperationem in terram appulerunt. Qui autem in eis fuerunt, omnes abjectis armis fugerunt: quorum alii cursu Mitylenen pervenerunt, alii viæ ignari a Lesbiis interfecti sunt. Imperatorii vero naves quinque armis et commeatu plenas ceperunt, et iis secum abductis Chium versus cum imperatore navigarunt, illas ipsas quas ceperant quinque triremes remigibus completuri; itemu militibus, qui e tabulatis pugnarent. Atque hæc apud Chium mora festinationi et studio imperatoris valde adversa accidit. Catanes enim jam securus Mitylenen munivit, magnam militum manum et uberem commeatum introduxit; et duabus illis expeditis triremibus, quas habebat, Phocæam missis, tanta diligentia usus est, ut et illi urbi eodem modo providerit. Post hæc imperator cum copiis Phocæam advectus, ipsomet Turco circumjacentium locorum domino arcessito (quippe sciebat illum quoque jam diu Phocæensibus Latinis infensum ob illata sibi ab eis crebra detrimenta), castellum terra marique obsidet, Turcis commeatum affatim in triremes importantibus.

περιεστρατοπέδευσεν οὕτω τὸ φρούριον ἔκ τε γῆς

CAPUT II.

Absente imperatore factiosi quidam res novas in Urbe moliuntur. Eorum conatus compressi Cantacuzenæ et imperatoris prudentia. Latini Phocæenses, longa obsidione fracti, Rhodiorum interventu pacem impetrant. Pacis conditiones. Imperator Byzantium redit cum omni classe. Quæstionem habet de conjuratis. Eos pro concione convincit. Ejus clementia. Orationis exordio lacrymas elicit. In Demetrium despotam inquiri vetat, Cralænæ amitæ reverentia adductus, item Gregoræ acclamationibus et applausu delinitus. Solos Asanis filios in custodiam includit, eamque minime duram. Alexius Philanthropenus Lesbum missus Mitylenen astu recuperat. Ejus viri elogium.

530 I. Cæterum imperatore cum navalibus copiis absente, cum in palatio magna impunitas et licentia vigeret, quidam ex junioribus seditionem meditati sunt, sperantes, se ab ipsis Latinis, qui Galatæ habitabant, adjutum iri ob illas videlicet novissimas offensiones. Scopus autem seditionis fuit, imperatoriam potestatem usurpare, si primum imperatricem et ejus filium Joannem, deinde et eos omnes, qui adversari possent, occidissent. Sed dum id facinus adhuc parturiunt et seditiosi rem clanculum vehementer urgent; Cantacuzenam, magni domestici matrem, quid ageretur haud latuit: quam imperator assestricem conjugi suæ discessurus reliquerat, quippe prudentem matronam, gravitate morum conspicuam, acerrimo judicio præditam, et quæ ita solers erat, ut rebus difficillimis facile posset sē expedire. Ea ergo una cum præstantissima imperatrice, priusquam magnum inde malum erumperet, motum illum prudentissime compescuit; non illa quidem sine aliqua difficultate, quæ conatibus obstaret: attamen compescuit.

A Α'. Τοῦ μέντοι βασιλέως μετὰ τῶν ναυτικῶν δυνάμεων ἀποδημοῦντος καὶ ἀδείας μακρᾶς ἐπιχωριαζούσης ἐς τὰ βασίλεια, στάσιν τῶν νεωτέρων τινὲς μεμελετήκεσαν, συνεργοὺς ἕξειν ἡλπικότες καὶ τοὺς ἐν τοῖς Γαλάτου Λατίνους διὰ τὰ φθάσαντα σκάνδαλα. Ἦν δὲ τῆς στάσεως ὁ σκοπὸς, ὡς ἐλέγετο, τὸ βασίλειον κράτος, εἰ δυνηθεῖεν ἀποκτεῖναι πρῶτον τήν τε δέσποιναν καὶ τὸν ταύτης υἱὸν Ἰωάννην τὸν βασιλέα καὶ ἐφεξῆς ὁπόσοι ἐναντιώσεσθαι μέλλοιεν. Ἀλλ' ἐν ὠδῖσιν ἔτι μενούσης τῆς μελέτης καὶ τῶν στασιαστῶν λάθρα τὸ πρᾶγμα διὰ μεγάλης ποιουμένων σπουδῆς, οὐκ ἔλαθε τὰ δρώμενα Καντακουζηνὴν (1), τὴν τοῦ μεγάλου δομεστίκου μητέρα· ἣν πάρεδρον τῇ δεσποίνῃ μέλλων ὁ βασιλεὺς ἀποπλεῖν καταλέλοιπεν, ἅτε βουλευτικὴν γυναῖκα καὶ σεμνότητος ἤθεσι κοσμουμένην καὶ βαθεῖαν πλουτοῦσαν τὴν σύνεσιν καὶ πάνυ τι σφόδρα ἐν τοῖς ἀπόροις εὐμήχανον. Ἤ δὴ καὶ ὁμοῦ τῇ πάντα ἀρίστῃ δεσποίνῃ, πρὶν ἐπὶ μέγα ῥαγῆναι τὸ πρᾶγμα κακίας, συνέστειλε συνετώτατα· οὐκ ἄνευ μέντοι δυσχερείας ἀποκρουομένης τὸ ῥᾷστον, συνέστειλε δ' οὖν.

531 II. Sub hiberni solstitii tempus Latini, qui Phoceam tenebant, cum imperatorem ita perseverantem viderent, ut eum neque hiemis rigor frangeret (quanquam omnes navales copiæ oppugnationem noctu atque interdiu sub dio continenter urgebant), nec longa absentia a suis, nec ullius rei ad lautius vivendum necessariæ penuria, cœperunt desperare; præsertim cum rei frumentariæ C inopia laborare se intelligerent. Itaque legatis ad Rhodios missis rogant, ne sibi periclitantibus desint. Ac Rhodii apud imperatorem pro eis intercedentes obsidionem solvunt. Phocæenses enim Turco Romanos adjuvanti filios statim restituerunt, quos multo ante furati in vinculis habebant. Fidem præterea imperatori certis cautionibus firmarunt, Rhodiis testibus adhibitis, se et Mitylenen quam primum restituturos et imperatori dicto audientes fore, ut prius moris fuisset et cum eorum patribus convenisset.

Β'. Τοῦδὲ χρόνου περὶ τροπὰς ὄντος ἤδη χειμερινὰς ὁρῶντες οἱ τὴν τῆς Φωκαίας ἔχοντες φρούριον Λατῖνοι, [P. 326] ὅτι μήτε χειμῶνος ἀκμὴ θραῦσαι δύναται τὸ τοῦ βασιλέως ἐπίμονον, καὶ ταῦτα τῆς ναυτικῆς ὅλης δυνάμεως ἐν ὑπαίθρῳ τὴν πολιορκίαν ἀνυτούσης νύκτωρ καὶ μεθ' ἡμέραν κατὰ τὸ συνεχὲς, μήθ' ἡ μακρὰ τῶν οἰκείων ἀποδημία, μήτ' ἄλλο τι τῶν ὅσα ῥᾳστώνην ἄφθονον παρέχει τῶν χρειωδῶν, ἐς ἀπογνώσεις ἐχώρουν, καὶ μάλισθ' ὅτι καὶ τὰ σιτία σπανίζοντα ἐν σφίσιν ἐώρων αὐτοῖς. Ὅθεν καὶ διαπρεσβεύονται πρὸς Ῥοδίους καὶ δέονται μὴ περιιδεῖν κινδυνεύοντας. Οἳ καὶ διαλλαχταὶ πρὸς βασιλέα ἐλθόντες λύουσι τὴν πολιορκίαν. Δεδώκασι γὰρ εὐθὺς οἱ Φωκαεῖς τοὺς υἱέας τοῦ συμμαχοῦντος Ῥωμαίοις Τούρκου τῷ πατρὶ αὐτῶν, οὓς ἐκ πολλοῦ κλέψαντες εἶχον δεσμίους. Δεδώκασι δὲ καὶ τῷ βασιλεῖ πίστεις ἀσφαλεῖς ὑπὸ μάρτυσι τοῖς Ῥοδίοις, τήν τε Μιτυλήνην ὅσον αὐτίκα ἀποδώσειν καὶ ὑπηκόους αὐτοὺς εἶναι τῷ βασιλεῖ κατὰ τὸ πρότερον αὖθις ἔθος καὶ τὴν πατρῴαν συμφωνίαν.

III. Sic imperator, navalibus copiis illinc secum abductis, ire quidem Mitylenen voluit; sed propter tumultus Byzantii a seditiosis excitatos et defatigationem exercitus ex frigore male affecti Byzantium cum tota classe rediit. Paulo post comprehensis iis qui summam potestatem clam sibi arrogaverant, conjurationis socios separat, et singulis

D Γ'. Καὶ οὕτως ἐκεῖθεν τὴν ναυτικὴν ὁ βασιλεὺς ἀναλαβὼν δύναμιν ἐβουλήθη μὲν ποιήσασθαι τὸν κατάπλουν ἐς Μιτυλήνην· διὰ δὲ τοὺς ἐν Βυζαντίῳ θορύβους τῶν στασιαστῶν καὶ διὰ τὸ καταπεπονῆσθαι τὸν στρατὸν ὑπὸ τοῦ ψύχους ἐπανῆκεν ἐς τὸ Βυζάντιον μετὰ πάσης τῆς ναυτικῆς δυνάμεως. Καὶ μετὰ βραχὺ συλλαβὼν τοὺς τὴν βασιλείαν λά-

Variorum notæ.

(1) Theodoram Palæologinam. Vide stemma Cantacuzenorum. DUCANG.

θρα σφετεριζομένους (2) καὶ διαστήσας ἰδίᾳ τοὺς στασιώτας αὐτῶν ἐξήταζε καὶ συνῆγε τἀληθὲς ἀφ' ἑκάστων. Μετὰ δὲ ταῦτα συνηθροικὼς πᾶσάν τε τὴν σύγκλητον καὶ τοὺς ἐν Βυζαντίῳ τηνικαῦτα ἐπιδημοῦντας ἐπισκόπους σύν γε τῷ πατριάρχῃ, καὶ ὅσοι τοῦ δήμου τῶν Βυζαντίων ἐτύγχανον ἔκκριτοι, εἰς μέσον ἤνεγκε τούς τε στασιαστὰς τούς τε στασιώτας, καὶ ὅσοι ἐτύγχανον μάρτυρες. Οἳ καὶ ἀλλήλους ἤλεγχον διαπληκτιζόμενοι καὶ παριστῶντες δι' ἀποδείξεων ἀναμφιβόλων κατ' ἀλλήλων τὰς ἀλλήλων συνωμοσίας καὶ τὰ ἔκτοπα καὶ κάκιστ' ἀπολούμενα ἐκεῖνα βουλεύματα· ὡς κἀκείνους ἀφύκτῳ τῶν ἀποδείξεων ἀναγκασθέντας ὁμολογεῖν τὴν ἀπόνοιαν. Καὶ τάχ' ἂν διεσπάσθησαν αὐτοῦ πρὸς τοῦ δήμου παντός, εἰ μὴ τὸ πολὺ τῆς τοῦ βασιλέως μακροθυμίας καὶ φιλανθρωπίας ἀνέστειλε τὴν ζέουσαν ἐκείνην ὁρμήν. Ἔδειξε γὰρ τὴν συνήθη καὶ νῦν ἡμερότητα καὶ τὴν σύμφυτον καὶ ἡλικιῶτιν αὐτοῦ ἱλαρότητα ὁμοίως ἔν τε τῷ προσιμίῳ τῆς δημηγορίας ἔν τε τοῖς ἐπιλόγοις. Ὡς δ' ἐν κεφαλαίῳ φάναι, τὰ τῆς δημηγορίας τοιάδε τινὰ ἦσαν·

Δ'. « Εἶτα ποιμένα τις ἔχων καὶ κύνα περὶ τὸ ποίμνιον, ὦ παρόντες, ὅσῳ προθυμότερον διανυκτερεύοντας βλέπει κατὰ τῶν λύκων, τοσούτῳ καὶ αὐτὸς τόν τε πόθον περὶ αὐτοὺς καὶ τὸν ἡμερήσιον αὔξει ὄγκον τῆς τροφῆς. Ἐμὲ δ' οἱ τὰ μάλιστά μοι καθ' αἷμα προσήκοντες, ὁρῶντες ὑπέρ τε τοῦ κοινοῦ γένους τῶν Ῥωμαίων [P. 327] καὶ ὑπὲρ αὐτῶν οἴκοι τρυφώντων πόρρω που τῆς πατρίδος πλανώμενον καὶ κινδύνους ἔκ τε γῆς καὶ θαλάττης παραβαλλόμενον, καὶ ταῦτ' ἐν μέσῳ τε χειμῶνι καὶ τοσούτῳ παγετῷ, οὔτ' ἠλέησαν, οὔτε τι τῶν ὅσα παραμυθεῖται ψυχὴν οὕτω σφοδρότατα πάσχουσαν προύνόησαν. Ἀλλ' ἐρρύη δίκαιος ἅπας λόγος κατὰ κρημνῶν καὶ φαράγγων· καὶ ὡπλισαν μὲν γνώμην, ὥπλισαν δὲ δεξιὰν κατὰ τῆς ἐμῆς κεφαλῆς. Καὶ νῦν τὸ καθ' αὑτοῦ; ἓν κόνει μὲν τοὐμὸν αἷμα, ἓν κόνει δὲ τὸ τῶν ἐμῶν τέκνων ὁμοῦ τῇ συζύγῳ· καὶ ἀνατέτραπται μὲν τὰ τῆς τοῦ Θεοῦ Ἐκκλησίας νόμιμα, ἀνατέτραπται δὲ τὰ Ῥωμαίων πράγματα. Πρὸς οὖν ταῦτα ποῖος σίδηρος, ποῖος δ' ἀδάμας οὐ παραλύσει τὴν φύσιν;

IV. « Qui opilionem habet et canem juxta gregem, quo eos alacrius noctu contra lupos excubare videt, eo magis eos diligit, et quotidianum iis victum liberalius impertitur. At me ii qui sanguine maxime attingunt cum viderent pro Romana republica, pro ipsis, domi delicate viventibus, procul a patria errantem, ac terra et mari pericula sustinentem, idque media hieme et in tanto frigore, haud commiserati sunt, nec mihi ullam copiam providerant earum rerum, quæ animum ita afflictum consolantur : sed omni æquitate funditus perdita et profligata animos et dexteras in caput meum armarunt. Et nunc sane, quantum in ipsis est, humi effusus manat sanguis meus, manat liberorum et conjugis meæ sanguis : eversa sunt sancta Ecclesiæ instituta, eversa est Romana respublica. Inter hæc quod ferrum, qui adamas nativum rigorem non molliat? »

Ε'. Ἀλλὰ τὸ μὲν τῆς τοῦ βασιλέως δημηγορίας προοίμιον οὕτως ἱκανῶς εἶχεν ἐκκαλέσασθαι δάκρυα. Τὰ δὲ μεταξύ, μακροθυμίας ἱλαρότητι συγκεκραμένης ἤδη, τίς οὐκ ἂν ἰδὼν ἐτεθαυμάκει μακρόν; καὶ μάλισθ' ὅτε καὶ Δημήτριον τὸν δεσπότην ἐλέγχειν βουληθέντας τοὺς κατηγόρους ἀνέκοψε διὰ τὴν τῆς θείας αὐτοῦ Κραλαίνης αἰδῶ, ἅτε καὶ αὐτῆς ἐκεῖ τηνικαῦτα παρακαθημένης σὺν τῇ δεσποίνῃ, καὶ ὅσαι τῶν εὐγενῶν παρῆσαν ἀκροώμεναι καὶ τὸ θεῖον καὶ ἀγγελικὸν σχῆμα περικειμένης. Τότε δὴ καὶ ἡμεῖς ἐγγύς που παρακαθήμενοι λόγοις εὐφήμοις τὴν τοῦ βασιλέως ἡμερότητα μάλιστα πάντων ἐτεθαυμάκειμέν τε καὶ ἐπεκροτήσαμεν καὶ ὑπερῃρμα τῇ αὐτοῦ ταύτῃ χρηστότητι ἐδεδώκειμεν. Γνώμην γὰρ ἀεὶ καθαράν, ὡς εἰκός, διεσώζομεν

V. Hoc quidem orationis exordio, ad eliciendas lacrymas accommodato, imperator usus est. Sed in reliquis patientiam ejus, hilari quadam humanitate temperatam, quis non, qui quidem viderit, vehementer est admiratus? præsertim cum is delatores, Demetrium ipsum despotam arguere volentes, repressit, amitæ suæ Cralænæ reverentia adductus : quæ et ipsa tunc illic cum imperatrice, et cæteris nobilibus feminis præsentibus atque audientibus, habitum sanctum et angelicum induta assidebat. Ac nos quoque tunc prope et ipsi sedentes imperatoris clementiam laude et admiratione in primis prosequebamur, ac plausu excipiebamus, atque hanc ejus bonitatem velut fulciebamus. Sinceram quippe benevolentiam erga Cralænam et

Variorum notæ.

(2) Anno, ut opinor, Chr. 1337, quanquam ex Cantacuzeni chronologia argui possit factum id esse anno 1336, ut ad paginam sequentem infra statim adnotabimus BOIV.

ejus fratrem, ut par erat, conservabamus, cum propter divum illum et laudatissimum imperatorem, eorum patrem, tum maxime, ut ne istis tanta calamitate oppressis deessemus. Itaque imperator magis ac magis ex eo mollitus crimina Demetrio despotæ objecta silentio præteriit. Accusationis autem summa hæc erat, palam eum cum seditiosis conspirasse. At idem aliud consilii secum tacite meditatus fuerat, idque admodum prudenter. Nam ipsius Cralænæ gratia imperator operam dedit, ut quæ illius fratri despotæ crimina objiciebantur, ea omnino silerentur. Neque hæc solum imperatoris bonitatem ostendunt, sed et alia plurima. Quippe **534** totam deinceps cognitionem eodem modo peregit, neque in seditiosos convictos acerbe consuluit. Sed alios quidem penitus absolvit : solos autem Asanis filios custodia, eaque vinculis libera nec inhumana, inclusos tenuit, ne si improbitas omnino impunita mansisset, omnes simili audacia in scelus deinde ruerent. Et ita quidem concio ab imperatore habita, ac tota illa cognitio commode et comiter tunc peracta est.

VI. Cum autem re ipsa intellexisset imperator, Alexium Philanthropenum avunculum suum, cujus frequens supra et multiplex a nobis facta est mentio, prudentia vulgus multum anteire; pœnituit eum, quod illi Lesbi et insularum Ægæi maris, quotquot Romanis parerent, administrationem non diutius reliquisset. Eo enim præsente nec Mitylenen quemquam hostium occupaturum, nec ea Romanorum rei marinæ naufragia futura fuisse. Itaque illum quamprimum iis præficit atque eo proficisci jubet. Qui cum trajecisset, sedatis tempestatibus, quæ tempore intermedio acciderant, pristinæ tranquillitati omnia restituit : vix ille quidem, nec sine magna solertia, propter factam interim Lesbi et Mitylenæ novam rerum mutationem; sed tamen restituit. Nam **535** mercenarios, qui in urbe Mitylene erant, milites et præsidiarios Latinorum quingentos, binos et ternos clam arcessitos et plenis manibus domum redire jussos, prosecutus callide atque occulte urbem præsidio destitutam sic Romanis recuperavit. Etenim vir ille non modo erat propter longinquitatem ætatis multo rerum usu ornatus; sed multus iste rerum usus magno etiam et illustri ingenio apud ipsum nitebatur. Unde duplicem virtutis fructum tulit, partim a natura insitum et sponte enatum, partim longi temporis casibus et exercitationibus excultum.

πρός τε τὴν Κράλαιναν καὶ τὸν αὐτῆς ἀδελφὸν διὰ τὸν μακαρίτην καὶ ἀοίδιμον βασιλέα, τὸν πατέρα αὐτῶν· πάντως δὲ καὶ δι' αὐτούς, ἐν τοιαύταις τύχαις κατενεχθέντας. Ὡς πλέον ἐντεῦθεν μαλαχθέντα τὸν βασιλέα σιωπῇ παρελθεῖν καὶ τὰ Δημητρίου τοῦ δεσπότου ἐγκλήματα. Ἦσαν δ' αὐτὰ τοιάδε τινά. Ἐς μὲν τοὐμφανὲς ὡμολόγει τοῖς στασιάζουσι· καθ' ἑαυτὸν δ' ἕτερον ἔτρεφε λογισμὸν καὶ πάνυ τοι συνετόν (2*). Διὰ γὰρ αὐτὴν Κράλαιναν τὰς τοῦ δεσπότου τοῦ αὐτῆς ἀδελφοῦ κατηγορίας τέλεον παρεσκεύασε σιωπᾶσθαι. Οὐ μόνα δὲ ταῦτα τὴν τότε τοῦ βασιλέως ἐνδείξασθαι ἔχει χρηστότητα, ἀλλὰ καὶ ἕτερα πλεῖστα. Καὶ γὰρ καὶ τὰ μέχρι τέλους τῆς ἐξετάσεως ὁμοίως διήνυσε καὶ οὐδὲν ἀπηνὲς ἐνεδείξατο πρὸς τοὺς ἐλεγχθέντας στασιαστάς. Ἀλλὰ τοὺς μὲν ἄλλους ἀφῆκε τέλεον· μόνους δὲ τοὺς τοῦ Ἀσὰν υἱοὺς (3) ἐν ἀδέσμῳ καὶ φιλανθρώπῳ κατεῖχεν εἱρκτῇ, ἵνα μὴ ἀτιμωρήτου καθάπαξ τῆς κακίας μενούσης πάντες εἰς τὴν ὁμοίαν κακίαν ὁρμήσωσιν. [P. 328] Τὰ μὲν τῆς δημηγορίας ἐκείνης καὶ ἐξετάσεως οὕτως εὐφυῶς πως καὶ ἱλαρῶς διήνυσε τέως.

Ϛ'. Ἐπεὶ δ' ἐκ τῶν πραγμάτων συνῆκεν ὁ βασιλεὺς, πολὺ τῶν πολλῶν διαφέρειν τὴν τοῦ θείου αὐτοῦ σύνεσιν Ἀλεξίου Φιλανθρωπηνοῦ, οὗ δὴ πολλαχῇ καὶ πολλάκις ἐμνήσθημεν ἔμπροσθεν, μετάμελον ἔσχεν ἤδη καθ' ἑαυτὸν οὐ μάλα μικρὸν, ὅτι μὴ κάπι μάλα τοι πλείονα συγχεχώρηκὲ χρόνον αὐτῷ τὴν τῶν Λεσβίων διοίκησιν, καὶ ὅσαι κατὰ τὸν Αἰγαῖον νῆσοι Ῥωμαίων ὑπήκοοι. Οὔτε γὰρ τῶν ἐχθρῶν οὐδεὶς ἂν Μιτυλήνην ἠνδραποδίζετο, οὔτ' ἐς τοσοῦτο ναυαγίων τὰ θαλάττης ἤλαυνε Ῥωμαίοις πράγματα. Ὅθεν αὐτὸν τὴν ταχίστην ἐς τὴν ἐκείνων αὖθις ἐπιτροπὴν ἀφικέσθαι προσετετάχει. Καὶ ἀπελθὼν ἐς τὴν προτέραν εὐθὺς τὰ πράγματα ἤγαγεν οὗτος κατάστασιν καὶ τοὺς μεταξὺ γενομένους διέλυσε κλύδωνας, μόλις μὲν, καὶ ξὺν πολλῇ περινοίᾳ, διὰ τὴν μεταξὺ γενομένην καινοτομίαν Μιτυλήνης καὶ τῶν ἐν Λέσβῳ πραγμάτων· ἐπανήγαγε δ' οὖν. Τοὺς γὰρ ἐν Μιτυλήνῃ τῇ πόλει μισθοφόρους πεντακοσίους καὶ φύλακας τῶν Λατίνων λάθρα σύνδυο καὶ σύντρεις μεταπεμπόμενος καὶ βριθούσαις δεξιαῖς ἐς τὰς πατρίδας προπέμπων ἔλαθεν οὕτω φρονίμως κενώσας τὴν πόλιν καὶ Ῥωμαίοις πεποιηκὼς ὑποχείριον. Οὐ μόνον γὰρ ἐκ τοῦ γήρως ἔσχε λαμπρὰν ὁ ἀνὴρ τὴν πολυπειρίαν, ἀλλ' ὅτι καὶ τὰ τῆς πολυπειρίας ἐπ' αὐτῷ μέγαν εὗρε τὴν φύσιν συνεργὸν καὶ θεμέλιον. Καὶ γέγονεν αὐτῷ διπλοῦς ὁ τῆς ἀρετῆς καρπὸς, πῶς μὲν αὐτοφυής τις καὶ ἀγεώργητος, πῶς δὲ γεωργηθεὶς χρόνων πλειόνων τύχαις καὶ γυμνασίαις.

Variorum notæ.

(2*) Hæc non cohærent. Boiv.

(3) Cantacuzenus, lib. III, cap. 17, testatur eos in carcere fuisse ἐπ' ἔτεσιν ἓξ. Id si verum est, oportet eos in carcerem conjectos fuisse ante annum 1337, siquidem ultimus ejus sexennii annus incidit in annum Chr. 1344 exeuntem, ut ex eodem Cantacuzeno constat. At fortasse Cantacuzenus ad annos mundi respexit, eosque inchoatos pro completis haberi voluit. Scilicet Asanis liberi in carcere manserunt ab anno mundi 6845 inchoato ad annum mundi 6850 ineuntem, hoc est per sex annos, quorum primus et ultimus non integri, imo nec dimidii quidem fuerunt. Boivin.

CAPUT III.

Scythæ prædabundi Thracium pervadunt. Turcos prædones opprimunt. Diebus quinquaginta continuis Romanos fines vastant. Captivorum ingens numerus. Causa incursionis. Eam cladem eclipses duæ præcesserunt. Basilio Trapezuntis principi uxor datur Eudocia, filia imperatoris notha. Joannes Ætoliæ et Acarnaniæ princeps, cæso fratre, rerum potitus, veneno tollitur ab uxore. Crimina juratis judicibus objecta. Unus absolvitur. Pœnæ cæteris irrogatæ.

[P. 329] Α'. Ἀρχομένου γε μὴν ἦρος ἤδη πλῆθος Σκυθῶν διαβάντες τὸν Ἴστρον κατέδραμον τὴν Ῥωμαϊκὴν Θρᾴκην ἄχρι θαλάττης Ἑλλησποντίας. Ἔνθα δή καὶ, συμβὰν οὕτωσί πως, Τούρκων τισὶν ἐντυχόντες, ὁπόσοι λῃστρικόν τινα τρόπον κατὰ τὸ συνεχὲς περαιούμενοι τὸν Ἑλλήσποντον τὴν παράλιον πᾶσαν λῃΐζονται Θρᾴκην, τοὺς μὲν δήσαντες ἀπήνεγκαν, τοὺς δ' ἀντιστάντας κατέκοψαν, πολέμιοι πολεμίους, ὥσπερ κύνες τεθνηκότι σώματι πολλάκις ἄρδην ἐπεισπίπτοντες. Ὅ γε μὴν ἀσύνηθες ἔδοξεν ἔχειν ἤδη πρὸς τὰς ἄλλας ἐπιδρομὰς τῶν Σκυθῶν, τοῦτ' ἦν. Πρότερον γὰρ ἐπιόντες, καθάπερ ἐξ ὄρους χειμάρρους ἐξαίφνης καταῤῥαγεὶς, τὰ προστυχόντα τε ἐλάμβανον καὶ εἰς τὴν ὑστεραίαν ῥᾴθις ἀπήλαττον. Νῦν δ' ἐς τοσοῦτον παρέμειναν, ὥστ' οὐ διέλιπον ἐς ἡμέρας ὅλας πεντήκοντα φέροντές τε καὶ ἄγοντες καὶ ἐς κακῶν ἐσχατιὰς συνωθοῦντες τὴν χώραν. Εἶτα ἀπῆσαν, πλῆθος ἄγοντες αἰχμαλώτων ὑπὲρ τὰς τριακοσίας, ὡς ἔφασαν οἱ πολλοί, χιλιάδας. Καὶ τὸ αἴτιον τῆς τοιαύτης ἐφασκον εἶναι καταδρομῆς, ὅτι Ῥωμαῖοι πέμπειν ἠμέλησαν τὰ εἰθισμένα δῶρα τῷ τε τῶν Σκυθῶν ἡγεμόνι καὶ τοῖς περὶ αὐτὸν εὐγενέσιν. Ἐδήλωσε δὲ τὴν βαρεῖαν ταύτην αὐτῶν ἐφοδον ἔκλειψις σελήνης ὁμοῦ καὶ ἡλίου, δεκαὲξ ἡμερῶν μεταξὺ γενόμεναι ἄμφω· ἡ μὲν σεληνιακὴ περὶ τὴν πρώτην τῶν Ἰχθύων (4) μοῖραν ὄντος τοῦ ἡλίου, ἡ δὲ περὶ τὴν πεντεκαιδεκάτην τῶν αὐτῶν.

I. Cæterum vere jam ineunte multitudo Scytharum Istro trajecto Romanam Thraciam usque ad Hellespontium mare incursarunt. Ubi quosdam Turcos, ex iis videlicet, qui per latrocinium trajecto Hellesponto continenter maritimam oram populantur, casu fortuito nacti partim vinctos abducunt, partim resistentes occidunt, hostes hostibus infesti, veluti canes in cadaver subinde violento impetu irruentes. Verum in ea incursione novum illud habebant Scythæ, quod prius veluti torrens e monte subito decurrens, obviis quibusque raptis, postridie recedebant. Tum vero tandiu manserunt, donec quinquaginta diebus perpetuis omnia rapiendo et vastando consumptis provinciam in extrema mala conjecerunt demumque abeuntes captivorum **536** ultra trecenta millia, ut vulgatior fama est, secum abduxerunt. Ejus incursionis causam afferebant, quod Romani Scytharum duci et ejus nobilitati solita munera non misissent. Eam cladem solis et lunæ defectus, intra dies sedecim sese consecuti, portenderunt. Ac lunaris quidem contigit, cum sol in prima Piscium parte esset : solaris, cum in decima quinta versaretur.

Β'. Ἐν τούτοις τοῖς χρόνοις ἦρχε μὲν Τραπεζοῦντος Βασίλειος (5) ὁ υἱὸς Ἀλεξίου τοῦ Κομνηνοῦ, διάδοχος αὐτὸς ἤδη βέβαιος μετὰ πολλοὺς τοὺς ἄθλους τῆς πατρικῆς ἀρχῆς καταστάς. Ἐπέμφθη δ' αὐτῷ καὶ σύζυγος Εὐδοκία (6), ἡ νόθη τοῦ βασιλέως θυγάτηρ.

II. His temporibus Trapezunte regnabat Basilius Alexii Comneni filius, paterna successione multis certaminibus confirmata, uxoreque ducta Eudocia, notha imperatoris filia.

Γ'. Ὁ δὲ τῶν Αἰτωλῶν τε καὶ τῶν Ἀχαρνάνων ἀρχηγὸς Ἰωάννης ὁ κόντος (7) θανάτῳ βιαίῳ τοῦ ζῆν ἀπήλλαξε, τῆς δίκης, ὡς τὸ εἰκός, περιελθούσης καὶ αὐτὸν τελευταῖον, καθάπερ δὴ καὶ τοὺς πρὸ αὐτοῦ. Οὗτος γὰρ τὸν ἑαυτοῦ διαχειρισάμενος ἀδελφὸν, ὥσπερ κἀκεῖνος τὸν τῆς μητρὸς ἀδελφὸν, οὕτω τὴν διαδοχὴν ἐκομίσατο τῆς ἀρχῆς. Τῆς δὲ δίκης οὐ σιωπᾷν εἰθισμένης ἐς τέλος ἐν τοῖς τοιούτοις, βιαίως (8) καὶ οὗτος τοῦ ζῆν ἀπερράγη, φάρμακον παρασχούσης λαθραῖον αὐτῷ τῆς συζύγου. [P. 330] Νοσημάτων γὰρ οὐκ ὀλίγων ὑποφυομένων ἐν τῇ οἰκίᾳ, δείσασα ἡ γυνὴ τὴν ἐπιβουλὴν τοῦ συζύγου πρὶν φονευθῆναι πεφόνευκε. Καὶ οὕτω διάδοχος ἐκείνῃ σὺν δυσὶ παιδαρίοις τῆς τῶν Αἰτωλῶν τε καὶ Ἀχαρνάνων κατέστη ἀρχῆς.

III. Ætolorum vero et Acarnanum princeps Joannes comes violenta morte interiit, vindicta tandem, uti par erat, ipsum quoque assecuta, sicut et ejus decessores. Is enim fratre suo peremplo, sicut et ille avunculo, principatum occuparat. Cum autem vindicta ad extremum in his rebus tacere non soleat, et ipse violenta morte sublatus est, veneno clanculum ab uxore dato. Nam cum domesticæ res ægræ admodum essent, mulier insidias viri metuens hunc, priusquam ab eo occideretur, e medio sustulit; atque ita cum pueruli duobus Ætolorum et Acarnanum principatum obtinuit.

Variorum notæ.

(4) Solaris ponitur a Calvisio Martii die 2, anno Chr. 1337. Boivin.

(5) Vide stemma imperatorum Trapezuntinorum. Ducang.

(6) Ea *Irene* vocatur infra pag. 424. Boivin.

(7) *Hist. Franco-Byzant.* lib. vi, n. 27; lib. vii, n. 20, et pag. 320. Ducang.

(8) *Τῆς δὲ δίκης οὐ σιωπᾷν εἰθισμένης, ἐς τέλος ἐν τοῖς τοιούτοις βιαίως.* Male hæc interpuncta sunt. Sic autem (ut nunc) debent interpungi, τῆς δὲ δίκης οὐ σιωπᾷν εἰθισμένης ἐς τέλος ἐν τοῖς τοιούτοις, βιαίως καὶ οὗτος τοῦ ζῆν ἀπερράγη, id est, *Cum autem vindicta ad extremum in his rebus tacere non soleat, violenta morte ipse quoque sublatus est*, etc. Aliter Petavius, codicis male interpuncti lectione deceptus. Boivin.

IV. Cæterum imperator, **537** cum jamdudum A et sæpe id a pluribus accepisset, judices, qui se integre judicaturos nullaque re jus violaturos esse jurati promiserant, de quibus antea mentionem fecimus, terribilium jurejurandorum oblitos, quæ ex scripto conceperant, nec non ecclesiasticarum atque imperatoriarum legum securos, minime incorrupta judicia exercere, neque solum munera sine ullo metu capere judiciaque corrumpere; verum, quod gravius est, ab utroque litigantium accipere, neque tamen sententiam proferre, aut controversias dirimere, sed utrisque separatim datis tabulis, quibus scilicet sententia continebatur, cum priori altercatione ac contentione dimittere : cum hæc, inquam, aliaque id genus a plerisque imperator audisset, dubitare primo, num vera hæc essent, cum de jurejurandorum firmitate veniret in mentem; deinde sero tandem conventu habito, et episcopis ac presbyteris in augustissimo sanctæ Sophiæ templo collectis, præsidens ipse cum patriarcha omnibus quem vellent convincendi potestatem facere. Ergo plerique nec dubiis criminibus arrepti : eaque longe plura quam auditione didicerat reperta. Atque, ut cætera prætermittam, uno e quatuor innocente dimisso, quem nemo sordium accusarat, reliqui, ne a populo discerperentur, veriti, suopte sese judicio damnant. Alii quæ acceperant reddiii omnibus judicandi **538** se munere abdicant. Episcopus ipse præterea sacerdotio cedit. Omnes ab urbe imperatoris decreto exsulare jussi.

Δ'. Ἐπεὶ δ' ἐκ πολλοῦ καὶ πολλάκις καὶ παρὰ πλείστων ἤκουεν ὁ βασιλεύς, ὡς οἱ κρίνειν ὀμωμοκότες ὀρθῶς καὶ μὴ παραφθείρειν ἐν μηδενὶ τὸ δίκαιον, περὶ ὧν καὶ ἡμεῖς ἐν τοῖς ἀνωτέρω φθάσαντες (9) δεδηλώκαμεν, ἐκλαθόμενοι μὲν ἐκείνων ἐγγράφων καὶ φρικωδῶν ὅρκων, ἐκλαθόμενοι δ' ἐκκλησιαστικῶν τε καὶ βασιλικῶν ἐνταλμάτων οὐχ ἁδεκάστους ποιοῦνται τὰς κρίσεις· ἀλλὰ δῶρα λαμβάνουσιν ἀδεῶς καὶ κιβδηλεύουσι τὰς δίκας, καὶ τό γε μεῖζον, ὅτι ἐξ ἀμφοτέρων τῶν κρινομένων μερῶν δωροδοκοῦνται μέν, οὐ κατάστασιν δὲ καὶ πέρας ταῖς δίκαις παρέχονται, ἀλλ' ἑκατέροις ἀνὰ μέρος ἐγχειρίζοντες γραμματεῖα, ἀπόφασιν δῆθεν τῆς κρίσεως ἔχοντα, εἶτα ἐκπέμπουσι τοῖς προτέροις ἐνεχομένους ἐγκλήμασι καὶ διαπληκτισμοῖς· ἐπεὶ οὖν ταῦτα καὶ τὰ τοιαῦτα παρὰ πολλῶν ὁ βασιλεὺς ἤκουε, τὰ μὲν πρῶτα πείθεσθαι οὐκ ἐδύνατο, τὴν γενομένην ἐκ τῶν ὅρκων ἀσφάλειαν ἐνθυμούμενος· ὀψὲ δὲ βήματος γενομένου καὶ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων συναθροισθέντων ἐν τῷ μεγίστῳ καὶ θείῳ νεῷ τῆς τοῦ Θεοῦ Σοφίας, προκαθίσας ὁ βασιλεὺς ἅμα τῷ πατριάρχῃ πᾶσαν τοῖς βουλομένοις παρέσχετο χώραν ἐλέγχους κατὰ τῶν τοιούτων προφέρειν. Καὶ ἦγοντο πλεῖστα καὶ ἀνιφισβήτητα καὶ πλείω τῶν ἀκουσθέντων τἀγκλήματα. Καὶ ἵνα τἀν μέσῳ παρέλθωμεν, τῶν μὲν τεττάρων ὁ εἷς ἅθῳος ἀπήλλαξεν, οὐ προστριβέντος αὐτῷ τοῦ τῆς δωροδοκίας ἐγκλήματος· οἱ δ' ἕτεροι, δείσαντες μὴ διαῤῥαγῶσιν ὑπὸ τοῦ δήμου, φθάσαντες ἑαυτῶν κατεψηφίσαντο, οἱ μὲν τῶν τε ληφθέντων χρημάτων ἀπόδοσιν καὶ τοῦ δικάζειν στέρησιν παντελῆ· ὁ δ' ἐπίσκοπος ἐπὶ τούτοις καὶ τὴν τῆς ἱερωσύνης ἀπαλλαγήν τε καὶ ἀλλοτρίωσιν. Ἐξώσθησαν δὲ τῆς βασιλίδος τῶν πόλεων κελεύσει τοῦ αὐτοκράτορος.

CAPUT IV.

Turci Chersonesum et Thraciam incursant. Cæsi lectissimi. Reliqui pace impetrata domum redeunt. Imperator Byzantium reversus ire in Ætoliam parat, oblatum principatum accepturus. Nuntius affertur de futura postridie in Thraciam gravi Turcorum impressione. Orchanis Turci spes et consilia. Romani sexaginta, Cantacuzeno duce, prædatoribus occurrunt. Ipse imperator cum tribus navibus hostilem classem invadit. Ingens Barbarorum strages. Ex Romanis ne unus quidem desideratus. Captæ hostium naves quatuordecim. Deus tantæ victoriæ auctor. Imperator postridie ad fretum Hieri progressus hostes evectos comperit. Stadiorum quadraginta quinque iter noctu pedibus emensus Deiparæ Hodegetriæ templum ingreditur ad agendas gratias.

I. Ineunte æstate Thraces eodem modo rursus D Asiaticorum Turcorum infestatione laborare cœperunt. Hi enim, quod Romanos vincere soliti essent, quoties libitum erat prohibente nemine transfretabant pessimeque Thraciam vexabant. Quibus igitur Ionia et ulteriora loca obtigerant, ii ob fœdus, quod paulo ante cum imperatore apud Phocæam, ut diximus, sanxerant, in præsentia quieverant. Qui vero Trojanam regionem et Hellesponti oram incolebant, cum plurimis navibus et equis freto trajecto, et per Chersonesum hostiliter grassati inde etiam in Thraciæ mediterranea irruunt, imperatore Didymotichi tum agente. Qui justis copiis destitutus, nec aperto Marte cum illis congredi ausus, insidias non segniter collocat, noctu sub dio agens et famem ac sitim tolerans.

[P. 331] Α'. Θέρους δ' ἀρχομένου πάλιν ὁμαλῶς ἐταλαιπώρουν οἱ Θρᾷκες ἐκ τῶν Ἀσιατικῶν Τούρκων. Διὰ γὰρ τὴν ἀεὶ τοῦ τοὺς Ῥωμαίους κατατροποῦσθαι συνήθειαν ἀδεῶς ὁπότε βούλοιντο διεπεραιοῦντο καὶ κάκιστα διετίθεσαν Θρᾴκην. Οἱ μὲν οὖν τὴν Ἰωνίαν καὶ τὰ ἐπέκεινα κληρωσάμενοι διὰ τὰς πρὸ βραχέος κατὰ Φώκαιαν γενομένας πρὸς βασιλέα σπονδάς, ὡς εἰρήκειμεν, ἡσυχίαν ἦγον ἔν γε τῷ παρόντι. Οἱ δὲ τὰ περὶ Τροίαν καὶ ὅσα τοῦ Ἑλλησπόντου παράλια κατοικοῦντες πλείσταις ναυσὶν αὐτοί τε καὶ ἵπποι αὐτῶν τὸν Ἑλλήσποντιον διαπεραιοῦνται πορθμόν, καὶ κακῶς εὐθὺς διαθέντες Χερσόνησον ἐκείθεν εἰσβάλλουσι καὶ ἐς τὴν τῆς Θρᾴκης μεσόγειον, ὅτε δὴ καὶ ὁ βασιλεὺς περὶ Διδυμότειχον ἔτυχε διατρίβων. Ὡς ἐπεὶ μὴ ἀξιόμαχον εἶχε στρατόν, κατὰ πρόσωπον τοῖς ἐχθροῖς ἁπάντᾳ οὐκ ἐθάῤῥει. Ἐνέδρας δὲ

Variorum notæ.

(9) Lib. IX, cap. 9, sect. 5. Bonn.

ποιῶν οὐκ ἠμέλει, αἴθριος διανυκτερεύων καὶ πεινῇ καὶ δίψῃ κατατήκων ἑαυτόν. Ὀψὲ δὲ μοίρᾳ τινὶ τῶν ἐπὶ λείαν ἐξιόντων ἐντυχὼν τήν τε λείαν ἀφείλετο καὶ αὐτοὺς ἀπονητὶ διαφθείρει, πεντήκοντα καὶ ἑκατὸν ἐπιλέκτους ἅπαντας ὄντας. Ὁ δὴ μαθόντες οἱ λοιποὶ διαπρεσβεύονται πρὸς βασιλέα. Καὶ οὕτως οἱ μὲν ἔνσπονδοι εὐθὺς ἀνεχώρησαν οἴκαδε· ὁ δὲ βασιλεὺς τριταῖος ἐς Βυζάντιον ἀφικνεῖται. Ἔσπευδε γὰρ διαβῆναι πρὸς Αἰτωλίαν, πονήρως ἐκεῖ τῶν πραγμάτων ἐχόντων μετὰ θάνατον τοῦ τὴν αὐθεντίαν ἔχοντος κόντου καὶ τῆς γυναικὸς ἐκείνου καλούσης ἐκεῖθεν ἐπὶ καταλήψει τῆς ἀρχῆς.

A Tandem cohortem prædatricem adortus, erepta præda, centum quinquaginta delectos viros sine labore cædit. Quo cæteri cognito legatos ad imperatorem mittunt : atque ita compositione facta statim quidem ipsi domum redeunt ; imperator vero tertio post die Constantinopolin pervenit. Nam in Ætoliam ire properabat, cum et res illic post obitum comitis, penes quem summa potestas fuerat, **539** afflictæ essent ; et ab hujus vidua ad occupandum principatum arcesseretur.

Β'. Ἀλλὰ τοῦ αὐτοῦ θέρους ἑσταμένου (10), καὶ τοῦ βασιλέως παρασκευαζομένου πρὸς ἔξοδον, ἀγγέλλεται δεινὸν ἐξ Ἀσίας ἕτερον. Τὸ δὲ ἦν, ὡς ὁ τῶν Βιθυνῶν ἀρχηγὸς Ὄρχανος ὁ Ἀτουμὰν (11) λάθρα στρατολογῶν ἐκ πολλοῦ παρεσκεύασεν ἤδη δύναμιν ἱκανὴν καὶ μάλα τῷ σφετέρῳ βουλήματι ἀποχρῶσαν· ἦν δὲ καὶ ἑτοίμην οὖσαν μέλλειν ἐς τὴν ὑστεραίαν διαβαίνειν ἐξ Ἀσίας διχόθεν, τὴν μὲν ἐξ Ἱεροῦ (12), τὴν δ' ἐκ Προποντίδος, ἐς τὰ τῆς Βυζαντίδος προάστεια· [Γ. 532] τοῦτο γὰρ ἕως νῦν διετηρήθη τὸ μέρος πολεμίας χειρὸς μάλα ἀνώτερον. Καὶ ἦν σκοπὸς, μετὰ τὸ διαρπάσαι πᾶν ὅσον ἦν ἐκ τῆς πόλεως πλῆθος ἐς ἅλωνας καὶ σίτου κομιδὴν περισπώμενον καὶ ὅσον ἦν τοῖς ἔξω χωρίοις τὴν οἴκησιν ἔχον, εἶτα καὶ δύο τινὰ τῶν τῆς πόλεως ἔγγιστα φρούρια εἰληφότας ἐκεῖθεν ὡς ἐξ ὁρμητηρίου ἐς μάχην παρατάττεσθαι τῶν Βυζαντίων. Μηδὲ γὰρ ἔχειν ἔτι Ῥωμαίους ἀντίπαλόν σφισι δύναμιν, διὰ τὸ καταπεπονῆσθαι καὶ ἐφθάρθαι τῇ τε τῶν χρημάτων ἐνδείᾳ καὶ ταῖς πυκναῖς τῶν πολεμίων ἐφόδοις. Ἔχοντας δὲ μεθ' ἑαυτῶν καὶ τὴν γνώμην τῶν ἐν τοῖς Γαλάτου Λατίνων, κουφοτέρας σφίσιν εἶναι τὰς ἐλπίδας καὶ ἐς ἅλωσιν τῆς βασιλευούσης.

Δ'. Ἀπαίροντος τοίνυν ἐκ Βυζαντίου εἰς τὰς Θρᾳ- κῴας πόλεις τῷ Καντακουζηνῷ, ὑπήντησεν ἐξιὼν ὁ Ἀπόκαυκος (95) τοῦ φρουρίου, καὶ ἀποβὰς τοῦ ἵπ- που προσεκύνησε, βασιλικὴν ἀπονείμας αὐτῷ τὴν τιμήν. Τοῦτο γὰρ καὶ πρό γε αὐτοῦ πεποιήκασιν ἅπαντι τούτῳ πάντες, ὅσοι γένους εἵνεκα προσῆκον αὐτῷ, ὅσοι τε τῆς συγκλήτου λογάδες καὶ ὅσοι τῶν μετ' ἐκείνους, εἴτε ὡς ἐπιτρόπῳ τῆς βασιλείας, εἴτε ὡς ἐπὶ τῇς αὐτοῦ βουλήσεως ὁρῶντες ἐξηρτημένον τὸ βασίλειον σκῆπτρον, καὶ ὑποπτεύοντες ἐς τὴν ὑστεραίαν βασιλικοῖς ἐσταλμένον ὀφθήσεσθαι παρά- σημοις, εἰ βουλομένῳ γε εἴη αὐτῷ· πάντας γὰρ ὑπεπτηχέναι τῷ δέει, καὶ ὑπείκειν ἴσα τούτῳ καὶ βασιλεῖ.

IV Cantacuzeno itaque, cum excedens Byzantio ad urbes Thraciæ proficisceretur, egressus castello Apocaucus occurrit, desiliensque ex equo adorat, atque ita honores ei imperatorios defert. Quos et ante hunc ei invito tribuebant alii omnes, qui cognatione eum contingebant, quique inter senatores lectissimi erant, ut et ii qui inferiorem gradum obtinebant: seu quod ille imperii procurator foret, seu quod ab ejus arbitrio sceptrum pendere imperatorium viderent, ac suspicarentur, eum imperatoriis indutum insignibus conspectum iri postridie, si collibitum esset; omnes enim metu prostratos esse, eique perinde atque imperatori parere.

E'. Συνηκολούθησε μέντοι ὁ Ἀπόκαυκος ἄχρι καὶ Σηλυβρίας αὐτῷ, μάλα περιδεής τε καὶ μονονοὺ πρὸ ποδῶν ἱστάμενον βλέπων τὸν κίνδυνον ἑαυτοῦ. Συχ- νοὶ γὰρ οἱ τὸν Καντακουζηνὸν ἐποτρύνοντες ἦσαν, συνειληφέναι τοῦτον, καὶ δέσμιον προπέμψαι ἐς Διδυμότειχον. Οὐ γὰρ ἐλάνθανεν, ὅσον ἐγερεῖ τὸν τῶν πραγμάτων καπνὸν, ἐληλυθὼς ἐς Βυζάντιον. Ταῦτ' ἄρα καὶ ὡς ἐκ συμφώνου πάντες ἠνάγκασαν, ἕως ἐν χερσὶν ἔχοι τὸ θήραμα, [P. 376] τὴν οὖσαν γαλήνην τοῖς δημοσίοις διατηρῆσαι πράγμασιν. Ὁ δὲ τὸ φιλ- άνθρωπόν τε καὶ ἱλαρὸν ἥκιστα μεταθεῖναι βουλό- μενος παρεκρούετο τὴν ἐκείνων παραίνεσιν. Πάντα γὰρ τῆς τοῦ Θεοῦ χειρὸς ἐξῆφθαι, καὶ πάντ' ἐκεῖθεν ἔλεγε διοικεῖσθαι καὶ μὴ δύνασθαι τελεσθῆναι μη-

V. Cæterum Apocaucus Selybriam usque eum prosecutus est, metu exanimis, et periculum ante pedes quasi positum intuens. Erant enim plurimi qui Cantacuzenum hortarentur, ut comprehenderet hominem, et vinctum deduceret Didymotichum. Non enim **605** obscurum erat, quantum ille in republica excitaturus esset incendium, statim atque Byzantium advenisset. Idcirco quasi ex composito omnes istum compellebant, quandiu prædam in manibus haberet, ut præsentem reipublicæ tranquillitatem conservaret. At ille, ne minimum quidem volens recedere ab illa sua humanitate mitique ingenio, eorum rejiciebat adhortationem. Omnia enim a manu Dei pendere, omnia ab illo

Variórum notæ.

(94) An intelligit duas partes consilii ab imperatore dati, ut arcem everteret, et Apocaucum in custodiam daret? Boivin.

(95) Rem narrat Cantacuz. cap. 16. Ducang

dictitabat administrari, nec posse perfici quidquam, quod non illi esset comprobatum, et vicissim omnia posse perfici, quæ ab illo non improbarentur.

δὲν, ὃ μὴ ἐκεῖθεν εἴη συνεγνωσμένον· μηδ' αὖ εἶναι τῶν ἀδυνάτων μηδὲν, ὃ μὴ ἐκεῖθεν εἴη ἀπεγνωσμένον.

CAPUT X.

Reverso Apocauco, patriarcha vitæ institutum mutat. In Cantacuzenum ipse quoque conspirat. Imperii procuratorem se instituit. Apocauco urbis præfecturam et alias dignitates confert. Pactio diris jramentis firmata, ne Cantacuzenus unquam recipiatur. Apocaucus, Octavii Cæsaris exemplo, nobilibus curiam et civilia negotia committit; bellum sibi sumit administrandum. Res adversus Cantacuzenum a patriarcha designatæ.

I. Sic igitur dimissus inde Apocaucus Byzantium venit. Quem ubi vidit patriarcha, statim et vitam et linguam et sententiam et mores transtulit a sacris ad profana, temploque valere jusso, sedem in palatio semel stabilem fixit. Ibi totas noctes et dies cum Apocauco Augustæ assidens dolis suffragabatur, quos illi in Cantacuzeni exitium nectebant, et publicarum turbarum fodiebat ipse quoque fontes luculentos. Ac vir ille baculo quidem et vestimento tenus sacerdotem sapiebat : animo autem et operibus ejus nihil moderati inerat, nihil justi.

A'. Οὕτω τοίνυν ἐκεῖθεν ἀπολυθεὶς ὁ Ἀπόκαυκος ὁμοῦ τε αὐτὸς ἦκεν ἐς τὸ Βυζάντιον, καὶ ὁ πατριάρχης ἰδὼν εὐθὺς μετεσκεύασεν ἑαυτοῦ καὶ δίαιταν, καὶ γλῶττταν, καὶ γνώμην, καὶ ἦθος ἐξ ἱεροῦ πρὸς τὸ δημοτικώτερον· καὶ ἄρας ἐξ ἱεροῦ τὴν σκηνὴν ἐν τοῖς βασιλείοις καθάπαξ ἐπήξατο. Ἔνθα παννύχιός τε καὶ πανημέριος ξὺν γε τῷ Ἀποκαύκῳ καθήμενος ἐπὶ τῆς βασιλίδος τοῖς δόλοις οἷς ἐῤῥάπτον ἐπὶ φθορᾷ συνηγόρει καὶ αὐτὸς Καντακουζηνοῦ, καὶ ὅλων δημοσίων συγχύσεων ἀνώρυττε λαμπράς καὶ αὐτὸς τὰς πηγάς. Καὶ ἦν τὸ μὲν σχῆμα τῆς βακτηρίας καὶ τοῦ ἐνδύματος ἱερὸς ὁ ἀνήρ· τῇ δὲ γνώμῃ καὶ τοῖς ἔργοις οὐδὲν νόμιμον.

II. Primo itaque dominum se omnium rerum vice imperatoris instituit : Apocaucum vero administrum et ædilem et præfectum tam Byzantii, quam urbium insularumque omnium Byzantio subditarum : dicendorum denique ac tacendorum dispensatorem. Ad hæc lege et communi decreto, horrendis juramentis subnixo, inter ambos convenit, ne unquam reciperetur Cantacuzenus, quantumvis pœnitentem se significaturus esset; ac ne quidem si aliquis de cœlo angelus interveniret.

B'. Καὶ πρῶτα μὲν ἑαυτὸν ἀντὶ βασιλέως κεχειροτόνηκεν αὐτοκράτορα· τὴν δ' Ἀπόκαυκον διοικητὴν καὶ ἀγορανόμον καὶ ἐπίτροπον Βυζαντίου τε καὶ τῶν ὑπὸ τὸ Βυζάντιον πόλεων ἅμα καὶ νήσων πασῶν, καὶ ῥητῶν καὶ ἀπορρήτων διανομέα. Καὶ ἐπὶ τούταις ὅρκια ἦν καὶ ψήφισμα κοινὸν ἐξ ἀμφοῖν, ὅρκοις ἐρηρεισμένον φρικώδεσι, μηδαμῇ ποτε Καντακουζηνὸν εἰσδέξασθαι, κἂν πᾶσαν ᾖ μετάνοιαν ἐνδεδειχὼς, κἂν ἀγγέλων μεσιτεύῃ τις ἐξ οὐρανοῦ.

III. Ea videbantur utriusque esse instituta : revera autem isthæc ab Apocauci solertia proficiscebantur. Somniaverat enim statim, uti diximus, imperatoriam dignitatem, cujus pridem imagines quasdam ac velut semina animo infixerat. Et cum jam olim in veterum historiis versatissimus foret, in memoriam illi venerat Octavius Cæsar Augustus, eumque imitandum sibi tacite proposuerat. Etenim ille sublato cum Cleopatra Ægyptia Antonio, insidiatore et imperii æmulo, non aliter putavit supremum omnium rerum dominum existiturum se esse, quam si senatoriam Curiæ dignitatem evertisset. Quamobrem minima auctoritatis parte senatoribus concessa, maxima ipse semper fruebatur. Id autem erat, ut ii quidem Romæ sedentes jura urbibus darent, et magistratus tanquam e solio publicaque auctoritate legerent : ipse autem terrestribus ac navalibus copiis præfectos externis bellis occuparetur : et molestiis omnibus sibi uni susceptis, pararet undique, famuli instar, senatui ac reipublicæ tranquillitatem : cum illi haud intelligerent, eum qui exercitibus præesset, facillime posse usurpare dominatum omnium rerum.

Γ'. Ταῦτα ἀμφοτέρων ἐδόκει τἀπιτηδεύματα. Ἦσαν δ' ὡς ἀληθῶς τῆς τοῦ Ἀποκαύκου δεινότητος. Ὠνειροπόλησε γὰρ εὐθὺς (ὡς εἴρηται) βασιλείαν, ἧς ἐκ πολλοῦ σπερματικῶς ἐνεφύτευσεν ἴχνη τινὰ λογισμῶν τῇ ψυχῇ· καὶ πειδὴ ταῖς τῶν πάλαι βίβλων ἱστορίαις ἐνδιατρίβων ἦν τὰ μάλιστα, ἐς μνήμην ἦκεν Ὀκταβίου Καίσαρος τοῦ Αὐγούστου, καὶ πρὸς ἐκεῖνον ἀληθότως ἀνῆγε τὴν μίμησιν. Καὶ γὰρ κἀκεῖνος, [P. 377] μετὰ τὸ καθελεῖν τὸν τῆς ἡγεμονίας ἐφεδρον Ἀντώνιον ἅμα Κλεοπάτρᾳ τῇ Αἰγυπτίᾳ, οὐκ ἄλλως ἐνόμισεν ἀνυπεύθυνος αὐτοκράτωρ τῆς ὅλης ἀρχῆς καταστῆναι, ἢ τὸ τῆς βουλῆς συγκλητικὸν ἀξίωμα συγκαθελών. Ὅθεν συγχωρῶν ἐκείνοις τοὐλαττον ἐκαρποῦτο τὸ μεῖζον ἀεί. Τὸ δὲ ἦν, αὐτοὺς μὲν ἐν τῇ Ῥώμῃ καθημένους τὰς δίκας ταῖς πόλεσι διανέμειν, καὶ τάς γε τῶν ἐπιτρόπων ἀρχαιρεσίας, ὥσπερ ἀπὸ δίφρου καὶ δυνάμεως αὐθεντικῆς· αὐτὸν δὲ τῶν τε ἠπειρωτικῶν καὶ ναυτικῶν δυνάμεων ἔχοντα τὴν ἡγεμονίαν τοῖς ἔξω πολέμοις ἐνασχολεῖσθαι, καὶ διὰ τῆς ἑαυτοῦ ταλαιπωρίας τὸ ἀταλαίπωρον πανταχόθεν οἷον ὑπηρετικῶς περιποιεῖν τῇ συγκλήτῳ καὶ τοῖς πολιτικοῖς πράγμασιν· οὐκ εἰδέναι δυναμένων ἐκείνων, ὡς ὁ τῶν στρατιωτικῶν δυνάμεων ἐγκρατὴς ῥᾷστα τῶν ὅλων χειρώσεται τὸ κράτος.

Δ'. Ταύτην οὖν ἐπιβούλως καὶ συνετῶς καὶ ὁ Ἀπόκαυκος ἐλήλυθώς τὴν ὁδὸν, καὶ τοὺς μὲν εὐγενεῖς ἅπαντας κατασκευασάμενος τὸ τῆς βουλῆς δῆθεν διοικεῖν ἀξίωμα, αὐτὸν δ' ἐν ὑπηρέτου σχήματι, μετὰ τῶν στρατιωτικῶν δυνάμεων ταῖς ἔξω μάχαις προσταλαιπωρούμενον κατά τε γῆν καὶ θάλασσαν, ἅπαν περιποιεῖν αὐτοῖς τὸ ἀθόρυβον, ἔλαθεν ὑποχειρίους ἅπαντας οὕτωσὶ ποιησάμενος· αὐτοὺς μὲν τοὺς γένει καὶ δόξῃ προὔχοντας εἱρκταῖς τισι ζοφεραῖς ἐγκλείσας, καθάπερ ταῖς μάνδραις οἱ βουκόλοι τὰ θρέμματα· τοὺς δ' ὑπερορίους τῆς πατρίου ποιούμενος πόλεως. Τούς γε μὴν περὶ τὴν βασιλίδα πάντας καὶ πάσας χρήμασιν ἀδροτέροις περιελθὼν ἦγεν ἤδη καὶ ἔφερεν οὐ μόνον τὴν βασιλίδα καθάπερ ἀνδράποδον, ἀλλὰ καὶ αὐτὸν πατριάρχην, οὐ τοσοῦτον ταῖς θωπείαις ἐξαπατώμενον, ὅσον ὑποπτήσσοντα τὸ ἐκείνου δραστήριον. Ὅθεν οὐδὲν ἦν τῶν δρωμένων, ὃ μὴ τῆς αὐτοῦ βουλήσεως καὶ γλώττης ἤρτητο.

Ε'. Εἰς τοῦτο τοίνυν τύχης τῶν βασιλικῶν ξυνεβρυηκότων πραγμάτων, πάντ' ἐδρῶντο τὰ χαλεπώτατα. Ὥσπερ γὰρ εἰ τὰς κλεῖς τῆς ἄνω βασιλείας ὁ πατριάρχης ἐκέκτητο ἐν χειροῖν, οὕτω βεβαίας ὑπεσχνεῖτο τὰς αἰωνίους ἀντιδόσεις καὶ ἄῤῥικτα τὰ τῶν πόνων ἔπαθλα, εἰ Καντακουζηνὸν ἀνέλοι τις φαρμάκοις δηλητηρίοις, ἢ δολεραῖς τισιν ἐπιορκίαις καὶ γοητείαις δαιμονικαῖς, ἢ ὅτῳ ἂν δυνηθείη τρόπῳ. Ὁ δὲ τῶν τε ἐν Βυζαντίῳ καὶ πάσῃ πόλει τοῦ Καντακουζηνοῦ φίλων καὶ συγγενῶν τοὺς ἰσχύοντας ἐν Καρὸς ἐτίθετο μοίρᾳ (96), καὶ βασιλικῶς ἐνσεσημασμένας ἐπιστολὰς διέπεμπε, τὸν μὲν Καντακουζηνὸν τῆς ἐπιτροπῆς τῶν βασιλικῶν καθαιρούσας πραγμάτων καὶ ἀργὸν ἐν Διδυμοτείχῳ καθῆσθαι καθάπερ δεσμώτην διακελευομένας· τὸν δ' αὐτῷ προσανέχοντα στρατὸν τὴν ταχίστην ἐπαναχάμψαι πρὸς τὸ Βυζάντιον.

IV. Illam igitur viam Apocaucus insidiose et caute ipse quoque ingressus effecit, ut omnes nobiles muneri senatorio administrando **607** vacarent, ipse autem exercitibus præficeretur: quo scilicet velut famulus, externis bellis terra marique conflictatus, omni sollicitudine illos levaret. Ea ratione universos potestati suæ nec opinantes subjecit; cum ipsos illos, qui genere et fortunæ splendore eminebant, carceribus quibusdam obscuris includeret, quemadmodum stabulis pecora bubulci solent, alios autem patria urbe exsulare cogeret. Iis certe omnibus, qui circa Augustam seu viri seu feminæ essent, multa pecunia circumventis, regebat jam possidebatque ut mancipium non Augustam solum, sed et ipsum patriarcham, non tam adulationibus deceptum, quam illius facinorosam strenuitatem veritum. Itaque nihil gerebatur, quod non ab illius et voluntate et voce penderet.

V. Cum igitur in eum statum imperii administratio devenisset, summa cum acerbitate omnia agebantur. Nam patriarcha, quasi cœlestis regni claves in manibus haberet, perpetuam mercedem et præmia laborum sempiterna affirmate pollicebatur ei, qui Cantacuzenum sustulisset, seu mortiferis venenis, seu arcanis devotionibus diabolicisque præstigiis, seu quocunque alio modo posset. Idem amicos cognatosque Cantacuzeni, quotquot seu Byzantii seu in aliis urbibus auctoritate pollebant, contemptissimos habebat, et litteras sigillo imperatorio obsignatas emittebat, quæ Cantacuzeno quidem imperii administratione interdicerent, et sedere Didymotichi otiosum tanquam in **608** carcere juberent; exercitum autem, quem ille sibi habebat addictum, quam celerrime Byzantium regredi imperarent.

CAPUT XI.

Factionis Cantacuzenianæ nobiles a patriarcha et ab Apocauco petunt, ne secum durius agatur. Illi plebem in eos incitant. Nobilium fuga. Eorum domus eversæ, bona direpta. Cantacuzeni mœror et anxietas. Tristes nuntii de matre in carcerem conjecta aliisque domesticis cladibus. Viri constantia. Litteræ sigillo imperatorio munitæ, per quas ipse in ordinem cogitur. Alia ex aliis gravia ei nuntiata. Animus inter has angustias anceps et fluctuans. Mors intentata, nisi se imperatorem salutari patiatur. Eo recusante alius statim salutandus. Imperatrix per legatos officii admonita contumeliose respondet.

[P. 378] Α'. Οἱ μὲν οὖν ἐν Βυζαντίῳ λογάδες τῶν τοῦ Καντακουζηνοῦ φίλων καὶ συγγενῶν, καὶ σὺν αὐτοῖς ἔνιοι τῶν ἄλλως προσηκόντων, δείσαντες μὴ κατ' ἄνδρα συλλαμβανόμενοι τῆς ἑαυτῶν ἀνδρίας ἀνάξια πάθωσι, συναθροίζονταί τε πρὸς ἑνός τινος οἶκον καὶ κοινολογησάμενοι πρεσβεύονται πρός τε τὸν πατριάρχην καὶ τὸν Ἀπόκαυκον περὶ τοῦ μὴ παθεῖν τι τῶν φημιζομένων δεινῶν (97)· μηδὲ γὰρ ἂν ἀνέξεσθαι παραλόγως οὕτωσί πως ἀγεννές τι πρὶν δρᾶσαι παθεῖν· τοὺς δ' ἀποκρίνασθαι μὲν οὐδὲν πρὸς αὐτούς· πέμψαντας δ' ἀνὰ πᾶν τὸ Βυζάντιον ἀνασεῖσαι τὸν ὄχλον διὰ τῶν δημάρχων, καὶ ἀναφλέξαι

I. Amici itaque cognatique, quos Cantacuzenus lectissimos Byzantii habebat, et cum his nonnulli eorum qui alia necessitudine eum attingebant, metuentes, ne singuli comprehensi fortibus viris indigna paterentur, conveniunt in unius cujusdam ædes. Ibi colloquuntur inter se, missaque ad patriarcham et Apocaucum legatione postulant, ne eorum malorum, quæ fama jam nuntiaverit, ullum sibi inferatur: nec enim eos esse se, qui citra ullam rationem indignum aliquid, antequam fecerint, passuri sint. At illi nil eis respondere: sed mandata per totum Byzantium mittere: plebem per

Variorum notæ.

(96) Proverbium, de quo Zenobius, Suidas, Michael Apostolius, et alii paræmiographi. DUCANG.

(97) *Eorum malorum, quæ fama jam nuntiaverit.* Dubito utrum sic vertendum, an *eorum quæ gravia et acerba reputantur.* BOIVIN.

tribunos incitaro : cæcam atque effrenem vulgi impetum incendere telis, gladiis ac missilibus lapidibus.

II. Quod cum isti præter spem omnem intuerentur, multitudine torrentis instar, spumve examinis, aut hibernorum pelagi fluctuum, jam confluente, cucurrere ad unam ex murorum portis jampridem clausis, eaque statim reserata egressi omnes incolumes inde evaserunt, viri opinor plus quam sexaginta. Noctem itaque illam, ac diem sequentem ad vesperam usque, in suburbano quodam prædio manserunt; fortasse exspectantes, quoad benignus aliquis et pacis auctor nuntius ex Urbe afferretur. Postquam autem et domorum suarum subitam eversionem resciverunt, direptionemque et publicationem rei familiaris, omnia denique **609** desperatissima, laxis inde habenis avehuntur, et Didymotichum perveniunt, mirantes plurimum et casus illius sui insolentiam conquerentes. Quæ simul Cantacuzenus vidit atque audivit, dolorem animo cepit acerbissimum, nec longe a lacrymis abfuit, et rei novitate perculsus, maximos curarum æstus ex consilii inopia concepit.

III. Nondum primus ille resederat fluctus, cum alter erupit multo violentior. Venit enim quidam postridie nuntians, matrem in carcerem indigne conjectam esse : domum ejusdem excisam : universas facultates publicatas : a multis necessariorum per omne tormentorum genus quotidie exprimi et exigi quas ea habuisset pecunias. Non mirum igitur, quod tali calamitate accepta vitam is non abruperit, nec mente emota sui ipsius compos esse desierit. Sed multo admirabilius; quod castigationem illam divinitus immissam intelligens cum fortissimis quibusque in certamen patientiæ descenderit, et rebus quantumlibet adversis steterit adamantis instar firmissimus. Tempore enim procedente alii ex aliis calamitatum fluctus in dies superveniebant.

IV. Non multi ex eo dies effluxerant, cum ecce quidam Byzantio veniens litteras affert sigillo imperatorio munitas, quibus ipse quidem domi sedere et ab imperii administratione in posterum penitus se abstinere, exercitus vero quam celerrime Byzantium redire jubebatur. Tum alii statim nuntii advolabant, adempta **610** ei sua prædia, divisaque esse operariis et circumforaneis hominibus, ac si qui alii de colluvie plebeia audacem adversus eum linguam maxime exacuissent. Iis enim, qui plura et graviora in eum maledicta congessissent, mercedes proponebantur ac præmia; non so-

τὴν ἄλογον καὶ ἀτιμώτατον τοῦ δήμου φορὰν κατ' αὐτῶν τόξοις, καὶ ξίφεσι, καὶ χειροπληθέσι χερμαδίοις τοῖς προστυχοῦσι.

Β'. Τοῦτο δὴ παρὰ πᾶσαν ἐλπίδα βλέποντες ἐκεῖνοι, τοῦ πλήθους ἤδη συῤῥέοντος ἐπ' αὐτοὺς κατὰ ποταμοὺς καὶ σμήνη μελισσῶν καὶ χειμέρια πελάγους κύματα, δραμόντες ἀνεμόχλευσαν μίαν εὐθὺς τῶν ἐκ πολλοῦ κεκλεισμένων τοῦ τείχους πυλῶν (98)· κἀκεῖθεν ἐξιόντες ᾖχοντο ἅπαντες ἀβλαβεῖς, καὶ ὑπὲρ ἑξήκοντά (99) που τὸν ἀριθμὸν ὑπάρχοντες. Τὴν μὲν οὖν ἑσπέραν ἐκείνην, καὶ ἅμα τὴν ἐφεξῆς ἡμέρον ἄχρι δείλης ὀψίας, ἐν ἑνί τινι χώρῳ τῶν τοῦ Βυζαντίου ηὐλίσαντο προαστείων, περιμένοντες ἴσως ἐκ Βυζαντίου πρᾶόν τινα καὶ πρὸς εἰρήνην βλέποντα λόγον. Ἐπεὶ δὲ τήν τε τῶν οἰκιῶν αἰφνίδιον καθαίρεσιν σφῶν ἠχηχόεισαν, καὶ ἁπαγωγὴν καὶ δήμευσιν τῶν οἰκείων, καὶ πάντα δήπου τὰ τῶν ἐλπίδων ἐναντιώτατα, ἅραντες ἐκεῖθεν (1) πλήρεσι ταῖς ἡνίαις ἀφικνοῦνται ἐς Διδυμότειχον, πλεῖστα τὸ παράλογον τῆς σφῶν αὐτῶν θαυμάζοντές τε καὶ δδυρόμενοι συμφορᾶς. Ὡς δὲ ταῦτα ἰδεῖν καὶ ἀκοῦσαι τὸν Καντακουζηνόν, περιαλγῆσαί τε τὴν ψυχὴν καὶ δακρύων γενέσθαι ἐγγὺς, [P. 379] καὶ τριχυμίαν ἐξ ἀπορίας μακρὰν ἀναλαβεῖν λογισμῶν, ἐκπληττόμενον τὴν ἀτοπίαν τοῦ πράγματος.

Γ'. Οὔπω τὸ πρῶτον ἠρέμησε κῦμα, καὶ δεύτερον ἀνερῥάγη τοῦ προτέρου πολλῷ χαλεπώτερον. Ἦκε γάρ τις ἐς τὴν ὑστεραίαν ἀγγέλων τήν τε τῆς μητρὸς ἄτιμον κάθειρξιν (2), καὶ τὴν τῶν οἴκων αὐτῆς καθαίρεσιν, καὶ τὴν τῆς περιουσίας ἁπάσης δήμευσιν· καὶ ὡς πολλοὶ τῶν γνησίων, ἀναχρινόμενοι καθ' ἡμέραν καὶ ἀπαιτούμενοι τὰ ἐκείνης χρήματα, πᾶσαν ἰδέαν ὑπομένουσι πόνων. Οὐδὲν οὖν θαυμαστὸν, εἰ πρὸς τὴν τοιαύτην συμφορὰν οὐκ ἀπέῤῥηξε τὴν ψυχὴν, οὐδ' ἐξέστη τοὺς λογισμοὺς ἐκεῖνος, ἀλλὰ πάνυ θαυμασιώτερον, πῶς παιδείαν εἶναι Κυρίου ταῦτα ξυννενοηκὼς ἐπαπεδίσατο πρὸς τοὺς τῆς καρτερίας δούλους, καὶ διετέλεσε τοῖς ὅλοις δεινοῖς ὡς ἀδάμας ἐγκαρτερῶν. Ὁ γὰρ καιρὸς ἄλλα ἐπ' ἄλλοις ἡμέρᾳ ἐφ' ἡμέρᾳ ἐπήντλει τὰ τῶν δεινῶν κύματα.

Δ'. Οὔπω συχναὶ παρῆλθον ἡμέραι, καὶ ἦκέ τις ἐκ Βυζαντίου φέρων αὐτῷ βασιλικῶς ἐνσεσημασμένα γράμματα (3), αὐτὸν μὲν οἴκοι καθήμενον ἡρεμεῖν ἐπιτάττοντα, καὶ μηδ' ὁτιοῦν ἐνεργεῖν τοῦ λοιποῦ τῶν βασιλικῶν· τοὺς δὲ στρατιώτας ἐς Βυζάντιον τὴν ταχίστην ἐπανιέναι. Κἄπειτα ἑφοίτων ἕτεραι ἀγγελίαι, φάσκουσαι τὴν ἀφαίρεσιν καὶ διανομὴν τῶν αὐτοῦ χωρίων πρὸς βαναύσους ἀνθρώπους καὶ ἀγοραίους· καὶ ὅσοι τῶν συγκλύδων τὴν γλῶσσαν θρασείαν ἐξώπλισαν μάλιστα κατ' ἐκείνου. Ἄθλα γὰρ καὶ βραβεῖα προὐτίθεντο μὴ τὰ ἐκείνου χωρία μόνα τοῖς ὅσοι πλείους καὶ μείζους ἐξήντλουν κατ'

Variorum notæ.

(98) Cantacuzen. lib. III, cap. 22. τὴν τοῦ Πορφυρογεννήτου προσαγορευομένην πυλίδα διατεμόντες. DUCANG.

(99) Duo et quadraginta, duce Apelmene. Cantacuz. lib. III, cap. 22. BOIVIN

(1) Cantacuz. lib. III, cap. 22, 23. pag. 420. DUCANG.

(2) Cantacuz. lib. III, cap. 22. p. 419. DUCANG.

(3) Cantacuz. lib. III, cap. 24, pag. 421. DUCANG.

ἐκείνου τὰς λοιδορίας, ἀλλὰ καὶ τιμὰς καὶ δόξας καὶ προβιβασμοὶ γερῶν, κἂν ἁλιεύς τις ἦν, κἂν ἀγροῦ καὶ σκαπάνης ἀπόζων ὁ πρὸς τοιαύτας ἐξασκῶν λοιδορίας τὴν γλῶτταν.

Ε'. Ταῦθ' ὁρῶν καὶ ἀκούων ἐκεῖνος νῦν μὲν ἐνεκαρτέρει τῇ συνήθει πραότητι, καὶ ταύτης τροφίμου καὶ ἡλικιώτιδος οὔσης προδότης ἐκ τοῦ ῥᾴστου γενέσθαι οὐκ εἶχε· νῦν δ' ἐσχίζετο τὴν διάνοιαν, καὶ τοὺς λογισμοὺς περί γε τὸ ποιητέον ἐταλαντεύετο. Οὐ γὰρ ἑώρα τὴν ἡσυχίαν ἀκίνδυνον, οὔθ' ἑαυτῷ, οὔτε τῷ τοῦ βασιλέως υἱῷ Ἰωάννῃ τῷ Παλαιολόγῳ, οὔτε τοῖς εἰς αὐτὸν συνδραμοῦσιν εὐγενέσιν ἀνδράσιν ἐκ Βυζαντίου. Ἤδη γὰρ κἀκεῖνοι πολὺν μὲν ἐν τῇ καρδίᾳ τρέφοντες ἐξ ὧν ἐπεπόνθεισαν τὸν θυμόν, δεδιότες δ' ἔτι μᾶλλον καὶ ἐς τὸ μέλλον περὶ τὸ ζῆν, προφανῆ τὴν σφαγὴν ἐπέσειον αὐτῷ (4), εἰ μὴ βασιλικῶς ὑπὸ σφῶν ἀναγορευθείη. Αὐτοῦ γὰρ μὴ τοῦτο θελήσαντος, ἕτερον ἐξ αὐτῶν παρεσκευάσθαι πρὸς τοῦτο. Μηδὲ γὰρ εἶναι τούτου χωρὶς [P. 380] εἰς τὴν τῶν Ῥωμαίων σωτηρίαν ἀνυσιμώτερον ἕτερον τῶν ἁπάντων πρᾶγμα καὶ διανόημα.

Ϛ'. Εἰς δὴ τοιούτους χειμῶνας θορύβων καὶ περιστάσεων ἐμπεπτωκότι τῷ Καντακουζηνῷ ὅμως οὐδ' οὕτως ἐνδοῦναι νενόμισται πρότερον δεῖν, πρὶν ἐς Βυζάντιον ἁπάσῃ πεπομφότι σπουδῇ πρὸς ἀνάμνησιν αὖθις Ἄνναν κομίσαι τὴν βασιλίδα τῶν τε τοῦ βασιλέως συνθηκῶν ἐκείνων, καὶ ὅσα θανόντος ἐκείνου πέπραχεν αὐτὴ ξὺν γε τῶν ἀμφ' αὐτὴν εὐγενῶν ὁρκωμοτήρια, φόβου καὶ φρίκης μεστά, τῶν ὁμοίων ἐχόμενα καταστάσεων. Ἀλλὰ καὶ οὕτω τοῦ πράγματος γεγονότος ἧνυσται πλέον αὐτῷ γε οὐδέν, ἢ βλασφημίας καὶ ὅλας ἁμάξας ὕβρεων ἐκεῖνον ἀλλάξασθαι τῆς πραότητος.

A lum prædia istius, sed et honores et dignitates, et aditus ad munera, etsi piscator esset, etsi merum rus ligonemque ipsum redoleret is, qui linguam in ejusmodi conviciis exercitatissimam haberet.

V. Hæc ille cum et videret et audiret, modo in lenitate sua constans perseverabat, eamque utpote alumnam et æqualem suam non poterat facile prodere : modo trahebat animum in diversa secumque expendebat, quidnam factu optimum foret. Quiescere enim nec tutum sibi videbat esse, nec imperatoris filio Joanni Palæologo, nec nobilitati, quæ Byzantio egressa ad se confluxerat. Jam enim et nobiles illi, iram alentes animo gravissimam ob injuriam qua affecti fuerant, ac magis adhuc de vita sua in futurum solliciti, mortem ei præsentem intentabant, nisi a se salutaretur imperator. Eo quippe detrectante, præsto ad eam rem futurum aliquem ex ipsis : neque vero aliud rei consiliive esse ad salutem Romanorum efficacius, quam quod meditarentur.

VI. In talibus turbarum ac prementium undique negotiorum tempestatibus versabatur Cantacuzenus. Sed ne sic quidem cedendum existimavit, nisi legatis quam celerrime Byzantium **611** missis imperatricem Annam prius commonefaceret mandatorum illorum imperatoris, omniumque pactionum, quas eo mortuo ad similem reipublicæ statum constituendum spectantes, terribilibus tremendisque exsecrationibus ipsa firmaverat. Sed neque sic agendo plus effecit, quam ut plena conviciorum plaustra lenitatis suæ præmia haberet.

CAPUT XII.

Cantacuzenus imperii insignia coactus induit, jam olim sibi variis auguriis promissa. Actum id die festo S. Demetrii. Annæ et Joanni prius acclamari jubet quam sibi. Defuncti imperatoris mandata nihilominus observat. Tertio post die purpuram exuit. Tum inde usque ad captam urbem albis vestibus utitur. Causæ ejus rei tres ab eo allatæ. Patriarcha et Apocaucus, nova Cantacuzeni dignitate audita, ut se gesserint. Duæ apud Byzantinos factiones diversissimæ. Cantacuzeniani anathemate perculsi. Irritata plebis audacia. Cantacuzeni cunctatio. Ejusdem copiæ militares. Legationes subinde ab eo Byzantium missæ. Postulata æquitatis plena. Byzantii implacabiles; aperte et clam exitium ei moliuntur. Multi e suis illum ut desidem et ignavum deserunt. Commeatuum inopia. Hiems asperrima. Litteræ a Byzantiis interceptæ.

Α'. Ταῦτ' ἄρα καὶ βιασθεὶς (5) τὰ τῆς βασιλείας περιζώννυται σύμβολα, οὐ τοῦτο βουλόμενος, ὡς ἔλεγεν, οὐδὲ προθεσμίαν τινὰ πάλαι μελετηθεῖσαν ψυχῆς τελῶν. Ἀλλ' ὥσπερ οἱ τὸν ἐκ μεγάλου πελάγους ῥέοντα φεύγοντες κλύδωνα τοῖς λιμέσιν ὁρμίζειν τὰς ὁλκάδας ἐπείγονται, οὕτω καὶ αὐτὸς, διαφυγεῖν οὐ δυνάμενος τὸν περιστάντα βίαιον κίνδυνον ἄλλως, ὡς εἰς λιμένα τινὰ τὴν βασιλικὴν κατέφυγε πορφύραν· οἶμαι τοῦ Θεοῦ περαίνοντος ἔργον πάλαι τεκταινόμενον, κἀκ βρέφους αὐτῷ συμβόλοις οὐ τανυ τυφλοῖς καὶ ἀσαφέσι προαναφωνούμενον, κἂν αὐτὸς ὀκνηρὸς πρὸς τὴν ἐγχείρησιν, μυστήρια Θεοῦ γινώσκειν οὐ μάλα δυνάμενος. Ἵνα δ' ἐκ πολλῶν ἑνίων μνησθῶμεν, πρῶτον μὲν ἦν . . . (6).

I. Quamobrem coactus ille insignia induit imperatoria. Id autem (ut ipse aiebat) nec volens fecit, nec eo ut rem animo fixam et longe ante meditatam exsequeretur. Sed velut ii, qui fluctum fugiunt ab alto decurrentem, naves suas ad portum appellere omni festinatione properant, ita et ipse cum effugere aliter haud posset circumstantis periculi vim, ad purpuram imperatoriam tanquam ad portum confugit : Deo, opinor, pridem destinatum opus, et isti adhuc infanti non cæcis aut obscuris signis prænuntiatum, perficiente; quamvis hic aggredi reformidaret, impar videlicet perspiciendis divinæ sapientiæ arcanis. Atque ut quædam ex multis commemoremus, primum quidem erat....

Variorum notæ.

(4) Id tacet Cantacuzenus, cap. 25. DUCANG.

(5) Cantacuz. lib. III, cap. 26, pag. 453. DUCANG.

(6) Quæ hoc loco desunt, eadem in codice Vaticano, n. 161, desiderari, didici ex doctiss. vir

II. Qua autem die ille imperii insignia induit, A eadem divi Demetrii martyris memoria celebrabatur. Jubet autem non prius renuntiari se imperatorem cum conjuge, quam imperatrici Annæ Joannique imperatori ejus filio sit acclamatum. Recordabatur enim semper defuncti imperatoris amicitiam, et illius de imperio mandata haud **612** facile obliviscebatur. Imo ut illi, ita et ipsius necessariis primas tribuebat. Propugnaculum enim aiebat se ab imperatore ædificatum ad conservandum imperium ejus filio; cui proinde tanto tutius ac stabilius futurum esset imperium, quanto ipse potentior esset exstiturus.

Β'. Ἡμέρα δ' ἦν, καθ' ἣν τὰ τῆς βασιλείας (7) περιεζώσατο σύμβολα, ἐν ᾗ τὰ τῆς μνήμης ἦγετο Δημητρίου τοῦ θείου μάρτυρος. Προστάττει δ' ἀναγορεύεσθαι [P. 581] τελευταῖον τοῦτον (8) ὁμοῦ τῇ συζύγῳ βασιλικῶς, μετά γε τὴν τῆς βασιλίδος Ἄννης εὐφημίαν καὶ τοῦ ταύτης υἱοῦ βασιλέως Ἰωάννου. Ἐμέμνητο γὰρ ἀεὶ τῆς τοῦ θανόντος βασιλέως φιλίας, καὶ τῶν ἐκείνου περὶ τῆς βασιλείας συνθηκῶν ἐκλαθέσθαι οὐ μάλα ἐβούλετο· ἀλλ' ὡς ἐκεῖνον τοὺς ἐκείνου προὔτίθει. Πύργον γὰρ ἔλεγεν ἑαυτὸν πρὸς ἐκείνου τοῦ βασιλέως ᾠκοδομῆσθαι πρὸς ἀσφάλειαν τῆς τοῦ παιδὸς βασιλείας· παρὰ τοσοῦτον οὖν εἶναι τῷ παιδὶ τὰ τῆς ἀσφαλείας ἀκίνδυνά τε καὶ βεβαιότερα, παρόσον αὐτὸν ἰσχυρότερον.

III. Itaque et vestem, quæ purpurea erat, in albam, propter ægritudinem ex defuncti imperatoris morte, post tertiam statim diem mutavit (qui mos ab imperatoribus semper observatus in luctu), et vestibus ab eo tempore albis constantissime usus est, donec regina urbe capta totius Romanæ ditionis princeps nemine adversante evasit. Cujus rei causam sciscitanti mihi respondit, se id triplici de causa factitasse: primum quidem, ut defuncto imperatori amico suo justa persolveret: deinde propter matris suæ mortem, quæ postmodum incidit: tertio denique, quod eos, qui secum erant, videret rerum necessariarum penuria laborantes, in maximis periculis versari, adeoque satius duceret magnificum vestis imperatoriæ sumptum impendere in illorum usus, quam sibi reservare. Sed enim ipse, cum offendisset statim violenta adversaque tempora ac negotia, ita et suis rebus consuluit, et defuncti imperatoris mandata, qua maxima potuit reverentia, prosecutus est.

B

Γ'. Ὅθεν καὶ μετὰ τρίτην αὖθις ἡμέραν ἤμειψε τὴν ἐσθῆτα (9), διὰ τὴν τοῦ θανόντος βασιλέως ἐντάφιον λύπην, ἐκ τῆς πορφύρας ἐς τὸ λευκόν, ὡς εἴθιστο τοὺς βασιλέας περὶ τὰς λύπας ἀεὶ ποιεῖν· καὶ διήρκεσεν ἐκεῖθεν λευκοῖς ἐνδύμασι χρώμενος, ἕως καὶ τὴν βασιλίδα πόλιν ἑλὼν αὐτοκράτωρ ἀναμφισβήτητος ἐγεγόνει τῆς ὅλης Ῥωμαίων ἀρχῆς. Κάμοὶ τὴν αἰτίαν διαποροῦντι (10) τριῶν ἕνεκα ποιεῖν ἀπεκρίνατο τοῦτο· πρῶτον μὲν τῷ φίλῳ βασιλεῖ τελευτήσαντι δίκαιον ἐκτινυὺς ὀφλημα· δεύτερον διὰ τὴν κατόπιν ἐπιδραμοῦσαν τῆς μητρὸς τελευτήν· καὶ τρίτον, ἐπειδὴ τοὺς σὺν αὐτῷ μακρὸν ὑπομένοντας ἑώρα τὸν κίνδυνον μετὰ τῆς τῶν ἀναγκαίων ἐνδείας, δεῖν ἔκρινε τὴν πολυτελῆ τῶν βασιλικῶν ἐνδυμάτων δαπάνην ἐκείνοις μᾶλλον ἢ ἑαυτῷ ἀναλοῦν. Ἀλλὰ γὰρ αὐτὸς μὲν ἐξαπίνης, ἐντυχὼν βιαίῳ καὶ ἀνταγωνιστῇ τῷ καιρῷ καὶ τοῖς πράγμασιν οὕτω τὰ κατ' αὐτόν τε διῳκήσατο καὶ ταῖς τοῦ θανόντος βασιλέως συνθήκαις καθόσον ἐφικτὸν διετήρησε τὴν αἰδῶ.

C

IV. At unanimes illi ac pæne gemelli, ubi istum accepere insignibus imperatoriis ornavisse se, exsiliunt præ voluptate, et furentium quasi ritum **613** æmulantes ad bacchandum insolenter vertuntur. Eam enim occasionem nacti ac rationem palam obsistendi maximam, liberrimaque et incontinenti lingua omnium auribus obtrudendi morbum animi veterem atque arcanum, commendantique se, quod pridem istius improbitatem perspexissent, in cunis, in utero adhuc delitescentem et quasi lactentem (testem enim prioribus conjecturis ac praeconem vere vocalem accessisse id, quod novissime actum et in lucem perfecto partu tandem aliquando editum foret), jam nec dubie nec la-

Δ'. Ἡ δ' ὀμόψυχος ξυνωρὶς ἐκείνη, ἀκούσασα τὴν τῶν βασιλικῶν παρασήμων ἐκείνου περιβολήν, ἀνεπήδησέ τε ὑφ' ἡδονῆς καὶ, μεμηνότων ὥσπερ μιμησαμένη διάθεσιν, πρὸς τερατώδη βακχείαν ἐκίνει τὰ ἤθη. Ἀφορμὴν γὰρ εἰληφυῖα τὸ πρᾶγμα, καὶ δικαίωμα μέγιστον εἰς τὸ φανερῶς ἀμύνεσθαι, καὶ τὰ πάλαι τῆς ψυχῆς ἀπόῤῥητα ἀῤῥωστήματα παῤῥησιαζομένη καὶ ἀκρατῶς ἐχούσῃ τῇ γλώττῃ ἐς τὰς τῶν ὅλων ἐπαντλεῖν ἀκοὰς, καὶ δικαιοῦν μὲν ἑαυτοὺς ὀρθῶς σκοπουμένους ἐκ πολλοῦ τὴν ἐκείνων δηλαδὴ κακίαν, ἐν σπαργάνοις ἔτι καὶ γάλαξι κυοφορουμένην (μάρτυρα γὰρ εἶναι καὶ κήρυκα διαπρύσιον τῶν προτέρων στοχασμῶν τὸ νῦν πεπραγμένον, πρὸς ἐντελῆ τινα προενεχθὲν τὸν τόκον ὀψὲ), ἀνενδοιάστως ἤδη καὶ

D

Variorum notæ.

codemque amico charissimo Lud. Targnio, qui selectas e multis lectiones dubias rogatu meo cum illo ipso codice contulit. Boivin.

(7) 8 Octobr. qua S. Demetrii festum celebrant Græci et Latini, anno Chr. 1341. Nescio, cur suæ inaugurationis diem siluerit ipse Cantacuz. cap. 27, quam pluribus hic refert. Ducang.

(8) Primum enim Annæ Augustæ acclamatum, tum Joanni filio imperatori, tertio loco Joanni Cantacuzeno imperatori cum Irene imperatrice, narrat idem Cantacuz. lib. III, cap. 26. Vide eumdem Gregoram lib. XIII, cap. 3. Ducang.

(9) Id ipsum ibidem habet Cantacuzenus: de quo more consulendus Codinus, *De offic. palat.*, cap. 21. Ducang.

(10) Hinc apparet quam familiariter Gregoras cum Cantacuzeno, non solum privato, sed etiam imperatore vixerit: qua de re plura diximus in Vita ipsius Gregoræ. Boivin.

ἀπαραιτήτως πρὸς ἄσπονδον καὶ ἀκήρυκτον ἐκίνησε τὰ πράγματα μάχην.

Ε'. Καὶ ἦν ἰδεῖν εἰς δύο μοίρας σχισθὲν τὸ τῶν Ῥωμαίων γένος ἅπαν κατὰ πᾶσαν πόλιν καὶ χώραν· εἰς τε τὸ συνετὸν καὶ ἀσύνετον· εἰς τε τὸ [P.382] πλούτῳ καὶ δόξῃ διαφέρον καὶ τὸ ἐνδεές· εἰς τε τὸ παιδείας εὐγενοῦς τρόφιμον καὶ τὸ πάσης παιδείας παντελῶς ὑπερόριον· εἰς τε τὸ ἔμφρον καὶ τεταγμένον καὶ τὸ ἄφρον καὶ στασιῶδες καὶ αἱμοχαρές· καὶ τὰ μὲν βελτίω πάντα πρὸς ἐκεῖνον μεταρρυηκότα· τὰ δὲ χείρω πάντα πρὸς τοὺς ἐν Βυζαντίῳ. Οἱ γὰρ γένει καὶ πλούτῳ καὶ δόξῃ τῶν πολλῶν ὑπερέχοντες, οἴκους ἀφέντες καὶ γυναῖκας καὶ παῖδας, εἰς ἐκεῖνον ὅλῃ προθέσει ψυχῆς ἐῤῥύησαν, καὶ αὐτῶν δὴ τῶν φιλτάτων τὴν ὑπερόριον προελόμενοι δίαιταν, καὶ βέλτιον ἡγησάμενοι σὺν ἐκείνῳ δυστυχεῖν, ἢ μετὰ τούτων τρυφᾷν· οἶμαι τὸ τοῦ Ἀναχάρσιδος λέγοντες, ὡς κρεῖσσον ἕνα φίλον κεκτῆσθαι πολλῶν ἄξιον, ἢ πολλοὺς ἀξίους μηδενός.

Ϛ'. Ὕλην τοίνυν εὑρόντες, ἣν πάλαι ποθοῦντες ἐτύγχανον, φακέλλους γραμμάτων διέπεμπον οἱ Βυζάντιοι πρόεδροι κατὰ πᾶσαν ἐπαρχίαν καὶ πόλιν, ἀνάθεμα καὶ ἀφορισμοὺς περιέχοντα πάντων, ὅσοι φίλοι θέλουσιν εἶναι τοῦ Καντακουζηνοῦ· καὶ ἅμα πᾶν τό τε δημοτικὸν ἐρεθίζοντα κατὰ τῶν πλουσίων καὶ τὸν βάναυσον ὄχλον κατὰ τῶν δόξῃ καὶ γένει προύχόντων· ἵνα τῶν οὕτως ἐχόντων ἐκ μέσου γενομένων, εὐχερῶς αὐτοὶ τῆς ἀρχῆς ἐγκρατεῖς καταστῶσι, μηδὲν ἔθνους ἀντίπαλον ὑφορώμενοι. Καὶ μέντοι καὶ γέγονεν ἐντεῦθεν μεγίστη καὶ πολυειδὴς φθορὰ πανταχῇ τῶν Ῥωμαϊκῶν ἐν βραχεῖ πραγμάτων, οἵαν οὐδεὶς ἐν βραχεῖ παραστῆσαι δύναται λόγος.

Ζ'. Ὁ μὲν οὖν Καντακουζηνὸς οὐδὲν ἐπιδείξασθαι θάρσος ἐβούλετο, οὐδ' ἐπεχείρει πρὸς οὐδὲν τῶν ἁπάντων σπουδῆς ἄξιον, οἷα φιλοῦσι ποιεῖν οἱ τοιούτοις ἐγχειροῦντες καὶ πρὸς τοιαῦτα πελάγη συνελαθέντες· ἀλλ' ἔμενεν ἥσυχος μετὰ τῆς ἑπομένης αὐτῷ στρατιᾶς. Εἶχε γὰρ ὁπλίτας, τῶν μὲν λίαν ἀρίστων καὶ ῥώμῃ σώματος καὶ ψυχῆς ἀνδρίᾳ καὶ πείρᾳ διαφερόντων, ἄχρι καὶ ἐς δισχιλίους ἱππέας· οἳ καὶ τὸ σὺν αὐτῷ θανεῖν πολλῷ τιμιώτερον ἦσαν ἡγούμενοι, ἢ πλὴν αὐτοῦ ζῆν ἄχρι μιᾶς τινος τῆς ἡμέρας. Οἱ μὲν οὖν λογάδες τοιοῦτοι καὶ τοσοῦτοι τὸν ἀριθμὸν ἦσαν αὐτῷ· οἱ δὲ μετ' αὐτοὺς τεταγμένοι δὶς τοσοῦτοι.

Η'. Ἐκεῖνος μὲν οὖν διεπρεσβεύετο πρὸς τοὺς Βυζαντίους τὰ πρὸς εἰρήνην συχνά, καὶ τῶν βασιλικῶν τοῦ συζύγου τὴν βασιλίδα ἀνεμίμνησκε διαθηκῶν καὶ ἐντολῶν, ἃς ἐκεῖνος ἔτι ζῶν αὐτῇ διετίθετο, περί τε κήδους τοῦ νέου βασιλέως καὶ ἐπιτροπῆς τοῦ Καντακουζηνοῦ ἄχρι τῆς πρεπούσης ἡλικίας τοῦ νέου. Μηδὲ γὰρ χρῆναι πιστεύειν ἀλλοτρίοις συμβούλοις, καὶ πάντα πρὸς τὴν οἰκείαν σπουδάζουσιν ἔφεσιν, καὶ ὅσα P. 383] τὴν ταχίστην ἀνατρέψαι δύνανται τὴν πάλαι κατάστασιν, καὶ ὅλα συλλήβδην εἰπεῖν τὰ τῆς βασιλείας πράγματα.

Θ'. Ἡ δὲ τοιαύτη τοῦ ἀνδρὸς ἡμερότης οὐκ ἐμάλα-

A tenter implacabilis internecinique belli auctores exsistebant.

V. Ac tunc scissum in duas partes videre erat per omnes et urbes et provincias omne Romanum genus, et hinc quidem sapientiores, inde insipientes stare: hinc homines opibus et dignitate eminentes, inde egenos: hinc liberalis disciplinæ alumnos, inde alienos ab omni disciplina; hinc denique eos qui sani ac moderati essent, illinc eos qui insanirent seditionibusque et sanguine gauderent: et optimos quidem quosque isti suffragantes; pessimos autem omnes Byzantinis. Qui enim genere, opibus et dignitate reliquos anteibant, ii relictis focis, conjugibus, liberis, ad istum omni studio convolabant, vitam jucundissimis rebus carituram B eligentes, et cum isto pati iniqua satius ducentes, quam cum illis vivere delicate: illud, puto, Anacharsidis usurpantes, melius esse unum habere amicum multi æstimandum, quam nullius pretii multos.

VI. Occasionem **614** itaque nacti, quam expetebant pridem, præsules Byzantini per omnes et provincias et civitates fasciculos mittebant litterarum, anathema et interdicta continentium adversus eos, qui amici essent Cantacuzeno, simulque et plebem omnem in divites irritantium, et mercenariam multitudinem in eos qui dignitate et genere eminebant: ut sublatis de medio iis qui tales erant, facile ipsi rerum dominatum invaderent, C nihil quacunque ex parte contrarium suspectumque habituri. Et certe maxima inde ac multiplex universæ rei Romanæ clades brevi exorta est, qualem paucis exprimere nulla possit oratio.

VII. Cantacuzenus vero nulla re audacem se ostendere, nihil aggredi volebat, quod operæ pretium esset, ut solent ii qui talia inceptant, et in eos rerum æstus compulsi sunt; sed quietus cum suo exercitu manebat. Habebat enim armatorum, eorum inquam qui longe fortissimi essent et robore tam animi quam corporis experientiaque præstarent, ad duo equitum millia; quibus multo præstabilius videbatur mori cum eo, quam sine eo vel unam tantum diem vivere. Tot itaque ac tales D erant lecti milites. Qui autem secundum ab illis locum obtinerent, bis totidem erant.

VIII. Iste igitur frequentes de pace legationes ad Byzantinos mittebat, et Augustam commonefaciebat supremæ voluntatis et mandatorum imperatoris conjugis sui, quæ ab illo adhuc vivente accepisset, **615** de affinitate junioris imperatoris ac de tutela Cantacuzeno deferenda, quoad idoneam ætatem pupillus attigisset; nec enim credendum esse extraneis consiliariis, qui omnia pro sua libidine alacriter susciperent, eaque maxime, quæ veterem statum rerum et universum prorsus imperium possent evertere.

IX. Ea viri humanitas animos Byzantiorum haud

mollivit : sed e contrario ut audacia amentiaque ultra modum furerent effecit. Nec enim ea ab illo dici aiebant, quo parceret sanguini suorum civium, sed quia ad desperationem suæ salutis esset compulsus. Et cum arma palam hostilia in illum terra simul et mari assidue conflarent, minimum illis otii supererat, nec ulli parcebant occultiori machinæ, quæ seu veneno, seu præstigiis, seu cruenta morte grassaretur.

X. At ille spem unice in Deo ponens manebat etiamnum quietus, continebatque adhuc intra castra exercitum : qui tamen et pugnam et spolia hostilia vehementissime sitiebat, et a plurimis invitebatur civibus Byzantinis Quo factum est, ut per quæ cum desidiæ et socordis ignaviæ accusantes, simulque, ut verisimile est, rati periculum sibi et illi impendere, inde ad Byzantios transfugerint. Jam enim et cibi ipsos pro hominum multitudine deficiebant, solo Didymotichi oppidulo cum frequentibus jumentis inclusos. Adversa quippe utebantur et fortuna et tempestate. Namque et hiems, si alias unquam, **616** constantissime ingravescens, asperrima tum fuit : et præterea quascunque ille litteras sive ad Cralem Serviæ, sive ad Alexandrum Mysorum principem, sive ad alios quoslibet arcessendorum auxiliorum causa mittebat, omnes intercipiebantur a Byzantiis, qui cuncta circum a terra et a mari custodibus atque exploratoribus tenebant.

Ξε τοὺς Βυζαντίους· ἀλλὰ τοὐναντίον ἐξέμηνε πρὸς ἀνυπέρβλητον θράσος τε καὶ ἀπόνοιαν. Οὐδὲ γὰρ διὰ φειδὼ τῶν ὁμοφύλων αἱμάτων ταῦτ' ἔφασκον φύσκειν ἐκεῖνον, ἀλλ' ὡς ἐν ἀπογνώσει τῆς ἑαυτοῦ ζωῆς συνεστῶντα. Καὶ φανερῶς μὲν ὅπλα πολέμια κατ' ἐκείνου διηνεκῶς συγκροτοῦντο, ἔκ τε θαλάττης ὁμοῦ καὶ ἠπείρου, ἥκιστά φησιν ἐνῆν οὔτ' ἠρεμεῖν, οὔτ' εὐδεμιᾶς λαθραίας φείδεσθαι μηχανῆς. Ὅστι τε διὰ φαρμάκων καὶ γοητειῶν καὶ ὅσαι δι' ἀέρος.

Γ'. Ἐκεῖνος δ' εἰς Θεὸν ἀτρεμῶς ἀναβλὰς τὰς ἐλπίδας ἔμενεν ἡσυχῇ κατέχων ἔτι τὰ ἑαυτοῦ κατὰ χώραν στρατόπεδα, καὶ ταῦτα πάνυ διψῶντα μάχης καὶ σκύλων πολεμικῶν, καὶ πλείους ἔχοντα τοὺς καλοῦντας τῶν οἰκητόρων τοῦ Βυζαντίου· ὥστε τοὺς πλείους καταγνόντας αὐτοῦ ῥᾳθυμίαν καὶ γνώμης νωθρότητα, καὶ ἅμα ὡς τὸ εἰκὸς ὑποπτεύσαντας κίνδυνον σφῶν τε αὐτῶν καὶ αὐτοῦ, οἴχεσθαι ἀπιόντας ἐκεῖθεν ἐς Βυζαντίους. Ὑπέλιπε γὰρ ἤδη καὶ τὰ αἴτια σφᾷ κατὰ πλῆθος, ἐς μόνον τὸ Διδυμοτείχου πολίχνιον συγκλεισθέντας μετὰ πολλῶν τῶν ὑποζυγίων. Ἠναντιοῦτο γὰρ αὐτοῖς τὰ τῆς τύχης ὁμοῦ καὶ τῆς ὥρας. Ὅ τε γὰρ χειμών, εἴπερ ποτέ, ἐγεγόνει βαρὺς καὶ πάνυ τοι σφόδρα συνεχὴς ἐπιφέρων τὸ βάρος· καὶ πρός γε τῶν γραμμάτων ὁπόσα πρός τε τὸν Κράλην Σερβίας (11) καὶ Ἀλέξανδρον, τὸν τῶν Μυσῶν ἀρχηγὸν (12), καὶ πρὸς οἱουσδήποτε συμμαχίας ἕνεκα ἔπεμπε, πάντα ἡλίσκοντο πρὸς τῶν Βυζαντίων, φρουροῖς καὶ ἡμεροσκόποις διαλαβόντων τὰ κύκλῳ πρός τε γῆς καὶ θαλάττης.

CAPUT XIII.

Joannes Palæologus die non festo præter morem a patriarcha coronatur. Id statim post imperatoris mortem majore apparatu fieri voluerat Cantacuzenus, patriarchæ prohibuerat. Novus imperator in ætherea palatii ædicula per solennem πρόκυψιν denuo inauguratur. Plausu et lætis clamoribus excipitur a populo. Jacta in Cantacuzenum probra. Cantacuzenæ hæc audientis, idque e carcere, dolor et gravis morbus. Ejusdem obitus duodecimo post die, inter similes plebis acclamationes. Nocturna præsagia, quæ ejus mulieris calamitatem antecesserunt.

I. At patriarchæ, quo videretur meliori jure tutelam imperatoriam sibi arrogasse, omni diligentia Joannem defuncti imperatoris filium coronavit, non exspectata præ aviditate nec ætate illius, nec aliqua anni die insigniori. Nam is coronam imperatoriam illius capiti imposuit Novembris die XIX, quæ dies ex se minime insignis aut solennis est. At id ipsum voluerat Cantacuzenus splendidiore apparatu celebrare post obitum statim imperatoris; sed hic insidiose et maximam per fraudem impedierat.

Α'. Ὅτε μὴν πατριάρχης μείζονα τὴν δικαίωσιν τῆς βασιλικῆς ἐπιτροπῆς μηχανώμενος ἑαυτῷ ἔστεφε διὰ πάσης σπουδῆς Ἰωάννην (13) τὸν παῖδα τοῦ βασιλέως, [P. 584] οὐ περιμείνας, διὰ τὸ λίχνον τῆς ἐφέσεως, οὐθ' ἡλικίαν αὐτοῦ, οὔτ' ἐπίσημον ἡμέραν τινὰ τοῦ ἐνιαυτοῦ. Ἐνάτῃ γὰρ ἐπὶ δέκα ἔτυχεν οὖσα τοῦ Νοεμβρίου, ἐν ᾗ τὸ βασιλικὸν αὐτῷ περιτέθεικε στέφος, ἀξύμβολός τις φάναι καὶ μάλα ἀνέορτος, τό γε ἦκον εἰς αὐτήν. Καίτοι τοῦτο ἐβούλετο μὲν περιφανέστερον ὁ Καντακουζηνὸς καταστῆσαι μετὰ τὸν τοῦ βασιλέως θάνατον εὐθύς· ἐκώλυε δ' αὐτὸς ἐπιθύλως καὶ μάλα σὺν δόλῳ.

II. Verum die Decembris XXIV, circa vesperam, cum solenne natalium Christi Salvatoris celebramus, eumdem in Ætherea quoque palatii ædicula

Β'. Κατὰ μέντοι τὴν τοῦ Δεκεμβρίου τετάρτην καὶ εἰκοστὴν, περὶ δείλην ὀψίαν, ὁπότε τὴν γενέθλιον πανήγυριν ἑορτάζομεν τοῦ Σωτῆρος Χριστοῦ, ἀνεβί-

Variorum notæ.

(11) Stephanum Dusciannm ; de quo pluribus egimus in *Familiis Dalmaticis*, pag. 291. DUCANG.

(12) De quo in regum Bulgaricorum serie historica pariter egimus. DUCANG.

(13) Joannis coronatio prius a Cantacuzeno proposita , eo dilata fuerat, quod quidam dicerent haud æquum esse, patre imperatore paulo ante mortuo, filium agitare panegyrim, uti narrat idem Cantacuz. lib. III, cap. 9, quam tandem peractam a Joanne patriarcha hacce tempestate refert cap. 36, non indicato ejusce coronationis die, quem hic indicat Gregoras, 9 scilicet Novembris, qui, inquit, ἀνέορτος fuit, cum ad ejusmodi cæremonias festi ex præcipuis dies deligi solerent. DUCANG.

ἔχασε τοῦτον κἀν τῷ τοῦ παλατίου Αἰθερίῳ εἰκίσκῳ· ὅθεν καὶ οἱ πρὸ αὐτοῦ βασιλεῖς εἰώθεισαν τὴν τοιαύτην ἡμέραν προκύπτειν (14), ἀθροιζομένου τοῦ πλήθους τῶν Βυζαντίων, καὶ παντὸς τοῦ στρατοῦ, καὶ ἀνυμνούντων αὐτούς εὐχαῖς τε καὶ εὐφημίαις παντοίαις κάτωθεν, κατ' εἰκόνα τοῦ πάλαι θριάμβου Ῥωμαίων. Ἦν δὲ νῦν ὁ τοῦ δήμου κάτωθεν ἐξηχούμενος κρότος καὶ θόρυβος οὐκ εὐφημίαν ἔχων τοῦ βασιλέως ἀκήρατόν τε καὶ ἀμιγῆ· ἀλλὰ συνεκέκραστο καὶ ταῖς κατὰ τοῦ Καντακουζηνοῦ καὶ ἅμα ταῖς τῆς μητρὸς αὐτοῦ λοιδορίαις, λίαν οὔσαις αἰσχραῖς καὶ οὐ πάνυ τοι σώφρονος ἀκοῆς ἀξίαις, ὑποκάοντος τοῦ Ἀποκαύκου καὶ ἀναφλέγοντος δωρεαῖς ἀδροτέραις καὶ ὑποσχέσεσι τὴν τοιαύτην τοῦ πλήθους ὁρμήν.

A inauguravit; unde et ii, qui illum antecesserant, imperatores soliti erant eadem die prospectare Byzantiorum congregatam multitudinem totumque exercitum, qui et votis et omni lætarum acclamationum genere ex inferiori loco eos prosequebantur, ad veteris triumphi Romani exemplum. Erat autem plausus ac strepitus, quem tum e vel at infra populus, non mera ac simplex **617** sui erga imperatorem studii significatio; sed et convicia, tam in Cantacuzenum quam illius matrem, admista erant, fœdissima illa certe, nec sobriis auribus digna: ventilante Apocauco et incendente majoribus largitionibus ac promissis impetum plebis.

Γ'. Καὶ ἦν αὐτήκοος τούτων ἁπάντων ἡ τοῦ Καντακουζηνοῦ μήτηρ, δεσμωτήριον (15) οἰκοῦσα μεταξὺ τῆς βασιλείου αὐλῆς, ἔνθα τὸ ἄθροισμα τοῦ δήμου κατὰ ποταμοὺς συνέῤῥει καὶ συνεκροτεῖτο. Καὶ μέντοι καὶ τὴν καρδίαν σφόδρα ἐπλήττετο, καὶ στεναγμοὺς ἐκ βάθους ἀνέπεμπεν, ὥσπερ καπνοῦ θολεροῦς τε καὶ ὁμιχλώδεις, καὶ πολλὴν τὴν ἔνδον τῆς ψυχῆς πικρίαν τοῖς παρακαθημένοις ἀγγέλλοντας. Μεριζομένη γὰρ τὴν ψυχὴν πρός τε τὴν ἀφόρητον ἐκείνην τῶν λοιδοριῶν ἀκοὴν καὶ ἀναλογιζομένη πρὸς τίνων ταῦτα δραματουργεῖται, χθὲς καὶ πρώτριτα δούλου μοῖραν ἐχόντων πρὸς αὐτήν, καὶ ἅμα τὴν μνήμην ἀναφέρουσα ἐς τὰς ἐκ βρέφους τύχας καὶ τὸ τῆς ἡλικιώτιδος εὐδαιμονίας ἄνθος ἄχρι γήρως παραμεῖναν ἀκήρατον καὶ ἀκμάζον, καὶ παρατιθεῖσα ἐκεῖνα πάντως τοῖς νῦν ἀντιπάλοις καὶ ἀδοκήτοις τοῦ χρόνου φοραῖς, φέρειν οὐκ εἶχεν· ἀλλὰ πληγείσης σφοδρῶς τὴν καρδίαν, εἰς νόσον ἐτράπη τὸ σῶμα βαρεῖαν καὶ ὑπισχνουμένην ἔσεσθαι οἱ τοῦ βίου τὸ πέρας οὐκ εἰς μακράν.

B III. Ea vero omnia audiebat ipsa per se Cantacuzeni mater, quæ tum intra aulam palatii carcerem habitabat; quo torrentis instar confluebat et glomerabatur collecta populi turba. Ac sane illius cor vehementissimo dolore pungebatur, gemitusque edebat altissimos, qui fumi instar turbidi ac nebulosi amaritudinem, quæ plurima animo illius inerat, assidentibus indicabant. Partim enim convitiis illis intolerandis, quæ audiebat, animum advertens, et a quibus istæ tragœdiæ agerentur secum reputans, ab iis nempe, qui heri ac nudiustertius mancipiorum instar ei fuissent, partim memoriam repetens suæ inde usque a pueritia fortunæ felicitatisque illius sibi coævæ, cujus flos illibatus ac vigens ad senectutem usque permanserat, componensque ista omnia cum illis adversis atque inopinatis vicissitudinibus temporis, minime id ferre poterat. Corde itaque graviter vulnerato, corpus in difficilem morbum incidit, qui finem vitæ haud longe abesse pollicebatur.

C

Δ'. Ἐπιστάσης τοιγαροῦν καὶ τῆς τῶν Φώτων πανηγύρεως (16) μετὰ δύο καὶ δέκα ἡμέρας, καὶ τοῦ μὲν βασιλέως ὁμοίως αὖθις προκύπτοντος ἄνωθεν, τοῦ δὲ δήμου κάτωθεν τὰς ὁμοίας εὐφημίας καὶ λοιδορίας αὖθις ἐπικροτούντων, ἔκειτο ἡ Καντακουζηνὴ νεκρὸ (17) πρὸ τοῦ δεσμωτηρίου ἐῤῥιμμένη καὶ ἐπιλελησμένη. καὶ πάνυ [P. 585] τοι σφοδρῶς ἀπῳκισμένη τῆς πάλαι εὐδαιμονίας καὶ δόξης ἐκείνης. Ἔφθη γὰρ μικρὸν πρὸ τῆς τῶν σαλπίγγων ἠχοῦς τὸ ζῆν ἀποῤῥήξασα. Δείσασα γὰρ οἶμαι ἡ ψυχή, μὴ πρὸς τὴν τῶν ὁμοίων αὖθις ἐμπέσῃ λοιδοριῶν τριχυμίαν, συνεστάλη τε πρὸς ἑαυτὴν καὶ προαπεῤῥάγη τοῦ σώματος. Τὸ δ' ὅπως συγκεχώρηκε ταῦτα γενέσθαι Θεὸς, προϊόντες ἐροῦμεν πλατύτερον, στοχαζόμενοι καθόσον ἡμῖν ἐφικτόν.

D IV. Cum itaque et Luminum solemne post duodecim dies advenisset, atque imperator itidem deorsum prospectaret, populus autem ex inferiori loco similibus et acclamationibus **618** et convicis strepret, jacebat in carcere exanimis Cantacuzena, projecta atque oblivioni tradita, et a pristina felicitate suoque illo splendore quam longissime abdegata. Etenim vitam paulo ante tubarum sonum abrupit. Verita quippe anima, ut opinor, ne in similem recideret conviciorum æstum, contraxit se in semet, et priusquam id eveniret, e corpore erupit. Quomodo autem hæc fieri Deus permiserit, fusius infra declarabimus, quantum licebit nobis conjectare.

Ε'. Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε. Μετὰ γὰρ

V. Sed me illud pene præteriit. Paucis diebus

Variorum notæ.

(14) De ista in pervigilio Natalis Christi προκύψει silet Codinus, *De offic. palat.* cap. 6, n. 1, ubi de eo agit. DUCANG. — Vide Ducangii *Gloss. med. Græcit.* in v. Προκύψις. BOIVIN.

(15) Quo nempe translata fuerat, ut ait Cantacuz. lib. III, cap. 36, pag. 468, cum antea domi custodia adhibita observaretur, ut idem narrat cap. 22. DUCANG.

(16) Epiphania an. Chr. 1342, Januar. dies 6. Eo die Cantacuzenus ipse matrem suam obiisse testatur *Hist.* lib. III, cap. 36. Is est dies τῶν Φώτων seu *Epiphaniæ*. BOIVIN.

(17) Cujus obitum accidisse scribit Cantacuzenus filius, lib. III, cap. 36, pag. 469, 6 Januarii, indict. 10, anno ab orbe condito 6, 850, scilicet Chr. 1342. DUCANG.

post imperatoris obitum elapsis, cum rerum perturbatio nondum in lucem erupisset, sed concepta tantummodo esset ac deliberata, Cantacuzeni mater visa est sibi in somnis, sumpto in manus sacrosancto Evangelio, nihil omnino videre in eo scriptum, præter illa verba : « Hæc mutatio dextræ Altissimi » : idque aureis summaque elegantia exaratis litteris, a capite ad calcem ubique similiter : secumque agitare, quomodo liber ille, cum sacrum esset Evangelium, ne verbum quidem uspiam evangelicum exhiberet, sed paucula illa Davidis prophetæ. Id cum experrecta esset, amicis quibusdam exposuit : et quidem divinum aiebat esse oraculum, ac prædici sibi gloriosos optimosque exitus rerum suarum. Id autem non tale erat. Tamen hæc ita se habuerunt.

τὴν τοῦ βασιλέως τελευτὴν, οὐ πολλῶν ἡμερῶν μεταξὺ γενομένων, οὐδὲ τῆς τῶν πραγμάτων οὔπω συγχύσεως εἰς φῶς ἐκραγείσης, ἀλλ' ἐν ἀβύσσῳ ἔτι καὶ μελέταις κυοφορουμένης, συνέβη καθ' ὕπνους τῇ τοῦ Καντακουζηνοῦ μητρὶ, τὸ ἱερὸν δοκεῖν ἀνὰ χεῖρας Εὐαγγέλιον εἰληφυῖαν ἄλλο τῶν πάντων οὐδὲν γεγραμμένον ὁρᾷν, ἢ « Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου, » καὶ τοῦτο χρυσοῖς τε καὶ πρὸς ἅπαν κάλλος ἠσκημένοις γράμμασιν ὁμοίως ἀεὶ πανταχῇ· διαπορεῖσθαί τε καθ' ἑαυτὴν, πῶς ἱερὸν Εὐαγγέλιον ὂν μηδὲν μηδαμῇ τῶν εὐαγγελικῶν εἶχε ῥητῶν, ἀλλὰ μικρὰ τῶν τῷ θείῳ Δαβὶδ εἰρημένων. Τοῦτο ἀφυπνισθεῖσα διηγεῖτο πρὸς ἐνίους τῶν φίλων· καίτοι θείων ἔφασκεν εἶναι χρησμῴδημα, καὶ πέρας προαναφωνεῖν τῶν καθ' αὐτὴν πραγμάτων εὐκλεές τε καὶ πάνυ χρηστόν. Τὸ δ' ἦν οὐ τοιοῦτον· ὅμως ἔσχεν οὕτω ταυτί.

VI. Unum quidem illud omen fuit, quo magnæ illius et illustrissimæ domus eversio in somnis **619** ac de nocte prænuntiata est. Alterum vero et ipsum de nocte, non autem in somnis, sed vigilanti sese videndum obtulit, clarum manifestumque ostentum. Qui enim nobilibus et illustribus personis mos est, ut ad medias usque noctes cum iis pervigilent, a quibus quacunque de causa conveniuntur, is Cantacuzenæ in primis erat, utpote quæ dignitate supra omnes et splendore fortunæ eminebat, consiliisque et arcanis imperatoriis præerat. Qua consuetudine cum uteretur tunc quoque, et ad multam noctem colloquium esset productum, placuit ipsi pro foribus stare, et ab excelsa ædium turri lunam, quæ tum supra horizontem recens exsurgebat, contemplari, ut inde quota esset hora conjiceret. Nam cum circuli sui perigeum conversa repeteret, et jam rursus in secunda quadratura esset ad solem, acronycham lucem non prius terræ præbebat illo tempore, quam ad mediam noctem perventum esset.

Σ'. Ἓν μὲν δὴ τοῦτο σημεῖον ἦν, ὃ προανεφώνησεν ἐξ ὕπνων καὶ νυκτῶν τὴν τῆς μεγάλης ταυτησὶ καὶ περιφανοῦς οἰκίας καθαίρεσιν. Δεύτερον δ' ἐκ νυκτῶν μὲν καὶ αὐτὸ, μὴ ἐξ ὕπνου γε μὲν, ἀλλ' ἐξ ἐγρηγόρσεως φάντασμα θεαθὲν ἐναργῶς. Εἰωθὸς γὰρ τοῖς εὐγενείᾳ καὶ δόξῃ μεγάλῃ συζῶσι προσώποις, ἄχρι καὶ ἐς μέσας που νύκτας συνδιανυκτερεύειν τοῖς ὅσοι χρείας οἱασδηποτοῦν προτίασιν ἕνεκα, τῇ Καντακουζηνῇ τοῦτο μάλιστα πάντων προσῆν, ἅτε καὶ μάλιστα πάντων δόξῃ καὶ περιφανείᾳ προεχούσῃ, καὶ βουλῶν καὶ ἀπορρήτων προεστηκυίᾳ βασιλικῶν. Τῆς δὴ τοιαύτης ἐχομένῃ καὶ νῦν συνηθείας, καὶ πόρρω νυκτῶν γενομένης τῆς ὁμιλίας, ἔδοξεν αὐτῇ στᾶσαν πρὸ τῶν θυρῶν ἀφ' ὑψηλοῦ τοῦ πύργου τῆς οἰκίας θεάσασθαί τε τὴν σελήνην ἀνίσχουσαν ἄρτι τοῦ ὁρίζοντος καὶ τῆς ὥρας ἐκεῖθεν καταστοχάσασθαι. Τὸ γὰρ περίγειον ἐκ περιστροφῆς τοῦ οἰκείου ἐπαναλαμβάνουσα κύκλου (18), καὶ ἐς τετράγωνον αὖθις τῷ ἡλίῳ καθισταμένη τὸ δεύτερον ἤδη σχηματισμὸν, ἀκρονύκτους οὐ μάλα ἐβούλετο παρέχειν τῇ γῇ τὰς αὐγὰς, πρὶν ἐς μέσην ἀφικέσθαι τὴν νύκτα τηνικαῦτα τῶν χρόνον (19).

VII. Cum in hunc modum Cantacuzena illic staret et specularetur, ac simul de futuris magnopere esset sollicita, armatum equitem videt infra stantem, ac magnitudinem turris hasta metientem. Ejus rei subito et improviso aspectu territa convertit se retro, mittitque homines eum comprehensuros, qui tam alieno tempore talia moliretur, ac scisciaturos, quorsum ea facere et a quibus ei esset imperatum. Cum autem ii celerrime regressi affirmarent, neminem a se conspectum, nec viam **620** ullam esse, qua advenis et equitibus pateret accessus (clausas quippe omnes portas), tum vero illa perculsa est, et illud præsagium aliter interpre-

[P.386] Ζ'. Οὕτω δὲ στάσεώς τε καὶ σκέψεως ἔχουσα, καὶ ἅμα φροντίδων οὖσα τῶν μελλόντων πλήρης, ἔνοπλον ἱππέα τεθέαται, κάτωθέν τε ἑστῶτα τοῦ πύργου καὶ τῷ δόρατι σημειούμενον τὸ τοῦ πύργου μέγεθος· ὡς ἐκπλαγῆναί τε αὐτὴν τῷ αἰφνιδίῳ καὶ ἀπροσδοκήτῳ τοῦ φάσματος, καὶ συστραφεῖσαν ἐκπέμψαι τοὺς καθέξοντας τὸν ἐν ἀωρίᾳ τοιαύτῃ τοιαῦτα μηχανώμενον, καὶ ἀκουσομένους, ὅτου χάριν καὶ ὅθεν ἐκεῖνος ταῦτα δρᾷν προστεταγμένον εἴη. Ἐπεὶ δὲ τὴν ταχίστην παλινδρομήσαντες φάναι μηδένα τῶν πάντων ἑωρακέναι, μηδ' εἶναι πάροδον οὐδεμίαν, ὁπόθεν εἰσιτητά γε εἴη ξένοις καὶ ἱππόταις ἀνδράσι, τῶν θυρῶν ἁπασῶν κεκλεισμένων, ἤδη καταπλαγῆναί τε

Variorum notæ.

(18) *Nam cum circuli sui perigeum*, etc. Hæc interpretatio partim mea est, partim virorum astronomiæ peritorum, quos consului. Boivin.

(19) Verti, *acronycham lucem non prius terræ præbebat illo tempore, quam ad mediam noctem perventum esset.* Malim, *acronycham lucem non prius terræ præbebat, quam mediæ noctis tempus advenisset.* Boivin.

αὐτὴν καὶ, πρὸς ἄλλας ἐννοίας ἀνενεγκοῦσαν τὸ μάντευμα, λύπης πλησθῆναι καὶ δακρύων γενέσθαι ἐγγύς. A tata totam se tristitiæ tradidit, nec longe a lacrymis abfuit.

CAPUT XIV.

Cantacuzenum res adversæ non frangunt. Ejus nuntiis contumeliose a Byzantiis illuditur. Monachorum. interventu pacem petit, sed frustra. Ab Orestiadis primoribus vocatus eam urbem occupatum venit Fluvii interjecti repentino anctu bis repulsus re infecta discedit. Ejus prodigii ratio expenditur. Hostiles ultro citroque excursiones. Belli civilis mala. Ejus cum bellis externis comparatio facta a Cantacuzeno. Hujus fautores vana spe recreantur.

Λ'. Ἐγὼ δ' ἐκεῖσε ἐπάνειμι. Τῷ Καντακουζηνῷ γὰρ οὔτε πρὸς τοσαῦτα τὴν ψυχὴν κατενηνέχθαι ῥᾴθια τῶν δεινῶν συνηνέχθη, οὔτε πρὸς οὓς εὕρισκε συνεχῶς κατ' αὐτοῦ συσκευαζομένους λαθραίας καὶ ἄλλοτ' ἄλλας ἐπιβουλὰς ἀπηγορευκέναι, ἀλλ' ἑστάναι τῶν ἰδίων ὅρων ἐντὸς, ἀκλινεῖς τὰς πρὸς Θεὸν ἐλπίδας ὁμοίως ἀεὶ φυλάττοντι· καὶ γράφοντι μὲν ἀεὶ καὶ δεομένῳ λήγειν οὐκ ἦν οὐδαμῇ, κυρωθῆναι ὁπόσα περιὼν ὁ βασιλεὺς ἐνετέλλετο περί γε αὐτοῦ. Ἀλλὰ τῶν Βυζαντίων οὐδ' ἄκροις τῶν λεγομένων ἀκούειν θελόντων ὡσὶν, ὅτι μὴ καὶ τοὺς ἀγγέλους σὺν ἀτιμίᾳ καὶ κουρᾷ πομπευόντων (20) ἐπ' ἀγορᾶς καὶ δεσμοῖς καὶ εἱρκταῖς συγκλειόντων, τῷ δὲ οὐ διὰ γλώττης ἐγένετο λοιδορεῖν οὐδενὶ τῶν ἁπάντων. Οὐ μὴν οὐδὲ τοὺς ἐν τῷ ὄρει τῷ Ἄθῳ διαπρέποντας ἀρετῇ καὶ ἀσκήσει μεσίτας εἰρήνης ἀπηξίου γίνεσθαι. Ἀλλὰ καὶ τούτων ἐλθόντων, ἄπρακτοι ἔδοξεν ἡ σπουδή. Τὰ μέντοι χρήματα, καὶ εἴ τι κειμήλιον ἦν ἀμφοτέροις ἐκ πολλοῦ τεθησαυρισμένον, πάντα ἀνάλωται πρός τε ἄλλα τῶν κοινῶν καὶ πρὸς τὰς τῶν στρατιωτῶν χρείας.

1. At non Cantacuzeni animus (ego enim illuc redeo) tantis calamitatum fluctibus demersus est, nec insidiæ illæ perpetuæ et alias aliæ, quas in se clanculum strui comperiebat, effecere ut desponderet, sed intra suos limites stetit immotus, spesque in Deo defixas constantissime habuit, nec desiit unquam per litteras petere ac rogare, ut quæcunque imperator, dum viveret, de ipso mandavisset, confirmarentur. Cumque interim populus Byzantinus ne auribus quidem primoribus dicta acciperet, quin imo et nuntios ignominia affectos ac detonsos per forum traduceret vinculisque et carceribus coerceret; tamen hujus lingua nemini conviciabatur. Sed nec homines illos, virtute ac disciplina præstantes, qui montem Atho incolerent, sequestros pacis recusabat. Atque illi quidem venerunt; sed nihil diligens eorum studium effecit. Porro et pecuniæ, et si qua utrisque longo ante recondita supellex erat, tum in alios usus impendebantur, tum in ea quæ militibus necessaria erant.

Β'. Κρύφα γε μὴν συχνοὶ τῶν τῆς Ὀρεστιάδος προύχόντων (21), ἑταιρείαν πεποιηκότες, συνέθεντο περιελθόντι Καντακουζηνῷ τὰς πύλας ἀνοῖξαι, πρὶν αἰσθέσθαι τοὺς τυραννήσαντας δημότας, [P. 387] καὶ γράμματα ἔπεμψαν ἤδη καλοῦντες αὐτὸν, τὴν ταχίστην ἐλθόντα λαβεῖν ἀπονητὶ τὴν πόλιν. Καὶ ὃς εὐθὺς διαναστὰς τόν τε στρατὸν ὡπλισε καὶ τὸν Ἄγγελον Ἰωάννην (22), τὸ Παμφίλου (23) πολίχνιον ὀχυρώσαντα ὡς προσήκει, τάχιστα ἥκειν ἐπ' Ὀρεστιάδα διεμηνύσατο σὺν ἱππεῦσιν ἔγγιστα ὀγδοήκοντα.

II. At clam plerique Orestiadis primores conspiratione facta, constituerunt oberranti Cantacuzeno portas reludere, antequam plebeii, qui tyrannice dominabantur, eam rem perciperent: **621** et jam litteras ad eum miserant, hortantes ut quam celerrime adesset, urbem nullo labore capturus. Ille igitur motis confestim castris exercitum instruxit, Joannique Angelo mandavit, ut munito prout parcrat Pamphili oppidulo quamprimum Orestiadem veniret cum equitibus proxime octoginta.

Γ'. Καὶ δὴ συνελήλυθότων σφῶν ἐπὶ τὰς ὄχθας τοῦ παραῤῥέοντος τῇ Ὀρεστιάδι ποταμοῦ (24), χειμὼν τηνικαῦτα ὥσπερ ἐξ αὐτομάτου γέγονε τῆς νυκτὸς ἐκείνης μάλα πολύς· καὶ ὁ ποταμὸς ἐκεῖνος, ὥσπερ αἴσθησιν εἰληφὼς ἀπειλοῦντος Θεοῦ, ἀγριαίνων ἦν καὶ σφόδρα πλημμύροντα συνελαύνων ὑπὲρ τὰς ὄχθας τὰ ῥεύματα· ὥστε ἄπορον πρὸς διάβασιν εἶναι τοῖς τοῦ Καντακουζηνοῦ στρατεύμασιν. Ἡμέρας οὖν ἔγγιστα διατετριφότι περὶ αὐτὸν οὐκ ὀλίγας, οὐκ ἔληγεν ὁ χειμών· ἀλλ' ἦν ἑαυτῷ τὴν ὁμοίαν διηνεκῶς συντηρῶν ἀγριότητα. Ἀπειρηκότος δ' οὖν καὶ ἀπαλλαγέντος ἐκεῖθεν, ὅ τε χειμὼν ἐς τὴν ὑστεραίαν

III. Cum autem illi ad ripas fluvii Orestiadem præterfluentis convenissent, tempestas violentissima per illam noctem quasi sponte coorta est; fluvius vero, ac si sensum haberet aliquem irati Numinis, sævire ac multum supra ripas exundare cœpit, ita ut Cantacuzeni copiæ trajicere non possent. Itaque dies non pauci in proximo circa illum fluvium consumpti sunt, tempestate haud quiescente, sed eamdem sibi violentiam perpetuo retinente. Tandem re desperata cum inde abiisset Cantacuzenus, postera die tempestas sævire desiit, et paulatim fluvius proterviam illam ac ferociam remisit.

Variorum notæ.

(20) Rem narrat Cantacuzenus lib. III, cap. 33, pag. 456. DUCANG.

(21) Cantacuzen. lib. III, cap. 28, pag. 441. DUCANG. — Σύχνοι τῶν τῆς Ὀρεστιάδος προύχόντων. Ea est *Adrianopolis*. Codex Reg. 2784, fol. 527 v., ubi de urbium nominibus mutatis. Ὀδρυσὰς καὶ Ὀρεστιάς, ἡ νῦν Ἀδριανούπολις. Vide et Leonis Allatii notas ad Georg. Acropol. *Histor.* cap. 13, edit. Reg., pag. 231. BOIVIN.

(22) De quo in *Famil. Byzant.* egimus, pag. 259. DUCANG.

(23) Cujus urbis meminit Cantacuzenus, lib. III, cap. 30. Vide notata ad Villharduinum. DUCANG.

(24) *Hebri.* Vide Cantacuz. lib. III, cap. 30, pag. 448, 449. DUCANG.

Facto bis periculo, cum flumen eodem iterum tumore exundasset, sero denique cognitum est, non casu aliquo eas moras objectas, sed providentia divina quæ omnia facillime quocumque vellet traduceret, ac nunc obsisteret apertissime Cantacuzeni cœptis : atque inde fieri, ut et ipsa statim elementa magno irarum æstu ferventia indignarentur, quasi iratum dominum sentirent, eique qualenus famulos deceret obsecundarent, **622** suamque erga illum observantiam re significarent, illo scilicet noxio impetu violentissimaque remuneratione.

A ἐλώφα καὶ ὁ ποταμὸς ῥεῖμα ἐκείνης ὑφετο τῆς ὕβρεώς τε καὶ ἀγριότητος. Τῆς δὴ τοιαύτης πείρας δὶς ἤδη γενομένης, καὶ τῶν ποταμίων ῥευμάτων αὖθις ἐς τὴν ὁμοίαν ἐκείνην ἀναβρηγνυμένων ὑπερηφανίαν, ἔγνωσαν ὀψὲ, μὴ ἔκ τινος τύχης, ἀλλ' ἐκ θειοτέρας προνοίας εἶναι τὸ ἐνάντίωμα, ῥᾷστα μὲν τὰ πάντα μετασκευαζούσης ὅπη βούλοιτο, καὶ νῦν δ' ἀντιπραττούσης μάλα τοῖς τοῦ Καντακουζηνοῦ προφανῶς ἐγχειρήμασιν· ὡς ἔπεσθαι καὶ τὴν τῶν στοιχείων εὐθὺς ἀγανάκτησιν πολλῷ τῷ θυμῷ ῥέπουσαν, ὥσπερ αἰσθανομένων ὀργιζομένου τοῦ δεσπότου, καὶ συνεπιλαμβανομένων, ὡς δούλοις εἰκὸς, καὶ δεικνύντων ἔμπρακτον τὴν πρὸς τὸν δεσπότην τιμὴν διὰ τῆς βλαπτούσης ὁρμῆς καὶ μάλα τοι σφόδρα βιαίας ἀνταποδόσεως.

IV. Utrinque igitur interdum excurrentes, nunc aliqui ex Didymoticho milites, nunc ex Orestiade vicinisque oppidulis, multam inde huc prædam, B multamque hinc illuc abigebant. Neutri autem poterant vincere, atque ita finem contentioni imponere : sed frustra quidem instabant sibi utrinque. Urbes autem perpetuo conficiebantur a se invicem sensim atque paulatim. Et erat (ut videtur) placitum Deo ac cœlesti decreto sancitum, ut urbes attererentur, pecuniisque et honore et dignitatis gradu per civiles illos motus spoliarentur.

Δ'. Ἐπεκθέοντες δ' οὖν ἐκοτέρωθεν ἐνίοτε, νῦν μὲν ἐκ Διδυμοτείχου τινὲς τῶν στρατιωτῶν, νῦν δ' ἐξ Ὀρεστιάδος καὶ τῶν πέριξ πολιχνίων, πολλὴν μὲν ἐκεῖθεν ἐνθάδε λείαν ἤλαυνον, πολλὴν δ' ἐντεῦθεν ἐκεῖσε· νίκην δὲ καὶ τέλος ἐπιθεῖναι τῇ σπουδῇ, οὐκ ἦν οὐδετέρῳ κατ' οὐδετέρου· ἀλλ' ἐδίωκον ἀνήνυτα. Αἱ δὲ πόλεις ἐφθείροντο διηνεκῶς ὑφ' ἑαυτῶν ῥῆμα καὶ κατὰ μικρόν· καὶ ἦν, ὡς ἔοικε, βούλημα θεῖον καὶ ψῆφος ἄνωθεν κυρωθεῖσα, ἐκτριβῆναι καὶ γυμνωθῆναι τὰς πόλεις χρημάτων καὶ δόξης καὶ τάξεως ἐκ τῆς ἐμφυλίου ταυτησὶ στάσεως.

V. Et Cantacuzenus quidem civile bellum cum externo comparans, expendensque, quantum alterum ab altero distaret et excederetur : civile quidem bellum frigori calorique febricitantium; bellum vero externum calori æstivo frigoriqué hiberno simile esse dictitabat : alterum nempe ex his ab altero multum excedi. Frigori enim hiemis, quod C externum est, facile esse vestimentorum accessione atque ignis copia mederi; rursus calorem æstatis, utpote externum atque adventitium, subtractis vestimentis ac per ventorum flatus temperari posse : febres autem, utpote intrinsecus ex ipsis visceribus natas, rem esse indomitam atque ineluctabilem.

Ε'. Τῆς γε μὴν ἐμφυλίου μάχης καὶ ἀλλοφύλου τὸ ἐξαλλάττον καὶ ὑπερέχον ὁ Καντακουζηνὸς ἐξετάζων τὴν μὲν παροξυσμῷ καὶ πυρετῷ, τὴν δὲ θέρμῃ τι θέρους καὶ ψύξει χειμῶνος ἔλεγεν ἐοικέναι· [P. 388] καὶ εἶναι τὸ ὑπερέχον θατέρου πρὸς θάτερον μάλα πολύ. Τὴν μὲν γὰρ ἔξωθεν ψύξιν εἶναι καὶ προσθήκαις ἐνδυμάτων ἰᾶσθαι καὶ πυρὸς εὐπορίᾳ· καὶ αὖ τὴν ἔξωθεν ἐπεισόδιον θέρμην ἐνδυμάτων τε ὑφαιρέσει καὶ ἀνέμων πνοαῖς· τοὺς δ' ἔνδοθεν τικτομένους πυρετοὺς ἐξ ἐγκάτων δύσμαχον εἶναι καὶ μάλα ἀνανταγώνιστον χρῆμα.

VI. Ii porro, qui propter Cantacuzenum aut exsulabant, aut in vinculis erant, quique in urbibus tacite illi favebant, ii, inquam, omnes, vere appetente, spe erigebantur benigniorís in posterum fortunæ. Sed erant vanæ illorum spes. Illius enim res, ut vulgo aiunt de Mandrabola, quotidie in pejus procedebant.

Ϛ'. Οἱ δὲ διὰ τὸν Καντακουζηνὸν ἐξόριστοι καὶ δεσμῶται, καὶ ὅσοι λελῃθότως ἐν ταῖς πόλεσι τὰ ἐκείνου διετέλουν φρονοῦντες, μετέωροι ταῖς ἐλπίσιν ἦσαν ἔαρος ἐπισείοντος, εὐμενῆ καταστήσεσθαί σφισι τὴν τύχην. Ἀλλ' ἄρα ἦσαν μάταια τὰ τῶν ἐλπίδων. Ὡς γὰρ ἐπὶ Μανδραβόλου (25) τὰ ἐκείνου διηνεκῶς ἐχώρει.

CAPUT XV.

Præcipuarum urbium præfecti Theodorus Synadenus et Guido Armenius. Hujus ex Armenia migratio; uxores duæ. Hostilis animus in Cantacuzenum affinem, cujus et bona diripit et amicos vexat. Sinistra auguria. Solis ac lunæ defectus et colores. Arbores nive oppressæ et ramis exutæ.

623 I. Sed repetenda paulo altius rerum expositio, ut clariora auditoribus fiant, quæ sequuntur. Etenim Thessalonicæ et cæteris circum urbibus, ad Strymonem usque fluvium, præpositus erat Theodorus Synadenus protostrator : Serrhis vero, et D

Α'. Ἐπαναχτέον δὲ βραχὺ τὴν διήγησιν, ἵνα σαφέστερα γένοιτο τοῖς ἀκούουσι τὰ ἑξῆς. Θεσσαλονίκης μὲν γὰρ, καὶ τῶν πέριξ ἄχρι Στρυμόνος τοῦ ποταμοῦ πόλεων, ἦν ἐπίτροπος ὁ πρωτοστράτωρ Θεόδωρος ὁ Συναδηνὸς, (26) τῆς δὲ τῶν Σερρῶν (27) πόλεως, καὶ

Variorum notæ.

(25) Proverbium, de quo Zenobius, Diogenianus, Suidas, Michael Apostolius, et alii. DUCANG.

(26) Cantacuzen. lib. III, cap. 31, cujus alibi non semel meminit. DUCANG.

(27) Cantacuzenus Φερῶν legit, quam urbem in Thracia Thessaliæque finibus *Fere* hodie vocant Turci, ut scribit Leunclavius in priore *Onomastico Turcico*. DUCANG. — *Pheras* vocat Cantacuzenus; atque illud ejus urbis nomen primitus fuisse, indicat breve Urbium Onomasticon, quod exstat in cod. Reg. 2990, fol. 70, v., ubi inter alia legitur Φεραὶ, πληθυντικῶς αἱ Σέρραι, καὶ Φεραῖοι οἱ ἀπὸ ταύτης. BONN.

τῶν ἄχρι Χριστουπόλεως πολιχνίων, ὁ τοῦ θανόντος βασιλέως ἐξάδελφος, Γῆμ ὁ Ἀρμένιος(28)· ὃς πρὸ τεττάρων καὶ εἴκοσιν ἐτῶν μετάπεμπτος γεγονὼς ἐξ Ἀρμενίας εἰς Βυζαντίων ὑπὸ τῆς τοῦ πατρὸς ἀδελφῆς, τῆς βασιλίδος δηλαδὴ καὶ μητρὸς Ἀνδρονίκου τοῦ βασιλέως, συνεζύγη τῇ τοῦ Καντακουζηνοῦ ἐξαδέλφῃ, καὶ πολὺν αὐτῇ συνοικήσας χρόνον ἄπαις διέμεινε· θανούσης δ' ἐκείνης, συνεζύγη τῇ τοῦ Συργιάννου θυγατρὶ, ἐξ' ἧς καὶ παίδων ἐγεγόνει πατήρ. Ἦν δ' ἀεὶ τῇ πατρίῳ τῶν Ἀρμενίων θρησκείᾳ χρώμενος.

A omnibus Christopolin usque oppidis, defuncti imperatoris consobrinus Guido Armenius; qui quatuor et viginti ab hinc retro annis Byzantium arcessitus (arcessiverat autem eum patris sui soror, Augusta eadem et Andronici imperatoris mater) Cantacuzeni consobrinam uxorem duxit; et per tempus diuturnum, quo illam secum habuit, liberis caruit: mortua deinde illa Syrgiannis filiam secum matrimonio junxit, ex qua et liberos suscepit. In patri autem Armeniorum religione perseveravit.

Β'. Οὗτος οὖν ἕρμαιον τὴν τοῦ καιροῦ καὶ πραγμάτων σύγχυσιν εὑρηκὼς καὶ λημμάτων πρόφασιν κατέσχε τὰ ἐκεῖ τοῦ Καντακουζηνοῦ χωρία τε καὶ τὰς προσόδους, καὶ ζεύγη μυρία βοῶν, καὶ παντοίων ἄλλων ἀγέλας κτηνῶν, καὶ πάντα ἐξαργυρώσας πλεῖστα χρημάτων ἐκαρποῦτο βαλάντια. Πάντας δὲ τοὺς ὑπὸ τὴν ἐπιτροπὴν αὐτοῦ πλουσίους αἰτίαις καθυποβάλλων, ὡς εἶεν ὁμόφρονες δήπου τῷ Καντακουζηνῷ, αὐτοὺς μὲν ἐν φρουραῖς εἶχε· τὰς [P. 389] δὲ ὄφων οὐσίας ἤθροιζεν ὅλαις χερσὶν αὐτὸς ἑαυτῷ. Πάντα μὲν τοίνυν ὁπόσα ὁ χρόνος ἐκεῖνος ἔτεκε τὰ δεινὰ, ῥᾴδιον οὐκ ἂν εἴη διεξιέναι. Ἕνια δ' ἐν τοῖς λέγεσθαι μέλλουσιν ἄλλα ἄλλοθι κατασπειρόντων ἡμῶν, ἐξέσται δήπου καὶ τῶν λειπομένων ἐντεῦθεν τοῖς βουλομένοις καταστοχάζεσθαι.

B. Οὗτος οὖν ἕρμαιον τὴν τοῦ καιροῦ καὶ πραγμάτων σύγχυσιν εὑρηκὼς καὶ λημμάτων πρόφασιν κατέσχε τὰ ἐκεῖ τοῦ Καντακουζηνοῦ χωρία τε καὶ τὰς προσόδους, καὶ ζεύγη μυρία βοῶν, καὶ παντοίων ἄλλων ἀγέλας κτηνῶν, καὶ πάντα ἐξαργυρώσας πλεῖστα χρημάτων ἐκαρποῦτο βαλάντια. Πάντας δὲ τοὺς ὑπὸ τὴν ἐπιτροπὴν αὐτοῦ πλουσίους αἰτίαις καθυποβάλλων, ὡς εἶεν ὁμόφρονες δήπου τῷ Καντακουζηνῷ, αὐτοὺς μὲν ἐν φρουραῖς εἶχε· τὰς [P. 389] δὲ ὄφων οὐσίας ἤθροιζεν ὅλαις χερσὶν αὐτὸς ἑαυτῷ. Πάντα μὲν τοίνυν ὁπόσα ὁ χρόνος ἐκεῖνος ἔτεκε τὰ δεινὰ, ῥᾴδιον οὐκ ἂν εἴη διεξιέναι. Ἕνια δ' ἐν τοῖς λέγεσθαι μέλλουσιν ἄλλα ἄλλοθι κατασπειρόντων ἡμῶν, ἐξέσται δήπου καὶ τῶν λειπομένων ἐντεῦθεν τοῖς βουλομένοις καταστοχάζεσθαι.

II. Is igitur temporum ac rerum perturbationem quasi donum fortunæ insperatum nactus et lucri faciendi occasionem, quidquid habebat illic prædiorum ac vectigalium Cantacuzenus, detinebat, nec non infinita boum juga, et alia cujusquemodi pecora, conflatoque ex iis omnibus argento, maximam pecuniæ vim comparaverat. Idem quoquot in provincia, cui præerat, opulentissimi erant, eos in crimen adducebat, ut nimirum Cantacuzeno assentientes, atque ipsos quidem in custodiam dabat: eorum autem facultates plenis manibus sibi coacervabat. Sed calamitates, quas tempora illa pepererunt, facile haud sit omnes percensere. Quarumdam vero sparsim et subinde mentionem faciemus, ut quilibet facile inde possit cætera **624** conjectare.

Γ'. Προειληφέναι μέντοι καὶ προηγήσασθαι τῶν τοιούτων συνεπέπτωκεν σημεῖα κακῶν τά τε ἄλλα καὶ ἐπισκότησιν ἡλίου καὶ ἅμα σελήνης· πρό γε αὐτῆς μάλα τοι σφόδρα μεγίστην, περὶ ζῴδιον ἓν ἀμφοτέρας φημὶ τὸν Τοξότην· καὶ πρὶν ὅλον ἑξαμηνιαῖον ἐξῆκειν χρόνον ἐς τἀκριβές, ἑτέραν αὖθις συνεπέπτωκει γενέσθαι σελήνης ἔκλειψιν, περὶ τὸν Ταῦρον γενομένου σαφῶς τοῦ ἡλίου, ἧττω μὲν ἐκείνης, δακτύλων δ' οὖν ιδ' καὶ αὐτήν. Ἐκ τε οὖν τούτου, καὶ αὖ ἐκ τῶν περὶ τὰ τῶν φωστήρων πάθη φανέντων χρωμάτων, μεγάλων προαναφώνησι τοῖς βαθύτερον βλέπουσιν ἐγεγόνει δεινῶν.

C. Γ'. Προειληφέναι μέντοι καὶ προηγήσασθαι τῶν τοιούτων συνεπέπτωκε σημεῖα κακῶν τά τε ἄλλα καὶ ἐπισκότησιν ἡλίου καὶ ἅμα σελήνης· πρό γε αὐτῆς μάλα τοι σφόδρα μεγίστην, περὶ ζῴδιον ἓν ἀμφοτέρας φημὶ τὸν Τοξότην· καὶ πρὶν ὅλον ἑξαμηνιαῖον ἐξῆκειν χρόνον ἐς τἀκριβές, ἑτέραν αὖθις συνεπέπτωκε γενέσθαι σελήνης ἔκλειψιν, περὶ τὸν Ταῦρον γενομένου σαφῶς τοῦ ἡλίου, ἧττω μὲν ἐκείνης, δακτύλων δ' οὖν ιδ' καὶ αὐτήν. Ἐκ τε οὖν τούτου, καὶ αὖ ἐκ τῶν περὶ τὰ τῶν φωστήρων πάθη φανέντων χρωμάτων, μεγάλων προαναφώνησι τοῖς βαθύτερον βλέπουσιν ἐγεγόνει δεινῶν.

III. Horum certe malorum signa antecessere ac prævia exstitere tum alia, tum eclipsis solis et lunæ simul. Et hæc quidem prior accidit longe maxima: utraque autem circa idem zodiaci signum, nempe Sagittarium. Necdum semestre totum penitus exierat, cum alia rursus accidit lunæ eclipsis, sole Taurum evidenter ingresso; minor quidem hæc quam illa, sed et ipsa quatuordecim saltem digitorum. Et hoc igitur, et colores qui circa luminarium defectionem visi sunt, magnarum calamitatum præsagia altius inspicientibus habita sunt.

Δ'. Δεύτερον δὲ, τὸ τῆς δενδροτομίας. Περὶ γὰρ τὸν Ὑδροχόον, εὐθὺς μετὰ τὸν Αἰγόκερων, τοῦ ἡλίου γενομένου, νύκτωρ ἁπάσης ἀνέμων σιωπησάσης πνοῆς, κατερράγη πλῆθος χιόνος οὐ φορητόν· ὑφ' οὗ καταβαρυνθέντα τὰ τῆς βασιλευούσης τῶν πόλεων ἅπαντα δένδρα, καὶ ὅσα τῶν προαστείων αὐτῆς, τοσαύτην τὴν πτῶσιν ὑπέστησαν, ὥσθ' ἡμέρας γενομένης, καὶ τὸ νυκτερινὸν ἑρμηνευσάσης δεινὸν, ἰδεῖν ξένον θέαμα, κλάδου παντὸς ἀπωρφανισμένα τὰ μέσα τῶν δένδρων καὶ σκόλοψί τισιν ἐοικότα καὶ ξύλοις νεκροῖς.

D. IV. Alterum item signum fuit arborum excidium. Statim enim post Capricornum, cum sol in Aquario esset, silente omni ventorum flatu, effusa est noctu nivium copia non tolerabilis. Quo onere oppressæ omnes principis urbis arbores, et quæcunque erant sub urbe, tantam dedere stragem, ut die orto ac nocturnam cladem indicante, novum objiceretur oculis spectaculum; mediæ videlicet arbores omnibus ramis orbatæ, et palis quibusdam ac mortuis lignis similes.

Variorum notæ.

(28) *Guido Armenius*: Cantacuzeno (lib. I cap. 56), Συργιὴν τελεζιανο; eidem (lib. III, cap. 31): Συργὴ ντελενουζιάο: Gallice, *Sire Gui de Lusignan*, seu *de Lusignem*. Erat hic Andronici junioris ἐξάδελφος. Scilicet Andronicus junior matrem habuit *Mariam Armenam*, quæ et *Picta* et *Xene* dicta est. *Mariæ* autem nepos fuit ex fratre *Guido* iste, qui postea Armeniæ rex fuit, ἐκ πατρὸς προσηκούσης αὐτῷ κλήρου τῆς ἀρχῆς, inquit Cantacuzenus, *Histor.* lib. III, c. 49. Boivin.

CAPUT XVI.

De educendis carcere ambobus imperatricis Irenes fratribus Byzantii et Cantacuzeniani certant. Irenes prudentia et aliæ virtutes. Egregiam Cantacuzeno operam novat. Ut fratres ei conciliaverit. Cantacuzenus, Thessalonicæ invadendæ spe oblata per litteras Synadeni, Didymotichum uxori et Manueli Asani custodiendum committit. Polystylum instaurat et munit. Carolus Triballus perduellis; Strumnitzæ principatu potitus; Crali ipsi metuendus. A Romanis adulatur. Cantacuzeno suppetias venit; per Christopolitanas fauces transituro. Ducum et militum enumeratio.

1. Sed quoniam et de imperatrice Irene Cantacuzena, et de duobus illius fratribus, frequens a nobis habebitur mentio, eo quod illorum opera in præsenti temporum conditione propositoque argumento plurimum emicuit, illuc jam revertamur, unde nostra deflexit oratio. Tenebat eos jampridem **625** vinctos proximum Rhodope monti castellum Auderorum monasterii, imperatoris Andronici junioris jussu, ob crimen majestatis. Statim vero atque Didymotichi Cantacuzenus imperator pedes purpura inclusit, cum utrinque instrueretur manus hostilis, certamen exstitit de iis, utra pars prior carcere ipsos educeret, maximo futuros adversus alteram auxilio.

A Α'. Ἐπεὶ δὲ καὶ περὶ τῆς βασιλίδος Εἰρήνης τῆς Καντακουζηνῆς, καὶ τῶν δυοῖν αὐτῆς ἀδελφῶν (29), πολὺς ἡμῖν ἔσται προϊοῦσιν ὁ λόγος, τὰ μέγιστα ταῖς παρούσαις συμβαλλομένων τύχαις τοῦ χρόνου καὶ ὑποθέσεσιν, ἐς τὸ πρότερον ἔχνος τοῦ λόγου φέρε ἐπανακάμψωμεν. Εἶχε γὰρ δεσμίους αὐτοὺς (30) τὸ πλησίον ὄρους Ῥοδόπης φρούριον τῆς τῶν Αὐδήρων μονῆς ἐκ πολλοῦ, κελεύσει τοῦ βασιλέως Ἀνδρονίκου τοῦ νέου, ἐπ' ἐγκλήματι καθοσιώσεως (31). Ἄρτι δὲ Καντακουζηνοῦ τοῦ βασιλέως [P. 390] ἐν Διδυμοτείχῳ τὰ ἐρυθρὰ ὑποδησαμένου πέδιλα, καὶ τῆς πολεμίας χερὸς ἑκατέρωθεν παρασκευαζομένης, ἔρις ἐγένετο περὶ σφῶν, ὁποτέρῳ μέρει πρότερον γένοιτ' ἂν τῆς εἱρκτῆς ἐξελόντι συμμάχους ἔχειν κατὰ θατέρου κρατίστους.

II. Multæ itaque concursationes, multa colloquia intercesserunt. At cum illi verentur, ne vincula vinculis mutarent, leviora fortasse gravioribus, nec tuto possent alterutri parti confidere, Irene Augusta, multo judicio et solertia pollens, ac tantum in consultationibus sagacitate, quantum intelligentiæ vi et morum elegantia cæteris mulieribus præstans, brevi omnia præclare ordinavit. Prudentiam nempe insitam ac naturalem sortita, maritum imperatorem, quem ejusmodi discrimina circumstabant, efficaci maximoque juvabat auxilio. Itaque ei si non totam auctoritatem imperatoriam, at sane ejus longe maximam partem largita est. Ipsa quippe nunc blandioribus dictis labantes excitans animos eorum, quos imperator habebat secum cognatos et vere amicos; nunc larga manu opes effundens exsilii socias, aut potius magnarum illarum opum reliquias (quæ omnia planius postea a nobis explicabuntur), nunc omni saltem festinatione advolans, et per semet **626** ipsam firmas cautiones fratribus afferens, rediit quam celerrime, eos conjugi imperatori tempore opportunissimo secum adducens, sinceros et minime suspectos defensores.

B Β'. Πολλῶν τοιγαροῦν μεταξὺ γενομένων ὁρόμων καὶ λόγων, καὶ δεδιότων ἐκείνων, μὴ δεσμῶν ἀλλάξωνται δεσμὰ, κουφοτέρων ἴσως δεινότερα, καὶ μηδετέρῳ βεβαίως ἐχόντων μέρει θαρρεῖν, ἡ βασιλὶς Εἰρήνη, πολλὴν πλουτοῦσα τὴν σύνεσιν καὶ ἀγχίνοιαν (32), καὶ τοσούτῳ νικῶσα τῇ τῶν φρενῶν ἐν ταῖς βουλαῖς ὀξύτητι, ὅσον ἐν γυναιξὶ τῷ κράτει τῆς γνώσεως καὶ τῇ τῶν ἠθῶν ἁρμονίᾳ, πάντα καλῶς τὴν ταχίστην διέθετο. Φρόνημα γὰρ αὐτοφυές τε καὶ αὐτοχάλκευτον εἰπεῖν κεκτημένη ἔμπρακτον παρεῖχε τῷ συζύγῳ καὶ βασιλεῖ καὶ μεγίστην ἐν τοιαύταις γενομένῳ ταῖς περιστάσεσι τὴν ἐπικουρίαν· καὶ εἰ μὴ τὸ πᾶν αὐτῷ τῆς βασιλείας αὖθη κεχάρισται κράτος, ἀλλ' οὖν καὶ μάλα δήπου σφόδρα γε τὸ πλεῖστον μέρος· νῦν μὲν λόγοις ἐπαγωγοῖς ἀναζωπυροῦσα πεπτωκότα φρονήματα τῶν ἀμφὶ τὸν βασιλέα συγγενῶν καὶ φίλων ἀληθῶν· νῦν δ' ἀφθόνῳ χειρὶ τὸν ἐν ἐξορίᾳ συνέκδημον αὐτοῖς γεγονότα προϊεμένη πλοῦτον, ἢ μᾶλλον τὰ τῶν μεγάλων ἐκείνων πλούτων περιλειφθέντα λείψανα, καθὰ προϊοῦσιν ἡμῖν ἐναργέστερον πάντα λελέξεται· νῦν δ' οὖν ἁπάσῃ δραμοῦσα σπουδῇ, καὶ δι' ἑαυτῆς αὐτὴ βεβαίας παρασχομένη τοῖς ἀδελφοῖς τὰς ἐγγύας, τάχιστα μάλα καθ' ὥραν προσαγαγοῦσα, γνησίους καὶ ἀσφαλεῖς ἐπικούρους.

C ἐκανῆκε, μεθ' ἑαυτῆς αὐτοὺς τῷ συζύγῳ βασιλεῖ

Variorum notæ.

(29) De quibus egimus in *Famil. Byzant.* pag. 325, ubi Asaninam perstrinximus. DUCANG.

(30) De Manuele id testatur Cantacuzenus, lib. III, cap. 41, quem ait ἐν Βήρᾳ φρουρούμενον ὑπὸ κλοιοῖς fuisse: ex quo emendandus hoc loco Gregoras, qui locum vocat φρούριον τῆς Αὐδήρων μονῆς, et lib. XVI, cap. 1, τῶν Ἀδήλων μονήν, cum legendum sit Βήρας μονῆς. Est enim Βήρα, seu *Vera*, castrum in Thracia ad Hebri seu Marizæ ostium, haud procul ab Œno, ubi monasterium virginum exstitit, ab Isaacio Comneno Andronici tyranni patre olim exstructum, uti auctor est Nicetas in Andronico, lib. I, cap. 2, et in Isaacio Angelo, lib. IV, cap. 8; et et Cantacuzenus lib. III, cap. 26, 31, 34, 54; et lib. IV, cap. 42, quemadmodum a nobis observatum ad Villharduinum, n. D 201, a quo *l'Abbeïe de Veroisine* appellatur. DUCANG. — Τῆς τῶν Αὐδήρων μονῆς. Græci recentiores Αὔδηρα et Αὔδειρα scripserunt, pro Ἄβδηρα. Est autem *Abdera* oppidulum Thraciæ maritimum, Democriti patria. Cantacuzenus, lib. III, cap. 17 et cap. 26, uxoris suæ fratres, non in monasterio Αὐδήρων, sed in Castello Bera seu Vera inclusos ait: unde Ducangius Gregoram reprehendit; quem et libro XVI, cap. 1, Ἀδήλων μονὴν pro Βήρας μονὴν dixisse observat. Ego Gregoram lib. XVI, cap. 1, locum indicasse existimo plane diversum a Bera castello. BOIVIN.

(31) Vide supra lib. XI, cap. 2, sect. 5. BOIVIN.

(32) Cantacuz. lib. III, cap. 56, καὶ μεῖζον ἐκδειξαμένη ἢ κατὰ γυναικεῖον φρόνημα. DUCANG.

Γ'. Ἐπεὶ δ' ἐκ Συναδηνοῦ, ὃς τηνικαῦτα Θεσσαλονίκης ἐπετρόπευε, γράμματα ἐφοίτα συχνὰ, διεγείροντα τὴν ταχίστην αὐτὸν διαβάντα ἐς Μακεδονίαν ἐγκρατῆ Θεσσαλονίκης ἐκ τοῦ ῥᾴστου γενέσθαι· εἶναι γὰρ παρεσκευασμένον ἐξ ἐκείνου τουτὶ λαθραίαις σπουδαῖς ἐκ πολλοῦ. Διὰ δὴ ταῦτα καὶ ἅτμενος, τὴν Διδυμοτείχου (33) ἐπιτροπὴν παραδοὺς Εἰρήνῃ τῇ συζύγῳ καὶ βασιλίδι σὺν τῷ δελφῷ Μανουὴλ τῷ Ἀσάν, ἀφίκετ' εὐθὺς καὶ ὠχύρου τὸ φρούριον, ὃ Πολύστυλον ὀνομαζόμενον (34) πάλαι πρὸς θάλατταν νῦν αὐτὸς ἐξ οἰκείας δαπάνης συνεστήσατο παρὰ τὰς τοῦ Νέστου ἐκβολάς (35)· ὃς ποταμῶν τῶν ἐν Θράκῃ μέγιστος ἐκ τῶν τοῦ Αἵμου ὀρῶν ῥηγνύμενος ἀποπτύει τὸ ῥεῖθρον ἐς τὰ τοῦ Αἰγαίου πελάγους χράσπιδα.

A

III. Cum autem Synadeni, qui tum Thessalonicæ præerat, frequentes litteræ afferrentur, Cantacuzenum hortantes, ut quamprimum in Macedoniam transiret, Thessalonicam sub potestatem suam facili labore redacturus: esse enim illud jampridem a se occultis molitionibus præparatum: ob eam causam, cum uxori suæ Irenæ imperatrici, et ejus fratri Manueli Asani, Didymotichi præfecturam tradidisset, cupide statim proficiscitur, et castellum munit, quod Polystylum olim nuncupatum in maritima ora novissime ipse propriis sumptibus restituerat, juxta Nesti ostia, qui maximus Thraciæ fluvius ex Hæmo monte erumpens undam in maris Ægæi littus evomit.

Δ'. Ἄρτι δ' εἰς πέρας ἥκοντες τῆς οἰκοδομίας, ἀφῖκνεῖσθαι πλησίον ἤμελλε καὶ Χρέλης ὁ Τριβαλλός (36)· ὃς πρὶν ὑφ' ἡγεμόνι τελῶν τῷ τῶν Τριβαλλῶν ῥηγὶ, δι' αἰτίας οἱασδήτινας τὰ δεσμὰ τῆς ὑποταγῆς ῥήξας, οἰκείαν κατέστησεν ἀρχὴν ἑαυτῷ Στρουμμίτζαν (37), [P. 591] ὑπερνέφελον φρούριον, καὶ ὁπόσα περὶ Στρυμόνα τὸν ποταμὸν ἄχρι καὶ ἐς Ἀμφίπολίν ἐστι χωρία. Διὰ γὰρ τὴν τῶν Ῥωμαίων ἐμφύλιον στάσιν κολακευόμενος ὑπ' ἀμφοῖν τοῖν μεροῖν, φοβερός τις καὶ πάνυ τοι δυσεπιχείρητος τῷ Κράλῃ Σερβίας ἐγίνετο· καὶ ἦν οὕτωσί πως ἀπολαύων τοῦ χρόνου, κἂν τοῖς τῶν ἄλλων δυστυχήμασιν αὐτὸς εὐτυχῶν, κἀκ τῆς τῶν γειτόνων δυσπραγίας ἰδίαν εὐδαιμονίαν καρπούμενος. Συννοῶν δ' ἔμω ἔτι καὶ οὐ μάλα ἀνύποπτον τὴν εἰς τοὔμπροσθεν βασιλικὴν εὔκλειαν (38) ποιούμενος τοῦ Καντακουζηνοῦ, φίλος εἶναι καὶ σύμμαχος αὐτῷ διετείνετο (39). Ὅθεν καὶ ἐπειδὴ μιμησάμενοι τοὺς ἐν Θερμοπύλαις τριακοσίους ἐκ τῆς Σπάρτης, τὴν τοῦ Ξέρξου πάλαι παραφυλάττοντας ὁδὸν, προκατειλήφεσαν οἱ τοῖς Βυζαντίοις προσκείμενοι τὰ περὶ τὴν Χριστούπολιν στενὰ, καὶ σὺν ἐπιμελείᾳ μὴ πάνυ τοι ἐῤῥᾳθυμημένῃ καθήμενοι παρεφύλαττον νύκτωρ ἅμα καὶ μεθ' ἡμέραν, ὡς ἄβατον ἐντεῦθεν τῷ βασιλικῷ τοῦ Καντακουζηνοῦ στρατῷ γίνεσθαι, διαμηνυθὲν καὶ ὁ Χρέλης ἦκε Χριστουπόλεως ἔγγιστα, χεῖρα

B

IV. Vix ea ædificatio ad finem perducebatur, cum et Chreles Triballus prope affuturus fuit. Ille cum antea imperio Triballorum regis paruisset, nescio quas ob causas fidei vincula abruperat, et proprium sibi imperium fecerat; in Strumnitzam nempe, castellum ad nubes usque eductum, et quæcunque circa Strymonem fluvium oppida Amphipolin usque sita sunt. Etenim propter civile Romanorum bellum, cum utrique illum partes adularentur, formidandus Crali Serviæ et expugnatu difficillimus evaserat. Sic illa temporum conditione fruebatur, fortunatus **627** in aliorum infortuniis, et ex vicinorum calamitate propriam felicitatem velut fructum percipiens. Idem tamen cum imperandi gloriam, qua Cantacuzenus antehac floruerat, agnosceret etiamnum, et non omnino suspectum habere desiisset, amicitiam illius ac societatem studiose ambiebat. Cum itaque Byzantinarum partium fautores, imitati trecentos illos Lacedæmonios, qui Thermopylas, qua transiturus erat Xerxes, olim defenderant, vicinas Christopoli angustias occupassent, nec omnino indiligenter custodirent, noctu simul atque interdiu affixi, ita ut imperatori Cantacuzeno aditus illac præclusus foret, arcessitus et Chreles proxime Christopolin venit, manum militum non parvam adducens; operam videlicet suam col-

C

Variorum notæ.

(33) *Didymoticum*, hodie *Dimotuc*, oppidulum est in ripa Hebri fluminis, inter Adrianopolin et Trajanopolin situm. Vide Brietii Thraciam cum veterem tum novam. Cantacuzenus Didymoticho egressus est Martii die 5, indict. 10, ut ipse testatur *Hist.* lib. III, cap. 32. Boivin.

D

(34) Cantacuz. lib. III, cap. 37, auctor est eam esse urbem, quam Græci Ἄβδηρα vocabant, Democriti philosophi patriam, de qua rursum agit cap. 64. Ducang. — *Καὶ ὠχύρου τὸ φρούριον ὃ Πολύστυλον ἀνομαζόμενον πάλαι.* Ita etiam codex Vaticanus. Tamen deesse aliquid suspicor. Certe Cantacuzenus, quod oppidum suo tempore *Polystylum* dicebatur, illud ipsum ait *Abderam* dictum ab antiquis lib. III, cap. 57. Cum Cantacuzeno consentit Onomasticon urbium, quod exstat in cod. Reg. 2784, fol. 327 v. ubi legitur Ἄδδειρα, τὸ νῦν Πολύστυλον. Pro Ἄδδειρα legendum Ἄβδηρα. Vide quæ adnotavimus paulo supra (not. 30). Boivin.

(35) Ita rursum lib. XIII, cap. 1. fluvius, quem alii Νέσσον vocant. Vide observata a viro doctissimo Joanne Harduino ad lib. IV Plinii sect. 18, nota 54. Ducang. — Hodiernis geographis neque maximum Thraciæ flumen est, neque ex Hæmo monte oritur. Boivin.

(36) De quo Cantacuzenus lib. I, cap. 52; lib. III, cap. 31, 33, 38, etc. Ducang.

(37) Urbem Macedoniæ, quam Στρουμπίτζαν, et Στρουμπίτζαν promiscue vocat Cantacuzenus, de qua quædam attigimus ad Annæam Alexiadem, pag. 582 Ducang.

(38) Verti, *cum imperandi gloriam, qua Cantacuzenus antehac floruerat, agnosceret etiamnum*, etc. Malim nunc, *cum imperandi gloriam, quæ Cantacuzeno posthac futura esset, cogitaret etiamnum*, etc., eo præsertim quod apud Gregoram adverbium ἔμπροσθεν solet referri ad futurum tempus, non autem ad præteritum. Boivin.

(39) Cantacuz. lib. III, cap. 32 et 35. Ducang.

laturus, et pro virili effecturus, ut facilis esset imperatori ad urbem Thessalonicam transitus.

V. Et hæc quidem ita se habebant. Qui vero Didymotichi cum imperatrice Irene et ejus fratre Manuele Asane relicti fuerant, tam pedites quam equites, supra quingentos erant : duces autem duo; Manuel nempe Tarchaniotes, qui cognatione junctus erat imperatori, et Georgius Phacrases ; et post eos alii duo. Quorum omnium constantiam, atque in præliis fortitudinem et experientiam, singula rerum gestarum testimonia, procedente hac historia, luculenter ostendent. Quos vero secum hebebat imperator comites ulterioris expeditionis, ii erant, præter **628** illos qui arcubus et fundis ac talibus telis eminus ferientibus utebantur, lectorum quidem equitum non minus quam duo millia; cognati autem, aliique nobiles, et omne famulitium ipsorum, quingentorum proxime numerum explebant. Inter quos maxime eminebant primum duo imperatoris filii, Matthæus et Manuel : deinde Irenes Augustæ frater Joannes Asan et imperatoris consobrinus Joannes Angelus. Quorum omnium animum in periculis magnum et fortem, et res manu vel consilio præclare gestas, et tropæa ipsa bellica, suo sigillatim loco infra declarabimus.

Ε'. Τούτων δ' οὕτως ἐχόντων (40), οἱ μὲν ἐναπολειφθέντες ἦσαν ἐν Διδυμοτείχῳ μετὰ τῆς βασιλίδος Εἰρήνης καὶ τἀδελφοῦ Μανουὴλ τοῦ Ἀσὰν ἐνόπλιοι στρατιῶται καὶ ἱππεῖς πλέον ἢ πεντακόσιοι (41)· στρατηγοὶ δὲ δύο μὲν, Μανουήλ τε ὁ Ταρχανειώτης, τῶν συγγενῶν ὑπάρχων τις τῷ βασιλεῖ, καὶ Γεώργιος ὁ Φακρασῆς· καὶ μετ' αὐτοὺς ἕτεροι δύο. Ὧν ἁπάντων τὴν καρτερίαν, καὶ τὴν περὶ τὰς ἐνοπλίοις μάχας ἀνδρίαν καὶ ἐμπειρίαν, ἡ τῶν καθ' ἕκαστα πράξεων μαρτυρία προϊόντος τοῦ λόγου δείξει σαφέστατα. Οὓς γε μὴν ὁ βασιλεὺς ἑπομένους εἶχε, πρὸς ἣν ἀφηγεῖσθαι μέλλομεν ὑπερόριον ἐκστρατείαν, ἦσαν πλὴν τῶν ὅσοι τόξοις ἅμα καὶ σφενδόναις καὶ τοιούτοις ἐκηβόλοις ἐχρῶντο βέλεσι, τῶν μὲν λογάδων ἱππέων οὐκ ἧττους ἢ δισχίλιοι· τῶν δὲ συγγενῶν, καὶ τῶν ἄλλως εὐγενῶν ἀνδρῶν καὶ ἅμα ὁπόσοι τῆς σφῶν θεραπείας ἦσαν, ἐς τὸ ἔγγιστα τῶν πεντακοσίων ἀνῆγον τὸν ἀριθμόν. Ὧν ἔκκριτοι πάντων ὑπῆρχον μάλιστα οἵ τε δύο τοῦ βασιλέως υἱεῖς, Ματθαῖος καὶ Μανουήλ· καὶ μετ' αὐτοὺς ὅ τε τῆς βασιλίδος Εἰρήνης ἀδελφὸς Ἰωάννης ὁ Ἀσὰν καὶ ὁ τοῦ βασιλέως πρωτεξάδελφος Ἰωάννης ὁ Ἄγγελος (42). Ὧν ἁπάντων τὴν ἐν τοῖς δεινοῖς μεγαλοψυχίαν, καὶ ὁπόσα χειρὸς καὶ γνώμης ἐνεδείξαντο μεγαλοφυοῦς ἔργα καὶ τρόπαια, ἐν τοῖς καθήκουσι τόποις προβαίνων ὁ λόγος δηλώσει καθ' ἕκαστα..

Variorum notæ.

(40) Cantacuz. lib. III, cap. 32. DUCANG.

(41) Cantacuzeno χίλιοι πρὸς τοῖς ἐπιγενομένοις. Idem præterea ἐπὶ τῆς ἔξω Διδυμοτείχου συνοικίας, hoc est in *suburbiis* relictos alt octo duces, singulos sagittariis mille præfectos. *Hist.* lib. III, cap. 32. BOIVIN.

(42) Vel legendum Ἰωάννης Ἀσάνης, vel post Ἰωάννης addendum, ut apud Cantacuz. lib. III, cap. 32, καὶ ὁ Ἄγγελος. Neque enim Joannes Angelus frater fuit Irenes. Vide quæ de eo supra annotamus. DUCANG. — Codex Vaticanus plane habet, ut legendum esse admonuimus. Ita accepi ex doctiss. V. Lud. Targnio. BOIVIN.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ

ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΛΟΓΟΣ ΙΓ'.

NICEPHORI GREGORÆ

BYZANTINÆ HISTORIÆ

LIBER DECIMUS TERTIUS.

CAPUT PRIMUM.

Cantacuzenus Christopolitanas angustias ut evaserit. Circa Philippos castrametatur. Oblata ei auxilia a Carele : quem suspectum amice excipit; mox dimittit. Rhentinam in deditionem accepta, Thessalonicam ire cunctatur, suo more. Melenici castellum ei deditur. Parergon de occasione non negligenda. Item de Occasionis effigie. Synadenus et alii Cantacuzeno faventes, Thessalonica per seditionem pulsi, Gynæcocastrum se recipiunt. Guido Armeniacus Thessalonicenses armis adjuvat. Classis Byzantina, Apocauco duce, Thessalonicam appulsa. Cantacuzenus Gynæcocastrum usque progressus cum Synadeno colloquitur. Hic animum mutat, et illi insidiatur.

[P. 392] Α'. Λήγοντος δ' ἤδη τοῦ ἔαρος, ἅρας ὁ βασιλεὺς Καντακουζηνὸς ἐκ τῶν τοῦ Νέστου ποταμοῦ ἐκβολῶν, κἀξ εὐωνύμων ἀφεὶς τοὺς τὰ στενὰ τῆς Χριστουπόλεως παραφυλάττοντας, διὰ τῆς ἄκρας τοῦ ὄρους τὰς οἰκείας διεβίβασε δυνάμεις· μακροτέρᾳ μὲν καὶ ἐπιπόνῳ χρησάμενος τῇ πορείᾳ διὰ τὰς δυσχωρίας τῶν τε πέτρῶν καὶ φαράγγων καὶ τῶν ἐκ τῆς λόχμης ἐκείνης δένδρων καὶ ἀκανθῶν· διεβίβασε δ' οὖν, καὶ κατεστρατοπέδευσε περί που τὰ ἱππήλατα τῶν Φιλίππων, ἔνθα πάλαι Βροῦτος καὶ Κάσσιος ἐπολέμησαν Ὀκταβίῳ Καίσαρι.

Β'. Διαναπαύοντι δ' αὐτόθι τὴν στρατιὰν προσῆλθεν αὐτῷ καὶ ὁ Χρέλης (43), ἐγγυώμενος πάντα οἱ τὰ κατὰ βούλησιν ἅσμενος ἐκτελεῖν. Ὁ δὲ φίλον μὲν ἔχειν αὐτὸν ἔλεγε βούλεσθαι· τῆς μέντοι συμμαχίας αὐτῆς χρείαν ἥκιστα ἔχειν ἐν τῷ παρόντι. Ξυνενόει γὰρ αὐτὸν γλώττῃ μὲν ὁμολογεῖν αὐτῷ φιλίαν διὰ τὸν ἐνεστῶτα φόβον τῶν ὅπλων· τὴν δὲ γνώμην εἶναι μετέωρον καὶ καραδοκοῦντα σαφῆ καὶ αὐτοδίδακτα τῆς μάχης ὄψεσθαι τὰ τέλη. Ὅθεν λόγοις καὶ αὐτὸς χρησάμενος πρὸς αὐτὸν φιλίαν μακρὰν ἐπαγγελλομένοις, ἐπὶ πολλαῖς τε δεξιωσάμενος ταῖς ἡμέραις, εἶτα ἀπέλυσε χαίροντά τε καὶ γείτονα χρηστὸν τοῦ λοιποῦ καὶ αὐτὸν ἐπαγγελλόμενον εἶναι.

Γ'. Αὐτὸς δὲ μικρὸν ἐκεῖθεν προβὰς εἶλε καθ' ὁμολογίαν φρούριον Ῥεντίναν καλούμενον (44). Δέον δ' ὀλίγων ἐντὸς ἡμερῶν ἁπιόντα περιστρατοπεδεῦσαι

631 I. Exeunte porro jam vere, Cantacuzenus imperator, ab Nesti fluvii ostiis profectus, relictisque ad lævam iis qui Christopolitanas fauces custodiebant, suas copias per ipsum verticem montis transmisit; longiori quidem ac difficili usus itinere propter iniquitatem locorum, quæ et saxis aspera et confragosa erant et imminentis silvæ arboribus dumisque obstruebantur; transmisit tamen, et castrametatus est circa Philipporum planitiem, ubi **632** Brutus olim et Cassius cum Octavio Cæsare prælium conseguerunt.

II. Illic exercitum suum reficienti Chrélesi occurrit spondetque se, quidquid iste jusserit, libenter executurum. At hic amicum quidem habere eum velle se significat, non tamen ejus auxilio sibi in præsentia opus esse ullatenus. Intelligebat enim, eum lingua quidem amicitiam profiteri ob instantis belli metum, animi autem dubium pendere; exspectantem videlicet, quoad certum exploratumque pugnæ exitum intueretur. Quocirca verbis apud eum usus et ipse magnam profitentibus amicitiam, cum eum multos per dies comiter et benigne tractavisset, dimisit postea gaudentem, ac boni in posterum vicini officio functurum sese pollicentem.

III. Ipse autem non longe inde progressus castellum, cui Rhentina nomen est, in deditionem accipit. Unde cum deberet discedere, atque intra pau-

Variorum notæ.

(43) Cantacuz. lib. III, cap. 58. DUCANG.

(44) Oppidulum Thessalonica unius diei itinere distans. Cantacuz. ibid. et cap. 39, 45. DUCANG.

cissimos dies Thessalonicæ mœnia obsidere et tam armorum copia quam hominum robore circumvallare; ac Synadenum quidem illius urbis tunc præfectum, eosque qui cum illo sibi faverent, confirmare; eos vero, qui contra sentirent, ex improviso percellere: ipse nihilominus procrastinando quotidie tempus ibi terebat otiosus, non militarem, sed suum tum quoque usitatum morem retinens. Cum enim omnino nollet civium sanguinem effusum propriis videre oculis, tropæum constituere incruentum meditabatur: sedebatque **633** ideo exspectans, quoad Thessalonicenses dederent se sponte et ex pacto, metu fortasse compulsi. Interim tamen in deditionem accepit et Melenici validum prorsus atque expugnatu difficile castellum, Byzantinis pridem addictum: cui cum imperatricis Irenes fratrem Joannem præpositum reliquisset, copias Thessalonicam versus ducere jam parabat.

IV. Verum enimvero rapidissima temporis fuga cunctationi in rebus gerendis favere haud solet. Eoque admiratus sum sæpenumero pictores ac statuarios illos, qui celerem convertentis sese temporis lapsum arte exprimere cum volunt, hominem effingunt, occipiti quidem ex omni parte glabro; nec omnino tamen calvo capite, sed frontem hirsutam et comas ex ea promissiores exhibentem. Nam et alibi cum excellant, hic ipsam vocem tantum non assequuntur, quam quia colorum fuco exprimere minime possunt, ideo mutam sic ferme legis imaginem proponunt, et præconem tacitum perpetuo exhibent iis omnibus, quos vitam agere desidiosam non pudet; prædicantque clara pene voce, post terga euntibus non præbiturum esse Occasionem capillos arripiendos, sed lubricum, et magnam a voto aberrationem, ubi anterior ansa semel elapsa fuerit, et id de quo certabatur omne jam prorsus denegaverit.

V. Tum quoque igitur cum res longiori cunctatione dilata fuisset, incidit in suspicionem Synadenus fovendarum Cantacuzeni partium: inciderant et omnes qui cum eo milites erant, e lectissimi quique Thessalonicensium. **634** In quos populo vehementissime concitato, magna fit civilibus gladiis cædes in florenti et frequentissima civitate. Atque ipse fortasse Synadenus occubuisset, et cum eo omnes qui iisdem partibus studebant, nisi una ex portis effracta in arcem confugissent, quæ, ante urbem sita, Gynæcocastrum ab incolis nuncupatur et abest a Thessalonica ducentis stadiis.

τὰ τῆς Θεσσαλονίκης τείχη, [P. 393] καὶ περικρατῆσαι τῷ πλήθει τῶν ὅπλων καὶ τῇ ῥώμῃ τῶν ἀνδρῶν, καὶ ἐπιῤῥῶσαι μὲν τὸν ταύτῃς ἐπιτροπεύοντα τέως Συναδηνὸν, καὶ ὅσοι τοῦτῳ ταυτὰ σπουδάζοντες ἦσαν ὑπὲρ αὐτοῦ, καταπλῆξαι δ' ἐκ τοῦ παραλόγου τοὺς τἀναντία κατ' αὐτοῦ φρονοῦντας· ὁ δ' ἡμέραν ἐξ ἡμέρας παρακρουόμενος ἔτριβε τὸν χρόνον ἐνταῦθα καθήμενος, οὐ στρατιωτικὸν, ἀλλ' ἰδίων τρόπον αὐτοῦ καὶ συνήθη κἀνταῦθα τελῶν. Μηδὲ γὰρ ἐθέλων ὅλως ὁμόφυλον αἷμα χεόμενον τοῖς οἰκείοις θεάσασθαι ὀφθαλμοῖς ἀναίμακτον ἐζήτει στῆναι τρόπαιον. Διὸ καὶ περιμένων ἐκάθητο τὴν τῶν Θεσσαλονικέων ἴσως διὰ φόβον ἑκούσιον καὶ ὑπόσπονδον προδοσίαν. Μεταξὺ δ' ὅμως εἶλε καθ' ὁμολογίαν καὶ τὸ Μελενίκου πάνυ τοι ἐχυρὸν καὶ δύσμαχον φρούριον (45), Βυζαντίοις πάλαι προσκείμενον· καὶ τὸν τῆς βασιλίδος Εἰρήνης ἀδελφὸν Ἰωάννην ἐπίτροπον αὐτοῦ καταλελοιπὼς διὰ μελέτης ἤδη πεποίηται τὰς δυνάμεις ἄγειν ἐπὶ Θεσσαλονίκην.

Δ'. Ἀλλ' ἡ τοῦ χρόνου ταχίστη φορὰ βραδυτῆτα πραγμάτων οὐκ οἶδε φιλεῖν. Ἐμοὶ γὰρ τῶν ζωγράφων ἐκείνους (46) πολλάκις ἔπῆει θαυμάζειν, καὶ τῶν ἀνδριαντοποιῶν ὁπόσοι τῆς χρονικῆς περιόδου τὸ τάχος μιμεῖσθαι διὰ τῆς τέχνης ἐθέλοντες ἄνδρα ποιοῦσιν ὀπισθοφάλακρον μὲν ὡς ἐπίπαν, οὐ πάνυ δ' ἀναφαλαντίαν, ἀλλὰ μέτωπον προϊσχόμενον λάσιον καὶ κόμην ἐκεῖθεν μακρὰν καθειμένον. Τἄλλα γὰρ ὄντες σοφοὶ μόνης λείπονται φωνῆς ἐνταῦθα· καὶ ταύτην δὴ ταῖς τῶν χρωμάτων ἥκιστα μιμεῖσθαι δύνανται βαφαῖς· ὅθεν σιγῶσαν οὕτως πως ἱστᾶσι νομοθεσίας εἰκόνα, καὶ ἀνεκλάλητον κήρυκα πᾶσιν ἀεὶ διανέμουσιν, οἷς ἐῤῥᾳθυμημένον τὸν βίον ἀνύειν οὐκ ἔστιν αἰδῶς, μονονουχὶ βοῶντες, ὡς κρότπιν ἰοῦσι τριχῶν οὐ παρέξει λαβὴν ὁ Καιρὸς, ἀλλ' ὄλισθον καὶ ἀποτυχίαν τοῦ ποθουμένου μακρὰν, τῆς ἐμπροσθίας ἤδη τοῦ χρόνου λαβῆς παῤῥυηκίας καὶ ὅλως ἀπηγορευκυίας ἅπαν τὸ ἀμιλλώμενον.

Ε'. Κἀνταῦθα τοίνυν οὕτωσὶ τῆς βραδυτῆτος ἐκείνης ἐκτεινομένης, ὑπωπτεύθη μὲν ὁ Συναδηνὸς τὰ βασιλέως φρονῶν (47)· ὑπωπτεύθησαν δ' οἱ περὶ αὐτὸν ἅπαντες στρατιῶται, καὶ ὅσον τῆς Θεσσαλονίκης τὸ ἔκκριτον, καὶ κινεῖται κατ' αὐτῶν ὁ δῆμος ῥᾳδίως (48), καὶ γίνεται φόνος συχνὸς ἐξ ὁμοφύλων ξιφῶν ἐν εὐανδρούσῃ καὶ πολυανθρώπῳ πόλει (49). Καὶ τάχ' ἂν αὐτός τε ἐφθείρετο ὁ Συναδηνὸς καὶ σύν γε αὐτῷ πάντες οἱ ταυτὰ φρονοῦντες αὐτῷ, εἰ μὴ τῶν τῆς πόλεως μίαν καθελόντες πυλῶν εἰς τὸ πρὸ τῆς πόλεως καταπεφεύγεσαν φρούριον, ὃ Γυναικόκαστρον (50) μὲν πρὸς τῶν ἐγχωρίων καλεῖται, ἀπέχει δὲ Θεσσαλονίκης σταδίους διακοσίους.

Variorum notæ.

(45) Cantacuz. lib. III, cap. 37, 38, cujus alibi non semel meminit. Ducang.

(46) Eadem hæc infra repetet lib. XXII. Est etiam initium Panegyrici sacri εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας Θεοτόκου. Vide Indicem Operum Gregoræ Rhetoricorum. Boivin.

(47) Id ipsum notat Cantacuz. cap. 38, pag. 475. Ducang.

(48) Illi nempe, quos loco laudato ζηλώνας vocat Cantacuzenus, seu potius ita sese appellasse indicat, qui scilicet reipublicæ causam tuebantur, ὀνόμασι χρηστοῖς τὴν τῆς κακίας ὑπόθεσιν περιπέττοντες, inquit Gregoras hujus lib. cap. 10. Ducang.

(49) Vide *Gloss. med. Græc.* in v. Μεγαλόπολις, ubi quædam de Thessalonicæ amplitudine attigimus. Ducang.

(50) Munitio juxta Thessalonicam exstructa ab Andronico juniore, atque ita appellata, ὡς καὶ γυναικείας οὔσης φρουρᾶς, κρείττων ἐσομένη παν-

[P. 394] Ϛ'. Καὶ ἦν τὸ τῆς ὥρας τηνικαῦτα περὶ τὰς τοῦ θέρους ἀρχάς. Ἦκε δ' εὐθὺς ἐκ Σερρῶν καὶ ὁ Ἀρμένιος Γήμ (51) ἐς Θεσσαλονίκην, πολλὴν ἐπαγόμενος δύναμιν στρατιωτικήν, καὶ ἀνερρώννυεν ὅσον εἰκὸς τὸ τῆς πόλεως φρόνημα, κατενηνεγμένον ὑπὸ τῶν αὐτῇ περιστάντων κινδύνων. Τούτων δ' οὕτως ἐχόντων, κατέπλευσε καὶ ὁ ναυτικὸς ἐκ Βυζαντίου στόλος παρὰ τὸ τῶν Θεσσαλονικέων ἐπίνειον, ναύαρχον ἔχων Ἀλέξιον τὸν Ἀπόκαυκον (52) καὶ πλέον ἢ πεντήκοντα τριηρῶν ὅπλα καὶ δύναμιν, ὥσπερ ἐξ αὐτομάτου συμπεπτωκότων οὕτωσὶ τῶν πραγμάτων ἐπ' εὐδαιμονίᾳ Θεσσαλονίκης.

VI. Erat porro tunc initium fere æstatis. Statim vero et ipse Serrhis Thessalonicam venit Guido Armeniacus, magnas secum adducens copias, roboravitque, ut par erat, civium animos, quos pericula undique impendentia fregerant. Hæc cum ita se haberent, appulit et Byzantina classis ad portum Thessalonicensem, duce Alexio Apocauco, triremium plus quam quinquaginta, armis copiisque instructa, rebus quasi sponte eo deductis ad Thessalonicæ felicitatem.

Ζ'. Ἅρας δ' ἐκ τῆς στρατοπεδείας ἐκείνης ἤδη καὶ ὁ βασιλεὺς ἦκε παρὰ τὸ Γυναικόκαστρον, καὶ ἥνωται τῷ τε Συναδηνῷ καὶ τοῖς ἀμφ' αὐτὸν φυγάσι τῶν Θεσσαλονικέων στρατιωτῶν. Κοινολογησαμένων δὲ πρὸς ἀλλήλους ὁπόσα εἰκὸς, ἐπειδὴ ἐμεμαθήκει τὸ τελευταῖον ὁ Συναδηνὸς, σκεύη μέν τινα χρυσᾶ τε καὶ ἀργυρᾶ, λίθοις καὶ μαργάροις ὁμοῦ περιηνθισμένα, ἐπιφερόμενον τὸν βασιλέα, χρημάτων δ' οὐδὲν, ὁπόσα στρατιώταις εἰσὶν ἐφόδια πρόχειρα πρὸς διανομὴν καὶ λῆψιν τῶν ἐπιτηδείων, πρύμναν τε ἐκρούσατο καὶ τὴν γνώμην εὐθὺς μετέθετο (53), ἐς ἀπόγνωσιν τὸν οἰκεῖον πίπτοντα βλέπων στρατὸν ὑπ' ἐνδείας τῶν ἀναγκαίων, καὶ ἅμα γραφαῖς καὶ χρημάτων καὶ τιμῶν ὑποσχέσεσιν ἐνδιδόντας, ὁπόσαι λάθρα καὶ συχνὰ πρὸς τοῦ Ἀποκαύκου σφίσιν ἐπέμποντο. Καὶ ἦν καιροφυλακῶν ἐξ ἐκείνου καὶ ὥραν ζητῶν, ἐν ᾗ ἂν ῥᾷστα συνειληφὼς αὐτὸν δέσμιον παραδοίη τῷ Ἀποκαύκῳ. Οὕτως ἀμφιβρεπὴς καὶ ἄστατος ἦν τὴν γνώμην ἀεί.

VII. Demum et ipse imperator, castris inde motis, ad Gynæcocastrum accessit, et Synadenum, eosque ex Thessalonicensibus militibus, qui circa illum fugitivi erant, convenit. Ibi cum inter se quantum par erat collocuti essent, intellexit tandem Synadenus, vasa quidem aurea argenteaque nonnulla, lapillis circum ac gemmis distincta, portari ab imperatore; nihil autem earum pecuniarum, quæ militibus parata sunt congiaria, ad distributionem perceptionemque rerum necessararium. Quamobrem inibuit illico et sententiam mutavit, cum **635** videret proprios milites ex rerum omnium penuria in desperationem labi, et litteris simul pecuniarumque et honorum promissionibus corrumpi, quæ ad eos clam et crebro ab Apocauco ventitabant. Eratque ex eo totus in aucupanda opportunitate quærendoque tempore, quo illum facillime comprehensum Apocauco vinctum traderet. Adeo ille vacillabat semper animique erat inconstantis.

CAPUT II.

Synadeni insidiæ deprehensæ. Tumultus in castris. Cantacuzenus dispersos milites cogit. Acie instructa Apocaucum exspectat, suos quoque instruentem, at congredi non audentem. Pedetentim et composite recedit ad Triballos, exteris magis quam popularibus suis confisus. Ubinam pernoctarit. Legatos ab eo ad Cralem præmissos homo Triballus comprehendit et ad Apocaucum deducit. De Liberio Triballo; cur nuntius ad eum missus. Exercitum transeuntem rustici lacessunt. Liberius Cantacuzenum hospitio excipit. Hic hospiti vasa pretiosa dono dat. Generum eidem pollicetur Manuelem filium. Crali per litteras commentatus Scopiam venit, ad Axium flumen. Tolerabili hospitio contentus illic cum exercitu subsistit. Cralem postridie convenit. Mutuæ salutationes. Dispar utriusque magnificentia.

[P. 395] Α'. Θέρους μὲν οὖν ἐνειστήκει καιρὸς (54), καὶ ὁ Συναδηνὸς Θεόδωρος ἐπιβουλεύων πεφώραται· καὶ ἅμα θόρυβος ἀνὰ πᾶν τὸ τοῦ βασιλέως στρατόπεδον ἦν, καὶ ὑποψίαι καὶ ἁρπαγαὶ κατ' ἀλλήλων καὶ δι' ἀλλήλων, καὶ ἀτέκμαρτος ἀκοσμία. Ἤδη γὰρ καὶ ἡ τῆς τοῦ Ἀποκαύκου στρατιᾶς παρεδείκνυτο ἔφοδος. Καὶ τάχ' ἂν πρόχειρος τοῦτο ἦν ᾗδης τῷ βασιλεῖ τηνικαῦτα καὶ τελευταῖος ἥλιος, εἰ μὴ τοῦ προφανοῦς αὐτὸν ὑπὲρ ἐλπίδα πᾶσαν ὁ Θεὸς ἐξείλετο κινδύνου. Τοῦτον γὰρ ἐκ μέσης ψυχῆς ἐπικαλεσάμενος, καὶ ἅμα θαρρεῖν ἑαυτῷ παρακαλεσάμενος, τὸ ἀναλητικὸν τὰς σάλπιγγας ἐκέλευσεν ἀνακρούσασθαι· καὶ συνέῤῥει τὸ στρατιωτικὸν περὶ αὐτὸν εὐθὺς, ὅσοι μὴ δι' ἀσθένειαν λωποδύταις ἄλλοι ἄλλοις ἐν τοσαύτῃ περιπεσόντες συγχύσει γυμνοὶ διεσπάρησαν ἄλλοι ἄλλοσε.

I. Aderat itaque æstivum tempus, cum Theodori Synadeni insidiæ deprehensæ sunt: simulque exstitere per totum imperatoris exercitum turbæ, et suspiciones, et mutuæ direptiones, et cæca rerum perturbatio. Jam enim et Apocauci copiarum significabatur adventus, et hic fortasse exitiabilis atque extremus imperatori dies fuisset, nisi cum ex evidenti periculo præter spem omnem Deus exemisset. Quem ille ex intimo corde cum invocasset, seque ipse confidere jussisset, receptui tubas canere imperavit; et confluxere milites ad eum statim omnes, præterquam ii qui in tanta trepidatione in latrones alii alios cum incidissent, ob imbecillitatem virium dispersi fuerant alii alio nudi.

Variorum notæ.

τοίας πολεμίων προσβολῆς, Cantacuz. II, 38. DUCANG.

(51) Cantacuz. lib. III, cap. 38, pag. 477. DUCANG.

(52) De Apocauco hic silet Cantacuzenus. DUCANG.

(53) Cantacuz. lib. III, cap. 40. DUCANG.

(54) Cantacuz. lib. III, cap. 39. 40. DUCANG.

II. Itaque imperator maximam optimamque copiarum suarum partem circa se glomeratam videns, in ordines et cohortes dividit; in dextrum sinistrumque cornu distribuit; mediam phalangem non tam in profundum quam in longum et angustum extendit, propter **636** hominum paucitatem; duces iis præficit Joannem Angelum eosque omnes, qui proximi tum rei bellicæ experientia tum cognatione erant. Deinde hostium adventum immotus exspectat. Aciem enim ex adverso instruebat et Apocaucus: manum autem cum illis conserere non admodum audebat, cum videret eos qui imperatorem armati circumstabant, bellico ardore plenos et eo redactos desperatione, ut ad effundendam animam parati essent.

III. Paulatim itaque conversus imperator ad Triballos instructa acie sese recipiebat, malo evidenti præferens malum incertum. Ad externas enim quasdam gentes qui in calamitate sponte sua confugerint, eorum conditionem plurimum scimus valuisse sæpenumero ad misericordiam ex verecundia excitandam: cum illæ nationes vererentur fortasse et divinam indignationem, et existimationem hominum, quæ vim quamdam arcanam habet persuadendi plerisque nescio quomodo, ut eorum qui antea floruerint, misereantur; tum videlicet, cum relata est retro fortuna, nec gradum invidiæ obnexium immota tenuit, tenerrimis talis male fulta. Cives autem, ubi semel fas abruptum est, implacabiles ut plurimum exsistunt, in iram ac civium cædem effusi.

IV. Celerrime itaque spatium interjectum cum transcurrisset, circa ferme illos fines, quos adversa fortuna ademptos Romanis ad Triballos transtulerat, per totam commoratus est noctem, illud Leonidæ Spartani, qui ad Thermopylas pugnavit, apud familiares suos usurpans, converso verborum ordine: «Adeste hic cœnemus, ut in Orco prandeamus.» **637** Ac postera quidem die mittit quamprimum ad Cralem Serviæ, qui casus illius tragici certiorem eum faciant, ac misericordiam illi moveant, quatenus par est, rerum humanarum infidelitate et fragilissima conditione ei commemorata. Incertum quippe ac minime determinatum esse, ad quos vicissitudines illæ sint perventuræ; et oportere in miseros proclivem ac benignam esse eorum voluntatem, quorum res secundæ sint: extimescendos nempe inopinatos fortunæ ictus et alternantium casuum labyrinthos; cum id rebus semper a natura insit, ut exitum potius improvisum habeant, quam eum qui sit prævisus, et infelicem potius quam felicem. Sed unus ex iis Triballis, qui Romanis illic proximi degebant, cum in insidiis juxta viam collocasset quosdam ex suis,

Β'. Ἐπεί γε μὴν ὁ βασιλεὺς ἐθεᾶτο περὶ αὐτὸν τῆς δυνάμεως τό τε πλεῖστον καὶ βέλτιστον ἀθροιζόμενον, εἰς τάξεις διῄρει καὶ φάλαγγας, καὶ διέταττεν εἴς τε τὸ δεξιὸν καὶ τὸ εὐώνυμον κέρας· τὰ μέσα τῆς φάλαγγος οὐ τοσοῦτον εἰς βάθος, ὅσον εἰς μῆκος ἐκτείνων λεπτότερον, διὰ τὴν ὀλιγανδρίαν· καὶ τούτοις ἐπιστήσας στρατηγοὺς Ἰωάννην τὸν Ἄγγελον, καὶ ὅσοι αὐτῷ παραπλήσιοι τήν τε πολέμιον πεῖραν καὶ τὴν τοῦ γένους ἦσαν ἐγγύτητα, τὴν τῶν ἐναντίων ἵστατο περιμένων ἔφοδον. Ἀντιπαρετάττετο μὲν γὰρ ἐκ θατέρου καὶ ὁ Ἀπόκαυκος. Εἰς χεῖρας δ' ὁμόσε ἰέναι σφίσιν οὐ μάλα ἐτόλμα, τοὺς περὶ τὸν βασιλέα βλέπων ὁπλίτας πολὺν τὸν ἐν τῇ μάχῃ θυμὸν πνέοντας καὶ ἅμα τὴν ψυχὴν ἐξ ἀπογνώσεως ἑτοίμως ἔχοντας ἀφιέναι.

Γ'. Ὅθεν ἡρέμα συστραφεὶς ἀπῆει συντεταγμένος τὴν ἐπὶ Τριβαλλοὺς ὁ βασιλεὺς (55), τοῦ προδήλου κακοῦ τὸ ἀμφισβητούμενον προελόμενος. [P. 396] Τῶν γὰρ ἀλλοφύλων ἐνίοις ἴσμεν πολλάκις τὴν ἐκ περιστάσεως ἐκούσιον καταφυγὴν δυσωπητικωτέραν πως γινομένην πρὸς οἶκτον, νέμεσιν ἴσως δεδιόσι δήπου θειοτέραν καὶ ἀνθρωπίνην αἰδῶ· ἢ φύσιν ἀπόῤῥητον ἔχει τινὰ, πεῖθειν τοὺς πλείστους ὁπώσποτε δυναμένην, τοὺς προηυτυχηκότας οἰκτείρειν, ὅταν ὁ βίος αὐτοῖς ἐς τἀναντία χωρήσῃ, καὶ μὴ ἐν τῷ φθονουμένῳ τῆς τύχης ἀσαλεύτους ἔχῃ τὰς ἄβρὰς κρηπῖδας. Τὸ δ' ὁμόφυλον, ἅπαξ τοῦ εἰκότος ἀποῤῥαγέν, ἀνήκεστον ὡς τὰ πολλὰ καθίσταται πρὸς ὀργὴν καὶ χύσιν αἵματος συγγενοῦς.

fucata : ac talis adveniens, qualis iis qui nimio so-
lis ardore torrentur zephyri aura refrigeratrix. Et
hæc quidem ita se habuerunt.

λέως, πεμφθεὶς ἐκ Διδυμοτείχου πρὸς τῆς βασιλίδος
Εἰρήνης· οὐ γὰρ ἦν ἐρεμεῖν ἀγνοοῦσιν ὅποι τὸ
τῆς βασιλείου τύχης τε καὶ συμφορᾶς εἰπεῖν τραγῳ-
δικῆς ἐκεχωρήκει πρᾶγμα· δι' ὃν πολλούς τε ἀνη-
τλήκασι μόχθους καὶ βίας καὶ ἔτ' ἀντλεῖν ἔμελλον.
Διὰ δὴ δέος οὗτος τὴν εὐθεῖαν καταλιπὼν ἐπὶ τὰ
εὐώνυμα ἀνοδίαις τε διετέλεσε χρώμενος καὶ πρὸς
χωρία παραβαλλόμενος ὑψηλὰ καὶ δυσπόρευτα, ἕως
ὑπερβαλὼν τὸ ὄρος τὸν Αἷμον ἔλαθεν εἰς τὴν Τρι-
βαλλῶν ἐκπεπτωκὼς γῆν ἀθῴως κακῶν. Ἔνθα τὸν
βασιλέα ζητήσας τε καὶ εὑρών, καὶ ὅσα εἰκὸς ὠμι-
ληκώς, τάχιστα ἐπανῆκεν εἰς Διδυμότειχον, ἀγγε-
λίας κομίζων τοῖς τε ἄλλοις καὶ μάλιστα πάντων
Εἰρήνῃ τῇ βασιλίδι σφόδρα ἀϊτηθεὶς καὶ ἀκαπηλεύ-
τους, καὶ δόξας ὥσπερ ὑφ' ἡλίῳ μάλα καομένοις
ζέφυρός τις ἀναψύξεως. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε
τὸν τρόπον.

CAPUT V.

Alkama ad Serrhas Cantacuzeni expeditio irrita. Didymotichum usque transire eum non sinit Triballorum pusillanimitas. Ad Cralem invitus redit. Comitem secum ducit Joannem Asanem, jussum Chreli tradere arcem Melnicii. Legati Berrhœenses, Crale iniquas conditiones proponente,, cum Cantacuzeno clam agunt. Hic Berrhœam ex pacto ingreditur. Cralis inconstantia. Melior ex eo Cantacuzeni fortuna. Triballinus dedicit se elusum. Pactionum memor bellum indicere non audet.

I. Vere autem ineunte coactas iterum copias im-
perator duxit ad Serrhas urbem, et quæcunque
castella occurrunt Philippos usque castella ac pro-
pugnacula. A, ubi tentata res est pari infelicitate,
obstante minime divino numine, visum est ipsi
transire, si posset, Didymotichum usque, ut eos a
quibus vehementissime desiderabatur videret, et
ab iis videretur. Sed quia Triballi, quos secum
habebat socios ac fœderatos, audientes magnam
esse hostium manum in insidiis collocatam apud
Constantinopolitanas fauces, ultra ituris oppositas,
ejus voluntati obstiterunt timiditate ac metu; cum
ea ultro ignaviores essent et longinquis expeditio-
nibus non admodum gauderent; idcirco regressus
ea iterum in Triballorum fines, invitus quidem et
plurimus doloris faces suo ipse cordi admovens,
ea quod minime ei **654** ex sententia res succe-
debant. Rediit tamen retro ad urbem usque Strum-
mizam, et quæcunque illac aperta atque equita-
biliora loca sunt; ubi et Crales Serviæ tum forte
versabatur.

[P. 407] Α'. Ἥρος δ' ἀρχομένου τὰς δυνάμεις αὖ-
θις ἀναλαβὼν ὁ βασιλεὺς ἦγεν ἐπὶ τὴν πόλιν Σερ-
ρῶν (75), καὶ ὅσα πέριξ εἰσὶ φρούρια καὶ πυργώ-
ματα μέχρι Φιλίππων. Κἄπειδὴ πεῖραν προσάγων
ἐν τοῖς ὁμοίοις ἦν ἀτυχήμασιν, ἐμποδὼν ὡς ἔοικεν
ἱσταμένου τοῦ θείου βουλήματος, ἔδοξεν αὐτῷ δια-
βαίνειν εἰ δύναιτο μέχρι καὶ ἐς Διδυμότειχον, τοὺς
μάλα ποθοῦντας ὀψόμενός τε καὶ ὀφθησόμενος (76).
Ἐπεὶ δὲ τοῖς περὶ αὐτὸν ἐπικούροις τε καὶ συμμά-
χοις Τριβαλλοῖς, ἀκηκόασι πολλὴν εἶναι τὴν ἐφε-
δρεύουσαν τῶν ἐναντίων δύναμιν περὶ τὰ πρόσω
στενὰ τῆς Χριστουπόλεως, ἀνθίστασθαι συνέβαινε
πρὸς τὸ δόγμα διὰ δειλίαν καὶ δέος, καὶ ἄλλως
βλακικωτέροις οὖσι καὶ τὰς ὑπερορίους οὐ σφό-
δρα ἀγαπῶσιν ἐκστρατείας, ὀπίσω ἀπῄλλαττεν αὖ-
θις ἐς τὰς τῶν Τριβαλλῶν νομὰς καὶ αὐτός, ἄχων
τε καὶ μάλα πλείστους ἐπαγόμενος κατὰ καρδίας
τοὺς τῆς λύπης ἄνθρακας, διὰ τὸ μὴ κατὰ γνώμην
δήπουθεν αὐτῷ τὰ πράγματα ἁπαντᾷν. Πεπόηται
μέντοι τὴν ἀναχώρησιν μέχρι καὶ ἐς πόλιν τὴν
Στρουμμίτζαν (77), καὶ ὅσα ἐπέκεινα χωρία ἦν
ἀναπεπταμένα τε καὶ ἱππήλατα· ἔνθα δὴ καὶ τὸν Κράλην Σερβίας τὰς ἐπαύλεις ποιεῖσθαι τέως συν-
έβαινεν.

II. Jam autem illum sequebatur et Joannes Asa-
nes. Hic enim paulo ante præerat Me-
lenicii castello. Mox cum illud imperatoris jussu
Chreli tradidisset, contulerat se ad imperatorem,
ut ei, Triballorum regis contubernali, comes adhæ-
reret.

Β'. Εἷς δ' ἦν ἤδη τῶν αὐτῷ ἑπομένων καὶ ὁ Ἀσὰν
Ἰωάννης. Ὃς γὰρ πρὸ βραχέος ἐπιτροπεύων ἦν
Μελενίκου (78) φρούριον (79), ἐντολαῖς νῦν βασιλι-
καῖς τῷ Χρέλῃ παραδεδωκὼς πρὸς βασιλέα ἀφί-
κετο, καὶ διετέλει συνὼν αὐτῷ, συσκηνοῦντι τέως
τῷ τῶν Τριβαλλῶν ἡγεμόνι.

Variorum notæ.

(75) De hac altera Serrharum vel Pherarum tentata obsidione silet, opinor, Cantacuzenus. Ducang.

(76) Legendum ὀψόμενός τε καὶ ὀφθησόμενος. Alioquin esset Solœcismus. Boivin.

(77) Quæ urbs, mortuo jam tum Chrele Triballo, in Cralis potestate erat. Vide Cantacuz. lib. III, cap. 54, pag. 550. Boivin.

(78) Cantacuz. lib. III, cap. 45, pag. 499. Ducang.

(79) Vide supra hujus libri cap. 1, sect. 3. Boivin.

Γ'. Ἔτυχε δ' ἀφιγμένη τηνικαῦτα κἀκ πόλεως Βερρόιας πρεσβεία τῷ Κράλῃ, λόγους περὶ ὧν ἀπήτει κομίζουσα καὶ ζητοῦσα μαθεῖν ἀκριβῶς, ἃ κατὰ γνώμην ἐστίν. Ἀπήτει δ' ὑπήκοον τὴν πόλιν τούτῳ γενέσθαι καὶ ὑποχείριον, τῇ ἀκροπόλει φρουρὰν Τριβαλλῶν ἐμβαλόντι, πρὶν ἂν ἀκουσίων αὐτῶν πολέμου νόμοις ἐξανδραποδίσηταί τε καὶ διαρπάσῃ καὶ πόλιν καὶ οἰκίας ἅμα καὶ γυναιξὶ καὶ τέκνοις. Τοῖς μέντοι πρεσβεύουσι καταπλαγεῖσι πρὸς τὴν τῶν λεγομένων ἐμβρίθειαν [P. 408] καὶ ἀποτομίαν ἔδοξε βέλτιον λάθρα κοινολογήσασθαι τῷ βασιλεῖ Καντακουζηνῷ, καὶ δοῦναι λαμπρὰς τὰς ἐγγύας, εἰ βούλοιτο τὴν ταχίστην λαθὼν παρεισελθεῖν καὶ λαβεῖν ἀπονητὶ τὴν πόλιν αὐτός. Εἶναι γὰρ μανιώδους ψυχῆς καὶ γνώμης, αἱρεῖσθαι πρὸ τοῦ ἡμέρου τὸ βάρβαρον, καὶ προτιμᾶν τῆς ὁμοφύλου τὴν ἀλλόφυλόν τε καὶ νόθον ἡγεμονίαν. Τούτων οὕτω συσκευασθέντων καὶ κυρωθέντων πρὶν αἰσθέσθαι τοὺς Τριβαλλοὺς, λόγοις ἀπατηλοῖς τισι μετεωρίσαντες τὴν τοῦ Κράλη διάνοιαν οἱ ἐκ Βερρόιας πρέσβεις ἐπ' οἴκου ἀνεχώρησαν, ἀπαγγέλλοντες τοῖς ἐν Βερρόιᾳ τήν' τε τῶν τοῦ Κράλη λόγων βαρύτητα καὶ ἃς ἀναγκασθέντες αὐτοὶ συνθήκας αὐτοκρατορικὰς πεποίηνται πρὸς βασιλέα, τοῦ καιροῦ σχεδιάσαντος τὴν τοιαύτην παραχρῆμα ἐπίνοιαν.

III. Forte eo tempore advenerat ex urbe Berrhœa legatio, actura cum Crale de iis rebus, quæ ab eo petebantur, et quidnam decrevisset sciscitatura diligenter. Petebat autem ille, ut urbem in sua potestate et manu haberet, ac Triballicum præsidium in arcem introduceret, antequam per vim et belli jure urbem, domos, mulieres liberosque in servitutem redigeret atque diriperet. At legatis, dictorum duritia et acerbitate perculsis, melius visum est clam cum Cantacuzeno imperatore colloqui, ac fidem ei suam omni cautione astringere, si in urbem furtim et quam celerrime sese intromittere eamque ipse nullo labore capere vellet. Esse enim animi ac sententiæ furentis, barbariem humanitati præferre, gentilique externam et illegitimam potestatem. His ita compositis, ac priusquam Triballi perciperent constitutis, Cralis animo captiosis quibusdam verbis suspenso, legati Berrhœenses domum reversi suis civibus renuntiant et dura Cralis **655** responsa, et pacta, quæ cogente necessitate, cum id consilii ipsa res statim animo suggessisset, ipsi cum imperatore suapte auctoritate fecerant.

Δ'. Βραχεῖαι μετὰ τοῦτο (80) παρῳχήκεσαν ἡμέραι, καὶ τὰς οἰκείας ὁ βασιλεὺς δυνάμεις ἀναλαβὼν ἐπὶ κυνηγέσια δὴθεν ἐξῄει, καὶ περιπάτους ἀνέσεώς τινος καὶ ῥᾳστώνης βασιλικῆς. Καὶ μὲν δὴ οὔπω τρεῖς ἐκεῖθεν ἡμέραι παρῆλθον, καὶ τὴν πορείαν ἐπιταχύνας σφόδρα ἀταλαίπωρον εὗρε τὴν εἰς Βέρροιαν εἴσοδον (81), σὺν πάνυ πολλῇ τῇ προθυμίᾳ καὶ ἡδονῇ καὶ ὑπτίαις τὸ δὴ λεγόμενον ἀποδεξαμένων τῶν Βερροιέων χερσί. Τοῦτο γὰρ ἓν πρᾶγμα ὂν ἀμφοτέροις ὠφελείας μακρᾶς καὶ γαλήνης ἅμα γέγονεν αἴτιον, ἀπαλλαγεῖσι τῶν τοῦ Κράλη χειρῶν ἐν ταὐτῷ. Θεοῦ δ' ἦν πάντως τὸ χρῆμα, τοῦ τὰ δυσχερῆ ποιοῦντος ῥᾴδια, καὶ τοὐναντίον αὖ ὁπότε βούλοιτο, καὶ οἵστισιν ἐθέλοι τρόποις.

IV. Pauci inde effluxerant dies, cum imperator suas copias secum ducens egreditur, venatum scilicet ambulatumque, regio quodam relaxationis otiique genere; necdum tribus ex eo diebus elapsis, accelerato itinere, facillimum ad Berrhœam urbem aditum offendit, excipientibus eum maximo studio Berrhœensibus ac supinis, ut aiunt, manibus. Eadem enim utrisque res magnam simul et utilitatem et tranquillitatem afferebat; quoniam eadem via utrique manibus Cralis elabebantur. Atque illud sane opus Dei erat, facilia exhibentis ea quæ difficilia sunt, et contrarium quoties juvat et quibus vult modis efficientis.

Ε'. Ἐπεὶ γὰρ τεθέαταί τε καὶ ἔγνω σαφῶς τὸν βασιλέα περιφρονούμενόν τε καὶ ὑβριζόμενον ὑφ' ὧν ἐν ἐλπίσιν ἔκειτο δοχῆς καὶ στοργῆς ἀξιοῦσθαι, μετέθετό τε τὴν γνώμην εὐθὺς καὶ αὐτὸς καὶ δρασμὸν ἐκ τῆς μνήμης γίνεσθαι ἐκών γε εἶναι ἰδίδου τῶν τε μελετηθέντων καὶ κυρωθέντων ἐν τῷ ἀφανεῖ τῆς οἰκείας καρδίας βουλευτηρίῳ τοῦ ἐπιόντος χρόνου πρὸς ἀμοιβὴν δι' αὐτὸν ἀγαθῶν (82)· καὶ πρὸς ἐπιβουλὰς τέως ἀπησχόλει τὸν νοῦν, καὶ ὅλος πρὸς Βυζαντίους ἦν ὑπορρέων, καὶ πρὸς τὰς ἐκεῖθεν ῥημάτων καθελκόμενος ὑποσχέσεις.

V. Etenim Crales, cum videret exploratumque haberet, despici et contumeliose haberi imperatorem ab iis, a quibus speraverat se humane ac benigne exceptum iri, mutavit et ipse statim sententiam, atque e memoria excidere ultro passus est, quæ propter illum bona procedente tempore vicissim sibi in posterum promiserat, et in arcana cordis curia decreverat: cœpitque applicare animum ad parandas insidias totusque ad Byzantios vergere, ac promissis, quæ illinc veniebant, paulatim allici.

Ϛ'. Ἀλλ' ὥσπερ πανταχοῦ τὰ τῆς ἀνθρωπίνης μελέτης ἡττώμενα κεῖται τοῦ θείου βουλήματος, οὕτως ἐπικρατέστερα κἀνταῦθα νῦν ἐγεγόνει, ἃ μηδ' ὅλως οὐδαμῇ προσεδοκᾶτο τοῖς κινδυνεύουσι,

VI. Sed ut in omni re consilia humana divinæ voluntati subjiciuntur, ita tum quoque illic vicere ea quæ ab iis, quorum erat periculum, **656** nullatenus prævisa fuerant, nec humanam in mentem

Variorum notæ.

(80) Vide Cantacuzen. lib. III, cap. 57. Boivin.
(81) Cantacuz. lib. III, cap. 58. Ducange.
(82) Ita etiam legitur in Vaticano, unde hæc valde obscura illustraturum me speraveram. Boivin.

unquam venerant. Is quippe eventus fuit, ut imperator quidem suavissime ac libere tandem respiraret, illudque sibi rerum secundarum initium ac primum veluti fundamentum esse duceret : TribalIorum autem rex illud factum irasceretur, ac pœnitentia tabesceret, quod quem in manibus habuerat per imprudentiam dimisisset, maguorum emolumentorum occasionem futurum sibi, sive imperium et pecuniarios reditus augere, sive securitatem sibi in posterum plenam parare voluisset.

VII. Bellum igitur volebat cum eo suscipere, atque aperto Marte eum invadere. Mox veritus, ne, si juratum fœdus prior ipse violaret, in numen infestum aperte incurreret, eoque cladis magnæ exemplum fieret, risuque hominum statim exciperetur, continuit se in præsens, et tacitis cogitationibus animum consumpsit. Conveuerat enim inter utrumque pactione jurejurando confirmata, ne unquam alter alteri obstaret, melioris cujuscunque fortunæ causa discedenti ab altero, sed ut intra inviolatos amicitiæ fines maneretur semper, iisque urbibus, quæ Byzantinæ ditionis essent, liceret ad utrum vellent se adjungere quomodocunque, sive voluntaria deditione, sive postquam ab alterutro obsessæ fuissent, ita ut alia alii cederet, neutro alteri obstante. Idcirco ille id quod acciderat silentio pressit non libens.

Α μηδ' ἐπὶ καρδίαν ἀνέβη θνητήν. Τῷ μὲν γὰρ βασιλεῖ ἥδιστόν τι καὶ ἐλευθέριον ἀναπεπνευκέναι ἐπῆλθεν ὀψὲ, καὶ τῶν κατ' αὐτὸν πραγμάτων ἀρχὴν νομίσαι τουτὶ καὶ κατάστασιν πρώτην· τῷ δὲ τῶν Τριβαλλῶν ἀρχηγῷ (83) δι' ὀργῆς ποιεῖσθαι τὸ συμβὰν, καὶ μεταμέλῳ μακρῷ τὴν ψυχὴν κατατήκειν, ὅτ' ἐν χεροῖν ἔχων μεθῆκεν ὑπ' ἀβουλίας τὸν μακρῶν θησαυρῶν γενησόμενόν αἴτιον, κατά τε πλοῦτον ἀρχῆς ὁμοῦ καὶ χρημάτων καὶ ἀφοβίας τῶν ἐφεξῆς δαψίλειαν.

Β [P. 409] Ζ'. Ἐβούλετο μὲν οὖν πόλεμον ἄρασθαι κατ' αὐτοῦ, καὶ μάχης ἄρξαι περιφανοῦς. Δεδιὼς δ' αὖ, μὴ πρὸς ἀθέτησιν πρῶτος χωρήσας αὐτὸς τῶν ὁμωμοσμένων ἀντιπράττοντι προφανῶς ἐντύχῃ τῷ θείῳ, κἀντεῦθεν ἥττης ἀγώνισμα γένηται μέγα καὶ ἅμα τῆς ἐξ ἀνθρώπων χλεύης κληροῦχος εὐθὺς, ἐπέσχεν ἕς γε τὸ παρὸν, σιγῶσι λογισμοῖς δαπανῶν τὴν ψυχήν. Ἔφθη γὰρ ἑκατέρων μεταξὺ δι' ὅρκων βεβαιωθεῖσα συμφωνία, μηδέτερον μηδετέρῳ πολὺ γίνεσθαι κώλυμα πρὸς εὐτυχίαν ἡττηναοῦν ἀπαλλαγεῖσιν ἀλλήλων, ἀλλ' ἐμμένειν ταῖς ἀπύλοις ὅροις ἀεὶ τῆς φιλίας, καὶ συγχωρεῖν ταῖς τῶν Βυζαντίων ὑπηκόοις πόλεσιν, ὅτῳ βούλοιντο προσχωρεῖν ὁπώσποτε, νῦν μὲν καθ' ὁμολογίαν, νῦν δ' ἐκ πολιορκίας ἑκατέρων ἄλλη ἄλλῳ, ἐμποδὼν οὐδενὸς οὐδενὶ καθεστῶτι. Ταύτῃ τοι καὶ διὰ μυχῶν ἔκρυψε σιωπῇς τὸ συμβὰν οὐ μάλα ἐθέλων.

CAPUT VI.

Joannes Angelus Berrhœam ad Cantacuzenum venit, Thessaliæ rebus præclare administratis. Ejus provinciæ ante Angeli adventum status perturbatissimus. Catalanorum illic dominantium vires luxu debilitatæ. Angelus, maxima Thessalici principatus parte recuperata, Ætolos, Locros et Acarnanas subegit. Annam rebellem cepit. Quibusdam ut occideret suadentibus, eam dare in custodiam maluit.

1. Interea ex Thessalia advenit et imperatoris consobrinus Joannes **657** Angelus, secum adductis Thessalorum equitibus lectissimis, felicem illum eventum gratulaturus, et si quid auxilii a se exigeretur, acerrime operam navaturus. Jam enim haud contemnendas et ipse vires sibi comparaverat, ex quo in illam provinciam missus iverat jussu imperatoris, apud Cralem adhuc in Triballorum finibus commorantis; ut alicubi supra tradidimus.

II. Profectus quippe illuc celerrime Thessalorum rebus incrementum attulit, fractis et laborantibus, non minus per ipsos indigenas principe legitimo carentes, quam per Catalanos, qui jam pridem illic dominabantur. In luxum enim ac potandi licentiam lapsis nepotibus, multum debi-

C Α'. Ἐν δὴ τούτοις ἦκεν ἐκ Θετταλίας καὶ ὁ τοῦ βασιλέως πρωτεξάδελφος (84), ἱππέας ἐπαγόμενος Θετταλῶν τοὺς ἀρίστους, Ἰωάννης ὁ Ἄγγελος, συνησθησόμενός τε τῷ γεγονότι τοῦ εὐτυχήματος καὶ εἴ τις εἴη χρείας ἔφεσις ἐπικουρήσων τὰ κράτιστα. Ἀξιόμαχον γὰρ ἤδη καὶ αὐτὸς ἐκτήσατο δύναμιν, ἀφ' οὗ τῷ τοῦ βασιλέως ἐπέμφθη δόγματι πρὸς τὴν τοιαύτην ἀρχὴν, ἔτι τῷ Κράλῃ συνόντος ἐν ὅροις τῶν Τριβαλλῶν, ὡς ἀνωτέρω (85) που διελάβομεν.

Β'. Τάχιστα γὰρ ἀπιὼν ἐκεῖσε πρὸς αὔξην ἤγαγε τὰ Θετταλῶν πράγματα, διερρωγότα καὶ κάμνοντα δι' ἀλλήλων ταῖς ἀναρχίαις οὐχ ἧττον, ἢ τοῖς ἐκ πολλοῦ κατασχοῦσιν αὐτὰ Κατελάνοις. Εἰ γὰρ τρυφὴν καὶ πότον ἦδη τῶν ἀπογόνων ἐκκυλισθέντων, μάλα ἀσθενῶς ἔσχε τὰ κατ' αὐτοὺς, ὡς

Variorum notæ.

(83) Cantacuz. lib. III, cap. 58. Ducang.

(84) Joannes Angelus, quem ἀνεψιὸν vocat idem Cantacuzenus eod. cap., id est *patruelem*. Erat enim filius sororis patris sui : proinde πρωτεξάδελφον improprie appellat, quæ vox *patruelis filium* sonat. Vide Gloss. med. Græcit. in Ἐξάδελφος, et *Famil. Byzant.* pag. 249. Ducang. — *Imperatoris consobrinus*; non *primus consobrinus*. Πρωτεξάδελφος idem est atque ἐξάδελφος. Quem Gregoras hoc loco πρωτεξάδελφον vocat imperatoris Cantacuzeni, eum Cantacuzenus ipse ἐξάδελφον vocat *Hist.* lib. II, cap. 6; et ἀνεψιὸν, *Hist.* lib. III, cap. 32. Du-

D cangius, in *Glossario mediæ et infimæ Græcitatis* in v. ἐξάδελφος, πρωτεξάδελφον interpretatur ἐξανέψιον, seu *patruelis filium*, et Harmenopuli testimonio utitur, cui tamen πρωτεξάδελφοι proximi post αὐταδέλφους numerantur, ac βαθμοῦ τετάρτου statuuntur; id quod fratribus patruelibus plane convenit. Nec magis favet viro doctissimo Eustathius a Ducangio laudatus in v. πρωτεξάδελφος, qui *Iliad.* β, pag. 307, ἀνεψιοὺς ἢ αὐτανεψίους, interpretatur ἐξαδέλφους; πρώτους. Boivin.

(85) Hujus libri cap. III, sect., 6. Boivin.

μηδ' ἀντιπάλους ἔτ' εἶναι δύνασθαι, μὴ ὅτι μεγάλαις δυνάμεσιν, ἀλλ' οὐδὲ τοῖς παρεσπωμένοις ἠρέμα καὶ διερρηγνυμένοις οἴκοθεν μέρεσι.

A litatæ erant illorum vires, ita ut contendere jamhaud possent, non cum viribus magnis solum, sed ne cum iis quidem partibus, quæ domi paulatim ab invicem divellebantur atque distrahebantur.

[P. 410] Γ'. Τοιούτοις τοίνυν ὁ Ἄγγελος συμβεβηκὼς πράγμασιν, ἀνὴρ δεινὸς τὰ πολέμια, τά τε πλεῖστα τῆς Θετταλίας οἰκείαν ἔσχεν ἀρχὴν καὶ ἅμα παρεξιὼν Αἰτωλούς τε ὑπηγάγετο καὶ Λοκροὺς τοὺς Ὀζόλας. Εἶλε δ' ὁμοῦ καὶ Ἀκαρνανίαν ἅπασαν τοῦ χρόνου χωροῦντος, ὑποχείριον πρότερον σχὼν καὶ τὴν ταύτης ἡγεμονίδα Ἄνναν, τὴν τοῦ πρὸ ἐτῶν ἤδη συχνῶν τεθνηκότος κόντου Κεφαλληνίας σύζυγον, ὡς ἀνωτέρω (86) καὶ περὶ τούτου διαλαβόντες εἰρήκειμεν. Ἦν ἀνελεῖν εὐθὺς παρώξυνον ἔνιοι· μηδὲ γὰρ ἠρεμήσειν αὐτῆς τὸ φίλαρχον, διὰ μακρῶν ἤδη τῶν χρόνων ἐν τῇ ψυχῇ στηριχθέν· ἀλλ' ὥσπερ ἄνθρακες ἀχύροις τισὶν ἐμφωλεύοντες ἀγνοοῦντι λάθρα τὴν ὕλην ἐσθίοντες, μέχρις ἂν εἰς ὕψος ἀναῤῥιπίσωσι τὸ μεμηνὸς τῆς φλογός· οὕτω δὴ καὶ αὐτὴν ἐφεδρεύσειν ἐς ἀεὶ ταῖς τῆς ἐξουσίας ἐλπίσι, μέχρις ἂν συνεξεταζομένη τοῖς ζῶσιν ἕτερον ὁρᾷ περιεζωσμένον τὰ σκῆπτρα τῆς ἀρχῆς. Αὐτὸς δὲ τούτων ἁπάντων τὸ τῆς συγγενείας προτιμήσας ἀνομοθέτητον δίκαιον τοῦ μὲν ἀναιροῦντος ἐφείσατο ξίφους· ἐν ἀδέσμῳ δ' οὖν προσέταξε τηρεῖσθαι ταύτην φρουρᾷ· ἵνα μὴ παραπλήσιον αὖθίς τι δράσῃ, καθάπερ ὅτε πρὸς Ἀνδρονίκου τοῦ βασιλέως ἐν Θεσσαλωνίκῃ μετενεχθεῖσα χρόνῳ ὑστέρον ᾤχετο λάθρα φυγοῦσα (87) εἰς τὴν τῶν Ἀκαρνάνων αὖθις ἀρχήν. Ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἐξῆς διαρκέστερον ἀφηγησόμεθα (88). Νῦν δ' ἐκεῖσε ἐπάνειμι.

III. In hunc rerum statum cum incidisset Joannes Angelus, vir bellicosissimus, maxima Thessaliæ parte potitus fuerat: tum idem statim ultra progressus Ætolos Locrosque Ozolas subegerat. Quin et totam quoque Acarnaniam procedente tempore invaserat, comprehensa prius Acarnanum principe Anna, uxore illius Cephallenum comitis, qui multis jam ante annis interierat; ut supra diximus, de ea ipsa re disserentes. Quam quidem feminam ut statim occideret, nonnulli instigabant: nec enim quieturam esse illam imperandi libidinem, quæ tanto jam tempore infixa esset animo illius: sed quemadmodum ignis in paleis **659** abstrusus ignoratur et fomitem latenter exedit, donec furentem flammam sursum ventilet; ita et ipsam in spem dominandi semper intentam fore, quandiu vivis adnumerata alterum suo sceptro ornatum aspectura esset. At ille cognationis jus, quod non lege sed natura nititur, prius hisce omnibus habens, gladium ab ejus cæde abstinuit, ac ipsam in custodia vinculis liberam servari jussit; ne quid tale iterum committeret, quale jam antea, cum ab Andronico imperatore Thessalonicam translata clam aliquanto post in provinciam suam Acarnaniam rursus aufugit. Sed hæc quidem fusius infra exponemus. Nunc vero illuc redeo.

CAPUT VII.

Cantacuzenus Thessalonicam dolo aggressus: irrito conatu, discedit. Byzantiorum et Persarum classis numerosa ad Thessalonicensem portum appulsa. Dux classis Apocaucus: Cantacuzenum abeuntem persequitur. Fluvius trajectu difficilis. Triballorum duo millia in insidiis collocata. Imperator in magnas angustias adductus. Ut indicato tandem transitu salvus evaserit. Apocauci timiditas.

Α'. Ἀναλαβὼν γὰρ ὁ βασιλεὺς τὰς ἑαυτοῦ δυνάμεις, καὶ ἅμα τοὺς ἐκ Βερροίας ἐστρατολογημένους, ἦει πρὸς τὰς τῶν Θεσσαλονικέων ἐπαγγελίας. Κρύφα γὰρ ἐκεῖθεν ἔνιοι τούτῳ διεμηνύσαντο, εἰ θᾶττον ἢ τῶν οὕτω βεβουλευμένων αἰσθέσθαι τὸν δῆμον ἰοι ἐπὶ τὰ τείχη, ῥᾳδίαν εὑρεῖν δι' αὐτῶν τὴν ἐς τὴν πόλιν πάροδον. Ἰὼν γε μὴν ἔγνω τὴν ἐπιβουλὴν ῥυεῖσαν ἐς τὰς τοῦ δήμου φατρίας καὶ πρὸς θυμοὺς ὁπλομάχους ἀναφλέξασαν ἅπαντας κατά τε τῶν ἐπιβούλων καὶ αὐτοῦ. Διὸ δὴ καὶ ἀπραχτούσας ἀνειλημφὼς τὰς ἐντεῦθεν ἐλπίδας ἐπὶ Βέρροιαν εὐθὺς ἀναχωρεῖν ἐποιεῖτο διὰ σπουδῆς.

I. Imperator, cum et suas copias et conscriptos Berrhœæ milites coegisset, contulit se Thessalonicam, iis promissis inductus, quæ sibi inde afferebantur. Clam enim illinc quidam isti significaverant, si antequam populus ea quæ meditati essent persensisset, ad muros ipse progrederetur, facilem eorum opera futurum illi in urbem ingressum. At hic cum venisset, accepit manasse ad plebeias factiones hujus conjurationis auram, et omnium animos pugnaci quodam furore inflammavisse, tum in conjuratos, tum in Cantacuzenum ipsum. Quamobrem, spe illinc quoque irrita, Berrhœam diligentissime regressus est.

[P. 411] Β'. Ἐπὶ τούτοις γὰρ καὶ ὁ Βυζάντιος κατέπλευσε στόλος ἐς τὸ τῶν Θεσσαλονικέων ἐπίνειον, ναύαρχον ἔχων Ἀλέξιον τὸν Ἀπόκαυκον (89) καὶ

II. Statim enim ab his appulit et Byzantina classis ad Thessalonicensem portum, præfectum habens Alexium Apocaucum, **659** et navales co-

Variorum notæ.

(86) Vide lib. XI, cap. 3, sect. 5. Boivin.

(87) Vide notas ad lib. XI, cap. 6. sect. 3. Boivin.

(88) Gregoras id quod hoc loco promittit, nusquam præstabit, quanquam de Nicephoro Annæ filio, et de rebus Ætolorum, semel credo circa Historiæ finem acturus est. Boivin.

(89) Cantacuz. lib. III, cap. 58. Ducang

pias longe maximas. Erant quippe Romanæ quidem naves plures quam quinquaginta; auxiliares autem ex Perside duæ et viginti. Rebus igitur Thessalonicensium eo ipso die prout libuit ordinatis, postera die Apocaucus, cum et eas quas Thessalonicæ invenerat copias, et illas quas classe secum adduxerat tam domesticas quam externas, armasset et instruxisset, Berrhœam terrestri itinere quam celerrime proficisci secum constituit, si forte imperatoris exercitum assequi posset in transitu ejus fluvii, qui Berrhœam inter ac Thessalonicam fluit. Illic enim maxime putabat partum iri sibi audaciæ præmium ac tropæum militare, hostibus forte manipulatim dispersis: et his quidem jam trajectis, illis vero adhuc trajicientibus; aliis denique propter ripas transeundi causa stantibus.

III. Nec vero imperator cum sese inde proriperet, vacuum labore atque difficultate iter invenire potuit. Nam cum flumen haud semper nec quacunque transire volentibus facilem ac pervium se exhibeat, sed angustis in locis, iisque non cuilibet trajicere cupienti obviis, sed ignotis plerisque et abditissimis; non solum hieme ac vere, quo tempore major exuberat aquarum vis, easdem solita proluere et inundare terrarum partes; sed et æstate autumnoque; in altera fluvii ripa duo circiter millia Triballorum insidias **660** ei fecere, qua maxime parte eum cum exercitu redeuntem trajecturum putabant; ut derepente in ipsum nec opinantem circa transitum impetu facto, tropæum illustre brevi constituerent. Hos vero imperatoriorum militum præcursores conspicati procul et ipsi animum desponderant, et pavoris multum exercitui injecerant.

IV. Ac fortassis illa ipsa hora profligati fuissent, inter hostiles duos exercitus quasi intra retia comprehensi, flumine ipso obstante, quo minus aut castrametarentur, aut aciem rito instruerent; nisi Deus derepente et ex improviso manum illis commodasset adjutricem; Deus, inquam, qui et sæpe infecta reddit ea quorum maxima erat exspectatio, et iis quæ minime prævisa fuerant, secundos exitus largitur. Nam Apocaucus quidem timiditate summa suum ipse impetum repressit. Vir autem quidam ex illius loci incolis Triballorum prædationibus nuper elapsus ultro tum ad imperatorem transfugit, promisitque, indicaturum se ei aliam ab ea quæ nota erat per flumen viam, si sibi merces daretur paulo pinguior. His conditionibus transmisso imperatoris exercitu, perculsi rei miraculo Triballi inde abeunt celerrime, alii alio per eam regionem dispersi.

ναυτικὴν δύναμιν μάλα πολλήν. Ἦσαν γὰρ Ῥωμαϊκαὶ μὲν νῆες πλείους ἢ πεντήκοντα· Περσικαὶ δὲ, κατὰ συμμαχίαν ἑπόμεναι, δύο καὶ εἴκοσι. Τὰ γοῦν κατὰ Θεσσαλονίκην πράγματα διαθέμενος αὐθήμερον ὁ Ἀπόκαυκος ὡς ἐβούλετο, καὶ ἅμα καθοπλίσας καὶ παρασκευασάμενος ἐς τὴν ὑστεραίαν ἣν τε εὗρεν ἐν Θεσσαλονίκῃ δύναμιν στρατιωτικὴν καὶ ἣν ἐπαγόμενος ἧκεν αὐτὸς ὁμόφυλόν τε καὶ ἀλλόφυλον ναυτικὴν, τὴν διὰ γῆς ἐπὶ Βέρροιαν ἐπιταχύνειν ἐνεθυμήθη πορείαν, εἴ πως δυνηθείη καταλαβεῖν περὶ τὴν τοῦ μεταξὺ Βερροίας καὶ Θεσσαλονίκης ῥέοντος ποταμοῦ διάβασιν (90) τὸν τοῦ βασιλέως στρατόν. Ἐνταῦθα γὰρ ἀνύσειν ᾤετο μάλιστα τόλμης ἀγώνισμα καὶ τρόπαιον ἔνοπλον, καταχερματισθέντων ἴσως τῶν πολεμίων, καὶ τῶν μὲν διαβάντων ἤδη, τῶν δ' ἔτι διαβαινόντων, τῶν δὲ παρὰ τὸ χεῖλος τῆς διαβάσεως ἑστηκότων.

Γ'. Τῷ γε μὴν βασιλεῖ κατεσπουδασμένην ποιουμένῳ τὴν ἀναχώρησιν οὐδὲ τὴν πρόσω πορείαν ἅμοχθόν τε καὶ ἀταλαίπωρον εὑρεῖν ἐξεγένετο. Τοῦ γάρ τοι ποταμοῦ ἦκιθ' ὅποι βουλομένοις εἴη τοῖς ἀεὶ διαβαίνειν ἐθέλουσι προσηνὲς πανταχῇ καὶ βάσιμον παρεχομένου τὸ ῥεῖθρον, ἀλλ' ἐν βραχέσι τόποις, καὶ τούτοις οὐκ ἐς προῦπτον κειμένοις ὅτῳ ἂν εἴη βουλομένῳ παντὶ διαβαίνειν, ἀλλ' ἀγνώστοις ὡς τὰ πολλὰ καὶ πολλὴν ἐπίκρυψιν ἔχουσιν, οὐ μόνον ἐν χειμῶνός τε καὶ ἦρος ὥραις, ὁπηνίκα δαψιλέστερον ἔχει τὸ κράτος ἡ τῶν ὑδάτων φύσις, βαπτίζουσά τε καὶ κατακλύζουσα τὰ εἰθισμένα μέρη τῆς γῆς, ἀλλὰ καὶ θέρει τε καὶ φθινοπώρῳ, ἐνέδραν ἐπαιήσαντο παρὰ τὰς ἐπὶ θάτερα τοῦ ποταμοῦ διεξιόλιοί που τὸν ἀριθμὸν ὁπλῖται τῶν Τριβαλλῶν, ἔνθα μάλιστα διαβαίνειν ἐπίδοξος ἦν ὁ βασιλεὺς κατὰ τὴν ἀπάνοδον ὁμοῦ τῷ στρατῷ, ὡς ἂν ἐξαίφνης ἀγνοοῦσι περὶ τὴν διάβασιν ἐπεισπεσόντες περιδόητον στήσωσι τρόπαιον ἐν βραχεῖ. Τούτους γε μὴν οἱ πρόδρομοι τῶν στρατιωτῶν τοῦ βασιλέως πόρρωθεν θεασάμενοι αὐτοί τε ἀπεγνώκεσαν καὶ μακρὰν τὴν δειλίαν ταῖς βασιλικαῖς δυνάμεσιν ἐμβεβλήκεσαν.

Δ'. Καὶ τάχ' ἂν ἐν ἐκείνῳ τῆς ὥρας ἐφθείροντο, μεταξὺ δυοῖν στρατῶν πολεμίων ὡς ἐν δικτύῳ συνειλημμένοι, καὶ ἅμα τοῦ ποταμοῦ τὴν στρατοπεδείαν καὶ τὴν ὀφειλομένην παράταξιν κωλύοντος, εἰ μὴ Θεὸς ἐκ τοῦ σχεδὸν ἀπροσδόκητον ἐχαρίσατο τὴν ἐπίκουρον χεῖρα· ὃς τὰ μὲν προσδοκώμενα πολλάκις ἄπρακτα τίθησι, τοῖς δὲ μηδαμῇ προσδοκηθεῖσι δεξιὰν χαρίζεται τὴν λῆξιν. Ἀπόκαυκος μὲν γὰρ δειλίᾳ μακρᾷ τὴν ὁρμὴν ἀνεχαίτισεν ἑαυτοῦ· ἀνὴρ δέ τις τῶν ἐγχωρίων (91), [P. 412] ἄρτι τὴν Τριβαλλῶν διαβρὰς προνομὴν, ἦκεν αὐτόμολος τηνικαῦτα τῷ βασιλεῖ, δεῖξειν ἐπαγγελλόμενος ἑτέραν τῆς ἐγνωσμένης διάβασιν, εἰ δαψιλεστέρους τοὺς μισθοὺς ἀπολάβοι. Ἐπὶ δὴ τοιούτοις τῷ βασιλεῖ τῆς διαβάσεως γενομένης, ἐκπλαγέντες ἐκεῖθεν οἱ Τριβαλλοὶ τὸ τοῦ πράγματος παράδοξον ᾤχοντο τὴν ταχίστην ἀνὰ τὴν χώραν ἄλλος ἄλλοθι διασκεδασθέντες.

Variorum notæ.

(90) Axii. Cantacuz. lib. III, cap. 58, 59. DUCANG.
(91) Cantacuz. lib. III, cap. 59 DUCANG.

CAPUT VIII.

Apocaucus, viribus suis merito diffisus, auxilium petit a Crale. Munit fluvii ostia, ne illac possit legatio ad Amurium mitti. Ex Cantacuzeno sciscitatur, quid de se ipse statuat. Cantacuzenus enim verbis ambiguis. Fabellam narrat de avi et aucupe. Sumptus æstimat, quorum magnitudine obrutum tandem adversarium succumbere necesse sit. Gratulatur sibi Thessalica auxilia in opportunum tempus reservata. Futurum exitus prædicit Apocauco, sive abituro, sive Thessalonicæ mansuro. Minatur se Persicæ auxilia ejus exemplo acciturum. Mala enumerat, quorum causam fuisse ait illius ambitionem. Animum durum ac immitem exprobrat. Admonet divinæ justitiæ, quæ se manifestatis indiciis prodat. Fugam demum ipse jubet maturare. Cymba in mare clam deportata, legatos ad Amurium mittit.

Α'. Οὕτω δὲ κακῶν ἀπαθὴ πρὸς Βέρροιαν διασ- Α σῶσθαι τὸν βασιλέα Ἀπόκαυκος ἀκηκοὼς ἅμοῦ τῷ στρατῷ οὐκ ἐνέβαλεν (ὡς ἔφημεν) εὐθὺς εἰς τὴν πολεμίαν, ἀλλ' ὑφῆκε τῆς ὁρμῆς. Ἐκ γὰρ τοῦ φανεροῦ πολεμεῖν καὶ συστάδην ποιεῖσθαι τὰς μάχας πρὸς μάχιμον στρατὸν οὐ μάλα ἐθάρρει, πλῆθος μὲν ἔχων μυρίον αὐτὸς, ἀπὸ κώπης δ' ἐς γῆν ὀψὲ μετενηνεγμένον τὸ πλεῖστον. Ὅθεν ἀπεσταλκὼς πρὸς τὸν Κράλην πρεσβείαν, ἠρεθισμένον ἤδη καὶ αὐτὸν (ὡς δεδήλωται) κατὰ βασιλέως, ἐκάθητο μὲν περιμένων συμμαχικὸν ἐκεῖθεν στρατόν· ἀπέφραττε δὲ καὶ τὸ τοῦ ποταμοῦ στόμα, τριήρεις ἐφιστὰς κατὰ θάλατταν, ὅποι κατιὼν ἀποπτύει τὸ ῥεῖθρον ἐκεῖνος, μή που λαθὼν ὁ βασιλεὺς ἀκάτιον ἐκπέμψῃ πρὸς τὸν σατράπην Ἀμοὺρ, συμμαχίαν αἰτῶν. Ἔπειτα πέμψας ἠρώτα τὸν βασιλέα, ὅ, τι βούλοιτο δρᾷν περὶ ἑαυτοῦ, συγκεκλεισμένος τε οὕτως ἀπανταχόθεν καὶ μέλλων ἐς τὴν ὑστεραίαν πολιορκεῖσθαι.

Β'. Ὁ δ' ἀπεκρίνατο, σύνηθες οὐκ εἶναι (92) πρὸς πολεμίους πολεμίοις ἐξαγγέλλειν στρατηγικὰ μυστήρια. Ὅμως ἐπειδήπερ σοι ἐξ ἁλῶν εἰς τὸ στρατήγιον ἀναξίως πάνυ σαυτοῦ παρελήλυθότι (93) στρατιωτικῆς ἐμπειρίας ὡς πορρωτάτω βαδίζειν ἔπεται, μῦθον ἐρῶ σοι οὐκ ἄμουσον ἔγωγε πρῶτον· ἔπειτα καὶ περὶ ὧν ἤρου μετὰ ληθῆ σοι οὐκ ἀποκρύψομαι, ἵνα σαφέστερον εἰδείης αὐτὸς, ὅσῳ περιφρονητικῶς ἔσχον ἐγὼ περὶ τὸν ὄγκον τῆς σῆς ὑπερηφανίας, καὶ ὅπως σοὶ [P. 413] μὲν τὸ σὸν καταλείπειν ἴδιον ἐθέλω κἀνταῦθα, ἐμοὶ δὲ τοὐμόν. Ἴδιον δὲ σοὶ μὲν ἀεὶ τὸ χαίρειν τοῖς ψεύδεσιν· ἐμοὶ C δὲ τῇ φύσει τῆς ἀληθείας. Ἀνήρ τις τῶν αἰθερίων ὀρνίθων ἑνὸς ποτε γενόμενος ἐγκρατὴς ἤρετο αὐτὸν, ἐνὶ οἷς ἐστι λογισμοῖς. Ὁ δ' ἀπεκρίνατο· οὐ τὰ ἐμά σε χρεὼν, ὦ ἄνθρωπε, διερευνᾷν ὅπως ἔχει, ἀλλ' ὅπως ἕξει τὰ σά. Εἴ τι γὰρ ἐγὼ μαντικὸς, ἐρῶ σοι περὶ ἐμαυτοῦ μὲν ἥκιστα, περὶ σοῦ δὲ μάλιστα. Τοῖς μὲν γὰρ τῶν ἀνθρώπων οἰωνοσκόποις τέχνην ἀθροίζειν ἐξ ὀρνίθων ἐπὶ τὸ ἐσόμενον συμβαίνει πολλάκις διά τε καθέδρας αὐτῶν καὶ πτήσεως καὶ κλαγγῆς, οὐκ ἐπίπαν εἰπεῖν ἐς τἀσφαλὲς πανταχοῦ τῆς τούτων διανοίας ἀπὸ στοχασμοῦ διασώζειν ἐξικνουμένης τὴν κρίνουσαν ψῆφον. Ἐγὼ δ' ὄρνις ὢν οὐκ ἀπὸ κ θέδρας καὶ πτήσεως καὶ κλαγγῆς ἀνάρθρου τὸ μέλλον ἀναγινώσκειν σοι δώσω, πρὸς ἀνάγκας ἀδήλους τε καὶ μὴ πάνυ σαφεῖς συνωθῶν σε, ἀλλὰ φωνήεντα D χειλὴ καὶ λόγων ἔναρθρον δύναμιν. Ἄκουε γοῦν.

I. Ubi Apocaucus illæsum imperatorem Berrhœam usque evasisse cum exercitu accepit, non statim, ut diximus, irrupit in hosticum, sed impetum remisit. Aperto enim Marte pugnare et comminus cum bellicoso **661** milite prælium committere non admodum audebat : multitudinem quidem ille secum infinitam habens, sed quæ ab remis maxima ex parte sero in terram translata fuerant. Missa itaque ad Cralem legatione, qui et ipse jam, ut dictum est, imperatori iratus erat, auxiliares illinc copias quietus exspectabat. Verum et fluvii ostia munierat triremibus a mari objectis, qua parte decurrens amnis aquas in mare evomit; ne forte imperator, cymba ad satrapem Amurium furtim missa, auxilium ab eo petierit. Deinde ad imperatorem misit qui interrogaret, quidnam ipse de se statueret, ita ex omni parte circumventus et postridie obsidionem passurus.

II. At ille : « Non solent, ait, » hostes hostibus belli vulgare mysteria. Quia tamen a salibus ad sum num belli munus homo indignissimus evectus es, eoque fit ut ab experientia militari quam longissime absis, fabulam tibi non illepidam narrabo primum : deinde et ad interrogata tua non dissimulata veritate respondebo, quo clarius ipse intelligas, quam despectus mihi fuerit superbiæ tuæ fastus, et quomodo velim in eo quoque tuam quidem tibi morem relinquere, meum autem mihi. Est autem mos tuus, ut mendacio gaudeas : meus, ut veritate. Homo quidam, cum aliquando avem cepisset, sciscitabatur ex ea quænam essent ejus cogitationes. At illa : Non, inquit, mearum est tibi, o homo, explorare meæ res quomodo se habeant, sed quomodo se habituræ sint tuæ. Nam si divinandi facultate polleo, dicam tibi de me **662** ipsa quidem minime; de te autem verissime. At ex hominibus ii, qui augures sunt, futurorum scientiam ex avibus sæpe colligunt; ex illarum scilicet sede, volatu atque clangore, ita tamen, ut veritatem conjectura omnino et ubique certa assequi mens eorum haud possit. Ego vero, avis quæ sum, non tibi ex sede, aut confuso clangore, ea quæ futura sunt dabo cognoscenda, obscura et incerta necessitatis legibus te implicans, sed vocale os et distinctam articulis orationem adhibebo. Audi igitur. Si me dimiseris, tuus morietur filius : sin reti-

Variorum notæ.

(92) Cantacuz. *Histor.* lib. III, cap. 59. Boivin.

(93) Fuerat nempe Apocaucus primitus salinario vectigali præpositus. Vide notata ad lib. I, cap. 6. Ducange.

nueris, mortuam uxorem statim lugebis. Iis homo auditis perculsus est; et secum anceps deliberabat, gravissimam videns utrinque calamitatem præter spem sibi impendere. Tamen cum ex duobus inevitabilibus malis alterum ipsi esset eligendum, illud miser elegit, quod erat levius, ac dimissa avi, jacentem subito filium luxit. Ac fabula quidem ita se habet. Accipe jam, quorsum fabulæ sententia pertineat. Quia rei militaris usum habeo jampridem, ut ipse scis; non ignoro, quantos ipse diurnos sumptus fascias, tum in copias navales, quæ te sequuntur, tum in pedestres legiones: ac præterea, quantum impendas ac semper impensurus sis pecuniæ in illis legationibus, quas petendi auxilii causa ad Triballorum principem frequentes mittis; coactus non solum munera illi pinguiora mittere, atque ipsi deinde reginæ ejus uxori, sed præterea **663** ambitiose adulari, ac pecuniis circumvenire singulos quosque necessarios et clientes eorum optimatium, qui plurimum possunt apud principes Triballorum. Quæ omnia te, quamvis promptissimum, cedere ac desistere incepto protinus cogent. Exercitus autem mei sunt, primum eæ vires, quæ me perpetuo comitantur, tum etiam tota fere Thessalia. Atqui audiisse te opinor, quantus Thessalorum equitatus quantumque ille in re militari habeat experientiæ, et quomodo sit longis ac multiplicibus bellis exercitatus. Eas ego copias domi sedere, quod necessitas urgeret, imperaveram, ne ex duobus, quorum neutrum expediebat, alterum exsisteret; neque enim par esse externo in solo versantes propriis sumptibus victitare, alieno tempore; neque ab iliis agros nostros vastari, ac deleri vites maturo jam fructu direptas; ut fieri ab exercitibus solet, populari plerumque licentia. Earum quippe rerum direptio dominis quidem damno est ac plurimum nocet; diripientibus autem parum aut nihil affert utilitatis; imo, ut ita dicam,

Εἰ μὲν ἀπολῦσαί μὲ προθυμηθείης, ὁ παῖς σοι τεθνήξεται· εἰ δὲ κρατεῖν ἐθέλοις, οὐκ ἂν φθάνοις τεθνηκυῖαν θρηνῶν τὴν γυναῖκα. Ἐπλήγη τὴν ἀκοὴν ὁ ἀνήρ· καὶ διηπόρει καθ' ἑαυτὸν, μεγίστην ἑκατέρωθεν ὁρῶν τὴν ἐμβρίθειαν τοῦ παρ' ἐλπίδα δεινοῦ. Ὅμως ἐν ἐκλογῇ δυοῖν γενόμενος ἀφύκτων κακῶν τὸ κουφότερον ὁ ταλαίπωρος εἵλετο, καὶ λύσιν τῷ ὄρνιθι παρασχὼν εὐθὺς ἐθρήνει τὸν παῖδα κείμενον. Τοῦ μύθου τοίνυν οὕτως ἔχοντος, ἄκουε καὶ δι' ὃν ὁ μῦθος εἴρηται λόγον. Ἐπεὶ τῶν στρατιωτικῶν ἐν πείρᾳ γεγένημαι πάλαι πραγμάτων, ὡς γε καὶ αὐτὸς οἶσθα, οἶδα καὶ ὅσην τὴν ἡμερήσιον αὐτὸς ἀεὶ δαπάνην ποιῇ τῶν χρημάτων περί τε τὴν ἑπομένην σοι ναυτικὴν δύναμιν περί τε τὰς πεζικὰς φάλαγγας, καὶ ἐπὶ τούτοις ὅσα τε ἀναλίσκεις καὶ ὅσα ἐς ἀεὶ ἀναλώσεις, συχνὰ περὶ συμμαχίας πρεσβευόμενος πρὸς τὸν ἡγεμόνα τῶν Τριβαλλῶν· καὶ μὴ πρός γε μόνον ἐκεῖνον ἔχων τοῦ χρέους τὸ βίαιον δαψιλεστέραν πέμπειν τὴν δεξιὰν, μηδὲ πρός γε δήπου μετ' ἐκεῖνον τὴν ἡγεμονίδα σύζυγον, ἀλλ' ἐπὶ τούτοις θωπεύειν ζητεῖν καὶ χρήμασι περιέρχεσθαι τοῖς ἑκάστῳ προσήκουσι τῶν τοῖς ἡγεμόσι (94) παραδυναστευόντων Τριβαλλῶν· ἃ πάντα σε (95) τὴν ταχίστην ἀπειρηκέναι βιάσονται καὶ μάλα τοι προθυμούμενον. Τὰ δ' ἐμὰ στρατόπεδα, ἥ τε περὶ ἐμὲ διηνεκὴς δύναμις καὶ Θετταλία μικροῦ πᾶσα. ἀκούειν δ' οἶμαί σε τὴν Θετταλικὴν ἵππον ἡλίκη, καὶ ὅσην ἔχει τὴν ἐμπειρίαν ὁ στρατὸς ἐκεῖνος πρὸς τὰ πολέμια, καὶ ὅπως μακρῶν καὶ ποικίλων πολέμων εἰσὶν ἀθληταί. Ταῦτα δ' οἴκοι καθῆσθαι προσετετάχειν ἐγὼ μέχρι καὶ ἐς τὸν τῆς χρείας [P. 414] καιρὸν, ἵνα δυοῖν οὐδέτερον τῶν οὐ συμφερόντων ὁρῷτο γινόμενον· μήτε γὰρ ἐν ἀλλοτρίᾳ τὴν δίαιταν ἄπρακτον τρίβοντας ἐνεῖναι δαπανᾷν ἑαυτοὺς· ἐν οὐ καιρῷ, μήτε τοὺς ἡμετέρους δῃοῦν ἀγροὺς καὶ τὰς ἀμπέλους ἐν ἀκμῇ τοῦ καρποῦ καθεστηκυίας ἁρπάζοντας διαφθείρειν· οἷα φιλεῖ τοῖς στρατοπέδοις συμβαίνειν ὡς τὰ πολλὰ διὰ τὴν δημοτικὴν ἀναρχίαν. Ἡ γὰρ τῶν τοιούτων φθορὰ τοῖς μὲν ἔχουσι ζημίαν παρέχει καὶ βλάπτει τὰ μέγιστα· τοῖς δ' ἁρπάζουσι μικρὰ πολλάκις ἢ οὐδὲν ὤνησεν, ἀλλ' ὡς ἔπος εἰπεῖν,

Labra rigat: medio sed non rigat ore palatum.

Χείλεα μέν τ' ἔδιηνε, διερὴν δ' οὐκ ἔδιηνε (96).

Hæc sunt, quæ mihi militaris disciplinæ alumno prævidere est: tibi autem minime. Cum igitur totas vires in ea impendas, quæ ex re minime sunt, reliquum est, ut in summas tandem angustias adducare, et pecuniarum **664** infinitatem exhaurias in res male cessuras, propter tuam in re militari imperitiam. Mihi vero, in quo imperandi usus cum ætate adolevit, pecuniarum penuria in rerum bene gerendarum opportunitatem cessura est, ac prosperis me successibus tandem dabit. Quæ cum ita sint, consequetur profecto illud, quod in fabula est. Si enim ad sumptus profusos, at minime utiles, simulque ad impendentia ex bellis pericula respexeris, eoque Byzan-

ταῦτ' οὖν ἐμοὶ μὲν, στρατιωτικαῖς ἐμπειρίαις συντεθραμμένῳ, προειδέναι ἔπεισι· σοὶ δ' οὔ. Διὸ σοὶ μὲν ἐν τοῖς παρέργοις τὴν ὅλην ἰσχὺν περιγίνεται δαπανῶντι τελευτᾷν εἰς ἀμηχανίαν, καὶ τὴν τῶν χρημάτων ἀπειρίαν κενοῦν εἰς πράξεις κακοπραγούσας, δι' ἀπειρίαν τοῦ στρατηγεῖν, ἐμοὶ δ' ἐμπειρίαις συντεθραμμένῳ στρατηγικαῖς τὴν τῶν χρημάτων ἔνδειαν πράξεων εὐπορίαν ποιεῖσθαι χρηστῶν καὶ πλοῦτον κατορθωμάτων τὸ τέλος ἐνδείκνυσθαι. Τούτων δ' οὕτως ἐχόντων, ἥψεται δή σοι λοιπὸν τὸ τοῦ μύθου. Εἰ μὲν γὰρ ἀπιδὼν πρὸς τὸ τῆς δαπάνης πολύχουν μὲν, ἀνώνητον δὲ, καὶ ἅμα πρὸς τοὺς ἐπιόντας ἐκ τῶν πολέμων κινδύνους, παλινδρομεῖν τὴν ταχίστην ἐθελήσειας ἐς Βυζάντιον

Variorum notæ.

(94) Ita etiam codex Vaticanus: nec mirum, cum ex eo Regius descriptus sit. BOIVIN.

(95) Ἅ πάντα σε cod. Vatican. BOIVIN.

(96) Homer. *Iliad.* XXII, 495.

οἴκαδε, συμψήφῳ δι' ἀπόγνωσιν τῇ ἀνάγκῃ χρησάμενος, μακρὸν μὲν ὀφλήσεις τὸν γέλωτα· αἰσχρὸν γάρ φασιν Ὁμηρίδαι,

δῆμόν τε μένειν κενεόν τε νέεσθαι (97).

καὶ πρός γε ζημιώσῃ τὰς πόλεις, ἃς ἐπιὼν αὐτὸς ἀπροντὶ καθέξειν ἐλπίζω. Εἰ δὲ τὸ μὴ τοιούτοις περιπεπτωκέναι κινδύνοις ὁμοῦ καὶ ὀνείδεσι φυλαττόμενος παραμένειν ἔτι φιλονεικοίης, οὐκ ἂν φθάνοις μετὰ τοῦ γέλωτα ὀφλειν μακρὸν καὶ τὴν κεφαλὴν ἀφαιρούμενος. καὶ βιαίως οὕτως ἀποῤῥηγνὺς τὴν ψυχήν, ἱππευθὲν κυκλωθεῖσα ἡ πόλις, τὸ σὸν νῦν ὁρμητήριον, ἔκ τε γῆς καὶ θαλάττης μετὰ πολλῶν ἐπιόντος ἐμοῦ τῶν δυνάμεων, ἐπὶ τὸν αἴτιον τρέψηταί σε τὴν ὀργήν. Μεταπέμψομαι γὰρ οὐ Θετταλικὴν μόνον ἵππον, καὶ ὅσα ἐκεῖθεν στρατόπεδα, ἀλλὰ σοῦ γε εἵνεκα καὶ Περσικὰς ἐξ Ἀσίας δυνάμεις. Σὺ γὰρ ἤδη τοῦτ' ἐπιπράχεις πρῶτος, καθ' ὁμοφύλων δι' ἐμὲ Περσικὴν ἐλάσας δύναμιν. Τὸ δ' ἐκ τῶν ὁμοίων τὸν ἀδικήσαντ' ἀμύνεσθαι, εἰ μὲν ἀνενέγκλητον εἶναι κρίνοις αὐτὸς, ἀθῷος ἐγὼ, καὶ πρὸς αὐτῶν τὴν μαρτυρίαν τοῦ συγχεχωρηκότος λαμβάνω τῶν βασκαινόντων. Εἰ δ' εἰς ἐγκλήματος λόγον ἀ ἄγεις τοὔμὸν πρᾶγμα, ὥρα σοι λογίζεσθαι, πηλίκων καὶ ὅσων τῶν ἐγκλημάτων ὑπεύθυνον σὺ σαυτὸν ἐπιπράχεις ἐθελοντὴς, κατά τε [P. 415] μηδὲν ἀδικοῦντος ὅπλα τοσαῦτα κινῶν ἀστῶν ἀναμὶξ καὶ ὁμοφύλων, καὶ πάντων ἀφειδῶν χρημάτων, καὶ πᾶσαν Ῥωμαίων γῆν διαφθείρων, καὶ νεὼς καθαιρῶν, καὶ μιασμάτων ἐμπιπλὰς ἱερὰ, καὶ πολυτρόπως τοῖς θείοις ἐμπαροινῶν, καὶ πάσης πολιὰν εὐγενείας ἐκ μέσου ποιῶν, καὶ πάντα φύρδην ἄνω καὶ κάτω κυκῶν καὶ διαστρέφων· ἵνα τί γένηται; ἵνα σὺ μόναρχος καταστῇς, μείζοσιν ἢ κατὰ σὲ καὶ τὴν τύχην τὴν σὴν ἐπιβάλλων πράγμασι, Τῆς ἀπονοίας· ὥσπερ ἂν εἰ μηδεὶς τῶν γινομένων ἐπόπτης δίκαιος ἦν, καὶ πάντα διοικῶν πρὸς τὸ βέλτιον, ἀλλ' ἀκυβέρνητον εἶχε τὸ πᾶν καὶ πλημμελῆ τὴν φοράν. Καὶ ταῦτ' οὐδὲ πρὸς τὰς ἐμὰς φυγὰς καὶ τύχας ἀπιδὼν συνέσεως ὁτιοῦν εἰς δυσώπησιν ἐδυνήθης λαβεῖν, ὅπως τοὺς μὲν φίλους, καὶ πολλὰς ὀφείλοντας ἔμοιγε χάριτας, ὡς πολεμίους ἐξώπλισε κατ' ἐμοῦ τὸ μανιῶδες τῆς γνώμης· τοὺς δ' ἐχθροὺς καὶ δυσμενεῖς, ὑφ' ὧν μοι προσῆκε πάσχειν μᾶλλον κακῶς, φίλους αἱ τῆς δίκης πλάστιγγες ἔδειξαν ἀκριβεῖς· καὶ ὃν ὁ ὑμέτερος κλύδων εἰς πυθμένας κατήνεγκε συμφορῶν, ὑπέρτερον παραδόξως ὑμῶν ἐπεπράχει Θεός. Καὶ νῦν, ὡς ὁρᾷς, ἐμοὶ μὲν ἐξουρίας ἅπαντά γε χωρεῖ, καὶ χωρήσει ξύν γε Θεῷ. Σὺ δ' ὅλους ἀνηλωκὼς χρημάτων σωροὺς, τῶν τ' ἐμῶν δηλαδὴ μεθ' ὅσα τοῖς βασιλικοῖς ἐνῆν πρυτανείοις καὶ ὅσα πᾶσιν εὐγενέσι ταμιευόμενα πέπραχας ἅρπαγμα λῃστρικὸν, οὐδὲν πλέον κατορθοῖς, ἢ τὸν Πηνελόπης ὑφαίνεις ἱστόν· ὃν παντημέριον ὑφαινόμενον τὸ σκότος ἀνέλυε τῆς κατόπιν νυκτός. Δῆλον οὖν ἂν ἐντεῦθεν εἴη καὶ τοῖς μικρὰ φρονοῦσιν, ὡς ὑμῖν μὲν ἀδικοῦ-

tium reverti quam celerrime volueris, auctorem præ desperatione secutus necessitatem, maximus erit de te risus": turpe enim esse Homeridæ dictitant,

mansisse diu vacuumque reverti.

Ac præterea urbes amissurus es, quas ego obeundo nullo ut spero labore capturus sum. Si vero, dum caves ne in illa pericula simul ac probra incidas, pertinaciter adhuc manseris; non poteris facere, quin præter risum de te multum capite etiam plectaris animamque ita violento fato effundas; tum videlicet cum urbs, tuum nunc perfugium, undique circumsessa, urgente me magnis cum copiis terra ac mari, in te, qui malorum auctor fueris, iram omnem vertet. Arcessam nempe non Thessalicum modo equitatum, et quidquid illinc copiarum est; sed tui quidem causa et Persicas ex Asia vires. Jam enim tu commisisti id primus, qui Persicam manum mei causa in cives immisisti. Injuriam autem simili facto ulcisci, culpa **665** vacare ipse si judicas, innocens certe ego, et concessæ veniæ testimonium accipio ab ipsis obtrectatoribus. Quod si factum illud meum in crimen adducas, jam tibi cogitandum est, quot et quantis criminibus te obnoxium ultro feceris, cum tot in me innocentem infidelium promiscue ac civium arma movisti, cum nulli sumptui pepercisti, cum totam Romanorum ditionem vastavisti, templa evertisti, sacra omni scelere violasti, cum in divina multifariam et petulantissime bacchatus es, cum omnis nobilitatis venerandam canitiem de medio sustulisti, cum omnia nullo discrimine sursum deorsum miscuisti atque invertisti; quo consilio? nimirum ut tu solus rerum potirere, majora te ac tua conditione affectans. Proh dementiam! quasi nullus foret arbiter justus, a quo aspiceretur quodcunque fit, a quo omnia quam optime administrarentur; sed universa nullo rectore, nulla lege irent. Ac ne quidem ad mea exsilia measque calamitates cum respiceres, erudiri ad verecundiam potuisti, cogitando quomodo eos quidem, qui mihi amici erant ac plurimum mihi debebant, animi sui furor in me tanquam hostes armaverit: inimicos autem, et eos, a quibus lædi me æquius erat, amicos mihi divinæ justitiæ lances veros ac certos probaverint; et quem vester ille æstus in profundos calamitatum fluctus merserat, eum Deus præter omnem opinionem vobis altiorem effecerit. Et nunc, ut vides, mihi quidem omnia flatu prospero eunt, et porro ibunt Deo juvante. Tu **666** vero consumptis pecuniarum acervis, mearum nempe, præter id omne quod principum ærariis inerat et quidquid apud nobiles omnes repositum latronibus rapiendum dedisti, nihil aliud nisi Penelopes telam texuisti, quam tota die elaboratam sequentis noctis umbra retexebat. Patet itaque inde cuivis

Variorum notæ.

(97) Homer. *Iliad.* II. Boivin.

etiam mediocris ingenii homini, minime Deum velle adesse vobis injuriam facientibus; mihi autem, qui injuria affectus sum, adfuturum esse maxime. Et tamen cum oporteat vos, divinam indignationem reveritos, furorem animi impotentem reprimere, nihilo magis vobis venit in mentem, tandem ut aliquando quiescatis. At nisi statim ipse fugitivus abeas, si te sinister aliquis genius, tecum habitans, ad septimam usque diem durare et manere hic cogat, videbis sane graviora multo dictis facta. »

III. Hæc locutus legatos dimisit. Ipse parari naviculam et rhedæ impositam clanculum alia de parte in mare deportari curavit, quod Berrhœa distat centum et sexaginta stadiis : atque ita misit legatos, Lydiæ satrapam Amurium arcessituros. Erat autem ferme illud tempus, quo Canis oritur.

σιν ἥκιστά συλλαμβάνειν ἐθέλει τὸ θεῖον· ἀδικουμένῳ δ' ἔμοιγε καὶ μάλα μάλιστα. Καὶ δέον ὑμᾶς, ἀφοσιουμένους τὴν ἐκ θεοῦ νέμεσιν, τὸ τῆς ὀργῆς ἐπίσχειν ἀταμίευτον, ὑμῖν δ' ἥρεμεῖν οὐκ εἰς μνήμην οὐδ' ὀψὲ τῶν χρόνων ἔρχεται. Ὅμως εἰ μὴ ἐν τῷ αὐτίκα φεύγων αὐτὸς οἰχήσῃ, κακοδαιμονία δέ τις συνέστιος κατὰ χώραν ἄχρι καὶ ἑς ἑβδόμην ἡμέραν διακαρτερεῖν ἀναγκάσει ἔργα λόγων ἔψει πολλῷ κραταιότερα.

Γ'. Ταῦτ' εἰπὼν τοὺς μὲν πρέσβεις ἀφῆκε πορεύεσθαι· αὐτὸς δ' ἀκάτιον κατεσκευακὼς λάθρα διὰμάξης κατήνεγκεν ἀλλαχόθεν εἰς θάλατταν, σταδίους Βερρόιας διέχουσαν ἑξήκοντα καὶ ἑκατόν, δι' οὗ τὴν καλέσουσαν ἀπεστάλκει πρεσβείαν τὸν τῆς Λυδίας σατράπην Ἀμούρ. Καὶ ἦν ὁ καιρὸς τηνικαῦτα παρὰ τὰς τοῦ Κυνὸς ἐπιτολάς.

CAPUT IX.

Apocauci responsum; cujus duæ partes : prima, de mendacii crimine; altera, de arcessitis Barbaris. Ejus viri mos perversus. Ut tentata per exercitum urbe Berrhœa, ipse Thessalonicæ manserit : arrogans idem et timidus. Sagittarium summittit, qui Cantacuzenum noctu occidat. Sagittarius ter frustra rem aggressus veniam petit ac dimittitur. Apocaucus pericula impendentia celeri fuga prævertitur, insciis Thessalonicensibus. Persæ apud eos relicti fœde et impune grassantur.

I. Reversis Berrhœa legatis, Apocaucus, ubi renuntiata audiit : « Ego vero, inquit, nunquam hoc dederim degeneris animi esse, ac non omnino dignum eo, qui exercitibus præsit, mentiri aliquando. Quin illud pernecessarium esse dixerim, et omnium quidem maxime imperatori. Cum enim duæ res sint, veritas et mendacium, unum ex utraque re emolumentum **667** percipit imperator, prout videt in hanc vel illam partem necessitate impellente inclinare utilitatem. Ac philosophorum quidem, et eorum qui vitæ societati non omnino student, proprium fuerit linguam ab omni mendacio alienam et sinceram servare, cum nulla sit iis vitæ cura, quæ ut recedant a veritate persuadeat. At il quibus, si vera dicant, metus est, ne universas civitates ac totos exercitus perdant, mentientibus autem spes est integram omnium salutem vindicandi, quo non illi amentiæ perveniant, si perniciosam veritatem utili mendacio priorem habeant? Enimvero ego centies maluerim, si possim, mentiendo servare et urbes et exercitus, quam servata veritate omnia sponte pessumdare. Cum enim re et substantia careat mendacium, hoc qui utatur, eum necesse est, quando mentitur, nihil aliud nisi id agere, ut substantia veritatis silentio quodam ac parciore usu prematur; quemadmodum in supellectili, quæ sumptuosissima sunt ac pretiosissima, ea a dominis nunc absconduntur, quia ita expedit; nunc homi-

[P. 416] Α'. Ἐπανιόντων δὲ τῶν πρέσβεων ἐκ Βερρόιας, Ἀπόκαυκος διακηκούς, « Ἐγὼ δ' οὐκ ἄν ποθ' ὁμολογήσαιμι νόθον εἶναι καὶ μὴ πάνυ προσῆκον τοῖς στρατηγεῖν αἱρουμένοις (ἔφη) τὸ ψεύδεσθαι, ὅτι μὴ καὶ μάλιστά σφισιν ἁπάντων εἶναι τῶν ἀναγκαιοτάτων. Δυοῖν γὰρ ὄντοιν πραγμάτοιν, ἀληθείας καὶ ψεύδους, ἓν ἐξ ἀμφοτέρων πορίζεται κέρδος ὁ στρατηγὸς (98), καθ' ὁπότερον ἴδῃ συνωθοῦσαν τὸ συμφέρον τὴν τῆς χρείας ἀνάγκην. Φιλοσόφοις γὰρ καὶ ὅσοις τὸ μὴ πάντη τοῦ βίου κοινωνικὸν πραγματεύσεται ἴδιον ἂν εἴη τὸ ψεύδους παντὸς ἄμικτόν τε καὶ ἀβαφῆ τὴν γλῶτταν τηρεῖν, οἷς οὐδεμία πρόσεστι βίου φροντὶς, παρεννηνέχθαι τῆς ἀληθείας πείθουσα. Οἷς δ' ἀληθεύσασι μὲν ἐνίοτε διακινδυνεύεται πόλεις αὐτάνδρους καὶ στρατόπεδα πάντ' ἀπολέσθαι, ψευσαμένοις δ' ὅλην ἀκραιφνῆ χαρίσασθαι σωτηρίαν· ποῦ οὐκ ἂν ἀτοπίας ἐλαύνοι, πρὸ τοῦ συμφέροντος ψεύδους αἱρεῖσθαι τὸ τὰ ἔσχατα βλάπτον τῆς ἀληθείας; Ἐγὼ γὰρ μυριάκις ἂν ἑλοίμην, ἐξὸν μετὰ τοῦ ψεύδεσθαι, σώζειν καὶ πόλεις ὁμοῦ καὶ στρατόπεδα, τοῦ γε ξὺν τῇ ἀληθείᾳ πρὸς βάραθρον ἀπωλείας ἐλαύνειν ἅπαντ' ἐκών. Ἀνυποστάτου γὰρ ὄντος καὶ ἀνουσίου τοῦ ψεύδους, ἀνάγκη τὸν τούτῳ χρώμενον, ὁπότε χρῷτο, μηδὲν ἄλλο γε δρᾷν, ἢ σιωπήν τινα καὶ ψειδῶ τῆς ἀληθοῦς οὐσίας πραγματεύεσθαι· καθάπερ δήπου καὶ ὅσα τῶν κειμηλίων πολυτελέστερά τε καὶ τιμιώτερα τοῖς ἔχουσι νῦν μὲν καλύπτεται τοῦ συμφέροντος εἵνεκα, νῦν δ' ὥσπερ ἀνακαλυπτήρια θύειν (99) τοῖς τῶν ἀνθρώπων ὀφ-

Variorum notæ.

(98) Τοῦ γὰρ αὐτοῦ γλιχόμεθα οἵ τε ψευδόμενοι καὶ οἱ τῇ ἀληθείᾳ διαχρεώμενοι. Οἱ μέν γε ψεύδονται τόδε, ἐπάν τι μέλλωσι τοῖσι ψεύδεσι πείσαντες κερδήσεσθαι· οἱ δ' ἀληθίζονταί τι, ἵνα τῇ ἀληθηίῃ ἐπισπάσωνται κέρδος, etc. Darius apud Herodotum in *Thalia*. Boivin.

(99) Scitum quid Græcis sit ἀναχαλυπτήριον, dies scilicet, quo sponsa sive nova nupta facie retecta prodit. Vide Hesych., Pollucem, et alios. Ducang.—Νῦν δ' ὥσπερ ἀναχαλυπτήρια θύειν etc. Sensum expressi; verba non reddidi. Ἀναχαλυπτήρια θύειν hoc loco idem est atque ἀναχαλύπτεσθαι.

θαλμοῖς τὸν ἴσον ἔξεστι τρόπον. Ὥστ' οὐ δικαίως ὁ Καντακουζηνὸς τὴν γραφὴν ἐμοὶ τοῦ ψεύδεσθαι, ὡς γε οἶμαι, προστρίβεται, τοῦ λυσιτελοῦς ὡς μάλιστα ποιουμένῳ τὴν πρόνοιαν. Ἐγὼ γὰρ ἐλάττωμα ἂν ἡγησάμην εἰ μὴ τοιοῦτος εἴην· κἀκείνῳ δ' αὖ, εἰ στρατηγοῦ ποιεῖν ἐβούλετο πρᾶγμα, τότ' ἂν με λοιδορεῖν ἐχρῆν, ὅτε μὴ οὕτω τοῖς ἀνὰ χεῖρας ἐώρα με πράγμασι προσιόντα. Ἐμὲ δ' ἐκεῖνο μάλιστα πάντων ἐπαίρει θαυμάζειν ἐκείνου, πῶς ταῦτ' ἐπείγεται ὀρᾷν, [P. 417] οἷς ὀνειδίζων ἐκτόπως ἐμοὶ λοιδορεῖται, τὴν βαρβαρικήν φημι καὶ ἀλλόφυλον συμμαχίαν. Εἰ γὰρ ἐν ἀλλοτρίοις πταίσμασιν ἰδίαν ἀσφάλειαν ἐγκωμίων αὐτὸς ἐπορίσατο καὶ τῷ ὄντι τά μοι πεπραγμένα μεμίσηκε, ποθεῖν οὐκ ἐχρῆν, οὐδὲ μιμεῖσθαι. Τὸ γὰρ μιμεῖσθαι φιλοῦντός ἐστιν, οὐ μισοῦντος, καὶ θαυμάζοντος μᾶλλον ἢ ψέγοντος. Οὐδεὶς γὰρ ἃ μισεῖ ὁρᾷν ἐκ ψυχῆς ἐπείγεται, τοῦ βιαζομένου παντὸς ἐκ ποδῶν ἱσταμένου. Εἰ δὲ γλώττῃ μὲν λοιδορεῖται τούτοις οἷς ἐμὲ πράττοντα βλέπει, ἔργοις δ' οὐχ ὅπως οὐκ ἀποσπεύδει τὴν μίμησιν, ἀλλὰ καὶ προσεπιδαψιλεύεται, δῆλον ὡς οὐχ ὅτι μισῶν λοιδορεῖται, ἀλλ' ὅτι μὴ πρῶτος αὐτὸς ἐπεπράχει δυσχεραίνει· ὥστε δυοῖν ὁπότερον καθ' ἑτέρου ψηφισθείη, καὶ θατέρῳ τοῦτο δικαίως ἀκολουθήσῃ, καὶ ὁμοίως ἀμφοτέροις ἢ τὰ τῆς ἐπιτιμήσεως ἢ τὰ τῆς συγγνώμης ἐφ' ὁμοίοις τοῖς πράγμασιν ἕψεται. »

A num oculis, velut novæ nuptæ posito flammeolo, possunt eamdem ob causam spectanda offerri. Non juste itaque Cantacuzenus crimen mihi mendacii (ut quidem puto) inurit : mihi inquam, qui utilitatis potissimam rationem habeo. Imo ego me minoris æstimandum putarem, si ejusmodi non essem. Iste autem, si id quod imperatoris erat facere voluisset, tunc mihi debuit convitiari, cum videbat me non aggredi ea quæ exsequi tam facile et **668** promptum esset. Jam vero cum ut mirer hoc maxime inducor, quod ea facere molitur, quæ mihi ut probra insolenter objicit : armorum dico cum Barbaris et alienigenis societatem. Nam si in alienis ruinis laudum suarum stabilitatem collocavit, et revera odio illi sunt ea quæ gessi, affectare atque imitari haud oportebat. Imitari quippe B amantis est, non aversantis, et ejus magis qui admiretur, quam ejus qui vituperet. Nemo enim quas res odit, eas vere et ex animo, cum omnis vis abest, facere studet. Quod si ea, quæ per me fieri videt, lingua quidem ille criminatur, re autem ipsa non solum non abhorret ab imitando, sed et insuper cumulum addit : evidens est eum, non quia oderit, criminari, sed quia primus haud fecerit, ideo moleste ferre. Utracunque igitur in unum e nobis lex lata fuerit, ea in alterum etiam merito cadat necesse est, et ex similibus factis similem utrinque consequi reprehensionem aut veniam. »

Β'. Ἐκεῖνος μὲν οὖν ταῦτ' ἔλεξε, σφόδρα τῆς ἑαυτοῦ καταψευδόμενος φύσεως, καὶ πιθανότητι γλώττης τὴν τῶν πραγμάτων ὑποκλέπτων ἀλήθειαν. Ἔθος γὰρ αὐτῷ διηνεκὲς τοῦτο, καὶ πολλάκις τούτῳ περιφανῶς ἐνεκαλλωπίσατο, ἕτερα μὲν τῇ γλώττῃ προφέρειν, ἕτερα δ' ἐν τῇ διανοίᾳ καλύπτειν, καὶ μαχομένην δεικνύειν τῇ γλώττῃ τῶν λογισμῶν τὴν μελέτην. Πολλὰ μὲν οὖν κάνταῦθα τῇ γλώττῃ θρασυνόμενος τοῖς ἔργοις ἠλέγχετο. Αὐτὸς μὲν γὰρ διὰ δέος ἐν Θεσσαλονίκῃ παρέμεινε· τὴν δὲ στρατιὰν τῶν ἐπισήμων ἑνὶ παραδοὺς ἐπὶ Βέρροιαν ἔπεμψε, παραγγελλας ἄχρι τριῶν ἐκεῖ παραδείξαντας ἑαυτοὺς ἡμερῶν τὴν ταχίστην ἐπανιέναι. Οὐ γὰρ δράσοντάς τι γενναῖον σφᾶς ἐπεπόμφει· τῶν γὰρ ἀμηχάνων ἐν ἐδόκει τοῦτ' αὐτῷ· ἀλλ' ὅσον μὴ φωραθῆναι τὴν τούτου δειλίαν τοῖς πλείστοις. Τοῦ γάρ τοι θράσους ἀνδρίᾳ καὶ τόλμῃ πολεμικῇ συνοικεῖν οὐδαμῇ δυναμένου, πῶς ἂν αὐτὸς, μακρὸν μὲν ἐν τῇ γλώττῃ τὸ θράσος ἔχων, μακροτέραν δ' ἐν τῇ ψυχῇ τὴν δειλίαν γεγυμνωμένοις ξίφεσιν ἢ αὐτός ποθ' ὁμιλήσειεν, ἢ πείσειεν ἄλλους; θᾶττον μεντἂν τοῦ σώματος ἀπορρηγνυμένην θεάσαιτο τὴν ψυχὴν, ἢ συρρηγνυμένου πολέμου πάταγον ὅπλων ἀκούσειεν.

C II. Hæc sunt, quæ ille dixit, de sua indole admodum mentiens, ac sermonis probabilitate rerum veritatem obscurans. Mos enim hic illi perpetuus fuit : eoque se palam sæpe tanquam ornamento aliquo venditavit, quod aliud ore pronuntiaret, aliud in animo occultum haberet, et pugnare cum lingua consilia ejus et cogitationes appareret. Multam igitur tum quoque audaciam verbis professus factis redarguebatur. Nam ipse quidem Thessalonicæ mansit præ metu : **669** exercitum autem uni ex primoribus commissum Berrhœam misit, præcepitque, postquam se illic per tres dies ostentassent, ut redirent quam celerrime. Non enim ut aliquid præclari facerent, eos miserat ; qui nullo modo fieri id posse existimabat ; D sed ut ne a plerisque timiditas ejus deprehenderetur. Enimvero si nulla esse potest arrogantiæ cum fortitudine et bellica magnanimitate societas ; quomodo ille, cui tantum in lingua arrogantiæ erat, in animo autem timiditatis multo plus, nudatis ensibus aut ipse interfuisset, aut aliis ut interessent persuasisset ? Citius profecto erumpentem corpore animam vidisset, quam in belli conflictu sonitum audiisset armorum.

Γ'. Ἐπεὶ τοίνυν παρρησιασμένῃ μάχῃ τὸν πολέμιον οὐκ ἐνῆν κατεργάσασθαι, πρὸς τὰς ἐν κρυφῇ

III. Quia igitur aperto Marte hostem profligare haud poterat, ad suas illas denuo occultas artes

Variorum notæ.

Proprie dicitur de novis nuptis, quæ quo die flammeolum ponebant, dona a marito et ab amicis mariti accipiebant, dicta idcirco ἀνακαλυπτήρια. Bonn.

et obscuros dolos respexit. Et cum audivisset imperatoris domum juxta muros sitam in urbe esse, eaque solitum illum regredi circa medias noctes solum, ac plerumque incustoditum, ut circumspiceret e propugnaculis, exploraretque, num extrinsecus hostium copiæ ingruerent; et qua vigilantia urbem intus custodirent sive ii qui per urbem mediam armati obambulabant et vias circumibant, sive ii qui turrim quamlibet aut turriculam sortiti, crebris clamoribus sese mutuo compellantes, nocturna intervalla metiebantur; magna mercede quemdam conduxit ex iis qui singularem habent ad tractandum arcum dexteritatem, et **670** cum Berrhœam clanculum misit, præcepitque, ut cum domo egressurus esset noctu imperator, ei mortiferum vulnus infligeret; ac statim propugnaculis lapsus per funem ad castra illæsus ac salvus sese reciperet. Cum itaque advenisset hora, atque imperator solitam juxta mœnia ambulationem repeteret, ter statim sagittarius arcum tetendit; ter sensit in jaculando telo aberrasse se, cum illico manus quasi quodam torpore obriguisset telumque in terram velut mortuum projecisset. Ferunt autem cum tertio experiretur, ruptum arcus nervum; stupore deinde ac metu correptum hominem ad imperatorem primo mane accessisse, dolumque ei cum magna animi commotione patefecisse, et quod acciderat in tendendo arcu prodigium. Ipse itaque impetrata venia abiit.

συνήθεις αὖθις ἔδλεψε μηχανὰς καὶ τοὺς λαθραίους δόλους. Κἀπειδή γε ἠκηκόει τὴν βασιλέως οἰκίαν εἶναι παρὰ τὸ τεῖχος τῆς πόλεως ἔνδον· ἀφ' ἧς ἐξιόντα τὸν βασιλέα περὶ μέσας που νύκτας μεμονωμένον τε καὶ ἀφύλακτον ὡς τὰ πολλὰ περισκοπεῖν ἐκ τῶν ἐπάλξεων, εἰ ἔπιοιεν ἔξωθεν αἱ τῶν ἀντιπάλων δυνάμεις [P. 418] καὶ ὅπως ἂν ἐγρηγόρσεως ἔχοιεν οἱ τὴν πόλιν ἔνδοθεν φρουροῦντες, ὅσοι τε τὰς κατὰ μέσην τὴν πόλιν ἔνοπλοι περιῄεσαν ἀγυιὰς καὶ ὅσοι πάντα πύργον καὶ πᾶν ἡμιπύργιον διαλαγχάνοντες φωναῖς ἀλλεπαλλήλοις τὰ νυκτερινὰ παρεμετροῦντο διαστήματα· πολλοῦ τινος ἐπρίατο μισθοῦ (1) τῶν εὐφυῶς ἐχόντων τῆς τοξικῆς ἀσκήσεως ἕνα τινὰ, καὶ τοῦτον εἰς Βέρροιαν πέμψας κατὰ τὸ λεληθὸς παρήγγειλε νύκτωρ ἐξιόντα τῆς οἰκίας τὸν βασιλέα καιρίαν βαλεῖν ἐκ τοῦ τείχους, καὶ παραχρῆμα σχοίνῳ διὰ τῶν ἐπάλξεων διεκπεσόντα πρὸς τὸ στρατόπεδον ἀπαθῆ τὴν σωτηρίαν ποιήσασθαι. Τῆς τοίνυν ὥρας ἐληλυθυίας, ἐν ᾗ τὸν βασιλέα τῷ εἰωθότι χρῆσθαι γίγονε περιπάτῳ παρὰ τὸ τεῖχος τῆς πόλεως, τρὶς μὲν εὐθὺς ὁ τοξότης ἐκεῖνος ἐτείνετο τὸ τόξον· τρὶς δ' ἀτυχῶν περὶ τὴν ἀποστολὴν τοῦ βέλους ἠσθάνετο, νάρκης οἱονεί τινος ἐμπεδούσης παραχρῆμα τὴν χεῖρα καὶ κατὰ γῆς νεκρὸν τὸ βέλος ῥιπτούσης. Τῆς μέντοι τοῦ τόξου νευρᾶς ἐν τῇ τρίτῃ ῥαγείσης πείρᾳ, ἐκπλήξει καὶ δέει ληφθέντα τὸν ἄνθρωπον ἅμα ἕῳ προσιέναι τε τῷ βασιλεῖ καὶ τόν τε δόλον ἐξαγγεῖλαι περιπαθῶς· καὶ ὁ περὶ τὴν τάσιν τοῦ τόξου συμπέπτωκε τέρας. Αὐτὸς μὲν οὖν συγγνώμης τυχὼν ἐπορεύετο.

IV. Apocaucus vero, cum videret non continuo adesse sibi auxiliares a Triballis copias, paulatim ad desperationem animo vergebat. Verebatur enim, ne statim imperator accitis Thessalorum armis in extremum discrimen adduceret ipsius exercitum. Non multis itaque post diebus castra moveri jussit, tum ob alia, tum maxime quia recens ad omnes fama pervenerat, infestissimum nuntians Persicæ classis adventum, quem ille pejus letho extimescebat. Perpaucis igitur ei ipse diebus Thessalonicæ consumptis, pauculis cum navibus, et illis quidem expeditissimis, in altum delatus abiit. Etenim suspicatus erat, optima certe conjectura, **671** si semel timere eum ac fugam meditari sensissent ii qui in urbe erant, deorum alterum eventurum esse: aut enim ipsum a Thessalonicensibus retentum iri, propulsatorem ac participem futurum imminentis obsidionis, aut cum eo coactum iri migrare tum omnes triremes, tum illam Persarum classem, quæ ipsum secuta erat eodem consilio: quod quidem malorum omnium gravissimum ducebat sibi, et maximis periculis plenum. Nam et multitudo in fuga impedimentum est haud mediocre, et præterea classem externam secum habere cum aliam classem fugeret, sibi quidem inimicam, amicam autem ei quam

Δ'. Ὁ δ' Ἀπόκαυκος, ὁρῶν οὐ ταχεῖαν ἰοῦσαν τὴν ἐκ τῶν Τριβαλλῶν αὐτῷ σύμμαχον δύναμιν, ἠρέμα πρὸς ἀπογνώσεις ἐχώρει τῇ γνώμῃ. Ἐδεδίει γὰρ, μὴ αἰφνίδιον ὁ βασιλεὺς τὰ Θετταλικὰ μεταπεμψάμενος ὅπλα πρὸς τοὺς ἐσχάτους ὥθῃ κινδύνους αὐτοῦ τὰ στρατεύματα. Οὐ μετὰ πολλὰ; οὖν ἐκεῖθεν τὰς ἡμέρας ἀναζευγνύειν ἐκέλευε τά τε ἄλλα καὶ μάλισθ' ὅτι καὶ φήμη πάντας ἄρτι ἐπεπορεύετο, τὴν τοῦ Περτικοῦ στόλου βαρεῖαν διαγγέλλουσα ἔφοδον, ἣν καὶ παντὸς ἐνόμιζε θανάτου φοβερωτέραν. Διὸ καὶ κομιδῇ βραχείας τῇ Θεσσαλονίκῃ ἐνδιατετριφὼς καὶ αὐτὸς ἡμέρας ὤχετο οὐν ὀλίγαις ναυσὶν ἀποπλεύσας, καὶ ταύταις ταχυναυτούσαις ὡς μάλιστα. Ὑπωπτευκὼς γὰρ ἦν, καὶ μάλα κατὰ σκοπὸν, ὡς αἰσθήσεως γενομένης ἀνὰ τὴν πόλιν τοῦ φόβου τε καὶ τῆς γε τοῦ δρασμοῦ μελέτης, δυοῖν ἕψεται θάτερον· ἢ γὰρ καθέξειν αὐτὸν τοὺς Θεσσαλονικέας ἐπίκουρόν τε καὶ κοινωνὸν τῆς προσδοκωμένης πολιορκίας, ἢ βιάσασθαι συναποπλεῖν αὐτῷ τάς τε τριήρεις πάσας καὶ ἅμα τὴν σύν γε αὐτῷ ναυστολήσασαν Περσικὴν δύναμιν μεθ' ὁμοίας τῆς γνώμης· ὃ μεῖζον τῶν ἄλλων ἐνόμιζεν εἶναι κακῶν ἑαυτῷ, καὶ κινδύνων μειζόνων μεστόν. Τό τε γὰρ πλῆθος ἐν ταῖς φυγαῖς ἐμπόδιον οὐ μικρόν· καὶ πρός γε τὸ δύναμιν ἀλλόφυλον ἑπομένην ἔχειν, φεύγοντα δύναμιν ἄλλην, ἐχθρὰν μὲν αὐτῷ, φίλην δὲ καὶ ὁμόφυλον ταῖς ἑπο-

Variorum notæ.

(1) Rem narrat Cantacuzen. lib. III, cap. 61, a quo is Alusianus appellatur. DUCANG.

μέναις αὐτῷ [P. 419] Περσικαῖς ταύταις ναυσὶν, ὅμοιον ἐλογίζετο, ὥσπερ ἂν εἴ τις τὸν ἔξωθεν ἀνασοβεῖν τῆς οἰκίας ἐπειγόμενος ἐμπρησμὸν ἔνδοθεν ἐκὼν αὐτὴν ὑφῆπτεν αὐτὸς, σπουδαιοτέραν τινὰ τὴν ἐπικουρίαν οὕτω πως τἀλλοτρίῳ πυρὶ μηχανώμενος. Ταῦτ' οὖν ἅπαντ' ἐν νῷ συλλαβὼν ᾤχετο λάθρα φυγών, ὡς ἡμῖν γε δεδήλωται.

secum habebat Persarum classi, atque ejusdem gentis; id quidem illi perinde habebatur, ut si quis festinans arcere ædibus externum incendium eas ipse introrsum sciens ac prudens incenderet, isto videlicet tanquam præsentiori remedio adversus externum ignem excogitato. Hæc igitur ille omnia animo complexus clam, ut diximus, aufugit.

Ε'. Ὅσαι μὲν οὖν ἁρπαγαί τε (2) καὶ ἀνδραποδισμοὶ τοῖς ἐναπολειφθεῖσιν ἐγίνοντο Πέρσαις ἐκεῖ κατὰ τῶν εὐσεβῶν, καὶ ὅσαι κατὰ τῶν ἱερῶν ἀτοπίαι κατὰ τὸ ἀφειδὲς ἐτολμῶντο, ῥᾴδιον οὐκ ἂν εἴη διεξιέναι, βουλομένοις ἐφ' ἕτερα τρέπειν τοῦ λόγου τὸν δρόμον ἡμῖν. Ἴσασι δ' οὖν οἱ παθόντες, καὶ ὅσοι τῶν τοιούτων οὐ μάλα πεφύκασιν ἀδαεῖς ἀποσυλᾶν εἰκασμοὺς κἀξ ὧν γε τεθέανται ξυμβάλλειν καὶ ἃ μὴ τεθέανται.

V. At Persæ ibi relicti quantum grassati sint in Christianos, tum diripiendo, tum homines in servitutem redigendo; qua audacia et quam intemperanter sacris illuserint, facile haud fuerit nobis commemorare, orationis nostræ cursum vertere alio volentibus. Norunt certe ii qui passi sunt, et quicunque non ita sunt earum rerum rudes, ut conjecturam de iis capere, atque ex iis quæ viderint ea quæ non viderint colligere haud possint.

CAPUT X.

Classis Persica, duce Amurio, multis navibus tempestate amissis, ad Eubœam primum, deinde prope Thessalonicam appellitur. Persæ prædatum in Triballorum fines exeunt. Cantacuzenus Berrhœæ urbis cura commissa Manueli filio, indolis eximiæ adolescenti, confert se ad Amurium: Thessalonicensium res valde angustæ. Divitum et pauperum studia contraria. Tertia factio, duabus illis pejor. Divites in proditionis crimen vocantur. Pauperes ambitiosi, qui et zelotæ, in illos insurgunt. Plebem infimam sibi adjungunt. Vi, rapinis et cædibus grassantur. Divitum miserrima conditio. Eorumdem spes irrita. Amurius urbem vi expugnandam censet. Cantacuzenus, Demetrium martyrem reverilus, mavult deditionem expectare. Soluta obsidione, milites Amuriani alii domum redeunt, alii cum duce Cantacuzenum sequuntur. Quem Amurius partim joco, partim serio reprehendit. Uterque junctis copiis urbes Thraciæ sollicitatum eunt.

Α'. Βραχεῖαι παρῆλθον ἡμέραι καὶ ἡ ναυτικὴ τῶν Περσῶν κατέπλευσε δύναμις (3), ἐς ἔγγιστα διακοσίων νεῶν ἀναφερομένη τὸ πλήρωμα καὶ ναύαρχον ἔχουσα τὸν τῆς Λυδίας σατράπην Ἀμούρ· ὃς οὐκ εἰς τὸ τῶν Θεσσαλονικέων ἐπίνειον κατᾶραι τὸν στόλον ἀφῆκεν, ἀλλ' ἴδιον αὐτὸς ἐποιήσατο ναύσταθμον (4), σταδίοις Θεσσαλονίκης ἀπέχον οὐχ ἧττον ἑξήκοντα. Οὐ μὴν τοσαύτας ἔχων τῆς Ἀσίας ἐξέπλευσεν· ἀλλὰ τριακοσίαις μὲν ταῖς πάσαις ἀνήχθη· ναυαγίᾳ δὲ χρησάμενος κατὰ τὸν ἀνάπλουν (5), ἀγριωτέρων τῶν ἀπαρκτίων τηνικαῦτα ῥευσάντων πνευμάτων, αὐτὸς μὲν σὺν ταῖς εἰρημέναις ἐκτοπισθεὶς ἄκων εἰς Εὔβοιαν ἐξώκειλε, καὶ ταύταις ἀπ' ἀλλήλων ὡς τὰ πολλὰ διεσκεδασμέναις· αἱ δ' ἄλλαι κατ' ἄλλα μέρη διεσώθησαν τῆς Εὐρώπης, ὅσαι μήτ' ἐν ταῖς ἀκταῖς συνετρίβησαν, μήτε κύμασι [P. 420] διαναυμαχήσασαι κατηνέχθησαν ἀβτανδροι. Βουλευομένου δ' ἐκεῖθεν ἐπὶ συχναῖς ἡμέραις ἐξ Εὐβοίας πεζῇ διὰ Θετταλίας ἰέναι ἐς Βέρροιαν, αὐτόθι τὰς νεῦς καταφλέξαντα πρότερον, ἐῤῥάϊσε μὲν ἡ τῶν κυμάτων ὕβρις ὀψέ· μαλακώτερον δ' ἐξ ἀπογείων προσβαλεῖν ἤρξατο τοῖς ἱστίοις τὸ πνεῦμα. Ὅθεν καὶ ἄραντες ἐκεῖθεν ἠθροίσθησαν ἐς ὃν δεδηλώκαμεν ναύσταθμον, τῆς Θεσσαλονικέων πόλεως ἄγχιστα.

I. Paucis diebus interjectis navales Persarum copiæ advectæ sunt, **672** quam proxime ducentarum navium numerum explentes, duce Amurio, Lydiæ satrapa: qui classem suam non ad Thessalonicensem portum appulit, sed propriam sibi ipse stationem paravit, non minus sexaginta stadiis a Thessalonica distantem. Atqui ille cum Asia decederet, non cum eo navium numero, sed cum totis trecentis solverat. Facto autem inter navigandum naufragio, cum asperiores ab Arcto auræ ingruissent, ipse quidem in Eubœam vi abreptus erat cum illis, quas dixi, navibus, iisque maxima ex parte ab invicem dispersis. Aliæ vero ad alias Europæ oras salvæ evaserant, exceptis iis quæ aut in littora illiserant, aut iniquis fluctibus conflictatæ ipsis cum hominibus demersæ fuerant. Cumque ille multos dies deliberasset, an ex Eubœa per Thessaliam pedestri itinere, navibus antea incensis, Berrhœam sibi eundum foret, deliberuerat tandem fluctuum insolentia, cœperatque aura clementior velis aspirare a terra. Inde itaque cum solvissent, ad eam, quam diximus, stationem convenerant proxime Thessalonicam.

Β'. Οἱ μὲν οὖν πλείους, τὴν ἱκανὴν ἀπολιπόντες φρουρὰν ταῖς νυυσὶν, ἐπὶ λείαν εὐθὺς ὥρμησαν, καὶ τὰ πλείω τῶν Τριβαλλοῖς ὑπεικόντων χωρίων ἐκάκω-

II. Relicto igitur præsidio, quantum ad custodiendas naves satis erat, ad prædam statim bona pars egressi sunt, et pleraque Triballorum ditionis

Variorum notæ.

(2) Cantacuz. lib. III, cap. 62. DUCANG.
(3) Cantacuz. lib. III, cap. 65. DUCANG.
(4) Ad Clopam, haud procul a Thessalonica. Cantacuzen. cap. 63 extremo. DUCANG.
(5) Ventis ad Eubœam retentis, ut ait Cantacuzen. cap. 63. DUCANG.

loca maxime afflixerunt, homines ac pecora ex agris abigentes, atque etiam multis gladium hostilem impune intentantes. Cum autem ibi Persicæ classis **673** dux substitisset, venit ad eum paulo post et imperator Berrhœa egressus, mandata Manueli filio rerum administratione. Qui cum ætate vix ephebum excederet, nec dum malæ prima lanugine florerent, senilem in animo alebat prudentiam, et simul cum patre longinquæ ac subdialis militiæ mala diu perpessus præclaro usu ad imperandi disciplinam exercitatus erat; atque ob id ipsum ei imperator ac pater illius urbis regimen crediderat, quæ ipsi hactenus fundamentum ac radix fuerat fortunæ in melius mutandæ. Cum itaque inde excessisset imperator, et circa Thessalonicæ campos Persici exercitus ducem offendisset, eumque ut par erat salutasset, ambo quid facto opus foret inter se deliberarunt.

σαν (6) μάλιστα, ἀνθρώπους καὶ βοσκήματα συναρπάζοντες ἐξ ἀγρῶν, καὶ οἰκίας πυρπολοῦντες, καὶ πολλοῖς τὸν πολέμιον σίδηρον καταφέροντες ἀνταγώνιστον. Τῷ γε μὴν ναυάρχῳ τοῦ στόλου κατὰ χώραν μείναντι ἦκε μετὰ βραχὺ καὶ ὁ βασιλεὺς ἐκ Βερροίας, τῶν ἐκεῖ πραγμάτων ἐπίτροπον (7) τὸν υἱὸν καταλελοιπὼς Μανουήλ· ὃς ἄρτι καθ' ἡλικίαν τὸν ἔφηβον παραλλάττων, καὶ μήπω μηδὲ τὸν πρῶτον ἀνθήσας ἴουλον ἐν ταῖς παρειαῖς, πρεσβυτικὴν ἐν τῇ ψυχῇ τὴν σύνεσιν ἔθρεπτε καὶ ἅμα τῷ πατρὶ πρὸς ταῖς ὑπερορίοις καὶ ὑπαίθροις στρατοπεδείαις μακρὰ συγκακοπαθήσας πρὸς λαμπρὸν τῆς στρατηγικῆς ἐμπειρίας γεγύμνασται ἄσκησιν· καὶ δι' αὐτό γέ τοι τοῦτ' τὴν τῆς τοιαύτης πόλεως ὁ βασιλεὺς καὶ πατὴρ ἐπεπιστεύκει ἐπιτροπήν, ἡ χρηπὶς καὶ ῥίζα τέως αὐτῷ τῆς ἐκ τῶν χειρόνων ἐς τὰς βελτίους τύχας κατέστη μεταβολῆς. Οὕτω τοίνυν ἐλθὼν ἐκ Βερροίας ὁ βασιλεὺς, καὶ ἀμφὶ τοὺς τῆς Θεσσαλονίκης ἀγροὺς τῷ τῆς Περσικῆς δυνάμεως ἐντετυχηκὼς ἡγεμόνι (8), καὶ ἀσπασάμενος τὰ εἰκότα, περὶ τῶν πραχτέων ἀμφὶ αὐτὰ σφᾶς ἐβουλεύοντο.

III. Thessalonicenses autem, cum gregibus atque armentis intra muros conclusi, et ipsi rerum necessariarum penuria laborabant, et bestiis deerat, quo alerentur. Quæ cum frequentes quotidie caderent, et teter inde odor aerem corrupisset, hinc factum est, ut cum id cives ægre ferrent, aperta seditio oriretur. Quibus enim ruri possessiones erant, iis agros vastari grave erat. Sed et qui pecudum greges, et boum juga, et jumenta alia quælibet habebant, ii quoque molestia afficiebantur, cum et illarum rerum jacere confusam stragem, et suas de illis spes simul omnes intermori viderent. Quibus autem coæva paupertas inoleverat, **674** angusta re animum acribus stimulis urgente, ii turbarum et tumultuum novorum cupiditate fervebant, et oculorum malignitatem in divites intendebant, et furorem animi sui gestiebant exercere.

Γ'. Τοῖς γε μὴν Θεσσαλονικεῦσι, τειχῶν ἐντὸς συγκλεισθεῖσι μετὰ τῶν ποιμνίων καὶ βουκολίων, αὐτοῖς τε ἐστενοχωρεῖτο τὰ ἐπιτήδεια καὶ τοῖς ἀλόγοις ζώοις χιλὸς οὐκ ἦν· ἃ δὴ καὶ καθ' ἡμέραν ἄλλα ἐπ' ἄλλοις ἔπιπτον, καὶ τὸ ἐντεῦθεν δυσωδίας νοσεῖν παρεσκεύαζε τὸν ἀέρα· ὑφ' ὧν ἀχθομένοις συνέβαινε στασιάζειν λαμπρῶς τοῖς πολίταις. Οἷς μὲν γὰρ κτήσεις (9) ἦσαν ἀγρῶν, ἄχθεσθαι ἐνῆν, τῶν ἀγρῶν δηουμένων· οἷς δ' ἀγέλαι ποιμνίων, καὶ ζεύγη βοῶν, καὶ ὁπόσα τῶν ἀχθοφόρων ζώων, ἀνιᾶσθαι συνέβαινε καὶ αὐτοῖς, αὐτά τε θεωμένοις εἰκῇ φθειρόμενα καὶ ἀθρόας τὰς ἐπ' αὐτοῖς ἐλπίδας θνησκούσας αὐτῶν. Οἷς δ' ἡλικιῶτις ἦν ἡ πενία καὶ τὸ κοῦφον τοῦ βίου· τὸ μὴ βουλόμενον ἰσχυρῶς ἐμάστιξε τῆς ψυχῆς, τούτοις δ' ἔφεσις νεωτέρων συνῆκμαζε ταραχῶν καὶ θορύβων, καὶ κατὰ τῶν πλουσίων ἡ βασκανία (10) τῶν ὀφθαλμῶν ἐτείνετο, καὶ τὸ μανικὸν ἠσκεῖτο σκόρα τῆς γνώμης.

IV. His ita bifariam divisis, etiam tertia quædam factio accessit, plebis colluvies, quæ de jure aut injuria nihil quidquam audit; sed facile tanquam instrumentum a quolibet volente trahitur, quocunque animi præit pervicacia, in perniciem eorum quibus invidetur. Neque enim ejusmodi homines suam libidinem dominam ferre possunt, neque constitutas ab antiquis leges; qui vitam in libris perpetuam habent, atque inde respublicas ordinando et pravorum affectuum motus corrigendo hominum felicitati semper consulunt: sed, veluti maris fluctus cuilibet vento sævienti facile obsequentes infelicia navigia ipsis cum hominibus mergunt, sic isti divitum domos funditus evertentes hostilem gladium in miserorum caput fœde et impotenter sine ulla ratione incutiunt.

Δ'. Τούτων δ' οὕτως διῃρημένων διπλῇ, καὶ τρίτη μοῖρά τις αὐτοῖς ἐπεφύετο συρφετώδης, δικαιοσύνης πέρι [P. 421] καὶ ἀδικίας οὐδὲν ἐπαΐουσα, ἀλλ' ἀγομένη ῥᾳδίως καθάπερ ὅπλον τοῖς ἄγειν ἐθέλουσιν, ὅπῃ τὸ αὔθαδες ὑφηγεῖται τῆς γνώμης, ἐπὶ πονήρῳ τῶν φθονουμένων. Οὔτε γὰρ αὐτονομίᾳ δουλεύειν οἶδεν ὁ δῆμος οὗτος, οὔτε νόμοις ἀνδρῶν παλαιῶν, τὸ ζῆν ἐν ταῖς βίβλοις ἐχόντων, κἀκεῖθεν τὰ πολιτικὰ ῥυθμιζόντων πράγματα, καὶ τοῖς τῶν ἀτόπων κινήμασιν ἕξεων πρὸς τὸ εὔδαιμον νομοθετούντων ἀεί· ἀλλ', ὥσπερ θαλάττης κύματα πᾶσιν ἀγριαίνουσι πνεύμασιν εὐχερῶς ὑπείκοντα τὰς δυστυχεῖς καταδύουσι τῶν ἐλκάδων αὐτάνδρους, οὕτως οὗτοι τὰς τῶν εὐδαιμόνων οἰκίας ἐκ βάθρων ἀνατρέποντες τὸ πολέμιον ἀκρατῶς κατὰ τῆς τῶν ἀθλίων κεφαλῆς ἐπιφέρουσι ξίφος ἀφειδῶς καὶ ξύν γε λόγῳ οὐδενί.

Variorum notæ.

(6) Tamen Cantacuzenus ait se operam tum dedisse, *ne quid Cralis provincia detrimenti acciperet.* lib. III, cap. 64. Boivin.

(7) Cantacuzen. cap. 64, pag. 568. Ducang.

(8) Cantacuz. ibid. Ducang.

(9) Cantacuzen. cap. 64. Ducang.

(10) Ut in divites ac Urbis primores grassati fuerint Zelotæ, pluribus narrat Cantacuz. lib. III, cap. 64. Ducang.

Ε'. Πεπλασμένης οὖν ἀρτίως εἰς τὸν δῆμον ῥυείσης Α φήμης, ὡς τοῖς πλούτῳ καὶ ἀγροῖς καὶ βοσκήμασι βρίθουσιν ἀναπετάσαι τὰς τῆς πόλεως πύλας κρύφα μελετηθείη τῷ βασιλεῖ Καντακουζηνῷ τὴν ζημίαν οὐ φέρουσιν, εἰς ἀντίπαλον ἔστησαν μοῖραν οἱ πλούτου καὶ δόξης ἐφιέμενοι πένητες, καὶ τὴν ἀνάῤῥησιν τοῦ ὀνόματος τοῦ βασιλέως Ἰωάννου τοῦ Παλαιολόγου μετὰ τῆς μητρὸς ἐπὶ μέσης τε διαῤῥήδην ὕμνουν τῆς πόλεως καὶ ἅμα Ζηλωτὰς σφᾶς αὐτοὺς ἐπωνόμαζον (11), ὀνόμασι χρηστοῖς τὴν τῆς κακίας ὑπόθεσιν περιπέττοντες, καὶ τὸν δῆμον εἰς συμμαχίαν ἐκάλουν, κερδῶν ἑτοίμων ἐλπίσι τοὺς σφῶν θυμοὺς παραθήγοντες.

Ϛ'. Οὕτω δὴ οὖν ὥσπερ βιαίου κατασχήψαντος πνεύματος εἰς τὴν πόλιν, θόρυβος ἀνὰ πάντας δημότας ἐπεχωρίαζεν ἄταχτος, καὶ πάντες ἀθρόοι τῶν Β οἰκιῶν εὐθὺς ἐξεχέοντο, καὶ τῶν ἔξωθεν πολεμίων αὐτοὶ πικρότεροι τοῖς πλουσίοις ἐγίνοντό, τόν τε ἐν ταῖς οἰκίαις πλοῦτον ἅρπαγμα ληστρικὸν καθιστάμενοι καὶ αὐτῶν ὅσοις ἐνετύγχανον ἀφειδῶς ἀποσφάττοντες, καὶ πολιτικῶν αἱμάτων κρατῆρας κενοῦντες ἐν ταῖς πλατείαις τῆς πόλεως. Τό γε μὴν ἔκκριτον, καὶ ὅσον τῆς πόλεως ὄψις ὑπῆρχεν, εἰς τοῦτο κακοδαιμονίας ἠλάθη διά γε δὴ τὸ τῆς οὐσίας εὔδαιμον. Τούτων δ' οἱ μὲν θανάτου δίκην ἔδοσαν αὐθημερὸν ταῖς τῆς δημοτικῆς παρανοίας ὁρμαῖς· ὧν δ' ἐν ὑποψίαις ἔτι τὸ τῆς τύχης ἐκεῖσε μέλλον (πλείους δ' εἶναι τῶν καλωκότων συνέπιπτεν σφᾶς), τούτοις δ' ἐσκυθρωπακόσιν ἐνῆν οἰκουρεῖν, φυλαττομένοις ὡς τὰ πολλὰ τό γ' ἐν ἀγοραῖς καὶ θεάτροις παῤῥη- C σιάζεσθαι.

Ζ'. Καὶ τάχ' ἂν ἐτεθνήκεσαν ὑπὸ δέους, εἰ μή τινες ἐκ βασιλέως ἔξωθεν ἐλπίδες εἰσπορευόμεναί πως ἀνεῤῥώννυόν τε πρὸς τὸ εὔψυχον καὶ τὸ λογιζόμενον τῆς ψυχῆς πρὸς τὸ νῆφον ἀνεκαλοῦντο. Μόναι γὰρ αὗται μοχθούντων ἐωρῶντο τέρπουσα τηνικαῦτα κρηπὶς λογισμῶν, καὶ πρός γε, [P. 422] φροντίδων εἰς ἀπόγνωσιν ὀλισθαίνειν κινδυνευουσῶν, πρᾶος φάναι καὶ τινος ἀπόζων εὐθυμίας ζέφυρος. Εἰ γὰρ καὶ τὸ ψεῦδος ὁμόστεγον ἐνίοτε φαίνονται κεκτημέναι, ἀλλ' οὖν τοιαῦτά πως εἰδωλοποιεῖν ἐπεφύκεσαν ἀεὶ καὶ προτυποῦσθαι, καθάπερ ἐκ γειτόνων παριοῦσαι παρήγοροι πιπτούσαις ἐξ ἀθυμίας ψυχαῖς, τὰς τῆς ὀρέξεως φαντασίας συλλήπτορας ἔχουσαι. Ἀλλὰ τὸ μὲν πάσχειν ἐκ διαδοχῆς συνεχῶς τοῖς ταλαιπώροις D ἐλέλειπτο καὶ παρῆν· τὸ δὲ τῶν ἐλπίδων προμηθὲς σκιά τις ἦν ἡδονῆς καὶ δικτύοις συναγομένη πνοή· οἷς τὸ μὲν διαῤῥεῖν ἀθρόαν ἔνεστι πάντως, τὸ δὲ μένειν ὅλως οὐκ ἔνεστι.

Η'. Τῷ μὲν γὰρ τῶν Περσῶν ἡγεμόνι περιστρατοπεδεύειν ἐδόκει τὴν πόλιν ἔκ τε γῆς καὶ θαλάττης, καὶ ὅλον τὸ τῆς πολιορκίας ἐπάγειν ἐκ τοῦ παραχρῆμα βίαιον, καὶ μὴ τρίβειν ἡσυχῇ καθημένους τὸν χρόνον, ἔργοις ἐνὸν τὰ τῆς μάχης ἐν βραχεῖ κρίνε-

V. Cum itaque fama recens conficta ad populum manasset, eos qui opibus et agris et re pecuniaria abundarent, damnorum impatientes, decrevisse clam urbis portas imperatori Cantacuzeno aperire, ii pauperes, qui opum et gloriæ appetentes erant, ex adverso insurrexerunt, et tam Joannis Palæologi imperatoris quam illius matris nomen in media urbe clare et aperte celebrarunt, iidemque se Zelotas nuncuparunt, speciosis **675** nempe nominibus malum propositum velantes, et plebem in auxilium advocarunt, parati emolumenti spe animum illius acuentes.

VI. Cum igitur ita in urbem quasi vehemens quidam ventus impetum fecisset, tumultus per omnem civitatem vagabatur inordinatus, et cuncti frequentes domibus statim ejiciebantur, sæviebantque isti in divites crudelius quam ipse foris imminens hostis. Nam et opes, quæ in domibus essent, latronum more diripiebant, et quoscunque divitum offendissent, eos fœdissime jugulabant, et in urbis plateis civilem sanguinem large effuseque hauriebant. Lectissimi certe civium et quoquot erant in urbe conspectiores, in ea mala inciderunt, eo quod bonis abundarent. Ex his porro alii statim popularis insaniæ impetu pœnas dederunt. Quorum autem adhuc incertum erat quænam futura esset fortuna (et ii quidem deprehensis plures erant), iis tristitiam vultu præferentibus domi mandum erat, cavendumque, ne quid in foro aut theatris paulo audacius proloquerentur.

VII. Atque illi præ metu fortassis exanimati essent, nisi eos spes quædam foris ab imperatore advenientes ad confidendum erexissent, eorumque judicium ad sanitatem revocassent. Ea enim sola jucundum videbantur eo tempore laborantis rationis adminiculum: atque hic lenis quasi Zephyrus eorum curas desperationi proximas levabat, et jucundam veluti odorem securitatis spirabat. Etsi enim spes illæ videntur aliquando socium habere mendacium, at ea **676** semper illarum vis est, ut ejusmodi imagines offerant et proponant, ac tanquam consolatrices labanti ex desperatione animo adsint de propinquo, speciebus nempe iis quæ appetitui insunt adjuvantibus. At interim miseris illis id relinquebatur, id supererat, ut eorum mala quasi per successionem continuarentur. Spes autem illæ providentes nihil aliud erant, nisi voluptatis umbra quædam et ventus coactus in retia; quorum ea est natura, ut statim perfluant omni ex parte, manere autem plena nequeant.

VIII. Etenim Persarum quidem duci placebat, obsideri urbem tam a terra quam a mari, ac totis statim viribus oppugnationi incumbi, nec teri tempus nil agendo; quia, si ageretur, brevi poterat armis decerni; idque eo magis, quod adjutrix jam

Variorum notæ.

(11) Vide *Gloss. med. Græcit.* in hac voce. Dicang.

esset externæ obsidionis ea quæ intus accensa erat civium seditio. Imperatori autem minime id placebat, martyrem colenti Demetrium. Alioqui vero haud putabat oportere, quantum robore præstaret, in obsessorum calamitate ostendere, sed seditiosos illos fame tandem et premente obsidione fractos ex pacto se atque urbem esse dedituros.

A σθαι τά τε ἄλλα καὶ μάλισθ' ὅτι καὶ σύμμαχον συνέβαινε τῇ ἔξωθεν ἤδη γίνεσθαι πολιορκίᾳ καὶ τὴν ἔνδοθεν ἀναφλεγομένην τῶν οἰκητόρων στάσιν. Τῷ δὲ βασιλεῖ τοῦτ' οὐδαμῇ συνεδόκει, τὸν μάρτυρα τιμῶντι Δημήτριον· καὶ ἄλλως δ' οὐκ ἤρετο χρῆναι τῆς ἰσχύος αὐτοῦ τὴν περιουσίαν ἐκ τῆς τῶν πολιορκουμένων φαίνεσθαι συμφορᾶς· ἀλλ' ἀπειρηκόσας ἤδη τοὺς στασιαστὰς τῷ τε λιμῷ καὶ τῇ τῆς πολιορκίας ἀνάγκῃ καθ' ὁμολογίαν παραδώσειν σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν.

IX Postquam autem triginta diebus illic elapsis res ex sententia succedere haud videbantur, reliquas quidem vires mari impositas dux barbarus domum remittit jubetque, ut per maritimam Thraciæ oram renavigent: veritus, ne procedente tempore aliqua necessitas incumberet, adeoque his opus foret. Delectu autem habito, sex duntaxat B hominum millia penes se retinuit. Ea **677** secum ducens imperatorem spe irrita migrantem comitatus est, multa in illius superstitiosum animum jocatus, multa etiam incusans, quod nulla eum subiisset miseratio illorum, qui in urbe propter eum extrema paterentur; sed misericordia quædam parvi momenti repulisset eum, quæ conjunctam cum utilitate gravem quamdam necessitatem afferret: « Ita fit, ajebat ille, « ut in apertam demum crudelitatem evadat ea quæ nominatur misericordia, ac postquam utilitatis opinionem brevem attulit, damnum evidenter majus importet. »

Θ'. Ἐπεὶ δὲ τριακονθημέρου παρηρχηκότος ἐνταῦθα χρόνου τὰ κατὰ γνώμην οὐκ εὖδα ἐωρᾶτο, τὴν μὲν ἄλλην δύναμιν ἀφῆσι διαπόντιον ὁ βάρβαρος οἴκαδε ἀπιέναι, τὸν ἀνάπλουν διὰ τῆς Θρᾳκῴας κελεύσας παραλίου ποιεῖσθαι· δεδιὼς ἴσως μή πού τις ἔτι χρείας προῖοῦσιν ἀνάγκη τούτῳ προσγένηται σφῶν· ἑξακισχιλίους δ' ἀπολεξάμενος μόνους κατέσχε παρ' ἑαυτῷ. Οὓς ἐπαγόμενος ἐπ' ἀτελέστοις ἀπαίροντι συναπῄει ταῖς ἐλπίσι τῷ βασιλεῖ, πολλὰ μὲν κατειρωνευόμενος τῆς αὐτοῦ περὶ τὰ θεῖα δεισιδαιμονίας, πολλὰ δὲ μεμφόμενος, ὅτι μηδείς ποτ' οἶκτος αὐτὸν εἰσῄει τῶν τὰ δεινότατα πασχόντων δι' αὐτὸν ἐν τῇ πόλει· ἀλλ' οἶκτος οἴκτου ἀντέκρουσε μικροῦ τινος ἄξιος τὸν ξύν γε τῷ ὠφελίμῳ πολλήν τινα τὴν ἀνάγκην ἐπιφερόμενον· ὡς εἶναί φησι τελευταῖν εἰς τὸ προφανὲς ἀφειδὲς τὴν τοῦ οἴκτου τοῦδε ἐπωνυμίαν, καὶ βραχεῖαν μέν τινα τὴν τοῦ λυσιτελοῦς παρεχομένην δόκησιν, μείζονα δὲ τὴν ζημίαν εἰς τοὐμφανὲς προξενοῦσαν.

X. Inde igitur profecti septimo die Christopolitanas fauces nullo labore pertransierunt: atque illinc rursus quasi per fœderatum solum euntes C urbes ea in regione dissidentes sollicitabant. Atque autumnus quidem interea abiit. Hiems autem ex eo cœpit ingeniti frigoris stimulos recudere.

Ι'. Ἑβδομαῖοι μὲν οὖν ἰόντες ἐκεῖθεν τὰ περὶ Χριστούπολιν ἀπονητὶ διέβησαν στενά· ἐκ[P. 423]εῖθεν αὖθις ὡς διὰ φιλίας πορευόμενοι τῶν ἐνταῦθα διϊσταμένων ἀπεπειρῶντο πόλεων. Καὶ τὸ μὲν φθινόπωρον ἐν τούτοις ἐτελεύτα. Ὁ δὲ χειμὼν τοῦ συμφυοῦς λοιπὸν τὰς ἀκμὰς ἀνεχάλκευε ψύχους.

CAPUT XI.

Gregoras non simplicem historiam scribit. Res toto orbe gestæ quatenus ad Byzantinas pertineant. Byzantii urbis celebritas. De Basilio Trapezuntis imperatore. Ut hujus uxor vidua pellicem Byzantium relegaverit. Ut novum sibi conjugem a patre Andronico juniore petierit. Legationis mora. Mortuo inter hæc Andronico, Cantacuzenus mulieris postulata neglexit. Familiæ Comnenæ jus præcipuum apud Trapezuntios. Ad eos regendos Michael Comnenus Byzantio mittitur. Senatores Trapezuntini summam rerum sibi vindicant vano prætextu. Advenientem Comnenum honorifice excipiunt. Mox procul exportatum in custodium includunt. Populo non probante, rempublicam administrant. Scholarii, illorum manibus elapsi, redeunt cum adolescente Michaelis filio. Trapezuntem invadunt. Adversarios puniunt. Princeps junior in luxum effusus Scholarios contemnit. Hi Michaelem carcere eductum in solio collocant. Adolescens in custodiam datur. Scholariorum cum Michaele pactiones. Eorumdem auctoritas maxima: principis nulla. Quam tamen integram posteu recuperat.

I. Sed nos quoniam simplicem edere historiam D haudquaquam instituimus, neque totam unis Romanorum rebus operam dare, verum et nonnunquam ultra excurrere, utcunque ipsa res in eam nos necessitatem adduxerit, opportunum hoc loco deinceps arbitramur, præsentis argumenti continua serie in crastinum dilata, ut alibi sæpe etiam antea fecimus, nostram hodie orationem alio convertere, et ea omnia breviter commemorare, quæ per idem tempus gesta sunt apud alias gentes: quæ etsi, propter intervalla regionum, aliena videntur quodammodo, sunt tamen alia ratione affinia **678** et Romanæ historiæ plane conjuncta. Ipsa quippe

Α'. Ἡμεῖς δ' ἐπειδὴ μὴ μονοειδῆ τὴν ἱστορίαν ἐκθεῖναι προὐθέμεθα, μηδὲ μόνοις πᾶσαν ἀσχολίαν τοῖς Ῥωμαϊκοῖς παρέχεσθαι πράγμασιν, ἀλλ' ἐνιαχοῦ καὶ παρεξιέναι, τῆς χρείας ὁπώσποτε συνελαυνούσης εἰς τὴν ἀνάγκην, εἰκὸς εἶναι κἀνταῦθα λοιπὸν ἡγούμεθα, τὸν τῆς προκειμένης εἱρμὸν ὑποθέσεως ἐς τὴν ὑστεραίαν ὑπερθεμένους, καθὰ καὶ πολλαχῇ πεποιήκαμεν πρότερον, ἐφ' ἕτερα καὶ τήμερον τρέψαι τὸν λόγον, κἀκείνων μετρίως μνησθῆναι, ὁπόσα κατὰ τὸν αὐτὸν ἐν ἄλλοις ἔθνεσι πέπρακται χρόνον· ἃ δοκεῖ μέν πως ἀλλότρια διὰ τὸ τῶν τόπων ὑπερόριον· ἔστι δ' ὅμως καθ' ἕτερον τρόπον οἰκεῖα καὶ πάνυ ταῖς Ῥωμαϊκαῖς ἀφηγήσεσι κοινωνοῦντα. Ἡ

γάρ τοι βασιλεύουσα πόλις (12) αὕτη κοινὴ τῆς ὅλης A εἰπεῖν οἰκουμένης ἐστὶν ἑστία καὶ κοινὸν πρυτανεῖον· καὶ χορηγεῖ μὲν δαψιλῶς πᾶσαν τοῖς ἅπασι χρείαν· γεωργοῦσι δ' αὐτῇ καθάπερ δεσποίνῃ πᾶσα γῆ τε καὶ θάλασσα καὶ πάντες ἄνεμοι· καὶ ὁρῶμεν πανταχόθεν τὴν σιτοπομπίαν ἰοῦσαν ἀφθόνως ἐνταῦθα χειμῶνος καὶ θέρους, ἦρός τε καὶ φθινοπώρου· καὶ ναυστολοῦσιν εἰς ταύτην ὁλκάδες τε καὶ τριήρεις ἀεί, καρπῶν μὲν ἁπάντων ἄγουσαι γονάς, τεχνῶν δὲ παντοδαπῶν ποικίλματα. Πάντα γὰρ ὅσα πᾶσιν ἑκασταχοῦ γίνεται ἀτερπῆ τοῖς κεκτημένοις εἶναι δοκεῖ πως, καὶ φρονεῖν οὐδὲν οὐδαμῇ [P. 424] γενναῖον δύνανται, πρὶν ἂν ἐς τὸ μέγα τοῦτο καὶ οἰκουμενικὸν τῆς πόλεως θέατρον περίβλεπτόν τινα ποιήσωνται τὴν ἐπίδειξιν. Δι' ἃ δὴ καὶ ἡμεῖς τὰς τοιαύτας ἀναγκαζόμεθα ποιεῖσθαι παρεκδρομάς, ἵνα μὴ τὰ τῶν B ἐνίοτε καὶ ἐνιαχόθεν συμβαινόντων συμπτωμάτων αἴτια τῇ τε βασιλευούσῃ τῶν πόλεων καὶ τοῖς ἐνταῦθα πράγμασι, μὴ προγινωσκόμενα τοῖς ἐντυγχάνειν τῇ ἱστορίᾳ μέλλουσι, δύσβατά πως καὶ φαραγγώδη φάναι τὰ μεταξὺ χωρία τοῦ λόγου δοκῇ καὶ μακρᾶς τινος εὐκρινείας δεόμενα.

Β'. Καὶ μὲν δὴ λεκτέον ἡμῖν πρότερον, ὁπόσα Τραπεζουντίοις κατὰ τοῦτον συνεπεπτώκει τὸν χρόνον. Μετὰ γὰρ τὸν Κομνηνὸν Ἀλέξιον (13), τὸν ἀδελφιδοῦν Ἀνδρονίκου τοῦ γηραιοῦ βασιλέως Ῥωμαίων τοῦ Παλαιολόγου, Βασίλειος ὁ υἱὸς τὴν τῶν Τραπεζουντίων ἡγεμονίαν διαδεξάμενος ἔγημε νόθον (14) τοῦ νέου βασιλέως Ἀνδρονίκου τοῦ Παλαιολόγου θυγατέρα Εἰρήνην (15)· ἣ καὶ βραχύν τινα συμβεβιωκὼς χρόνον ἐτελεύτησεν ἅπαις. Σχοῦσα δὲ τὴν C ἡγεμονίαν αὐτὴ ὑπερόριον μὲν ἐς Βυζάντιον ἀπεστάλκει τὴν ἄνθρωπον, ἣ πρὸς λαθραίαν ἐμίγνυτο κοίτην Βασίλειος, ὁμοῦ τοῖς δυσὶ νηπίοις υἱέσιν· ἅμα τε ἐπρεσβεύετο καὶ δεύτερον ἄνδρα οἱ πεμφθῆναι τῶν παρὰ Βυζαντίοις γένει καὶ δόξῃ προὐχόντων, ὃς ἂν πρὸς βουλήσεώς τε ἦ τῷ βασιλεῖ καὶ πατρὶ καὶ κατὰ τὴν αὐτοῦ διατελέσῃ βούλησιν τὴν ἀρχὴν διοικῶν τῶν Τραπεζουντίων. Οὔπω τοίνυν ἐξ Ἀκαρνάνων ἐπανελήλυθότα τὸν βασιλέα εὑροῦσι τοῖς πρέσβεσιν ἔδοξε μείναντας κατὰ χώραν πέμψαι τοὺς ἐροῦντας ἐκείνῳ τήν τε ἄφιξιν σφῶν καὶ τὸν τῆς ἀφίξεως τρόπον.

Γ'. Ἐπεὶ δὲ τοῦ χρόνου χωροῦντος τῷ Βυζαντίῳ καὶ ὁ βασιλεὺς ἐπιδεδημηκὼς οὐκ εἰς μακρὰν μὲν D αὐτὸς ἐτεθνήκει, τὴν δὲ τῶν δημοσίων φροντίδα πραγμάτων γνώμῃ τῆς βασιλίδος Ἄννης Ἰωάννης ὁ Καντακουζηνὸς ἐτύγχανε διοικῶν, μέγας ὢν ἔτι δομέστιχος, πρὸς μὲν τῆς τῶν Τραπεζουντίων ἡγεμονίδος Εἰρήνης τὴν ζήτησιν ἐπινεύειν οὐκ εἶχεν οὕτως, ἀλλ' ἐφ' ἑτέρας ἐτρέπετο σκέψεις. Ὁρῶν γὰρ τὸ διερρωγὸς ἐπὶ πολλὰ τῆς τῶν Τραπεζουντίων γνώμης συνῆκε, μὴ πρὸς ἁπάντων εἶναι τὴν γνώμην αὐτῆς στεργομένην. Νόμος γὰρ ἐκείνοις οἷον ἄφυκτα

hæc dominatrix, civitas commune est totius pene dixerim orbis domicilium ac prytaneum. Nam et omnibus omnia, prout cuique usus est, abunde suppeditat; et illi tanquam dominæ terra universa, mare et omnes venti famulantur: videmusque illuc affluentem undique vim frumenti magnam, hieme, æstate, vere et autumno; et ad eam urbem perpetuo navigare onerarias naves ac triremes, omnia fructuum genera et quarumlibet artium inventa apportantes. Quæcunque enim singulis in locis unusquisque habet, ea ingrata possessoribus esse quodammodo videntur, ac nihil generosi sapiunt, antequam in magno et universis gentibus exposito hujusce urbis theatro clarum aliquod sui spectaculum exhibuerint. Hinc fit, ut nos ejusmodi excursiones facere cogamur, ne si ea quæ causam præbuerunt cur aliquando et certis in locis quidpiam reginæ urbi et huic imperio accideret, præcognita haud sint iis, qui in hanc historiam incident, ardua et ut ita dicam confragosa, et accurato judicii examine indigere videantur interjecta narrationis intervalla.

II. Ac primum quidem de iis rebus dicturi sumus, quæ Trapezuntiis per illud tempus acciderunt. Alexio Comneno, Andronici senioris Palæologi Romanorum imperatoris nepoti ex sorore, Basilius filius hæres successit in Trapezuntis imperium. Is uxorem duxit Irenen, filiam junioris Andronici Palæologi spuriam, nec diu cum ea vixit, et sine liberis decessit. At hæc **679** rerum potita mulierem quidem illam, cum qua habuerat Basilius clandestinam consuetudinem, Byzantium exsulatum miserat una cum duobus ejus filiis infantibus; per legatos autem postulaverat, ut sibi alter maritus mitteretur, qui inter Byzantios genere et splendore fortunæ emineret, et imperatori ac patri acceptus foret, Trapezuntisque imperium ex ejus sententia pergeret administrare. Cum igitur legati nondum ex Acarnania reversum esse imperatorem comperissent, visum est iis subsistere, atque ad eum mittere qui suum adventum et adventus rationem nuntiarent.

III. Procedente tempore ipse imperator Byzantium advenit, nec multo post vita functus est: publicarum autem rerum curam, Annæ imperatricis nutu, Joannes Cantacuzenus, magnus tum quoque domesticus, sustinere cœpit. Atque hic statim imperatricis Irenes petitioni annuere haud potuit; verum ad alias curas animum appulit. Cum enim Trapezuntiorum animos vacillare maxima ex parte animadverteret, non omnibus placere ejus mulieris consilium intellexit. Lex quippe est apud eos pene inviolabilis, ne ab ullo cujuscunque

Variorum notæ.

(12) Atque hic quidem Gregoræ locus addendus illis quos in *Constantinopoli Christiana* protulimus de ejus commodo situ, lib. I, sect. 1, et aliis duobus in hanc sententiam, in notis ad Zonaræ *Annales*, pag. 139, 162. DUCANG.

(13) Hunc locum illustravimus tum in *Famil. Byzant.*, pag. 193, tum in notis ad Zonaræ *Annales*, pag. 146. DUCANG.

(14) Vide supra, lib. XI, cap. 8. BOIVIN.

(15) Abbi nominatur *Eudocia*. BOIVIN.

stirpis homine gubernari se ultro patiantur, nisi qui ab Comnenis oriundus sit. Quapropter illius postulatis pro nihilo habitis, rectorem illuc misit Alexii præmortui fratrem, Michaelem Comnenum, qui sextum circiter et quinquagesimum ætatis annum jam attingebat.

δυνάμενος, μηδ' ὑπ' οὐδενὸς ἐκουσίως τῶν ἁπάντων γενῶν ἄρχεσθαι βούλεσθαι, πλὴν τῶν ὅσοι τὸ γένος ἐκ Κομνηνῶν κατίασιν ἔχοντες. Διὰ δὴ ταῦτα καὶ τὴν ταύτης παρ' οὐδὲν θέμενος αἴτησιν ἐπὶ τὴν ἐκείνων ἡγεμονίαν τὸν τοῦ προτετελευτηκότος Ἀλεξίου πέπομφεν ἀδελφὸν Μιχαὴλ τὸν Κομνηνόν, περί που τὰ ἓξ καὶ πεντήκοντα ἔτη γενομένην ἔχοντα ἤδη τὴν ἡλικίαν.

IV. Interim **680** ii ex senatoribus, qui omnium maxime illic et dignitate et opibus pollebant, aliud consilii ceperunt. Ut enim impune summam potestatem ludibrio habere possent, ac res omnes ferre et agere pro libidine, infantem ex spuriis Basilii liberis unum expetere se simularunt, cui titulum imperii deferrent. Itaque cum ad portum Trapezuntis appulsam Comneni navim conspicati essent, ea quæ decreta fuerant palam quidem et statim exsequi non placuit; ne, si deprehenderentur, populus impedimento esset, auxiliarem habiturus etiam illam manum, quæ duabus Latinis navibus una cum Michaele Comneno advecta fuerat. Sed illum e vestigio (ut par erat) honorifice exceptum in palatium deducunt. Vespere autem eumdem in aulam tanquam in carcerem includunt. Ex turba vero, qua erat stipatus, quicunque ad triremes sese haud recepere, ii partim cæsi, partim in custodias dati. Ipsum Michaelem postera die mari impositum Eunucho custodiendum mittunt, qui et ipse cum illis senatoribus societatem coiverat, et iis quos Limnios vocant tum temporis præerat; qui locus Trapezunte distat ducentis fere stadiis. Iis ita perpetratis, a duobus ibi aut tribus senatoribus respublica administrabatur, perperam quidem et clanculum, populo ipsis conviciante et seditionem meditante; administrabatur tamen.

Δ'. Τῶν γε μὴν ἐκεῖ συγκλητικῶν οἱ μάλιστα πάντων ἰσχύοντες διά τε δόξης ὄγκον καὶ πλούτου δύναμιν ἐφ' ἕτερον ἐτρέποντο [P. 425] βούλευμα. Ἵνα γὰρ αὐτοῖς ἐπ' ἀδείας εἴη τῆς ἀρχῆς κατορχεῖσθαι καὶ ἄγειν καὶ φέρειν τάχει πράγματα ὅπη τὸ βουλόμενον ὑποτίθηται, ἓν ἐκ τῶν νόθων Βασιλείου βρεφῶν προσεποιοῦντο ζητεῖν εἰς τὸ τῆς ἡγεμονίας πρόσχημα. Ὅθεν εἰς τὸ τῆς Τραπεζοῦντος ἐπίνειον καταπεπλευκότα τὸν Κομνηνὸν θεασαμένοι; τὰ μὲν βεβουλευμένα δρᾷν ἐς προῦπτον εὐθὺς οὐ μάλα ἐδόκει, ἵνα μὴ φωραθείσιν ἐμποδὼν ὁ δῆμος γένηται, σύμμαχον ἔχων καὶ τὴν ἄρτι συγκαταπεπλευκυῖαν τῷ Κομνηνῷ δυοῖν Λατινικῶν νεῶν δύναμιν· ἀλλ' ἐν τῷ αὐτίκα ξύν γε ταῖς ἀνηκούσαις τιμαῖς δεξάμενοι πρὸς τὸ ἐκεῖ ἀρχεῖον ἀνήγαγον. Γενομένης δ' ἑσπέρας, αὐτὸν μὲν ὡς ἐν εἱρκτῇ τῷ παλατίῳ κατέκλεισαν· τῶν δ' αὐτῷ προσκειμένων ὄχλων (16), ὅσοι μὴ δρασμῷ διέσωθησαν ἐς τὰς τριήρεις, οἷς μὲν κατακεκόφθαι, οἷς δ' ἐς δεσμωτήριον παραπεπέμφθαι γεγένηται. Αὐτὸν δ' αὖ ἐς τὴν ὑστεραίαν διαπόντιον τῷ ἐκτομίᾳ φρουρεῖν ἐπεπόμφεισαν, τῆς τῶν συγκλητικῶν μὲν ἐκείνων φατρίας ὑπάρχοντα καὶ αὐτὸν, ἔχοντα δὲ τὴν τῶν οὕτωσί πως ὠνομασμένων Λιμνίων τηνικαῦτα ἐπιτροπήν· ὧν διακοσίους ἐγγὺς διέχει σταδίους ἡ Τραπεζουντίων μητρόπολις. Τούτων δ' οὕτω διαπεπραγμένων, ὑπὸ δυοῖν ἢ τριῶν διῳκεῖτο συγκλητικῶν τὰ ἐκεῖ πράγματα, πλημμελῶς μὲν καὶ λάθρα, τοῦ δήμου σφίσι λοιδορουμένου καὶ στάσιν ἐγείρειν διὰ μελέτης ἔχοντος· διῳκεῖτο δ' οὖν.

V. Postquam vero ii qui ex hoc periculo salvi evaserant (erant autem ex familia **681** Scholariorum) Byzantium reversi sunt, tanquam ex pelago et maris æstu in portum aliquem ac tranquillam stationem, in id unum incubuerunt, ut exactores illos quacunque possent ratione ulciscerentur. Annam itaque imperatricem dictis promissisque omnibus induxere, ut sibi Michaelis Comneni filium, qui tum ætatis annum vicesimum agebat, Trapezuntis imperio præficiendum daret. Tribus igitur Latinis triremibus mercede conductis, juvenem imponunt ac decimo post die ad portum urbis Trapezuntis appellunt. Tum ad arma euntibus rerum novarum auctoribus, seditio adversus eos facta a populo. Simul foris adveniens Latinorum manus armata urbis portas perrumpunt, statimque et nullo labore potiuntur adversariorum, nonnulla etiam ex eorum bonis diripiunt.

Ε'. Ἐπεὶ δὲ τοῖς τὸν κίνδυνον διαδρᾶσιν ἐκείνου (γένους δ' ἦσαν τῶν Σχολαρίων) ἐς Βυζάντιον ἐπανιέναι συνέβη, καθάπερ ἐκ πελάγους καὶ κλύδωνος ἐς λιμένα τινὰ καὶ γαλήνην, ἔργον ἦν ὅτῳ ἂν δυνηθεῖεν τοῖς διώκταις ἐκείνοις ἀμύνασθαι τρόπῳ. Διὸ τὴν βασιλίδα Ἄνναν λόγοις καὶ ὑποσχέσεσιν ὑπελθόντες παντοίοις ἔπεισαν δοῦναί σφισιν εἰς τὴν τῶν Τραπεζουντίων ἡγεμονίαν τὸν τοῦ Κομνηνοῦ Μιχαὴλ υἱόν, εἰκοστὸν τηνικαῦτα τῆς ἡλικίας ἄγοντα χρόνον. Μισθοῦ τοίνυν τρεῖς Λατινικὰς εἰληφότες τριήρεις, καὶ τοῦτον ἐμβεβληκότας, δικαταίους ἐς τὸν τῶν Τραπεζουντίων κατᾶραι λιμένα συμπέπτωκεν. Ἐπεὶ δὲ πρὸς ὅπλα ἐκεχωρήκεσαν ἔνδοθεν οἱ νεωτερίσαντες πρότερον, στάσις ἐγεγόνει τοῦ δήμου κατ' αὐτῶν· καὶ ἅμα καὶ ἡ Λατίνων ἔξωθεν ὁπλισαμένη δύναμις τάς τε πύλας τῆς πόλεως ἀνεμόχλευσάν τε καὶ ξὺν οὐδενὶ πόνῳ τῶν τε ἀντιπάλων τάχιστα ἐγκρατεῖς ἐγεγόνεισαν καὶ τῶν σφῶν οὐσιῶν ἔστιν ἃς διήρπαξαν.

Variorum notæ.

(16) Ducangius in additamentis ad *Constantinop. Christ.* pag. 146, quæ edita sunt post notas in Zonaram, vertebat, *Cum vero plebs ei faveret.* Mahn: *Ex turba vero plebea, quæ ei favebat.* BOIVIN.

Ϛ'. Τῆς οὖν ἡγεμονίας οὕτως ἐς τὸν τοῦ Κομνηνοῦ παῖδα παρελήλυθυίας, καὶ τῶν ἐς τοῦτο ἐσπουδακότων Σχολαρίων τὰ μέγιστα ἤδη δυναμένων, τίσις τῶν τολμηθέντων πρὶν [P. 426] κατὰ σφῶν ἐγένετο αὖτη. Τῶν μὲν γὰρ αἰτίων οἱ πρῶτοι καὶ δόξῃ καὶ ἀξιώματι δύο κεφαλικήν τε ἔδοσαν τιμωρίαν καὶ τὰς οὐσίας ἀφῄρηνται. Ὅσοι δ' ἐκείνων δευτέραν καὶ τρίτην εἶχον τὴν τάξιν, τούτοις δ' ὑπερόριον σχεῖν κατεψήφιστο δίαιταν διὰ βίου.

Ζ'. Ἀλλὰ πρὶν ὅλους τρεῖς ἐξῆκειν ἐνιαυτοὺς, τῆς ἀρχῆς καὶ ὁ νέος ἐκβέβληται ἡγεμών. Ἐν γὰρ οὐδενὶ ποιησάμενος τὴν τῶν πρεσβυτέρων ἐκείνων Σχολαρίων παραίνεσιν ἥλιξ ἥλιξι ἕτερπε, καὶ νεωτερίζων οὐτωσὶ νύκτωρ καὶ μεθ' ἡμέραν τρυφαῖς καὶ πότοις ἀδεέστερον ἐσχόλαζε, καὶ αὐλητρίσι καὶ ὀρχηστρίσι διετέλει συναστραγαίνων, καὶ τοὺς ἡγεμονικοὺς θησαυροὺς τῶν Τραπεζουντίων ἀναλίσκων ἐν τοῖς τοιούτοις· ὡς ἀγαναχτήσαντας τοὺς Σχολαρίους μεταπέμψασθαί τε τὸν πατέρα τοῦ νέου ἡγεμόνος ἐκ τῶν Λιμνίων Μιχαὴλ τὸν Κομνηνὸν (ἔτυχε γὰρ καὶ ὁ κατέχων αὐτὸν ἐκτομίας ἐκεῖ προτετελευτηκὼς), καὶ αὐτὸν μὲν τοῖς ἡγεμονικοῖς ἐγκαθιδρῦσασθαι θρόνοις, τὸν δὲ νεωτεριστὴν δέσμιον ἐς τὴν τῶν Βυζαντίων ἐκπέμψαι φρουράν.

Η'. Τήν γε μὴν ἡγεμονίαν οὕτω διαζωσάμενος ὁ Κομνηνὸς Μιχαὴλ, ἣν πάλαι μὲν ὁ πατὴρ ἐκ διαδοχῆς εἶχε προγονικῆς, ἐκείνου δ' ἀπαλλάξαντος, Ἀλέξιος ὁ τούτου διεδέξατο ἀδελφὸς, καὶ μετ' ἐκεῖνον, ὡς γε εἰρήκειμεν, διὰ τῶν μεταξὺ δυοῖν μειρακίων (17) εἰς τοῦτον κατεληλυθέναι ξυνέβημεν, ἐπέραινεν ἐφ' οἷς ὁμωμόκει. Τὰ δὲ ἦν αἱ συμφωνίαι καὶ τὰ ὁρκωμοτήρια, ὅσα γε τοῖς Σχολαρίοις, αἰτίοις ὑπάρξασι τῆς ἡγεμονίας αὐτῷ καὶ δύναμιν τῶν ἄλλων συγκλητικῶν κεκτημένοις μείζω καὶ ἡγεμονικὴν, συνέθετο· σχῆμα μὲν αὐτὸς διασώζειν ἡγεμονίας· τῶν δ' ὅσα πράσσεσθαι μέλλοι πάντων εἶναι προβουλευτὰς καὶ διανομέας σφᾶς, καὶ ῥητῶν καὶ ἀπορρήτων ἐπιγνώμονας καὶ βεβαιωτάς.

Θ'. Τοῦ δὲ χρόνου ῥέοντος, ἐπειδὴ τὴν σφῶν αὐθάδειαν ὁ τε δῆμος ἐμίσει, καὶ τὸ σφισιν ἀντικείμενον τῶν ἀπολωλότων μέρος εἰς τὸ δύνασθαι ἤδη προὐχώρει, τὴν τοῦ δήμου πρὸς ἐκείνους ἀπέχθειαν ἔχον ἐπίκουρον, ἔριδές τε καὶ στάσεις ἀναφυόμεναι μεταξὺ πρὸς ἀνάγκας ἦγον ἑκατέρους δεῖσθαι τῆς τοῦ Κομνηνοῦ Μιχαὴλ αὐτοκρατορικῆς ἐξουσίας· κἀντεῦθεν ξυνέβαινεν αὐτὸν ἐν βεβαίῳ κατέχειν τὰ τῆς ἡγεμονίας σκῆπτρα, μηδενὸς ἐμποδὼν τῇ ἐξουσίᾳ τῶν κατὰ γνώμην καθισταμένου. Καὶ ταῦτα μὲν τῇδέ πῃ ἔσχεν.

VI. Sic igitur devoluta ad Comneni filium potestate, cum Scholarii, qui id navaverant, plurimum jam auctoritate pollerent, ea quæ superiori tempore in eos commissa fuerant, in hunc modum vindicata sunt. Inter conjuratos qui duo splendore fortunæ et dignitate eminebant, capitis pœnas expenderunt ac bonis spoliati sunt. Qui vero secundum ac tertium ab illis gradum obtinebant, ii omnes perpetuo exsulare jussi.

VII. Sed et ipse annis nondum totis tribus elapsis exturbatur solio novus princeps. Nihili enim factis seniorum Scholariorum consiliis, æqualis æqualibus gaudebat; atque ita juveniliter **682** lasciviens noctes diesque luxui et compotationibus licentius indulgebat; cum tibicinis et saltatricibus libidinabatur, ac Trapezuntiorum principum ærarium in eos usus exhauriebat. Hinc factum est, ut indignari Scholarii junioris principis patrem Michaelem Comnenum ab Limniis arcessèrent (quippe et Eunuchus, a quo ille detinebatur, præmortuus erat), eumque in solio imperatorio collocarent; petulantem vero juvenem in Byzantinam custodiam vinctum ablegarent.

VIII. At Michael Comnenus, accepta in hunc modum potestate (quæ pridem ad ipsius patrem transmissa a majoribus fuerat, eo autem mortuo perveneral ad Alexium fratrem (18), ac tandem ad istum, ut diximus, juvenculis duobus interjectis, devoluta fuerat), ea quæ juraverat implevit; pactiones dico et sancita jurejurando cum Scholariis fœdera, qui ut imperaret effecerant, et majorem quam cæteri senatores summamque auctoritatem obtinebant. Convenerat porro, ut insignia quidem potestatis ipse retineret, eorum vero omnium, quæ in posterum gerenda essent, ipsi præsides ac dispensatores forent, et rerum sive palam sive secreto agitandarum arbitri atque auctores.

IX. Procedente autem tempore, quia et populus illorum oderat arrogantiam, et eorum qui perierant factio ipsis contraria potens jam evaserat, adjuvante populi in Scholarios odio, ortæ inter utrosque rixæ ac dissensiones in eam necessitatem eos adduxerunt, ut Michaelis **683** Comneni potestatem summam esse iis expediret. Eo factum est, ut iste imperatoriam auctoritatem firmam et stabilem haberet, neque ei deinceps quisquam obstaret, quominus quidvis ex sententia facere posset. Atque hæc ita ferme se habuerunt.

CAPUT XII.

Rei frumentariæ inopia Byzantium aliæque urbes laborant. Ejus mali causæ duæ. De Capha Genuensium colonia. Latini mercaturis dediti, præsertim Genuenses. Ut colonias in oris maritimis constituere soleant. Cephæ urbis parva initia. Ejusdem incrementa et vires. Genuensium incolarum fastus. Scythum indigenam unus gladio interimit. Scytharum princeps irascitur. Latinos jubet sua urbe excedere. Contumaces obsidet. Contemnitur ab obsessis, et variis cladibus afficitur. Romanæ urbes interim, solitis commeatibus interclusæ, advecto ex Asia frumento sustentantur. Trapezuntii in Latinos accolas sæviunt.

[P. 427] Α'. Ἐν δὲ τούτῳ τῷ χρόνῳ σπάνις ἐπιέζει

I. Eadem tempestate Byzantium et pleraque in

Variorum notæ.

(17) *Duobus juvenculis interjectis*, nempe *Basilio Alexii filio, et anonymo filio Michaelis*. Boivin.
(18) *Michaelis* scilicet. Boivin.

Thracia Romanorum urbes rei frumentariæ inopia laborabant. Turci enim, dum civilibus bellis Romani distringebantur, frequentes ex Asia incursiones faciebant, et tam moneribus sive unius remorum ordinis navibus, quam triremibus impune in Thraciam advecti, vigentibus præsertim segetibus, agros incendebant, jumenta abigebant, viros mulieresque in servitutem redigebant, omnia denique acerbissima perpetrabant, sic ut agri deserti et inculti remanerent. Prima hæc igitur ratio exstitit, cur fame Romani urgerentur. Altera autem et gravior, quod frumenta illa, quæ solebant ab Euxino ponto quotannis commeare, haud venerant. Cujus quidem rei causa hæc fuit.

A σίτου Βυζαντίους τε καὶ πλείστας τῶν ἐν τῇ Θράκῃ Ῥωμαϊκῶν πόλεων. Τῶν γάρ τοι Ῥωμαίων τοῖς ἐμφυλίοις περισπωμένων πολέμοις, συχνὰς ποιούμενοι τὰς ἐφόδους οἱ ἐξ Ἀσίας ἀδεῶς μονήρεσι καὶ τριήρεσιν ἐς τὴν Θράκην περαιούμενοι Τοῦρκοι, καὶ μάλιστα ἐν ἀκμῇ τοῦ σίτου, τάς τε χώρας ἐνεπίμπρασαν καὶ τὰ κτήνη ἠλαύνον, ἄνδρας τε καὶ γυναῖκας ἠνδραποδίζοντο, καὶ πάντ' ἐποίουν τὰ χαλεπώτατα· ὡς ἀοίκητόν τε καὶ ἀγεώργητον ἐντεῦθεν καταλειφθῆναι τὴν γῆν. Μία μὲν οὖν αὕτη πρόφασις Ῥωμαίοις γίνεται τοῦ λιμοῦ. Δευτέρα δὲ καὶ μείζων, ὅτι καὶ ἡ ἐκ τοῦ Εὐξείνου πόντου κατὰ τὸ εἰωθὸς ἐνιαύσιος κατιοῦσα σιτοπομπία ἐξ αἰτίας ἐπαύσατο τῆσδε καὶ αὕτη.

II. Fundata est a Latinis Genuensibus colonia, quam accolæ Caphas nuncupant, distatque a Mæotico Bosporo MCCC stadiis, sita propter sinistrum Euxini ponti latus, si quis septentrionem versus navigare ac borealem polum et Helicen habere ob oculos velit. Cum enim omnes Latini, ac præsertim Genuenses, vitam ut plurimum agant mercaturæ et navigationum laboribus vexatam, atque inde pecuniam cogant tam publicam quam privatam, communi **684** pridem scito ac decreto eorum reipublicæ saluberrimo cautum est, ut fœdera et amicitias jungant cum rectoribus earum urbium maritimarum, quascunque commodi et ab accessu ventorum securi portus circumfusis vel allabentibus maris fluctibus alluunt. Nam cum ad ea loca appellere mercesque illic dando accipiendoque mutare eos necesse sit, non prius id facile esse putaverunt, quam si amicos sibi facerent eos principes, quibus opportunæ illæ stationes propriæ obtigissent. Ubi itaque promiserunt, vectigalia se soluturos, quanta et qualia utrinque convenerit, et ea quæ usui sint, undecunque advecta, libere emendi copiam cuilibet facturos, atque ita certis legibus datam licentiam acceperunt, diversoria et tabernas ædificant, ubi sedere ipsi possint et habitare, et apothecas capiendis mercibus pares habere.

B Β'. Ἔστι Λατίνων τῶν ἐκ Γεννούας ἄποικος πόλις, ἡ πρὸς τῶν ἐγχωρίων καλεῖται Κᾶφᾶς (19), καὶ τοῦ πρὸς τῇ Μαιώτιδι Βοσπόρου τριακοσίους καὶ χιλίους σταδίους διέχουσα, παρὰ τὰ εὐώνυμα τοῦ Εὐξείνου πόντου κειμένη πλευρά, εἴ τις πρὸς ἄρκτους ποιεῖσθαι τὸν ἀνάπλουν ἐθέλοι, καὶ τόν τε βόρειον πόλον καὶ τὴν Ἑλίκην ἔχειν πρὸ ὀφθαλμῶν. Εἰωθὸς γὰρ τοῖς Λατίνοις, καὶ μάλιστα τοῖς ἐκ Γεννούας (20), ἐμπορικῷ τὰ πλεῖστα καὶ θαλαττίῳ βίῳ προσταλαιπωρεῖσθαι, καὶ τὰς τῶν χρημάτων προσόδους τῶν τε κοινῶν καὶ ἰδίων ἐντεῦθεν πορίζεσθαι, δόγμα τουτὶ κοινὸν ἐκ πολλοῦ κατέστη καὶ ψήφισμα τῇ σφῶν πολιτείᾳ τὰ μέγιστα ὠφελοῦν, σπονδάς καὶ φιλίας συντίθεσθαι πρὸς τοὺς τῶν παραθαλασσίων πόλεων ἡγεμόνας, ὁπόσας λιμένες ἀγαθοὶ περικλύζουσί τε καὶ προσκλύζουσι, καὶ ἀνέμων οὐ δεδίασι κλύδωνας. Ἀναγκαζομένοις γὰρ ἐς τοὺς αὐτόθι τόπους καταίρειν, καὶ τὰς ἐμπορικὰς χρείας διδόναι τε καὶ λαμβάνειν, οὐ πρότερον ἔδοξε ῥᾴδιόν σφισιν εἶναι, πρὶν φίλους γίνεσθαι, οἷς τῶν ὁρμητηρίων ἡγεμόσιν εἶναι συμπίπτωκε. Φόρους τοίνυν παρέχεσθαι ὑπισχνούμενοι, καθ' ὁπόσην καὶ οἵαν τὸ σύνθημα γένοιτο ἑκατέρωθεν τάξιν, καὶ χρεωδῶν ἁπανταχόθεν ἁπάντων [P. 428] εἰσκομίζοντάς προτιθέναι κατ' ἐξουσίαν ὠνεῖσθαι τοὺς βουλομένους, καὶ οὕτως ἐπὶ ῥητοῖς τὸ συγκεχωρηκὸς δεχόμενοι καταγώγια καὶ νομὰς ἐπαύλεων πρός τε ἑαυτῶν ἀνεγείρουσι καθέδρας τε καὶ οἰκήσεις, καὶ ὅσα πρὸς ὑποδοχὴν ἀποχρῶντ' ἂν εἴη τῶν ἀγωγίμων.

III. In hunc modum et illa, quam diximus, urbs ante annos non multos fundata est a Latinis Genuensibus, postquam nempe Scytharum ducem convenissent, et facultatem ab eo accepissent. Non tamen et muris et magnitudine, ut nunc se habet, ita statim ab initio fundata est. Sed breve quoddam

C Γ'. Κατὰ δὴ τοῦτον τὸν τρόπον οὐ πολλοῖς τισιν ἔτεσι πρότερον καὶ ἡ ῥηθεῖσα πόλις φκίσθη τοῖς ἐκ Γεννούας Λατίνοις, προσεληλυθόσι πρότερον τῷ τῶν Σκυθῶν ἡγεμόνι (21) καὶ τὴν ἐνδέσιμον εἰληφόσιν ἐκεῖθεν. Ἴκιστά γε μὴν ὡς ἔχει τήμερον τείχους ὁμοῦ καὶ μεγέθους εὐθὺς ἔκτισται ἐξ ἀρχῆς, ἀλλὰ

D

Variorum notæ.

(19) Theodosiam olim appellatam scribit Bizarus lib. VI *Genuensis historiæ*, ubi istam Caphæ obsidionem narrat : ut et Cantacuzen. lib. IV, cap. 26. DUCANG.

A tis, hominum manu excultis; et omni avium genere personat. Illic apum examina circum flores volitant, et leni susurro per aerem passim murmurant. Quibus ex rebus inter se commistis efficitur mirus quidam voluptatis contextus; non vere duntaxat, sed et quovis tempore, conspirantibus perpetua vicissitudine quatuor anni tempestatibus, ad eamdem amœnitatem eamdemque semper exhibendam hominum sensibus voluptatem; ac tum maxime, cum medio ex saltu et ab illis arboribus resonans matutinus luscinie cantus velut admodulatur iis, qui illic solitarii vivunt, Deumque una cum iis collaudat. Gestat enim et illa in sinu citharam quandam entheam, ingenitumque psalterium, et musicam harmoniæ plenam, quæ eos, a quibus auditur, B apte admodum et numerose, idque ex tempore, circumsonat. Idem porro locus nativarum aquarum fontibus multis rigatur et circumfluit: rivique alii aliunde scaturientes ex innumeris fontibus nascuntur, paulatimque et clam, suum quasi cursum furando, invicem aquas communicant; silentes ipsi quoque tanquam consulto, et disciplinam quamdam, ac si iis inesset sensus, ipsi etiam professi: nempe ut ejus loci monachis, vitam nullo tumultu perturbatam exigentibus, potestatem **716** integram faciant, supplices votorum pennas ad Deum tranquille attollendi. Quippe ad solitudinem et quietem maxime habiles reddit mons ille eos, qui cœlestem in terra vitæ rationem ingredi velint, ac C iis omnis generis alimenta perpetuo et affatim suppeditat domi nata. Sed et mari magno coronatur, quod ei multum undique affert venustatis, ac eo tantum insulam omnino fieri non sinit, ut possit per isthmum interjectum facili labore fructum percipere etiam ex terra; quæ in longum simul ac latum porro excurrit ac diffunditur. Illuc, uno verbo, omni ex parte confluunt ea quæ virtutem excellentem arguunt, sive loci naturam spectes sive habitantium institutum. Nusquam ibi mulierecularum contubernia; nusquam oculus intemperans et effeminatus fuci nitor et quæcunque veterem illam vitæ consuetudinem, quæ cum Serpente olim fuit, quodam veluti encæniorum festo renovant, ac magna confusione, magnis turbarum fluD ctibus vitam implent. Nusquam ibi venales in publico merces; nusquam fora, aut ædiles, aut judicum tribunalia, aut linguæ venditatio, aut de curuli sella fastus, jura pro libidine interpretans. Non illic vitæ conditio in servitutem atque imperium herile divisa est. Sed et loquendi æqua libertas, et animi moderatio, et morum honestas, et justitiæ ingenuitas locum illum pro theatro habent, et choro veluti lustrant, eæque omnes virtutes, quæ cœlestem in terra rerum ordinem pariunt, ac veram in animos philosophiam invehunt. Non ibi opes ac pecuniarii sumptus; non ibi socors luxuria regnat: sed totum **717** vitæ institutum, honestum re ipsa et liberale, studiose ad sacraria Virtutis pergit, et Dorica plane harmonia cum bono et pulchro congruit.

Δ'. Πᾶσαν μὲν γὰρ αὐτομάτως εἰπεῖν καὶ ὁ χῶρος ἐκεῖνος ἀποσπεύδει καὶ ἀπωθεῖται κακίαν, πᾶσαν δ'

IV. Omnem enim locus ille suapte quodammodo amandat procul atque expellit improbitatem; vir-

tutem autem omnem adsciscit et ad se intromittit, A tanque est amans recti, quam pravi inimicus. Idque idem ille mons pridem antea declaravit ac præmuntiavit, non labris aut ullo alio vocis organo, sed operibus quasi animatis, quæ per omnem possent terræ et maris orbem pulchri rectique præconium diffundere ac prædicare. Xerxæ enim illius veteris Barbarum et ferocem animum, qui in ipsam rerum naturam libidinem et lasciviam suam exercebat, atque in tantum elatus erat, ut elementa omnia novando mutaret, cum ejus ipsius montis isthmo perfosso terram in mare convertisset, locumque in insulæ formam redegisset; cum terrestres copias per mare transmisisset, effecisseque, ut navalis videretur is exercitus, qui erat terrestris, illius, inquam, Xerxæ superbiam in totius orbis frequentissimo theatro splendidissime arguit, et ejus fastum maxima ex parte ad morem humaniorem reduxit, ac per eum omnes et reges et duces et satrapas supercilium intempestivum abjicere et moderatiorem animum inducre docuit. Adeo montem illum ab initio natura ipsa officinam virtutis esse voluit, et omnes jampridem ad amorem ejus allicit; non eos solum, quibus contigit virtutis et tranquillitatis illius mel utcunque gustare, verum et eos, qui fama et **718** auditione acceperunt ejus loci excellentiam: cujus ea est natura, ut ex iis qui ad hodiernum diem ibi habitarunt, celebratissimos illos reddat, qui sinceram et incorruptam, loliique prorsus puram et immunem, servare id extremum segetem virtutis perstiterunt: rursus vero exsulare inde jubeat, totisque exigat viribus arceatque hospitii consortio hypocritas atque impios.

V. Et ea quidem, quæ antiquiora sunt, abunde ab aliis narrata audire est. Ego vero ea tantum commemorabo, quæ recentiora sunt; illa nempe de Josepho Cretensi, Larissæoque Georgio, cæterisque omnibus, qui eorumdem fœdissimæ mensæ accumbendo bacchati fuerant, utpote discipuli abominandis institutis mysteriisque initiati a præceptoribus: tum illa præterea de pictore Mose, de Isaaco, Davide, Iobo, et quicunque alii lingua, sententia, et manu profani cum essent, optimorum et virtutis fama illustrium virorum nominibus latentem in animo dementiam atque impietatem male et fraudulenter velabant; sepulcrorum instar, quæ tetterrimum intus odorem spirantia gypso auroque extrinsecus ornantur. Induunt enim ipsi quoque speciem et nomen sanctissimorum hominum, et virtutis laude insignium, ut illi scenis agitati Orestæ et Pyladæ, et Thesei, et Pelopes, quo malignitatis suæ virus occulte evomendo purioribus quibusque aspergant.

VI. Illorum sane abominanda ac impura testatur esse dogmata Tomus ille de eorum impietate scriptus, et ad sacram synodum Byzantinam **719** allatus a sanctissimis viris, montem illum incolentibus; tum ob alia, quæ ne auribus quidem fa-

εἰσποιεῖ καὶ εἰσοικίζεται ἀρετήν· παρὰ τοσοῦτόν τε φιλόκαλος, παρόσον ἐστὶ μισοπόνηρος. Καὶ τοῦτο πάλαι προανεφώνησέ τε καὶ προεθέσπισεν, οὐ χείλεσι καὶ φωνητικοῖς ὀργάνοις τισὶν, ἀλλ' ἔργοις οἷον ἐμψύχοις καὶ διὰ πάσης γῆς καὶ θαλάσσης τὸ κήρυγμα τοῦ καλοῦ παραπέμπειν καὶ ἐξηχεῖν δυναμένοις. Ξέρξου γὰρ ἐκείνου τοῦ πάλαι τὸ βάρβαρον καὶ ἀγέρωχον φρόνημα, ἀσελγαῖνον ἅμα καὶ τρυφῶν κατὰ τῆς τῶν ὅλων φύσεως, καὶ τὰ στοιχεῖα πάντα καινοτομεῖν ἐπαιρόμενον, ἐπεὶ καὶ τοῦ ὄρους τουτουὶ τὸν Ἰσθμικὸν αὐχένα διορύξας μετεστοιχείου καὶ μετεσκεύαζε τὸν χῶρον πρὸς νῆσον, καὶ τὰς ἠπειρωτικὰς ἐφ' ὑγραῖς διεβίβαζε τέως θαλάττης ἀγκάλαις, καὶ νῆττην τὸν ἠπειρῶτην ἐδείκνυ στρατόν, ἐπὶ τοῦ πανδήμου θεάτρου τῆς οἰκουμένης περιφανῶς ἐξήλεγξε, καὶ πρὸς τὸ ἀνθρωπικώτερον τοῦ τύφου τὸ πλεῖστον ἀπήλλαξε, καὶ δι' ἐκείνου πάντας ἐδίδαξε βασιλέας, καὶ στρατηγοὺς, καὶ σατράπας, τὸ τῆς ὀφρύος ἄκαιρον ἀποῤῥίπτοντας μετριώτερα δήπου φρονεῖν. [P. 450] Οὕτως ἐξ ἀρχῆς ἡ φύσις ἐργαστήριον αὐτὸ κατεσκεύακεν ἀρετῆς, καὶ πάντας ἕλκει πρὸς ἔρωτας ἄνωθεν ἑαυτοῦ, μὴ μόνον ὅσοις τοῦ τῆς ἀρετῆς καὶ τῆς ἡσυχίας ἐκείνης ὁπωστιοῦν γεύσασθαι μέλιτος ἐξεγένετο, ἀλλὰ καὶ ὅσοις δι' ἀκοῆς τὰ ἐκεῖ μαθεῖν συνέβη χρηστά· ὥστε καὶ τῶν ἀεὶ καὶ μέχρι νῦν διηνεκῶς οἰκησάντων αὐτὸ περιβοήτους μὲν καθίστησιν, ὅσοι καθαρόν τε καὶ ἀκαπήλευτον, καὶ ζιζανίου παντὸς ἀμιγὲς καὶ ἐλεύθερον, εἰς τέλος τὸ τῆς ἀρετῆς διετέλεσαν συντηροῦντες γεώργιον· ἐξοστρακίζει δ' αὖ ἐκεῖθεν καὶ ὅλαις χερσὶν ἐξελαύνει καὶ ἀπωθεῖται τὴν τῶν ὑποκριτῶν καὶ βεβήλων σύνοικησιν.

Ε'. Καὶ τὰ μὲν ἀρχαιότερα διηγουμένων ἄστιν ἑτέρων ἀκούειν αὐτάρκως. Ἐγὼ δὲ τὰ νεωστὶ διηγήσομαι, τὰ περὶ τὸν Κρῆτα φημὶ Ἰωσὴφ καὶ τὸν Λαρισσέα Γεώργιον, καὶ ὅσοι περὶ τὴν σφῶν μιαρὰν ἐβάκχευσαν τράπεζαν, ὅσα δὴ καὶ φοιτηταὶ πρὸς διδασκάλων τὰ μυσαρὰ μυσταγωγούμενοι δόγματα· ἔτι τε τὰ περὶ Μωσέα τὸν ζωγράφον καὶ Ἰσαὰκ καὶ Δαβὶδ καὶ Ἰὼβ, καὶ ὅσοι βεβήλους ἔχοντες πάμπαν καὶ γλώττας καὶ γνώμας καὶ χεῖρας ὀνόμασι βελτίστων ἀνδρῶν, καὶ περιβοήτων τὴν ἀρετὴν, περιστέλλειν ἐπονηρεύσαντο τὴν ἐνδόμυχον ἀπόνοιαν καὶ ἀσέβειαν τῆς ψυχῆς, παραπλησίως τοῖς τάφοις, οἵ τὰ ἔνδον μαχρᾶς ἀπόζοντες δυσωδίας τιτάνῳ καὶ χρυσῷ τὰ ἔξω κοσμοῦνται. Ὑποδύονται γὰρ καὶ αὐτοὶ καὶ σχῆμα καὶ ὄνομα βελτίστων ἀνδρῶν, καὶ τὴν ἀρετὴν ἐπισήμων, καθάπερ οἱ ἐν τοῖς δράμασιν Ὀρέσται καὶ Πυλάδαι καὶ Θησεῖ; καὶ Πέλοπες, ἵνα τὸν ἰὸν κατὰ τῶν ἀκεραιοτέρων τῆς σφῶν αὐτῶν ἐξεμοῦντες κακίας λανθάνωσιν.

Ϛ'. Εἶναί γε μὴν τὰ ἐκείνων μυσαρὰ καὶ ἀκάθαρτα δόγματα, φησὶν ὁ εἰς τὸ τῶν Βυζαντίων ἱερὸν κομισθεὶς συνέδριον ἔγγραφος τῆς αὐτῶν ἀσεβείας Τόμος πρὸς τῶν θεοφόρων τοῦ ὄρους ἀνδρῶν, τά τε ἄλλα, ὅσα μηδ' ἀκοῇ σωφρονεῖν αἱρουμένων φέρειν

εἶναι ῥᾴδια, καὶ ὅτι τὰς θείας λάθρα συντρίβοντες καταχαίουσιν εἰκόνας· καὶ ὅτι τὸ τοῦ διδασκάλου σεμνύνοντες οὖρον τοῖς ἐδέσμασιν αὐτῶν ἐπιῤῥαίνουσι· καὶ ὅτι τὴν ἔνσαρκον καὶ θείαν οἰκονομίαν οὐδαμῆ προσίενται· καὶ ὅσ' ἄῤῥητ' ἀμείνω. Τί γὰρ πλείω καταλέγειν δεῖ καὶ καταμιαίνειν τὰς τῶν εὐσεβῶν ἀκοὰς, ἐξὸν ἐκ τοῦ Τόμου τοῖς βουλομένοις μανθάνειν σαφέστερον, ὃς πάντα διεξιὼν διαῤῥήδην τὴν σφῶν στηλιτεύει κακίαν, τοῖς πατριαρχικοῖς ἐγγεγραμμένος κώδιξι;

Ζ'. Τοὺς γὰρ καθαροὺς καὶ ἀψευδεῖς οὐκ εἰς τέλος λαθεῖν ἐδυνήθησαν ὀφθαλμοὺς τῶν ἐκεῖ φιλοθέων ἀνδρῶν, καὶ μόνῳ ζώντων Θεῷ· [P. 451] ὥσπερ οὐδὲ τοὺς καθαρὰν τὴν γευστικὴν κεκτημένους λαθεῖν ἂν ῥᾳδίως συνηθείᾳ ποτὲ συναναχριθὲν ἀψίνθιον μέλιτι, οὐδὲ τὴν ὄσφρησιν πολλῷ μᾶλλον ῥόδοις μιγνύμενόν τι δύσοδμον. Ὅθεν, οἷα βιαίῳ πυρὶ, τῷ θείῳ ζήλῳ τὴν ἑαυτῶν ψυχὴν ἐκπυρσεύσαντες ἐπὶ ζήτησιν ἀκριβεστέραν ἐτράποντο τοῦ κακοῦ, ἠρέμα καὶ κατὰ βραχὺ κυνηγέτου δίκην ἀνιχνεύοντες ἐκ τῶν τῆς κακίας παραφυάδων τὴν ῥίζαν εὑρεῖν· καὶ εὑρόντες ἔστιν οὓς μὲν αἷς προσῆκε προήκαντο τιμωρίαις, ἔστι δ' οὓς ὡς πορῥωτάτω παλάμαις ἁπάσαις ἐκεῖθεν ἀπήλασαν. Ἦσαν δ' οἳ καὶ λαθόντες ἐκεῖθεν ἀπέδρασαν, πρὶν ἢ τελέως ἐκπυστον τὴν κακίαν γενέσθαι· οἳ δὴ καὶ πρὸς πόλεις μετεῤῥυήκεσαν Θεσσαλονίκην καὶ Βέῤῥοιαν καὶ ἣ κατὰ πασῶν ἅπαν ἔσχε τὸ κράτος. Ἔνθα δὴ γενομένοις σφίσιν οἶμαι νενόμισται, κοινῆς ἑστίας τῶν πανταχόθεν τῆς οἰκουμένης μάλιστα πασῶν ὑπαρχούσης αὐτῆς, καὶ ἅμα πολυγλώσσου καὶ πολυμιγοῦς φωνῆς καὶ γνώμης ἐπιπολαζούσης, συσκιάσαι μὲν τὴν ἑαυτῶν κακίαν, μιμήσασθαι δὲ τῶν ὀρνίθων τοὺς δρυοκολάπτας, οἳ τοῖς δένδρεσι περιπετόμενοι, καὶ ὅλον τοῖς ῥάμφεσι τὸν φλοιὸν περιχρούοντες, καὶ τὸ ὑγιαῖνον παρατρέχοντες ἅπαν, μόνῳ τῷ σαθρῷ καὶ σεσηπότι χρονίζουσι περικαθήμενοι μέρει, κἀκεῖνο σιτοῦνται πρὸς βάθος κοιλαίνοντες.

cile ferant ii qui sobrii sint; tum quia clanculum conterunt et incendunt imagines sacrosanctas; magistrique urinam ita venerantur, ut suis etiam dapibus irrorent, divinamque incarnationem minime admittunt. Reliqua tacerí melius est. Quorsum enim plura enumerare necesse est, et pias aures pollui; cum ea possit quilibet ex ipso Tomo exploratius percipere, qui singula percensendo eorum aperte notat improbitatem, patriarchicis codicibus insertus?

VII. Nimirum illi puros et sinceros oculos hominum Dei amantissimorum, et uni Deo illic viventium, fallere ad extremum non potuerunt; quemadmodum nec illos, qui integrum habent gustandi sensum, fallere unquam possit temperatum melle absinthium; odoratum autem multo minus, immistum rosis aliquid, quod male oleat. Divino itaque zelo, tanquam igne violentissimo, inflammatis eorum animis, de illa peste diligentius anquirere cœperunt, sensim ac pedetentim venatorum instar vestigantes, sicubi possent ex agnatis fruticibus radicem ipsam deprehendere. Ea porro deprehensa, sunt quos ad legitimum supplicium tradiderunt: nonnullos, quam longissime inde ablegatos, omnibus (ut dicitur) ungulis exegerunt. Fuere etiam qui clam inde aufugerint, antequam eorum omnino comperta esset nequitia: iique ad urbes confluxere Thessalonicam et Berrhœam, et ad eam quæ supremum in cæteras omnes imperium **720** obtinet: rati, opinor, quandiu ibi futuri essent, posse se in ea urbe, quæ omnium maxime totius undecunque orbis domicilium esset, et in qua dissoni versarentur et varii tam sermone quam moribus homines, suam nequitiam obumbrare, et ex avibus imitari picos Martios, qui circum arbores volitando, omnemque ex omni parte corticem rostris tundendo, quidquid sanum est prætereunt, et ei solum parti incumbunt diutius, quæ vitiosa est ac putrida, eaque altius excavata vescuntur.

CAPUT VIII.

Quando et cur Gregoras ab aula secesserit. Zenonis philosophi apophthegma. Imperii et Ecclesiæ perturbatio maxima. Veteres philosophi non rixabantur inter se, nisi pacis tempore. Byzantini theologi nec in ipso belli æstu altercari desinunt. Ariolis et ejus generis hominibus fides habita. Gallus astrologus imperatrici placentia prædicit. Gregoras arcessitur, ut cum eo disputet. Astrologorum prædictiones vanas esse arguit ex Ptolemæo et S. Basilio; item ex Chaldæorum versibus. Fatum tollit. Providentiam agnoscit. Ariolo refutato, Augustæ odium in se movet. Ad rem redit.

Α'. Ἐπεί γε μὴν μετὰ τὸν βασιλέως θάνατον πρὸς ἐμφύλιον στάσιν τὰ Ῥωμαίων ἠγέρθη πράγματα, καὶ ὥσπερ ἐν χειμῶνι καὶ νυκτὶ τὰ πάντα ζόφος ἦν, ὡς μηδ' ἄστροις, τὸ θρυλλούμενον, ὅποι φέροιτό τις δύνασθαι τεκμαίρεσθαι, καὶ πάντ' ἄνω τε καὶ κάτω μεταπίπτοντα, παρὰ τρσοῦτον ἐκ τοῦ σύνεγγυς ἐτίθει τε καὶ μάλα τῶν ἐλπιζομένων ἑκάστοις ἐποίει τὸ ἐπικίνδυνον, παρόσον πόῤῥω καὶ δυσέλπιστον τἀσφαλὲς (ἐν γὰρ διχοστασίῃ φασὶ τὴν μὲν πάγκακον τυγχάνειν τιμῆς, τὸν δὲ καὶ ὁπωσοῦν μετέχοντα τοῦ βελτίονος θρήνων πάσχειν ἄξια καὶ

1. Mortuo imperatore, cum res Romanorum in bellum civile incidissent, et omnia tanquam nimbo ac nocte ita caligarent, ut quo quisque veheretur ne ex astris quidem, ut aiunt, conjici posset; rebusque omnibus sursum deorsum euntibus, tam vicinum esset tamque exspectaretur exitium, quam aberat ac desperabatur salus; (etenim ferunt in discordiis pessimo cuique honorem obvenire; eum autem, qui quoquomodo ad meliora inclinat, luctuosissima pati ac tragicas percipere calamitates;) eapropter et mihi primum

esse visum est tranquillam vitam eligere, ab aulicis theatris abstinendo. Sublato enim mali irritamento, remotisque iis quæ contentiosam pugnam accendunt, etiam ipsius mali progressionem cessare existimavi. Cum itaque hortando alios neminem qui crederet invenire potuissem, id feci, quod in me erat. Tumultum nempe ex pace efficere etiam vilissimis et infimæ **721** plebis hominibus facile est; ex tumultu vero pacem, ne prudentissimis quidem valde promptum. Alterum quippe liberrimo naturæ impetu fertur : naturam porro inordinatum quiddam esse constat et inæquale : alterum autem certo animi judicio et sapientibus consiliis regitur. Itaque illud quidem, ut occasionem discordiis præbeat, causas comminiscitur etiam eas quæ nullæ sunt : istud vero etiam eas, quæ subsunt, recidere conatur; velut medicus, qui morbo, antequam crescat, in ipsa radice medicam adhibet manum.

A τραγικῶν [P. 452] ἀπολαύειν τῶν συμφορῶν)· τῶν κρατίστων εἶναι κάμοὶ τὸν ἡσύχιον ἔδοξε βίον ἑλέσθαι, τῶν βασιλικῶν ἀφεμένῳ θεάτρων. Τοῦ γὰρ ἐρεθίζοντος καὶ μάχην ἀντίπαλον ἀνιστῶντος οὐκ ὄντος, παύσασθαι τὸ νεμόμενον τῆς κακίας ᾠήθην. Ὅθεν ἐπειδὴ τοῖς ἄλλοις παραινοῦντί μοι τοὺς πειθομένους ἥκιστ' ἔχειν ἐνῆν, τὸ κατ' ἐμαυτὸν ἐποίουν αὐτός. Θόρυβον μὲν γὰρ ἐξ εἰρήνης ῥᾴδιον καὶ τοῖς φαυλοτάτοις καὶ βάναυσον ἄγουσι βίον ποιεῖν· ἐκ δὲ θορύβων εἰρήνην, οὐδὲ τοῖς σφόδρα συνετοῖς μάλα τοι εὔοδον. Τὸ μὲν γὰρ αὐτονομίᾳ φύσεως ἄγεται· ἡ δὲ φύσις ἄτακτον καὶ ἀνώμαλον ὡμολόγηται εἶναι· τὸ δὲ παιδείᾳ καὶ συνέσει βεβουλευμένῃ καὶ σώφροσι λογισμοῖς οἰακίζεται. Ὅθεν τὸ μὲν καὶ τὰς οὐκ οὔσας ἀναπλάττει προφάσεις, ἐφόδια παρίζον ταῖς μάχαις· τὸ δὲ καὶ τὰς οὔσας ἐκτέμνειν πειρᾶται, καθάπερ ἰατρὸς πρὸ τῆς βλάστης ἐν τῇ ῥίζῃ τὴν θεραπείαν τεχνώμενος.

II. Mihi igitur tranquillam vitam eligere satius visum est, et illa cogitanti, et hoc simul Zenonis illius sapientis reminiscenti; qui celebri in convivio, cum ambitiose cæterii philosophi apud legatos Babylonios disputarent, silebat ipse solus, et silentii causam sciscitantibus legatis, ut haberent aliquid de eo certi, quod regi renuntiarent : « Abite, inquit, ac renuntiate, vidisse vos Athenis eum hominem, qui silere in convivio posset. »

B Β'. Ἐμοὶ μὲν οὖν διά τε ταῦτα βέλτιον τὸν ἡσυχίαν ἔδοξε βίον ἑλέσθαι, καὶ ἅμα μεμνημένῳ κἀκεῖνο τὸ Ζήνωνος τοῦ σοφοῦ, ὅπως ἐν συμποσίῳ μακρῷ, τῶν ἄλλων σοφῶν ἐπιδεικτικῶς τοῖς ἐκ Βαβυλῶνος διαλούντων πρέσβεσιν, μόνος αὐτὸς ἐσιώπα, καὶ τὴν αἰτίαν τῶν πρέσβεων ἐρομένων τῆς σιωπῆς, ἵν' ἔχοιεν ἀπαγγέλλειν τῷ βασιλεῖ σαφές τι περὶ αὐτοῦ· « Πορευθέντες ἀπαγγείλατε, » φησίν, « ἰδεῖν ἐν Ἀθήναις ἄνθρωπον, σιωπᾶν ἐν συμποσίῳ δυνάμενον. »

III. Idem ego cum fecissem, prospiciebam tanquam e specula eos, qui utrinque effervescebant, tam civilium quam ecclesiasticorum negotiorum fluctus, acerrime inter se certantes, ecquis superior evaderet; atque in medio duas veluti naves, nulla lege, nullo ordine euntes, sed impetu quodam motuque temerario, cæco et inæquali abreptas, qualem efficit casus; ut nec possent, nec vellent opitulari sibi invicem circumventis; sed pariter et **722** sibi ipsis singulæ, et altera alteri palam atque ultro extremum exitium molirentur, surgentiumque inde coram fluctuum molem videre esset curvatam undique in Olymporum et Caucasorum speciem, et si quis mons alius nubibus altior exsurgit, et ad ætheris usque confinia pertingit.

C Γ'. Οὕτω δὴ πεπραχὼς καὶ αὐτὸς ἑώρων ὥσπερ ἐκ σκοπιᾶς σφόδρα ἀντιφιλονεικοῦντας τοὺς ἑκατέρωθεν ἀναβράσαντας κλύδωνας ἔκ τε τῶν δημοσίων ἔκ τε τῶν ἱερῶν τῆς Ἐκκλησίας πραγμάτων, ὅττις λάβῃ τὸ μεῖζον, καὶ δίκην ὁλκάδων δυοῖν (73) ἐν μέσῳ πλημμελῶς καὶ ἀτάκτως ἀγομένων, καὶ φερομένων φοράν τινα καὶ κίνησιν ἀκυβέρνητόν τε καὶ ἄλογον καὶ ἀνώμαλον, καὶ οἵαν ποιεῖ τὸ αὐτόματον· ὡς μετὰ τοῦ μὴ δύνασθαι μηδὲ βούλεσθαι βοηθεῖν περιστατουμένοις ἀλλήλοις· ἀλλ' ὁμοίως ἑαυτοῖς τε καὶ ἀλλήλοις ἐς τοὐμφανὲς ἐκών γε εἶναι τὸν ἔσχατον ὄλεθρον ἀμφοῖν πραγματεύεσθαι· ὡς τὴν τῶν ἐντεῦθεν ἄντικρυς κυμάτων μίμησιν κορυφουμένην εἶναι ὁρᾷν πανταχόθεν εἰς Ὀλύμπους καὶ Καυκάσους, καὶ εἴ τι τῶν ὀρῶν ὑπερνέφελόν τέ ἐστι καὶ μέχρι καὶ ἐς αἰθέρος φοιτᾷ γειτονήματα.

IV. Atqui priscis sapientibus, qui Athenis vixere, nunquam alias altercari et verborum certamina instituere, atque obvias quasque aures linguæ verberibus fatigare libuit, nisi cum tumultu externo bellisque adventitiis prorsus defuncti erant. Tum quippe in diversa sectarum agmina scissos Græcos dissidere tempus ferebat, modo Epicureorum, modo Pythagoreorum, et quicunque alii posteris memoriam amplam prodidere earum rerum, quæ contentionis materiam præberent. At hic cum infi-

D Δ'. Καίτοι καὶ Ἀθηναίων τοῖς πάλαι σοφοῖς οὐκ ἄλλοτέ ποτε ἐστασιάζειν, καὶ γλωττοδαίδαλον μάχην ἐγείρειν, καὶ πῦξ ἀπὸ στόματος ἀκοὰς ἐνοχλεῖν ἁπαντώσας ἐπῆσαι, ἢ ὅτε τῶν ἔξω θορύβων τε καὶ πολέμων ἐκδήμων πάμπαν ἦσαν ἀπηλλαγμένοι. [P. 453] Τότε γὰρ καὶ πρὸς διαφόρους αἱρέσεων φάλαγγας ὥρα εἶχε τὰ Ἑλλήνων σχίζεσθαι δόγματα, νῦν μὲν Ἐπικουρείων, νῦν δὲ Πυθαγορείων, καὶ ὅσοι τῷ χρόνῳ τὴν μνήμην παρέδοσαν ἄφθονον τῶν τὴν τῆς ἔριδος χορηγίαν παρεχομένων. Ἐνταῦθα δὲ μυρίων

Variorum notæ.

(73) *Duas veluti naves*, Ecclesiam scilicet et imperium. Boivin.

Ἐνδοθέν τε καὶ ἔξωθεν δημοσίων ἐπιῤῥεόντων θορύ- A βων καὶ τραγικῶν συμφορῶν, μείζονα τὸν ἄλλως ἀναῤῥιπιζόμενον τῶν δογμάτων ἔβλεπον πόλεμον, καὶ τὸ τῆς θεολογίας σεμνὸν ἐν ταῖς ἀγυιαῖς καλινδούμενον καὶ ἐνοχλούμενον ὑπὸ τῆς τῶν παλαμνίων (74) καὶ Φαρισαίων φάλαγγος. Καὶ εἴ τινες ἀντίπαλοι Μακκαβαῖοι, καὶ ὅσοι διὰ τὸν χρόνον ἦσαν ἐφεκτικοί (75), τότε δὴ κληδόσι τε καὶ φήμαις, καὶ εἴ πού τις ὑπῆρχεν ἐγγαστρίμυθος καὶ Βάκχη καὶ Φοιβόληπτος, ὥρα πᾶσι λαμπρά τις ἀναίδην ὑπῆρχε λῃρεῖν, ὡς τὰ καὶ τὰ προβήσεται, καὶ τὰ καὶ τὰ γενήσεται.

Ε'. Τούτοις δὴ θαῤῥήσας ἦκε κάκ τῶν Κελτικῶν τε καὶ Γαλατικῶν βαράθρων τις σοφὸς καὶ οὐ σοφὸς ἀνὴρ Γαλάτης, πολλὰ τῶν μήπω γενομένων διατει- B νόμενος προειδέναι πρὸς τῶν μετεώρων, καὶ ὅσα ὁ τῆς καθ' Ἕλληνας πεπρωμένης μίτος ὑφαίνει, τά τε ἄλλα καὶ περὶ τῶν Ῥωμαϊκῶν πραγμάτων, ὅποι σαφῶς προβήσεται· καὶ ὡς τεθνήξεται μὲν ἐς τὴν ὑστεραίαν ὁ Καντακουζηνός· οἰχήσεται δ' ἅπαν ἀντίπαλον καὶ πολέμιον γένος, πρὶν ὅλον ἐξήκειν ἐνιαυτόν. Τοῦτον ὡς ἐξ οὐρανίων ἀντύγων προσαγόμενον ὑπὸ τῶν ὁμοφύλων Λατίνων ἡ βασιλὶς θεασαμένη τε καὶ ἀκούσασα, ἔπειτ' ἀνερευνᾶν ἐθέλουσα τὰς τῶν λεγομένων αἰτίας μετάπεμπτον ποιεῖται κἀμέ, καὶ οὐ μαλα ἐθέλοντα, ἵνα συνιεὶς τῶν λεγομένων ἀδέκαστος εἴην κριτής. Ὁπόσα μὲν οὖν ἐκεῖνος διῆει, βέβαια τὰ παρὰ τῶν ἀστέρων ἐνδεικνύμενος πεπρωμένα, ἄκαιρον εἶναι καθ' C ἕκαστα διηγεῖσθαι νομίζω. Λέξω δ' ἐξ ὧν πρὸς ἀναίρεσιν αὐτὸς ἐκείνου περιφανῶς ἀντεισήνεγκα μέτρια.

Ϛ'. α Καὶ πρῶτον ὁ Πτολεμαῖος ὁ πάνυ φησὶν, ὡς οὐχ ἅπαντα τοῖς ἀνθρώποις ὑπό τινος ἄνωθεν ἀνάγκης συμβαίνειν οἴεσθαι χρὴ, καὶ ἄτρεπτα γίνεσθαι καθ' εἱμαρμένην τινὰ τὰ γιγνόμενα· ἀλλ' αὐτὴν μὲν τὴν τῶν οὐρανίων κίνησιν ἐξ αἰῶνος ἄτρεπτον κατὰ γένεσιν θείαν καὶ τάξιν ἀποτελεῖσθαι· τήν γε μὴν τῶν ἐπιγείων ὑπὸ φύσεως μὲν διοικεῖσθαι, συμφυὲς τὸ τρεπόμενόν τε καὶ ῥέον ἐχούσης ἀεί· ἕπεσθαί γε μὴν ὁπώσποτε καὶ τὴν ἄνωθεν αἰτίαν, κατὰ συμβεβηκός, οὐ μὴν ὡς ἐπίπαν ἀνθρώποις καταληπτήν· πολύχουν μὲν γὰρ ἔχειν τὴν δύναμιν D διὰ τοῦ ἀέρος ἥλιον καὶ σελήνην πρὸς τὰ ἐπίγεια κατά τινας λόγους καθολικωτέρους, πᾶσιν οἷς νοῦ καὶ φρονήσεως μέτεστι σύμφωνον ἂν εἴη. [P. 454] Τάς γε μὴν γενεθλιαλογικὰς ἐπισκέψεις καὶ ὅσα παρ' ἐνίων γνωμολογεῖται περὶ τῆς ἑκάστων ἰδιοτρόπου συγκράσεως, τοῦτο δ' ὅλον εἶναι μάλα τοι σφόδρα μάταιον καὶ μόχθον ἀνήνυτον καὶ ἀκατάληπτον κεκτημένον τὸ πέρας οὐ Πτολεμαίῳ μόνον τῷ

Enimiti, tam domi quam foris, tumultus publici affluerent tragicæque calamitates, majus ventilari alio modo videbam opinionum bellum, ac theologiæ majestatem in viis proteri atque vexari ab scleratorum (Palamitarum) Pharisæorumque cœtu. Quod si qui illis adversabantur Maccabæi, aut quicunque ipso tempore suadente Ephectici erant, apud eos prognosticis quibuscunque vocibus et verbis locus erat; et sicubi esset sive engastrimythus aliquis, sive Mænas, sive Pythonissa, omnibus splendida erat occasio impudenter ariolandi, hæc atque hæc feliciter cessura esse; hæc atque hæc esse eventura.

V. His fretus e Celticis Gallicisque barathris prodiit et Gallus quidam, sapiens **723** idem ac minime sapiens, qui multa, quæ nondum evenissent, augurari se ex meteoris asserebat, et quidquid filo suo texit illa, quam Græci πεπρωμένην vocant; tum alia, tum de Romanis rebus, quidnam certo futurum esset: ac moriturum quidem postridie Cantacuzenum; abituram autem omnem adversariorum hostiumque multitudinem, antequam totus annus elapsus esset. Eum, tanquam ab axe cœlesti missum, et a Latinis gentilibus ad se adductum, cum vidisset imperatrix, audivissetque; ea deinde vellet eorum, quæ ab illo dicta erant, rationem investigare, me ipsum quoque arcessit, non adeo volentem; ut cum istius dicta intellexissem, judex forem incorruptus. Quæcunque igitur ille disputavit, ut firma esse ostenderet ea, quæ ab astris determinata essent, singula commemorare ab re esse existimo. Ex iis autem, quæ ego ut illum refutarem aperte prolocutus sum, referam non multa.

VI. Ac primo quidem magnus ille Ptolemæus affirmat, non omnia, quæ hominibus accidunt, ad cœlestem aliquam necessitatem referri oportere, nec fatali quadam lege immutabilia esse ea, quæ fiunt; sed ipsa quidem cœlestia corpora ita a Deo creata esse et ordinata, ut eorum motus ab æterno immutabilis sit constitutus: quæ autem terrestria sunt, horum motum a natura gubernari, mutabilitatem insitam habente et perpetuam instabilitatem: accedere tamen utcunque etiam causæ superioris concursum, eamque aliquando, non tamen in universum, ab hominibus posse intelligi. Etenim late quidem per aerem diffusam esse solis et lunæ vim in terrestris, generalibus quibusdam rationibus, apud eos omnes constat, qui ingenii et prudentiæ **724** expertes non sunt. At natalium siderum observationem, et quæcunque a nonnullis pronuntiantur de peculiari singulorum corporum constitutione, id vero negotium esse futilissimum, laboris infiniti,

Variorum notæ.

(74) Palamitæ ab adversariis παλαμναῖοι per ridiculum vocabantur. Bonin.

(75) Ii scilicet qui nolebant de rebus divinis quidquam affirmari temere et indubitanter: quos Palamas in epistola ad Joannem Gabram, cod. reg. 2409. fol. 244 v., his verbis notat: Καὶ πρὶν ἢ καθίσαι, διὰ στόματος ἐρᾷ τὰ τῆς πονηρᾶς ἐνστάσεως ῥήματα, ἣν ἀπὸ τῆς Πυθόνος ἐφεκτικῆς οὗτοι κακῶς ἐπὶ τὰ θεῖα μετήγαγον. Bonin.

et exitus incomprehensi, non soli videtur Ptolemæo, sed et in divinis versatissimo Basilio. His autem et illa Chaldæorum prorsus suffragantur :

Ne vasti mensuram orbis sub pectore verses :

Terra etenim veri caret arbore.
Multiplici frustra solem ratione laboras

Metiri : haud illum propter te æterna voluntas
Patris agit. Lunam rapidus sine torqueat axis
Stat nunquam quidquid fatuli lege movetur.

Sidera ne tibi nata tuis vel prævia rebus
Ire putes. Passis avium fuge credere pennis.

Exta et aruspicium, ludus : mala fraudis avaræ

Præsidia. Hæc fuge, qui sacros Pietatis in hortos
Tendis, ubi virtus, fas et sapientia florent.

Facile autem et alioqui fuerit volenti cuique fatum tollere. Nam si latrones ex necessitate latrocinantur, rursusque ex necessitate legislator pœna afficit **725** latronem, restat, ut fato fatum pugnet, et necessitas necessitati : pugnæ autem illius fructus exsistit pernicies atque interitus naturæ. Ruit itaque fati immutabilitas, et omnia a divina providentia administrantur, prout cuique solet contingere. »

VII. Hæc et talia a nobis disputata homini Gallo os obstruxere, atque ille obmutescens excessit e concilio.

At non æquo animo tulit Atrides Agamemnon.

Quædam enim veluti scintillæ animum imperatricis tanquam stipulam pervasere; arcanamque iram servavit, donec scilicet tempore procedente expleret, quamvis linguæ tunc temperaverit, vultumque hilarem, eorum qui aderant gratia, induerit. Nam vir ille et popularis erat ipsius, et eodem quo illa sermone utebatur; et ea quæ ille dixerat, isti optatissima erant et valde placentia; ac minime hæc audire desideraverat, quæ his refragarentur. Atqui hæc ita se habuerunt, ac prima hæc fuit occasio, quæ meæ illius tranquillitatis cursum interruperit, atque irarum in me semina animo im-

πάνυ δοκοῦν ἐστιν, ἀλλὰ καὶ τῷ τὰ θεῖα πολλῷ Βασιλείῳ. Τούτοις δὴ καὶ τὰ Χαλδαίων ἀντίκρυς συνᾴδει (76) ·

Μὴ τὰ πελώρια μέτρα γαίης (φασκόντων) ὑπὸ σὴν φρένα βάλλου ·
Οὐ γὰρ ἀληθείης φυτὸν ἐν χθονὶ...
Μηδὲ μέτρει μέτρον ἠελίου, καιρόας συναθροίσας ·
Ἀλλῳ βουλῇ φέρεται Πατρὸς, οὐχ ἕνεκέν σου.
Μήνης ῥοῖζον ἔασον· ἀεὶ τρέχει ἔργῳ ἀνάγκης.
Ἀστέριον προπόρευμα σέθεν χάριν οὐκ ἐλοχεύθη.
Λίθριος ὀρνίθων ταρσὸς πλατὺς οὔποτ' ἀληθής ·
Οὐ θυσιῶν σπλάγχνων τ' ὄθυμαι (77)· τάδ' ἀλύρματα πάντα,
Ἐμπορικῆς ἀπάτης στηρίγματα · φεῦγε σὺ ταῦτα,
Μέλλων εὐσεβίης ἱερὸν παράδεισον ἀροίγειν,
Ἔνθ' ἀρετὴ σοφίη τε καὶ εὐνομίη συνάρτηται.

Εἴη δ' ἂν καὶ ἄλλως ῥᾴδιον, εἴ τις ἀναιρεῖν ἐθέλοι τὴν πεπρωμένην. Εἰ γὰρ ἐξ ἀνάγκης οἱ λῃσταὶ λῃστεύουσιν, ἐξ ἀνάγκης δ' αὖ καὶ ὁ νομοθέτης τὸν λῃστὴν τιμωρεῖται, μάχεται λοιπὸν ἡ πεπρωμένη τῇ πεπρωμένῃ, καὶ ἡ ἀνάγκη τῇ ἀνάγκῃ · μάχης δὲ καρπὸς φθορὰ καὶ λύσις γενέσεως. Ἔφαρται ἄρα τὸ τῆς πεπρωμένης ἄτρεπτον, καὶ διοικεῖται πάντα κατὰ θείαν πρόνοιαν, ὅπως ἂν ἑκάστοις ἐστὶν ἐνδεχόμενον. »

Ζ'. Ταῦτα δὴ καὶ ὅσα παραπλήσια πρὸς ἡμῶν εἰρημένα ἐπεστόμισέ τε τὸν Γαλάτην καὶ ἄφθογγον ἔχων τὴν γλῶτταν ἐκεῖνος ἀπῆει τοῦ συνεδρίου.

Ἀλλ' οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἤρδανε θυμῷ (78).

Ὡς γὰρ σπινθῆρες καλάμην διέδραμον τὴν τῆς βασιλίδος ψυχὴν, καὶ κότον ἔσχεν, ὅφρα τελέσσῃ καιροῦ προϊόντος, εἰ καὶ τέως ἐχεμυθοῦσα χαροπὸν διὰ τοὺς παρόντας ἐδείκνυ τὸ πρόσωπον. Ὅ τε γὰρ ἀνὴρ ἐκεῖνος πατριώτης ἦν αὐτῇ καὶ ὁμόγλωττος · τά τ' ἐκείνῳ πεφρασμένα κατὰ νοῦν ὑπῆρχεν ἐκείνῃ καὶ σφόδρα καθ' ἡδονὴν, καὶ ἀκοῆς ἀντιφθεγγομένης ἥκιστα πάντων ἐδεῖτο πρὸς ταῦτα. Ὅμως ἔσχεν οὕτω ταῦτα · καὶ πρώτη τις ἦν αὕτη πρόφασις, τὸ τῆς ἐμῆς ἐκείνης ἡσυχίας συνεχὲς διακόψασα καὶ μήνιδος ἐγκατορύξασα σπέρματα [P. 455] ταῖς τῆς καρδίας αὔλαξι τῆς βασιλίδος κατ' ἐμοῦ · δευτέρα δὲ καὶ τελευταία, ἣν

Variorum notæ.

(76) Chaldaicorum oraculorum meminerunt Synesius et Plotinus. Fragmenta, a Psello et Plethone collecta et explicata, edidit in lucem Joannes Opsopœus, Parisiis, an. 1599, et bibliotheca Regia. Vide epistolam illi editioni præfixam, ubi Gregoras dicitur Pselli commentarium *legisse, indeque multa verbotenus descripta scholiis suis in Synesii librum* περὶ ἐνυπνίων *indidisse, auctoris mentione suppressa.* Joannes Laurentius Philadelphiensis Lydus, quem Justino et Justiniano imperantibus floruisse constat ex Photio, laudavit non semel τὰ λόγια in ils scriptis, quorum fragmenta exstant in codice Regio 3367. Versus ab eo prolatos, quoniam il in edit one Obsopœana, desiderantur, juvat hoc loco exhibere. Sunt autem hi :

Χρὴ δὲ χαλινῶσαι ψυχὴν βροτὸν ὄντα νοητὸν,
Ὅφρα μὴ ἐγκύρσῃ χθονὶ δυσμόρῳ, ἀλλὰ σαωθῇ.
Ψυχαῖον σπινθῆρα δυσὶ κεράσας ὁμοίοις,
Νῷ καὶ πνεύματι θείῳ, ἐφ' οἷς τρίτον ἀγνὸν Ἔρωτα,
Συνδετικὸν πάντων ἐπιβήτορα σεμνὸν ἔθηκεν.
Τῆσδε γὰρ ἐκ τριάδος κόλποις ἔσπαρται ἅπαντα.
Τῆσδε γὰρ ἐκ τριάδος πᾶν πνεῦμα πατὴρ ἐκέρασσε.
Νύμφαι πηγαῖαι, καὶ ἐνύδρια πνεύματα πάντα,
Καὶ χθόνιοι καὶ κόλποι, καὶ ἠέριοι, καὶ ὕπαυγοι
Μηναῖοι, πάσης ἐπιβήτορες ἠδ' ἐπιβῆται
Ὕλης οὐρανίας τε καὶ ἀστερίας καὶ ἀβύσσων.

Hæc porro Laurentius Philadelphiensis non Χαλδαϊκὰ λόγια, sed λόγια tantum vocat. Nec aliter Synesius in libro *De insomniis.* BOIVIN.

(77) Apud Synesium legitur,

Οὐ θυσιῶν σπλάγνων τ' ὄτομα., etc.

quæ lectio bona est, si ὄθομαι legas. Nam ὄτομαι non dicitur. Homer. Il. α'.

σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω,
Οὐδ' ὄθομαι κοτέοντος. BOIVIN.

(78) Homer. *Iliad.* I. BOIVIN.

προϊόντες ἐν τοῖς καθήκουσι τόποις ἐροῦμεν, τὰ μεταξὺ διηγησάμενοι πρότερον. A

peratricis altius infixerit. Alteram ac postremam suo loco infra subjiciemus, ubi ea quæ intermedio tempore acciderunt, narraverimus.

Π'. Ἀλλὰ ταῦτα μὲν ἐς τόδε λεχθέντα ἀρκεῖν οἶομαι δυοῖν ἕνεκα· ἑνὸς μέν, ὅτι πρὸς ἀναγκαιοτέρας τήμερον ἡμᾶς ὑποθέσεις ὁ λόγος ἀνθέλκει, πρὸς ἃς καὶ ὁ τοῦ λόγου μάλιστα καὶ τῆς ἐξ ἀρχῆς προθέσεως τείνει σκοπός· δευτέρου δ', ὅτι πολλὰ πολλῶν εἰρηκότων καὶ ἀγωνισαμένων ὑπὲρ τῆς ὑποθέσεως, ὡς ἐνῆν, οὐ μακρῶν οἶμαι ἂν ἔτι τῶν ἡμετέρων δεήσεσθαι λόγων· ἀλλ' ὡς ἐν προσθήκης μέρει, καὶ κριτικῆς τινος ψήφου, καὶ τουτωνὶ ξυνεῤῥυηκότων, εἰ καὶ βραχέα δοκεῖ πως, ἀλλ' οὖν τόν γε ἴσον δυνήσεσθαι τρόπον εἰς τὴν ἀληθείας ἐνάργειαν. Διόπερ ἐκεῖσε ἐπανιτέον.

VIII. Hæc vero, quæ hactenus dicta sunt sufficere puto duplici de causa: primum quia nos oratio nostra hodie retrahit ad argumentum magis necessarium, ad quod maxime et narratio ipsa et intentio prima operis dirigitur tanquam ad scopum: deinde quia, cum multi multa dixerint, et certatim de iisdem illis rebus quantum in se erat egerint, non puto eas ipsas **726** longiorem jam a nobis orationem desiderare: sed ista accessionis aut judicialis cujusdam suffragii instar contributa, etsi exigua videantur, eamdem tamen habitura vim ad veritatem declarandam.

CAPUT IX.

Gabalas, metu Apocauci, monasticum habitum induit. S. Sophiæ templum, asylum olim inviolatum; a Gabala et a patriarcha temeratum. Amurius, in Thraciam reversus, Byzantium usque cum Cantacuzeno progreditur. Urbis aspectu obstupescit. Pauci murorum custodes. Apocauci diffidentia. Cantacuzenus et Amurius Momitilam debellatum eunt. Romanas urbes invadentem. Juxta Perithorium castrametantur. Momitilæ audacia. Ejusdem circumventi consternatio. Acris pugna. Cadit Momitilas. Ejus milites omnes fere cæsi.

Α'. Ἐπεὶ γὰρ ὁ Ἀπόκαυκος ἐς βυθοὺς πρὸς τοῦ Γαβαλᾶ κατενεχθῆναι δυστυχημάτων παρεκινδύνευσε μὲν, ἀνένηξε δ' οὖν καὶ ἐς τὴν πρὶν ἀφίκετο εὐδοξίαν, ὥς γε εἴρηται, δι' ὧν λοιπὸν αὐτὸν ἀμυνεῖται πάσας κεκίνηκε μηχανάς· ἕως, μὴ τὰ μείζω τῶν δεινῶν ὑποστῇ, δείσας αὐτὸς ἐς τὸν μέγιστον τῆς τοῦ Θεοῦ Σοφίας (79) κατεπεφεύγει νεών. Ἔνθα μετὰ συχνόν τινα χρόνον, πολλὰς καὶ ποικίλας ἀκούων τὰς καθ' ἑαυτοῦ ἀπειλὰς, καὶ δείσας αὖθις, μὴ κἀκεῖθεν ἀνάρπαστος ἐξαπίνης γενόμενος ἐς ταρτάρους καὶ ζόφους δεσμωτηρίων ῥιφῇ, κἀκεῖνο πιεῖν ἐγγένηται τουτῳὶ τὸ ποτήριον, ὅπερ ἄλλοις αὐτὸς κεκέρακε πλείοσι, τὸ μοναδικὸν ἐξ ἀνάγκης ὑπέδυ σχῆμα. Ψθάσας γὰρ αὐτὸς καταλέλυκε τὴν τοιαύτην ἄσυλον ἐκ πολλοῦ, τῶν προσφύγων ἀρχαίαν ἀσφάλειαν, ἐνδιδόντος καὶ αὐτοῦ τοῦ τὸν πατριαρχικὸν διέποντος θρόνου. Διὸ καὶ αὐτοὶ πρὸς ἐσχάτας ἐνεπεπτώκεισαν ἀτιμίας καὶ περιαγωγὰς κακοδαίμονας (80), ὡς εἰρήσεται. Τοῖς γὰρ τὰ θεῖα προφανῶς οὕτωσὶ παριφρονηταῖς εἰκὸς ἐν ἐσχάτοις τοιαύτας ἐπιέναι τίσεις, εἰς παιδαγωγίαν τοῦ βίου, δραστικώτερόν πως καταστέλλειν τὸ θηριῶδες τῆς τύχης ἰσχύουσαν. B

I. Cum Apocausus exitio prope demersus fuisset a Gabala, mox tamen emersisset, et in priorem gratiæ et honoris locum restitutus esset, ut jam diximus, omnem deinceps, quo eum ulcisceretur, lapidem movit eo usque, donec veritus ille, ne extrema pateretur, in maximum S. Sophiæ templum confugit. Ibi aliquandiu commoratus multas ac varias minas cum audiret in se jactatas, ac rursus vererctur, ne inde subito abreptus in tartara et custodiarum tenebras conjiceretur, atque idem sibi poculum hauriendum esset, quod aliis ipse pluribus miscuerat, monasticum cogente necessitate habitum induit. Prior enim ipse sustulerat asylum illud longo ante, profugorum vetus præsidium, ipso quoque obsecundante patriarcha. Quam ob causam et ipsi in summas ignominias ac vicissitudines calamitosas inciderunt, ut postea dicetur. Qui enim divina tam aperte contemnunt, eos æquum est ejusmodi pœnas tandem aliquando subire, ut humanum genus his exemplis erudiatur, quæ efficaciorem quamdam vim habent ad comprimendam fortunæ ferociam.

Β'. Ἀλλὰ γὰρ ἔαρος ἐπιστάντος (81) ἐν τούτοις [P. 456] τὸν Ἑλλήσποντον μετὰ πολλῆς ὁ σατράπης Ἀμοὺρ (82) τῆς Ἀσιανῆς δυνάμεως περαιωσάμενος ἦκεν ἐς Διδυμότειχον· κἀκεῖθεν αὖθις ἦκε μετὰ βασιλέως ἄχρι καὶ ἐς Βυζάντιον, θέας τε ἕνεκα καὶ πείρας εἰ δέοι. Ἐπεί γε μὴν ἐληλύθει κἀκ συμμέτρου τοῦ διαστήματος νῦν μὲν ἱστάμενος, νῦν δὲ περιιὼν ἐσκόπει καὶ συνεώρα, πολλή τις αὐτὸν συνέσχε C

II. Sedenim cum interea ver advenisset, Amurius **727** satrapa, trajecto magnis cum copiis Asiaticis Hellesponto, Didymotichum venit, atque inde rursus cum imperatore Byzantium usque progressus est, et visendi studio, et urbis, si oporteret, sollicitandæ causa. Cum itaque venisset, et justo spatio interjecto, modo stans modo circumeundo, specularetur et oculis lustraret, majorem D

Variorum notæ.

(79) Cantacuz. lib. III, cap. 80. DUCANG.

(80) Hoc loco περιαγωγαὶ videntur esse *ignominiosæ per compita et fora traductiones*, aut etiam *exsilia et deportationes*. BOIVIN.

(81) Cantacuzen. lib. III, cap. 81. DUCANG.

(82) Hic errat Gregoras. Neque enim Amurius tum fuit, sed Orchanes orientalis Bithyniæ satrapa, quique a Paphlagonia usque in Phrygiam imperabat, ut testatur ipse Cantacuzenus non uno loco. Amur vero postmodum cum viginti millibus equitum venit, et Cantacuzeno adfuit contra Momitzilam, ut scribit idem Cantacuzenus cap. 81. DUCANG.

in modum obstupescebat, tum urbis magnitudinem intuens, tum altitudinem murorum et pulchritudinem, tum admirabiles circumductarum fossarum substructiones, tum denique situm ipsum et ordinem propugnaculorum. Idem rursus admirabatur, quod in summis mœnibus non appareret ea hominum frequentia, quæ solet esset in urbibus magnis et magno civium numero refertis; sed paucis demptis, omni bellico apparatu omnique præsidio destitutus murus videretur. Nimirum Apocaucus, intestinos plebis motus magis veritus, quam externorum hostium impressionem, licentiam non dabat volenti cuique murum adscendere; sed iis duntaxat peditum equitumque, quibus maxime confidebat. Eorum enim alios intus portarum custodes constituerat, ut insomnes excubarent: aliis ut mœnia noctu circumirent, nec non totam intus urbem perlustrarent, præceperat.

A κατάπληξις τοῦ τε μεγέθους τῆς πόλεως καὶ τοῦ τῶν τειχῶν ὕψους καὶ κάλλους, ἔτι τε καὶ τῆς τῶν περιῳ τάφρων θαυμασίας οἰκοδομῆς, καὶ τῆς τῶν προτειχισμάτων στάσεώς τε καὶ τάξεως· ἐθαύμαζε δ' ἕτερον τρόπον, καὶ ὅπως οὐκ ἦν ἐπὶ τῶν ἐπάλξεων, ὡς εἴωθε ταῖς μεγάλαις τε καὶ πολυανθρώποις πόλεσι, πλῆθος ἀνδρῶν· ἀλλὰ πλὴν ὀλίγων ἔρημον ἐδόκει τὸ τεῖχος πολεμικῆς ἁπάσης παρασκευῆς καὶ δυνάμεως. Ὁ γὰρ Ἀπόκαυκος, μᾶλλον τὴν ἔνδοθεν ὁρμὴν δεδιὼς τοῦ δημοτικοῦ πλήθους, ἢ τὴν τῶν ἔξωθεν πολεμίων ἔφοδον, ἄδειαν οὐκ ἐδίδου τοῖς βουλομένοις ἐπὶ τὸ τεῖχος ἅπασιν ἀνιέναι, ἀλλ' οἷς μάλιστ' ἐθάρρει τῶν ὁπλιτῶν καὶ ἱππέων. Τούτων γὰρ τοὺς μὲν ἔνδον ἀϋπνους ἵστησε φύλακας τῶν πυλῶν· τοὺς δὲ περιιέναι διανυκτερεύοντας τά τε τείχη καὶ πᾶσαν ἔνδον προσετετάχει τὴν πόλιν.

B

III. Nondum dies quatuor effluxerant, cum imperator castris motis profectus est cum Amurio, debellaturus Momitilam, qui ad magnam paulatim potentiam pervenerat, urbesque et terras Romanas quotidie invadebat. Atque inter hæc ver abiit. Transgressis Rhodopen montem Romanis simul et Persicis viribus, cœpit bellum apparare Momitilas. Habebat **728** enim tunc in ditione sua urbes Xanthiam ac Perithorium, et quæcunque sive utrinque adjacent, sive interjecta sunt, municipia ac loca; et equitum ultra quatuor millia.

Γ'. Οὔπω τέτταρες ἡμέραι παρεληλύθεσαν, καὶ ἦρας ὁ βασιλεὺς ἀπῆει μετὰ τοῦ Ἀμοὺρ, καταπολεμήσων τῷ Μομιτίλᾳ, πρὸς μέγα δυνάμεως κατὰ βραχὺ προϊόντι καὶ χειρουμένῳ πόλεις καὶ χώρας Ῥωμαϊκὰς ἀεί. Καὶ τὸ ἔαρ ἐν τούτοις ἐτελεύτα. Διαβάσης δὲ τὴν Ῥοδόπην τὸ ὄρος τῆς τε Ῥωμαϊκῆς ὁμοῦ καὶ Περσικῆς δυνάμεως, ἐν παρασκευαῖς ὁ Μομιτίλας ἦν τοῦ πολέμου. Εἶχε γὰρ τέως πόλεις ὑφ' ἑαυτῷ Ξάνθειάν τε καὶ Περιθόριον, καὶ ὅσα ἀφ' ἑκάτερα καὶ μεταξὺ πολίχνιά τε καὶ χωρία, καὶ στρατεύματα ἱππικὰ τεττάρων ἐπέκεινα χιλιάδων.

C

IV. Media jam æstate, cum fruges maturæ essent, imperator copiis omnibus secum assumptis castrametatus est juxta Perithorium, suosque acie directa instruxit et ordinavit. Jam autem Momitilas, cum in urbe Perithorio præsidium sibi firmum constituisset, magna stipatus hominum manu et majoribus animis inflatus, prodierat. Nihil enim parvum, nihil humile de se sperare ei succurrebat; sed quasi victoriam jam, ante factum pugnæ periculum, haberet præ manibus, medios in hostes ruit plenus audaciæ.

Δ'. Θέρους δ' ἤδη μεσοῦντος (83), καὶ τῆς γῆς ἐν ἀκμαῖς ὑπαρχούσης τοῦ σίτου, τὰς δυνάμεις ἀνειλημμένως ἁπάσας ὁ βασιλεὺς ἐγγὺς που τοῦ Περιθορίου παρεστρατοπέδευσε, καὶ εἰς τάξιν πολεμικὴν διεκόσμει τε καὶ συνέτασσε σφάς. Ἤδη δὲ καὶ ὁ Μομιτίλας, ὁρμητήριον ἰσχυρὸν ἑαυτοῦ τὸ Περιθόριον καταστησάμενος, ἐξῄει πολλαῖς τε πεφραγμένος ταῖς δυνάμεσι καὶ πλείονι ἐκτετυφωμένος τῷ θράσει. Οὐδὲ γὰρ οὐδὲν οὔτε μικρὸν οὔτ' ἀγεννὲς ὑπελογίζεσθαι ἦν αὐτῷ περὶ ἑαυτοῦ· ἀλλ' ὥσπερ ἐν χερσὶ τὴν νίκην ἤδη καὶ πρὸ τῆς πείρας ἔχων τῶν πολεμίων, οὕτω μαχρῷ τῷ θράσει ῥέων ἐς μέσους ἤλαυνε τοὺς πολεμίους.

D

V. At imperator, adversus hostium frontem se et Romanas legiones cum collocasset, impetum atque incursionem Momitilæ sustinebat. Persicas autem vires, quæ numerosæ erant, in orbem accurate undique explicuit, ut in medio, tanquam carcere aut retibus, Momitilas cum omni suo exercitu includeretur. Statim vero atque tubarum et tympanorum sono mista est illa barbaris Persarum moribus familiaris in bello vociferatio, plurimus per omnem illum locum tumultus exstitit, et Momitilam, antequam tentatum esset prælium, de

[P. 457] Ε'. Ὁ δὲ βασιλεὺς κατὰ μέτωπον τῶν πολεμίων ἑαυτὸν κατὰ τῶν Ῥωμαϊκῶν δυνάμεων συνταξάμενος τὴν ἔφοδον καὶ τὸν δρόμον ἐκαρτέρει τοῦ Μομιτίλου. Τὰς δὲ Περσικὰς δυνάμεις, πολλάς τινας οὔσας, εἰς ἀκριβῆ περιήλασε κύκλον, ὡς ἐν μέσῳ, καθάπερ ἐν εἱρκτῇ καὶ δικτύῳ, συγκλεισθῆναι Μομιτίλαν μετὰ πάσης αὐτοῦ τῆ δυνάμεως. Ἐπεὶ δὲ καὶ τοῖς τῶν σαλπίγγων τε καὶ τῶν συμπάνων κρότοις συνανεκίρνατο καὶ ἡ ταῖς βαρβαρικαῖς ἤθεσι τῶν Περσῶν περὶ τοὺς πολέμους ἡλικιωτικὴ, κλαγγὴ, πολύς τε ἀνὰ πάντα τὸν χῶρον ἐκεῖνον ὁ θόρυβος ἦν καὶ

Variorum notæ.

(83) Cantacuz. lib. III, cap. 86. Ducas. — *Θέρους δ' ἤδη μεσοῦντος.* Imo *vere exeunte.* Nam Momitilas, cujus clades narratur, quatriduo ante Apocauci cædem debellatus, Apocaucus vero Junii die undecima cæsus est; ut constat ex cap. seq. sect. 1 et 5. Gregoras ver, æstatem, autumnum et hiemem, non tam æquinoctiis et solstitiis, quam calore, frigore, et propriis cujusque tempestatis proventibus definivit. Boivin.

πολλὴν ἐξ ἀπροσδοκήτου τῷ Μομτιλᾷ τὴν κατάπ:ηξιν ἐνεποίει καὶ πρὸ τῆς πείρας, καὶ τὸ γαῦρον ἐκεῖνο σφόδρα καὶ μετέωρον ἔθραυε φρόνημα. A improviso vehementer perculit, animumque illum elatum et insolentem fregit.

Ϛ'. Καὶ ἵνα τὰς ἐν μέσῳ τύχας καὶ ἀγχιστρόφους ἕλικας τοῦ πολέμου παρέλθωμεν, τῶν ἵππων εὐθὺς ἀποβάντες οἱ πλείους τῆς Περσικῆς δυνάμεως ἐν τόξοις ἅπαντες ἦσαν κατὰ κύκλον περιστάντες. Οἱ δ' ἐν μέσῳ στρεφόμενοι, καθάπερ μονιοί τινες ἄγριοι, διακύψαι καὶ διαφυγεῖν τὴν τῶν Περσῶν οὐκ ἐδύναντο φάλαγγα. Ἐνέκειντο γὰρ εὐθὺς οἱ τοῦ βασιλέως ἱππεῖς, νῦν μὲν κατὰ μέτωπον ἀπαντῶντες, νῦν δὲ κατὰ νῶτου συχνοῖς τοῖς δόρασι παίοντες. Καὶ ἐπειδὴ τὴν τοῦ Μομιτίλου πᾶσαν ἵππον ἐν βραχεῖ παμπληθίαν οἱ Πέρσαι περιπείραντες βέλεσι νεκρὰν ἐποιήσαντο, πεζοὶ λοιπὸν πρὸς πεζοὺς ἐμάχοντο, καὶ ἐν χερσὶν ὁ πόλεμος ἦν. Καὶ συνελόντι φάναι, μηδένα τῆς Μομιτίλου φασὶ δυνάμεως ἐν τοῖς ὅπλοις λελεῖφθαι, μηδὲ φυγάδα λαθόντα γενέσθαι τινά· ἀλλ' αὐτόν τε ξίφους ἔργον Μομιτίλαν καὶ ἅμα πᾶσαν ἄρδην αὐτοῦ γενέσθαι τὴν στρατιάν, πλὴν ὀλίγων, ὅσοι ζῶντες ἑάλωσαν. B VI. Atque ut eos casus, qui medii intercessere, et ceteres alternantis pugnæ conversiones **729** omittamus, plerique Persarum, cum ab equis desiluissent, circumstetere in orbem universi cum arcubus. Hi vero in medio æstuantes, tanquam apri aliqui feroces, perrumpere et effugere Persarum phalangem haud poterant. Instabant enim continuo imperatoris equites, modo a fronte occurrentes, modo densis a tergo hastis impellentes. Ubi omnem Momitilæ equitatum brevi tempore innumeris confixum telis Persæ deleverunt, confixere exinde pedites cum péditibus, fuitque in ipsis jam manibus tota belli fortuna. Ut paucis absolvam, neminem ferunt ex Momitilæ militibus superstitem in armis mansisse, neque eorum quemquam fuga clam evasisse, sed et ipsum trucidatum esse Momitilam, et omnem simul illius exercitum internecione esse deletum, paucissimis, qui vivi capti fuerint, exceptis.

CAPUT X.

Apocauci cædes quando, ubi, et a quibus perpetrata sit. Illius anxietas; stipatores; immoderata ambitio Carcer ab eo ædificatus; quem ad finem. Reorum desperatio. Consilium audax. Apocaucus imprudens, stipatoribus in atrio relictis, arcem ingressus. A Raule et ab aliis nobilibus interimitur. Documenta ex eo eventu capienda. Interempti caput abscissum: summo muri fastigio imponitur. Cædis auctores, aliique vinculis soluti, partiuntur inter se custodiam arcis. Rebus ad tolerandam obsidionem necessariis destituuntur. Cibaria accipiunt a Galatæis, qui et promissis eos confirmant. Imperatrix Galatæos aditu arcis prohibet. Obsessi, in maximas angustias adducti, de pace agunt. Apocauci uxor vidua Casmulos armat Augustæ permissu. Hi arcem expugnant. Obvios quosque jugulant. Spectaculum miserabile. Aræ ipsæ sanguine respersæ. Contigui monasterii direptio. Cæsorum capita per urbem circumlata. Sicariorum et ipsius Augustæ inhumanitas. Cadavera sepelire vix tandem permissum. Mortui Apocauci filius Thessalonicam tradere Cantacuzeno statuit. Arcem occupat. Impetu plebis opprimitur.

[P. 458] Α'. Τέτταρες μεταξὺ παρῆλθον ἡμέραι, καὶ ὁ Ἀπόκαυκος ἐν Βυζαντίῳ πρὸς τῶν δεσμίων, ἐντὸς τοῦ πρὸς ἀνίσχοντα ἥλιον παλαιοῦ παλατίου (84), μετὰ μεσημβρίαν ἤδη τῆς ἡλιακῆς γενομένης ἀκτῖνος, ἔσφακταί τε καὶ αὐτὸς καὶ σκότους καὶ λήθης ὁ πολὺς ἐκεῖνος ὑπῆλθε μυχοὺς ἐν βραχεῖ, μηδενὸς τῶν μακρῶν ὀχυρωμάτων ἐκείνων συναραμένου, περὶ ἃ μακράς τε ἀνηλώκει δαπάνας καὶ περὶ ἃ τὸ πλεῖστον ἀπησχόλει τοῦ βίου. Τὸ δ' ὅπως, ἐρῶν ἔρχομαι τρανώτερον. C I. Elapsis ex eo diebus quatuor cæsus et ipse Byzantii Apocaucus ab iis qui in vinculis erant, intra vetus palatium, quod ad orientem vergit, transgresso jam meridiem sole; noctisque et oblivionis penitissimos recessus subito intravit magnus ille et præpotens vir, neque ullum ei auxilio fuit magnorum illorum præsidiorum, in quæ et immensos fecerat sumptus, et maximam vitæ partem intentam habuerat. Id quomodo acciderit, protinus exponam apertius.

Β'. Ἐπεὶ γὰρ εἰς μεγάλων πραγμάτων θορύβους καὶ διοικήσεις ἐνέβαλεν ἑαυτὸν, καὶ πολλοὺς ἐκτήσατο, ὅσοι τε τὸ τῆς τύχης ἐβάσκαινον ὕψος καὶ ὅσοι παθόντες κακῶς ὑπ' αὐτοῦ καιρὸν ἐζήτουν ἀμύνασθαι, δέους περιῆει νύκτωρ καὶ μεθ' ἡμέραν μεστός· ὡς πολλὴν μὲν διὰ ταῦτα περὶ αὐτὸν δορυφορίαν ἔχειν ὁπλιτῶν καὶ ἱππέων, ὁπότε τὰς τῆς πόλεως περιοδεύοι πλατείας, πολλαῖς δὲ καὶ τὴν οἰκίαν κατάφρακτον ἔχειν δυνάμεσιν, ὁπότ' οἴκοι καθῆσθαι χρεία τις εἴη τἀνδρί· καὶ τυραννίδος μελέτας ἐν καρδίᾳ τρέφειν μὲν ἐκ πολλοῦ, νῦν δὲ καὶ μάλα μάλιστα, ὅτι πάντας τοὺς δόξῃ καὶ γένει προὔχοντας εἶχε δεσμώτας, καὶ ἦν οὐδείς, ὃς ἀνδρὶ βλέφαρον D II. Cum ille se in magnorum negotiorum tumultus atque administrationes intrusisset, et plurimos fecisset sibi infensos; quotquot nempe sive fortunæ illius altiori invidebant, sive ab eo injuria affecti **730** occasionem ulciscendi quæritabant: diu noctuque timoris plenus oberrabat, atque eam ob causam multos circa se habebat stipatores, tam pedites, quam equites, quoties urbis plateas circumiret; magnis item præsidiis munitæ erant ædes illius, cum domi sedere cum aliqua necessitas cogebat. Ac tyrannidis quidem invadendæ consilia alebat in corde jampridem; tum autem longe plurimum, cum eos omnes vinctos teneret, qui

Variorum notæ.

(84) Cantacuzen. lib. III, cap. 88. Καὶ τὸ ἐν βασιλείοις τῆς Κωνσταντίνου δεσμωτήριον κατασκευάζει, etc. Idem τὰ Κωνσταντίνου Μεγάλου βασίλεια vocat. Rem etiam ibidem pluribus narrat. DUCANG.

dignitate et genere præstabant, neque ullus esset, qui oculos contra attollere auderet, sed omnes extimescerent, ut olim Syracusani Dionysium, Siciliæ tyrannum.

III. Quapropter in veteri palatio munitam quamdam turrim, præ cæteris delectam, decrevit ita exædificare, ut in multam altitudinem evehereiur, cellulæque inessent plurimæ, paterent autem singulæ, tam in longum quam in latum, non plus orgyia : crepido vero seu ambulatio illa, quæ murorum fastigia ambit, non intus sed extrinsecus esset circumducta ; eo scilicet ut iis omnibus, quos ille aut vinctos tenebat, aut in vincula conjicere meditabatur, coactis intus atque conclusis, nullam patentem portam relinqueret, per quam aliquis introire aut egredi posset ; sed lapidibus cunctas et gypso obstrueret, atque ita quasi vivos illos sepeliret.

IV. Postquam itaque absolutum est ædificium illud novi generis, cum oporteret triduum intra eos, qui in vinculis erant, includi omnes simul, tanquam in arcem Oblivii, aut sepulcrum aliquod commune, incidere illi in apertam vitæ præsentis communisque omnibus lucis desperationem, subiitque, abjecta sui Ipsorum **731** cura, aleam omnem audacius jacere, et antequam vivi paratum in tumulum detruderentur, duorum alterum navare, atque aut tyranno trucidato parare sibi ipsis libertatem, aut virili semel morte oppetita, gravissimis in posterum ærumnis liberari. Id consilium cum inter se communicassent quatuor ex nobilioribus, ultra progredi non placuit, ne divulgaretur. Etenim ipsa futuri evidentia manifestam fidem faciebat, ubi rem aggressi essent, futuros iis adjutores in eo libertatis certamine eos omnes, qui vincti tenerentur, quanquam haud præmeditatos.

V. Cum igitur soleret Apocaucus illuc sæpius ire, ac tunc maxime fabros ad opus urgeret ; ubi supremus dies affuit, quo oportebat ad exitum perduci ea quæ deliberata erant, venit post somnum et mensam aspecturus, nempe singularis illius carceris ultimam exædificationem et absolutam totius operis consummationem. Et quia per somnum illa die (erat autem undecima Junii) pavores eum quidam ab atrocibus somniis excitati perturbaverant, qualia solet sæpe numen iis casibus portenta præmittere, id quidem, quod spem aliquam salutis afferebat, non providit, quod autem ipsi ad impendentia pericula breviorem viam muniebat, illud sibi ad salutem melius esse duxit

Γ'. Ὅθεν ὀχυρόν τινα πύργον τῶν ἔνδον τοῦ παλαιοῦ παλατίου ἀπολεξάμενος κατασκευάζειν ἐγνώκει πρὸς μάλα πολὺ τοῦ ἀέρος [P. 459] τὸ ὕψος ἀνάγοντα, καὶ οἰκίσκους ἐν αὐτῷ πολλοὺς μὲν, χώρημα δ' ἕκαστον ἔχοντα μήκους ἅμα καὶ πλάτους ῥᾴδιν ὀργιᾶς (85) μᾶλλον· τόν γε μὴν ἐπὶ τῶν ἐπάλξεων περίδρομον οὐκ ἔσωθεν, ἀλλ' ἔξωθεν εἶναι ἐληλαμένον· αἴτιον δ' ἵνα πάντας ὁπόσους ἐκεῖνος εἶχε δεσμώτας, καὶ ὅσους ἔξειν διὰ μελέτης εἶχε, συναγαγὼν καὶ συγκλείσας ἐντὸς μηδεμίαν ἀνεῳγμένην αὐτοῖς ἐάσῃ πύλην, δι' ἧς ἄν τις εἰσέλθοι τε καὶ ἐξέλθοι· ἀλλὰ λίθοις καὶ τιτάνῳ περιφράξας ἁπάσας ὥσπερ ἐν τάφῳ ζῶντας κατέχῃ.

Δ'. Ἐπεὶ δὲ τέλος εἶχε τὰ τῆς ξένης ἐκείνης οἰκοδομίας, καὶ ἔδει τριῶν ἡμερῶν μεταξὺ τοὺς δεσμώτας ὁμοῦ συγκλεισθῆναι πάντας ἐντὸς, καθάπερ εἰς λήθης φρούριον (86) ἢ κοινὸν πολυάνδριον, εἰς ἀπόγνωσιν ἦκον οἱ δέσμιοι προφανῆ τῆς παρούσης ζωῆς καὶ τοῦ κοινοῦ τοῖς πᾶσιν ἡλίου· καὶ σφῶν αὐτῶν ἀφεῖσήσασιν ἐπὶ τὸ παραβολώτερον τοὺς τῆς τύχης κύβους ἀναῤῥίπτειν ἐπῄει, καὶ πρὶν ζῶντας εἰς τὸν προκείμενον ἐμβληθῆναι τάφον, δυοῖν ἐργάσασθαι θάτερον· ἢ ξίφει τὸν τύραννον διαχρησαμένους τὴν τοῦ βίου σφίσιν αὐτοῖς ἐλευθερίαν πορίσασθαι· ἢ τὸν ἀνδράσι πρέποντα θάνατον ἅπαξ ἐκτίσασι μακρῶν τοῦ λοιποῦ δεινῶν ἀπηλλάχθαι. Εἰς τέτταρας μὲν δὴ τῶν εὐγενεστέρων τὸ τοιοῦτον διαβεβηκὸς βούλευμα, περαιτέρω προβαίνειν οὐκ ἐκρίθη δεῖν, ὡς μὴ ἔκπυστον φωραθεὶη γενόμενον. Τὸ γὰρ τοι προφανὲς τῶν ἐλπίδων ἀναμφισῴητήτους τινὰς ὑπετίθει τὰς ὑποσχέσεις, ἐπιχειρήσασιν ἧξειν ἅμα πάντας συλλήπτορας τοὺς δεσμώτας, καὶ μὴ προμελετήσαντας, ἐς τὸ κοινὸν τῆς ἐλευθερίας στάδιον.

Ε'. Εἰωθὸς οὖν Ἀποκαύκῳ συχνότερον ἐνδημεῖν ἐκεῖ, καὶ μάλιστα νῦν ἐπιταχύνοντι πρὸς τοὔργον τοὺς τέκτονας· ἐπειδὴ καὶ ἡ τελευταία παρῆν ἡμέρα, καθ' ἣν εἰς πέρας ἔδει προενεχθῆναι τὸ βούλευμα, ἦκε μεθ' ὕπνον καὶ τράπεζαν ὀψόμενος (87) τὴν τῆς ξένης εἱρκτῆς τελευταίαν οἰκοδομίαν καὶ τὸν ἀνενδεᾶ τῆς ὅλης ἀπαρτισμὸν ὑποθέσεως. Καὶ ἐπειδὴ κατὰ τοὺς τῆς ἡμέρας ἐκείνης ὕπνους (ἐνδεκάτη δ' ἦν Ἰουνίου) θόρυβοί τινες ἐξ ὀνείρων ἀγρίων αὐτὸν ἐξεφόβησαν, οἷα φιλεῖ πολλάκις ἐν τοῖς τοιούτοις προαναφωνεῖν τὸ δαιμόνιον, ὃ μὲν αὐτῷ σωτηρίας εἶχεν ἐλπίδας, οὐ μεμελέτηκεν· ὃ δ' εἶχεν εἰς τοὺς ἐπηρτημένους αὐτῷ κινδύνους ὀξύτερα τὰ ἐφόδια, τοῦτο δὴ καὶ βέλτιον εἰ;

Variorum notæ.

(85) Barbare pro ὀργυιᾶς. Vide Glossar. Ducang. BOIVIN.

(86) Vide Procop. *De bello Persico*, lib. I, cap. 5. BOIVIN.

(87) Verbum verbo reddidi, nec ausus sum aliter interpungere atque ut in codice Regio interpunctum erat. Quid sit τράπεζα hoc loco, non satis assequor. Fortasse hic sensus est : *Apocaucum diri illius carceris aspectu oculos pavisse, ac vix somno excitatum eo tanquam ad mensam opiparam cucurrisse.* An bis venit : semel, *post somnum*, iterum *post mensam* ? BOIVIN.

σωτηρίαν εἶναι κέκριτό τε καὶ εἵλετο. Τὸ δ' ἦν, ἔξω παρὰ τὰς τοῦ παλατίου ἐκείνου πύλας ἀφέντα τοὺς δορυφόρους αὐτοῦ καὶ ὑπασπιστὰς ὁμοῦ πάντας μεθ' ἑνός τινος εἰς τὸ τοῦ φιλοτεχνήματος θέατρον εἰσιέναι. [P. 460] Οὕτω γὰρ ἐνόμισε, μήτ' ἐξ αὐτῶν ἐντὸς ἐγγενέσθαι οἱ ἐπιβουλήν τινα, μήτ' ἔξωθεν ἐξ ἀλλοτρίων ἴσως καὶ δημοτῶν ξυμμελετηθεῖσαν· εἶναι γὰρ μεγίστην ταῖς πύλαις ἀσφάλειαν τοὺς οἰκείους ἐκείνους ὑπασπιστάς. Οὕτως ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν τὴν τούτου διάνοιαν ἔσφηλεν, ἵνα ῥᾷον μᾶλλον τῶν ἀλλοτρίων αὐτὸς ἑαυτῷ καταστήσῃ τὸν κίνδυνον.

A adeoque prætulit. Erat porro illud, satellites ejus et armigeros omnes simul exclusos illius palatii atria **732** servare; ipsum vero cum uno aliquo ingredi ad operis grati spectaculum. Ita quippe nec intus ab iis imminere sibi insidias credidit; nec foris, ab alienis forte seu a populo meditatas: maximum enim stare pro foribus præsidium, suos illos stipatores. Sic ille, qui comprehendit sapientes in astutia eorum, mentem istius subvertit; quo facilius ipse sibi, et magis quam quivis extraneus, periculum conflaret.

Ϛ'. Εἰσιόντος οὖν καὶ ἀρξαμένου τοῖς οἰκοδόμοις διαλέγεσθαι περὶ τῶν πρακτέων, τὸ προστυχὸν ὁ Ῥαοὺλ πρῶτος ἁρπάσας (88) ῥόπαλον (μηδὲ γὰρ παρεῖναι ξίφος οὐδὲν ἐκεῖ τοῖς δεσμίοις), καὶ πρὸς τὸ μανικώτερόν τε καὶ ἐνθουσιῶδες τοῦ ἤθους ἐλθὼν ὑπὸ δέους καὶ ἀπογνώσεως ἐξέβραμε κατ' αὐτοῦ, τοιάδε φθεγγόμενος· « Ἕως πότε σου τὴν ἀπήνειαν ἡ τἀπίγεια βάσκουσα τοῦ ἡλίου λαμπὰς διακαρτερήσει βλέπουσα; Ἕως πότε θεῖοι κεραυνοὶ καὶ πρηστῆρες ἐν αἰθέρι τὴν σὴν καθευδήσουσι τα-μιεύοντες κόλασιν; Ἀλλ' ὥρα σοι νῦν, ἀλιτήριε, δυσῖν θάτερον· ἢ σὺν ἐμοὶ τῷ ἡλίῳ τῷδε συγκατα-δῦναι πρὸς ᾅδην τήμερον· ἢ σοῦγε θανόντος ἐλευ-θέροις βλέπειν, εἰ βουλομένῳ γε εἴη Θεῷ, βλεφάροις λευκὰς τουντεῦθεν ἡμέρας ἐμὲ ξυνορᾷν. » Ταῦτ' ἔλεγε καὶ ἅμα ἐμβριθεστέρῳ βραχίονι κατενεγκὼν τὸ ῥόπαλον τὴν ἐκείνου γενναίως ἐπάταξε κεφαλήν. Καιρία μὲν οὖν οὐκ ἐγένετό τις ἐκείνῳ τότε πληγή· ῥιφείσης δ' οὖν τῆς καλύπτρας, γυμνῇ λοιπὸν περιῶν ἐπεβοᾶτο τῇ κεφαλῇ τοὺς ἐξαιρήσομένους τῆς ἀθρόας ἐκείνης καὶ αἰφνιδίου περιστάσεως. Ἀλλ' ἦν τὸ παράπαν οὐδείς, πλὴν ἑνός, ὃς εὐθὺς συμπλακεὶς τῷ Ῥαοὺλ ἔπαιέ τε καὶ ἐπαίετο· καὶ ἦν ὠθισμὸς ἐν ἀμφοτέροις μακρός, ὁπότερος ἂν ἀνέλοι τὸν ἕτερον πρότερος. Ἀλλ' οὐδέτερος οὐδε-τέρῳ κίνδυνον ἐνεγκεῖν ἐδυνήθη. Τούτων δ' οὕτως ἐχόντων, ἕτερος τῆς τῶν Παλαιολόγων σειρᾶς ἀθρόον τῷ Ἀποκαύκῳ ἐπιπηδᾷ, τὰ παραπλήσια λέγων καὶ δρῶν τῷ προτέρῳ, καὶ ἅμα ἄλλος, καὶ ἐπὶ τούτοις ἕτερος· καὶ οὕτω, συνελόντι φάναι, βιαίως ἐκεῖνος ἀπέῤῥηξε τὴν ψυχήν, ἀπάσης ἔρημος βοηθείας, ὁ πάντα χρήματα παρὰ πάντα δαπανῶν τὸν βίον ὑπὲρ τοῦ μὴ βιαίᾳ χρήσασθαι τελευτῇ.

B

C

D

VI. Cum itaque esset ingressus, ac de iis quæ agenda essent cœpisset colloqui cum architectis primus Raul, arrepto quem fors obtulit fuste (nec enim ullus suppetebat illic vinctis gladius) furiosum quemdam et fanaticum induens morem præ metu ac desperatione in eum irruit hæc vociferans: « Quousque tandem immanitatem tuam fax alma solis aspicere perstabit? Quousque divinum fulmen et ignei turbines, in æthere consopiti, supplicium tuum reservabunt? Sed tibi, o scelus, duorum alterum jam necessum est, ut aut mecum hac hodierna luce mortem oppetas; aut mortuo te, liberis exinde oculis intuear, si Deus velit, candidos dies. » Hæc ait, et simul valentiori brachio clavam molitus illius caput strenue percussit. Non tamen lethale statim vulnus inflictum est. Cum autem capitis tegmen esset excussum, ille nudato jam capite oberrans eos inclamabat, qui se ab subita illa repentinaque clade liberarent. **733** Sed erat omnino nullus, uno excepto, qui, consertis statim cum Raule manibus, feriebat simul et feriebatur. Et hi quidem magno uterque nisu certabant, uter alterum interficeret prior. Sed neuter alteri periculum inferre poterat. Hæc cum ita se haberent, de Palæologorum catena alter statim in Apocaucum irruit, eadem ferme ac primus dicendo faciendoque, et confestim alius, atque etiam alius. Ita, ut paucis absolvam, violenta ille morte vitam abrupit, omni auxilio destitutus, qui omni sumptu per omnem vitam curaverat, ne violentum exitum sortiretur.

Ζ'. Ἔλαθε γὰρ ὡς ἔοικεν ἑαυτὸν Θεοῦ μὲν ἀφαι-ρῶν τὴν πρόνοιαν, ἀνθρωπίναις δὲ προσαρτῶν ἐπινοίαις τε καὶ σπουδάσμασι τῆς παρούσης τοῦ βίου διαγωγῆς τὰ ἐνέχυρα. Καὶ διὰ τοῦτο τοὺς ἄλ-λους διαβάλλων καὶ καθειργνὺς καὶ τοὺς ἐκείνων ἀφαιρούμενος βίους ἐπὶ σαθροῖς θεμελίοις ἐπετίθει τὰ τῆς ἰδίας ἀσφαλείας ὀχυρώματα· παραπλήσιον ποιῶν, ὥσπερ ἂν εἰ πρηστῆρας ἐκ γειτόνων ἁρπά-ζων μηδὲν αὐτῷ προσήκοντας αὐτοχειρίᾳ τὴν ἑαυ-τοῦ προφανῶς ὑφῆπτεν οἰκίαν. Διὸ καὶ παραμύθιον

VII. Non animadverterat scilicet, divinam a se tolli providentiam; in hominum autem consiliis ac diligentia poni vitæ hujus tuendæ certissimam rationem. Quamobrem cum alios criminaretur, et vinculis coerceret, et fortunis spoliaret, salutis suæ præsidia vitiosis fundamentis imponebat; perinde ille agens, ac si igne non suo, sed ex vicinis rapto, suam ipse domum propria manu succenderet. Itaque illius mors solatium quidem iis fuit, quibus ob inopiam nihil supererat, quo tanquam

Variorum notæ.

(88) Alexius forte ille δοὺξ, Cantacuzeni causa et ipse carcere damnatus. Idem Cantacuzenus pag. 657. De Rauliorum familia Constantinopoli a Francis orta pluribus egimus ad Alexiadem Annæam, pag. 239 Notarum. DUCANG.

remedio uterentur adversus temporum fortunam et calamitates, æque ut antea subeuntes; item iis qui vindicata illius malefacta videre cupiebant, antequam desperatione auctore nefas ipsi aliquod susciperent: documentum vero exstitit, quo audaciores, et ii qui nullo metu deterriti ea tentant, quæ intentata esse oportet, ad saniorem mentem revocarentur. **734** Et hæc quidem in hunc modum gesta sunt.

VIII. Cæterum antequam foris quisquam tragœdiam illam persensisset, ruptis omnibus et vinculis et catenis, maxima cum voluptate ad cadaveris spectaculum accurrere ii qui in carcere erant, haud minus ducentis. Ex quibus unus fabrili ascia (etenim ensis nullus præsto erat) caput, ab reliquis membris abscissum, super fastigiis murorum statuit, quo manifestum fieret illud facinus universæ multitudini, quæ extrinsecus jam propter muros torrentis instar confluebat; et ut ii quidem omnes, qui illum genere contingebant, aut aliqua societate cum eo conjuncti fuerant, labore irrito supersederent, exstincta prorsus salvum illum habendi spe: quoscunque vero illo infensos habuerat, ii animo confirmarentur, adessentque extrinsecus sine ullo metu iis, qui pro communi libertate certavissent. Deinde se in ordines et manipulos distribuerunt, portarumque et propugnaculorum custodiam sortiti sunt.

IX. At magno ipsis impedimento erat, quo minus illius insperatæ salutis conservandæ facultatem haberent, eorum quæ ad victum necessaria sunt inopia, armorumque et telorum quibus se defenderent penuria. Non enim habebant, unde facile et e vestigio ea quæ usui essent evelherent; cum ipsa occasio id quod perpetratum erat, minime præmeditatum, ex tempore suggessisset. Ea tamen quæ secuta est nocte, cum illi omnes in maxima perturbatione curarumque æstu versarentur, venit de triremibus Galatæis una, circa mediam ferme noctem, ab maritimo muro panem et vinum apportans, et **735** quidquid ciborum illius tempestatis iniquitas concedebat: item promissiones et benigna verba, utrumlibet illi facere mallent. Si enim manere ibi satius ducerent, allatum iri postridie arma ipsis et tela hostilia: sin inde ob metum migrare destinarent, eos se alacriter in præsidium suum Galatæum recepturos, et omnem ipsis securitatem præstituros. Hæc cum dixissent, domum redierunt, bona spe iis relicta qui intra murum versabantur, sed quæ ad bonum exitum non pervenit. Siquidem imperatrix Anna, missis hominibus (nec enim eam id quod acciderat latuit) præclusoque aditu, adventum inhibuit appulsumque illius Latinorum manus, quæ clanculum affutura erat postridie.

X. Ea res obsessos illos ad desperationem compulit. Quippe nec arma iis erant, quibus protegerentur, nec clypeus, nec arcus, nec ullum ad vim propulsandam telum. Ac præterea neglectus primæ ἐκείνου γέγονε τελευτὴ τοῖς τε διὰ πενίαν οὐκ ἔχουσιν ὅτῳ χρήσονται φαρμάκῳ πρὸς τὰς ἐπιούσας ὁμοίως τοῦ χρόνου τύχας καὶ [P. 461] κῆρας καὶ οἷς ἔφεσις τῶν κακῶς ὑπ' αὐτοῦ πραττομένων ἐκδίκησιν θεάσασθαι ἦν, πρὶν ἀπογνώσει σφᾶς δεδωκότας ἔν τι πεπονθέναι τῶν ἀθεμίτων· καὶ ἅμα παιδευτήριον, ἐς τὸ σῶφρον τοὺς θρασυτέρους ἀνθέλκον, καὶ οἷς τὰ ἀτόλμητα ξὺν οὐδενὶ δέει τολμᾶται. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

Η'. Πρίν γε μὴν αἴσθησιν τοῦ δράματος ἐγγενέσθαι τοῖς ἔξω, δεσμὰ πάντα καὶ κλοιοὺς οἱ δεσμῶται ῥήξαντες εἰς τὴν τοῦ πτώματος θέαν μετὰ πάσης ἐπεξέθεον ἡδονῆς, οὐ μεῖον διακοσίων ὑπάρχοντες· ὧν εἷς τις σκεπάρνῳ τεκτονικῷ (ξίφος γὰρ ἦκιστα παρῆν) τοῦ λοιποῦ τὴν κεφαλὴν ἀφελόμενος σώματος ἐπὶ τῆς ἐπάλξεως ἔστησεν, ὥστε καταφανὲς γενέσθαι τὸ δρᾶμα καὶ πᾶσι τοῖς ἔξωθεν ἤδη παρὰ τὰ τείχη ποταμηδὸν εἰσρέουσι δήμοις· ὥσθ' ὅσοι μὲν αὐτῷ κατὰ γένος ἢ καθ' ἑταιρείαν εἶεν προσήκοντες μηκέτι πονεῖν ἀνήνυτα, πάσης τελέως σβεσθείσης τοῦ ζῆν ἐκεῖνον ἐλπίδος· ὅσοι δ' ἀπεχθῶς εἶχον αὖ πρὸς ἐκεῖνον, τούτους δ' ἐρρῶσθαι τὰς διανοίας, καὶ συμμαχεῖν ἔξωθεν ἀδεῶς τοῖς ἔνδοθεν ὑπὲρ τῆς κοινῆς ἐλευθερίας ἠγωνισμένοις. Ἔπειτα διελόντες ἑαυτοὺς εἰς τάξεις καὶ μοῖρας τὴν τῶν πυλῶν ὁμοῦ καὶ ἐπάλξεων διέλαχον φυλακήν.

Θ'. Μέγιστον δ' ὅμως ὑπῆρχέ σφισιν ἐμπόδιον εἰς τὴν τῆς παραδόξου ταυτησὶ σωτηρίας συντηρητικὴν ἑαυτῶν δύναμιν ἥ τε τῶν πρὸς τὸ ζῆν ἀναγκαίων σπάνις καὶ ἡ τῶν ὅπλων τε καὶ τῶν ἀμυντηρίων βελῶν ἔνδεια. Οὐ γὰρ εἶχον ὅθεν ἐκ τοῦ παραχρῆμα ῥᾷστα κομίσονται τὰ τῆς χρείας, ἀπροσδόκητον σχεδιασάσης τῆς περιστάσεως τὸ πραχθέν. Ὅμως τῆς νυκτὸς ἐπιούσης ἐκείνης, καὶ πάντων ἐκείνων ἐν ζάλῃ καὶ τρικυμίᾳ λογισμῶν ὑπαρχόντων μεγίστῃ, ἦκε τριήρης ἐκ τῶν Γαλάτου περὶ μέσας που νύκτας, ἐκ τοῦ παραλίου τείχους κομίζουσα τούτοις ἄρτον καὶ οἶναν, καὶ ὅσα τὸ τῆς ὥρας συνεχώρει στενὸν ἐδώδιμα, καὶ ἅμα ἐπαγγελίας καὶ φιλανθρώπους λόγους, καθ' ὁπότερον βούλοιντο δρᾶν· εἴτε μένειν αἱρουμένοις κομίζειν ἐς τὴν ὑστεραίαν ὅπλα καὶ βέλη πολέμια· εἴτ' ἐκεῖθεν ἀπαλλάττεσθαι διὰ δέος, δέξασθαι προθύμως ἐς τὸ ἐν τοῖς Γαλάτου σφῶν αὐτῶν φρούριον, καὶ πᾶσαν περιποιήσασθαί σφισιν ἀσφάλειαν. Ταῦτ' εἰπόντες ἐπανῆσαν οἴκαδε, χρηστὰς ἐλπίδας μὲν τοῖς ἐντὸς τείχους καταλιπόντες, οὐκ εἰς χρηστὸν δ' οὖν πέρας ἐληλυθυίας. Πέμψασα γὰρ ἡ βασιλὶς Ἄννα (οὐ γὰρ ἐλελήθει τὸ γεγονὸς) ἀπέφραξέ τε καὶ ἀνεχαίτισε τὴν ἔφοδόν τε καὶ τὸν εἴσπλουν τῆς κρύφα μελλούσης ἐπιέναι Λατινικῆς ἐς τὴν ὑστεραίαν δυνάμεως.

[P. 462] Ι'. Τοῦτο πρὸς ἀπόγνωσιν ἤγαγε τοὺς τειχήρεις ἐκείνους. Οὔτε γὰρ ὅπλον ἦν σφισιν οὐδὲν φυλακτήριον, οὔτ' ἀσπὶς, οὔτε τόξον, οὔτε βέλος οὐδὲν ἀμυντήριον· καὶ πρός γε τὸ τεῖχος ἀμεληθὲν ἐκ

πολλοῦ διερρώγεις ἦν τὰ πλεῖστα μέρη τοῦ τε περιπάτου καὶ τῶν ἐπάλξεων. Τὴν μὲν οὖν νύκτα πᾶσαν ἐκείνην οὕτως ἐπ' ἐλπίσιν ἀμφισβητησίμοις ἐντὸς τείχους ηὐλίσαντο, τάς τε πύλας φυλάττοντες καὶ τὰ τείχη περιιόντες. Ἕωθεν δ' ὡς εἶδον σύρφακα καὶ χυδαῖον ὄχλον, παρὰ τὸν γείτονα συνιόντας Ἱππόδρομον (89) θέας εἵνεκα, καὶ ἥκιστα συμμαχίας ἡστινοσοῦν, ἐξ ὧν γε ἠλπίκασιν (ᾤοντο γὰρ, ἐπεὶ μισητὸς ὑπῆρχε τοῖς ὅλοις σχεδὸν Βυζαντίοις Ἀπόκαυκος, ἅπαντας ἥξειν εὐθὺς, στασιάσαντας κατὰ τῶν ἀρχόντων καὶ βασιλέων, ἀπαλλάξαντος δν ὡς τύραννον ἐδεδίεσαν)· ὡς οὖν ἕτερα ἀνθ' ἑτέρων ἑώρων καὶ οὐ κατὰ γνώμην ἐχώρει τὰ δρώμενα, περὶ διαλλαγῶν ὡμίλουν τοῖς ἔξωθεν πρὸς τῆς βασιλίδος ἰοῦσιν Ἄννης. Καὶ τάχ' ἂν ἐγίγνετό τι χρηστὸν ἐκείνοις, εἰ μή τινος δαιμονίου κεκώλυκε βασκανία. Ἀλλ' ἐχρῆν, ὡς ἔοικεν, ἐν θεομηνίας καιροῖς μηδὲν ἀτόλμητον παροφθῆναι τῶν ἀθεμίτων. Ἔσχε δὲ οὕτως.

A dem munus habiat plerisque in partibus circumductæ ambulationis et suminorum propugnaculorum. Totam itaque illam noctem dubia spe intra murum mansere, portas custodientes et mœnia circumeuntes. Mane autem, ubi plebeiam fœcem atque colluviem conspicati sunt, ad vicinum Hippodromum visendi studio, ac non (ut speraverant) ferendi ullius auxilii causa confluentem (etenim arbitrabantur, eo quod omnibus fere Byzantinis odio fuisset Apocaucus, venturos statim omnes, seditione adversus magnates et imperatores mota eo, quem ut tyrannum metuerant, sublato), ubi itaque aliud **736** pro alio viderunt accidisse, neque ex sententia succedere res, de reconcilianda gratia egere cum iis qui ab imperatrice Anna advenerant : et nisi obstitisset genii alicujus mali invidia, fortasse aliquid boni ipsis exstitisset. Sed nimirum oportuit, in illis furoris divini temporibus, nihil sceleris intentatum omitti. Res autem ita se habuit.

ΙΑ'. Ἡ τοῦ Ἀποκαύκου γυνὴ, τὸ ἐνδόσιμον πρὸς τῆς βασιλίδος Ἄννης λαβοῦσα, προσκαλεῖται πᾶν τὸ Γασμουλικὸν (90), καὶ χρημάτων χορηγίᾳ δαψιλεστέρᾳ πείθει, τὰς τριήρεις αὐθημερὸν ἀφεμένους ἅπαντας, ὅπλα δ' ἐκεῖθεν ἀνειληφότας καὶ βέλη πάντα, περιεληλυθέναι πολιορκοῦντας τὸ τοῦ παλατίου ἐκείνου φρούριον, ἕως εἰσπηδήσαντας ἠβηδὸν τοὺς ἐντὸς ἀνελεῖν, τοὺς μὲν ὡς ἀνδροφόνους, τοὺς δ' ὡς ἀνδροφόνοις δήπουθεν ὁμόφρονας καὶ ὁμοστέγους. Ὁρὸς δὴ τοιούτους φόνους ἀγοραίων καὶ ἀσυνέτων ἀνδρῶν ὁπλίσασα δεξιὰς ἐκείνη χρημάτων ἄδραις (ὡς εἰρήκειμεν) δεξιώσεσι καὶ οἴνου κρατήρων πολλῶν ἐμφορεῖσθαι δίδωσιν ἀφθόνως, ἵν' οὕτωσὶ τοῦ καθήκοντος ἐκστάντες λογισμοῦ μαινομένων δίκην χωρῶσι πρὸς τὰς τῶν ἀνθρώπων σφαγάς. Ἐπεὶ δ' οὕτω ταῦτ' εἶχε καὶ ὁ τοῦ ἡλίου δρόμος ἤδη τὰ μεσημβρινὰ παρῄλλαττε ὑψώματα, δραμόντες ἐκεῖνοι κύκλῳ τὸ φρούριον περιέστησαν ἅπαν, ἀσπίσι καὶ ὅπλοις ἅπασι πεφραγμένοι, καὶ ἅπαν βέλος ἐκηβόλον ἐν χεροῖν περιφέροντες, καὶ ὅσα θύρας ἀναμοχλεύουσιν ὄργανα καὶ κατασείουσι τείχη καὶ ἀποσπῶσι λίθους ἐκ θεμελίων· ὧν οἱ μὲν τὰ βέλη πέμποντες ἔξωθεν κατὰ πλῆθος καὶ δίκην βαθέων νεφῶν πάντας τοὺς ἔνδον τῶν ἐπάλξεων ἀπήλασαν ἐκ τοῦ παραχρῆμα, μηδὲν ὀθενοῦν ἔχοντας ὅπλον, ἢ φυλακτήριον, ἢ δι' ὧν ἀμυνεῖταί τις τὸν ἐπιόντα πολέμιον. [P. 463] Οἱ δὲ τὰ ἐκμοχλευτήρια φέροντες ὄργανα, προσιόντες ἔξωθεν τά τε τείχη πολλαχόθεν διώρυττον καὶ τὰς πύλας ἀνεμόχλευον· ὡς ἐν πάνυ βραχείᾳ καιροῦ ῥοπῇ, πολλῶν πολλαχόθεν τῶν εἰσόδων ἀνοιχθεισῶν, πάντας ἅρδην εἰσρυῆναι τοὺς πολεμίους.

XI. Apocauci uxor, ab imperatrice Anna licentiam cum impetrasset, Gasmulicam omnem turbam advocat, et pinguioribus pecuniæ largitionibus persuadet, ut cuncti triremibus ea die relictis, sumptisque inde armis et telis quæcunque inessent, palatii illius arcem obsidione cingant, quoad facta irruptione eos trucident, qui intus versentur, nulli ætati parcendo ; hos, ut homicidas ; illos, ut homicidarum fautores atque contubernales. Ad ejusmodi cædem cum illa hominum circumforaneorum et stolidorum dextras armavisset liberali, ut diximus, pecuniæ erogatione ; multis etiam vini poculis profuse eos ingurgitat, ut in hunc modum recta ratione excussi furentium instar ad homines jugulandos ruerent. Cum in eo res essent, solis cursu meridianum jam verticem prætereunte, ruere illi et totam undique arcem circumsistere, clypeis armisque omnibus instructi, et omne missilium telorum genus manibus circumferentes, eaque omnia instrumenta, quæ aut ad portarum repagula convellenda, aut ad muros quatiendos, aut ad lapides e fundamentis emovendos valent. Ex his alii quidem foris magnam, telorum vim ac densam veluti nubem **737** jacientes repulere illos omnes derepente, qui summis in propugnaculis stabant, armis undecunque destitutos, tam iis quibus corpus protegitur, quam illis quibus ingruens hostis propulsatur. Alii vero tormenta muralia admovebant, propiusque accedentes passim et muros perfodiebant, et portas vectibus labefactabant ; ita ut momento temporis patefacto sibi multis in locis aditu, universi prorsus hostes irruperint.

ΙΒ'. Ἦν τότε ἰδεῖν τοὺς μὲν ἀθλίους ἐκείνους ἀφειδῶς ἀναιρουμένους καὶ πρὸς ᾅδην ἐκ τῶν χθὲς πεμπομένους δεσμῶν· τοὺς δὲ φόνου πνέοντας ἄνδρας

XII. Jam videre erat, infortunatos quidem illos effuse interimi, et ab hesternis vinculis ad tumulum transferri : istos autem sanguinarios viros ad multas

Variorum notæ.

(89) Quem Ξυλόκερκον vocant scriptores, de cujus situ agimus in *Constantinopoli Christ.* lib. II, sect. 1, n. 16, et lib. IV, sect. 13, n. 25. DUCANG.

(90) Pachym. lib. IV, cap. 26. Vide Gloss. med. Græcit. DUCANG.

variasque hominum cædes gladiis uti, cum immani et furiali quadam crudelitate barbaricaque licentia. Destituti itaque clypeis miserrimi illi, cum et inermes essent, et præsens periculum effugere minime possent, partim jam cædebantur, partim in fugam effundebantur bini ternique, et catervatim, ac per interjectos parietes in contiguam domum, quod est Neæ monasterium, delabebantur; divinasque imagines inter se pro alio omni sacro phylacterio partiebantur. Nonnulli divinæ mensæ imposita apprehendebant sacra mysteriorum vasa; rati per ea injectum iri pudorem protervis illis et furibundis latronibus. Alii amplectebantur et mensam ipsam sacrosanctam et subjectam basim. Quidam denique nudati prorsus vestimenta ante pedes ultro jaciebant, arbitrati, si nudarentur, mollitum iri misericordia crudelem illorum morem, qui **738** fortasse reverituri essent communem naturam oculis subjectam; tum etiam ut nulla amplius relinqueretur ratio suspicandi de se, quasi Cæsareum aliquod numisma, aut aliud quidquam pretio aliquo dignum occultantibus. Plurimum enim valet inopinata calamitas ad suggerenda ex tempore alia aliis consilia, quibus se ipsos defendant a periculis magistram habentes ipsam necessitatem urgentem, cum eos repentina mors ad vitæ desperationem compellit.

XIII. At insolentem et immanem homicidarum illorum violentiam mollire nec lacrymæ afflictorum poterant, nec habitus miserabilis, nec sacer ille locus, ad quem infelices isti salutis tuendæ causa confugerant. Sed victimarum instar super altari et hi quoque tunc fœde mactabantur, et sanguinis rivi manantes inde pavimenta sacra tingebant; et sanctæ imagines, et supellex, et quæcunque aderant vasa, sacris mysteriis assignata, omnia facile et impune disjiciebantur ac diripiebantur. Quin et cæsorum vestimenta audaces illi et inverecundi, cruore largo plena sumentes, divino altari imponebant. Sed quomodo ego siccis oculis narrare possim luctuosissima et uberibus lacrymis digna, quæ illi tunc sacro in solo, tragœdiam illam miserabilem adornantes, alacriter et barbare designarunt! Utinam lacrymis pro atramento uti liceret, ut calamo intincto describerem illius diei calamitatem, dilucidiusque exponerem singula ut gesta sunt! Ita enim **739** opinor expressum iri facillime a quocunque lacrymarum uberrimam vim, omnibus misericordia et naturali humanitatis sensu imbutis. Atqui hæc ita se habuerunt. Et reliqua quidem omnis multitudo

ἐκείνους εἰς πολυειδεῖς καὶ ποικίλας σφαγὰς χρωμένους τοῖς ξίφεσι ξὺν πολλῇ καὶ μανιώδει τινὶ τῇ ὠμότητι καὶ βαρβαρικῇ τῇ θρασύτητι. Γυμνοὶ μὲν οὖν ἀσπίδων οἱ τάλανες ὄντες ἐκεῖνοι καὶ ἄοπλοι, καὶ ἥκιστα διαφυγεῖν τὸν παρόντα δυνάμενοι κίνδυνον, οἱ μὲν ἤδη ἐκόπτοντο, οἱ δ' ἐξεχέοντο φεύγοντες σύνδυο καὶ σύντρεις καὶ κατὰ πλῆθος, καὶ διὰ τῶν μεσοτοίχων καταῤῥέοντες ἐς τὴν ἐχομένην τῆς Νέας μονὴν (91) διεμερίζοντό τε τὰς θείας εἰκόνας ἀντ' ἄλλου φυλακτηρίου παντὸς ἱεροῦ· οἱ δ' ἐνεχειρίζοντο τὰ ἐπὶ τῆς θείας τραπέζης τῶν μυστηρίων ἱερὰ σκεύη, δυσωπήσειν οἰόμενοι τοὺς ἀναιδεῖς ἐκείνους καὶ μανιώδεις λῃστὰς διὰ τῶν τοιούτων· οἱ δ' ἡγκαλίζοντο τήν τε θείαν τράπεζαν καὶ τὸν ὑπὸ ταύτῃ στυλίσκον· οἱ δὲ γυμνούμενοι τέλεον ἐθελονταὶ τὰ ἱμάτια πρὸ ποδῶν ἐῤῥίπτουν, οἰόμενοι διὰ τῆς γυμνώσεως πρὸς οἶκτόν τε μαλάξειν τὸν φονικὸν ἐκείνων τρόπον, αἰδεσθέντων ἴσως τὴν κοινὴν τῆς φύσεως γύμνωσιν· καὶ ἅμα μηδεμίαν τοῦ λοιποῦ πρόφασιν ὑποψίας λιπεῖν, τοῦ κρύπτεσθαι εἵνεκα Καίσαρος ἐν σφίσι νόμισμα, μηδ' ἄλλο τῶν πάντων εἶδος κέρδους ἄξιον ἔχειν οὐδέν. Δειναὶ γὰρ αἱ μὴ προμελετηθεῖσαι περιστάσεις ἐπινοίας πρὸς τὸ ἀκίνδυνον ἄλλοις ἄλλας αὐτοσχεδιάζειν, αὐτοφυᾶ διδάσκαλον τὴν περιεστῶσαν ἀνάγκην λαμβάνουσιν, ὅταν αἰφνίδιος θάνατος εἰς ἀπόγνωσιν σφᾶς ἀπελαύνῃ βίου.

ΙΓ'. Ἀλλὰ τὴν ἀναιδῆ καὶ θηριώδη τῶν ἀνδροφόνων ἐκείνων ὁρμὴν μαλάττειν ὅλως ὥραν οὐκ εἶχεν οὔτε δάκρυα τῶν πασχόντων, οὔτ' ἦθος ἐλεεινόν, οὔθ' ὁ ἱερὸς ἐκεῖνος τόπος, ἐν ᾧ σωτηρίας εἵνεκα κατεπεφεύγεσαν οἱ ταλαίπωροι· ἀλλὰ δίκην ἱερείων ἐπὶ βωμοῦ τηνικαῦτα καὶ οὗτοι ξὺν οὐδενὶ κόσμῳ πάντες ἐθύοντο, καὶ ῥύακες αἱμάτων ἐντεῦθεν τὸ θεῖον ἔβαπτον ἔδαφος· εἰκόνες τε θεῖαι καὶ ἔπιπλα, καὶ ὅσα τῆς θείας μυσταγωγίας σκεύη παρῆν, ἀσμένως ἅπαντα καὶ ἀδεῶς ἐῤῥιπτοῦντό τε καὶ διηρπάζοντο· τά θ' ἱμάτια τῶν ἀνῃρημένων οἱ πάντολμοί τε καὶ ἀναιδεῖς ἐκεῖνοι, πλουσίων αἱμάτων πλήρη, τῇ θείᾳ λαμβάνοντες ἐπετίθουν τραπέζῃ. Πῶς ἂν δυναίμην ἀδακρυτὶ [P. 464] καταλέγειν τὰ θρήνων μακρῶν καὶ δακρύων ἄξια, ὅσα ἐπὶ τοῦ θείου τεμένους τότε τὴν ἐλεεινὴν τραγῳδίαν ἐκείνην βαρβαρικῶς καὶ ἀσμένως χορηγεῖν ἐξεγένετο; Εἴθε ἦν ἀντὶ μέλανος εἰς δάκρυα τὸν κάλαμον βάπτοντι γράφειν καὶ διηγεῖσθαι τῆς τόθ' ἡμέρας τὴν συμφορὰν ἐναργέστερον, ὡς ἕκαστα πέπρακται. Οὕτω γὰρ ἂν οἶμαι δακρύσειν ἅπαντας ἐκ τοῦ ῥᾴστου θερμῶς, οἴκτου καὶ σπλάγχνων φυσικῶν ἐμπλησθέντας. Ὅμως εἶχεν οὕτω ταυτί. Καὶ τὸ μὲν ἄλλο πλῆθος, ὅσον ἐκ τοῦ σύρφακος ὕλου κατὰ ποταμοὺς συνέῤῥει, τὰς

Variorum notæ.

(91) Monasterium virorum fuisse indicat cap. seq. τὰς καλύβας τῶν ἐκεῖ μοναζόντων ἠνδραποδίζοντό τε καὶ διήρπαζον. Cantacuz. lib. III, cap. 88. Ἐπὶ τὸν ἐγγὺς κατέφυγον ναὸν τῶν ἐννέα ταγμάτων προσαγορευόμενον. De hoc monasterio egimus in *Constantinop. Chr.* lib. IV, sect. 15, n. 35. Corrupte igitur Νέα pro ἐννέα dicebant ea ætate Constantinopolitani. Nam alia fuit ædes Νέα dicta sancti Michaelis in magno Palatio sita, de qua pariter multa congessimus in eadem lucubratione, lib. II, pag. 127, et in *Gloss. med. Latin.* in *Æneas*, et in *Gloss. med. Græcit.* in Νέα. DUCANG. — *Τῆς Νέας μονῆς*. Cantacuzeno dicitur ναὸς τῶν ἐννέα ταγμάτων, *Hist.* lib. III, cap. 88, pag. 658. BOIVIN.

καλύβας τῶν ἐκεῖ μοναζόντων ἠνδραποδίζοντό τε καὶ διήρπαζον ἀδεῶς· καὶ αὐτὰς δ' οὖν μετὰ τῶν παστάδων τὰς θύρας ἀναμοχλεύοντές τε καὶ διαμεριζόμενοι τοῖς χαμαιτυπείοις προσῆγον, ἀσελγείας μίσθωμα. Οἱ δ' ἀναιδεῖς ἐκεῖνοι καὶ φόνου πνέοντες ἄνδρες, τῶν ἀνῃρημένων τὰς κεφαλὰς ἔστι δ' ὧν καὶ τὰς χεῖρας ἐκτέμνοντες, περιῄεσαν ἐπιδεικνύμενοί τε τὸ τῆς κακίας ἄγος, εἰς ἔκπληξιν τῶν ὁρώντων καὶ δέος, καὶ πᾶσαν ἀγυιὰν ἐμπιπλῶντες ἀνθρωπίνων αἱμάτων τε καὶ σαρκῶν.

ΙΔ'. Καὶ ἦν μὲν θρήνων καὶ δακρύων ἄξια τὰ δρώμενα καὶ θέατρον ἀνόσιον τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων· οὐδεὶς δ' ἑτόλμα τοῖς ὁρωμένοις ἢ τοῖς νεκροῖς ἐκείνοις ἐπιδακρῦσαι καὶ στεναγμὸν ἀποδοῦναι, οὔτε τις τῶν φίλων, οὔτε τις τῶν συγγενῶν, οὔτε μὲν οὐδεὶς τῶν ἄλλως φίλοικτον ἐχόντων καρδίαν. Ἔφεδροι γὰρ ὀφθαλμοὶ παραπορευόμενοι συνήρπαζόν τε καὶ τὰ ἱμάτια περιδύοντες ἔπαιον ὡς ἐπιβούλους καὶ ἀντιθέτους Ἄννῃ τῇ βασιλίδι. Πάντα γὰρ ἦν εὐφροσύνη λαμπρά τις καὶ τέρψις ἄῤῥητος ἐκείνῃ τὰ δρώμενα, καὶ πάνυ τοι σφόδρα κατὰ γνώμης ἐντρύφημα· ὡς ἐντεῦθεν καὶ δέει μακρῷ συσχεθέντας τοὺς περιστέλλειν κατὰ τὸν ἀνθρώπινον καὶ φύσει πρέποντα νόμον ἐθέλοντας, ὁπόσοι κατὰ γένος καὶ φιλίαν τοῖς κειμένοις προσῆκον, ἀπέχεσθαι τούτων ἁπάσῃ σπουδῇ, μὴ μετὰ τοῦ ἀποτυχεῖν τῆς βουλήσεως καὶ τοῖς ὁμοίοις δεινοῖς περιπέσωσι. Τοιαῦτα γὰρ ἔφασκον εἶναι τὰ τῇ βασιλίδι ἐντεταλμένα, καὶ ἅμα ἀτάφους κατὰ θαλάττης ῥιφέντας τροφὴν ὀρνέοις καὶ ἰχθύσι γενέσθαι. Ἀλλὰ τοῦτο μὲν οὐκ ἐτελέσθη, ἐνίων τὴν τοῦ λαοῦ κραυγὴν καὶ τὴν ἐντεῦθεν λοιδορίαν εἰς τὰς ἐκείνης ἀνενεγκόντων ἀκοάς, καὶ τὸν ἀναφυόμενον οὐκ ἀκίνδυνον θόρυβον. Διὸ καὶ φιλοθέων ἔνιοι, δειλίαν ἀποκρουσάμενοι πᾶσαν, ἄλλος ἄλλον ἄλλοθι τῆς μονῆς ἀνελόμενοι κατώρυξαν. Τὰ δ' ἐπὶ τούτοις ἔστιν ἀκούειν διαρκέστερον ἄλλων διεξιόντων.

[P. 465] ΙΕ'. Ἐπεὶ δ' ὁ ἐκ τῆς προτέρας συζύγου (92) πρῶτος Ἀποκαύκου υἱὸς ἐπίτροπος ἦν τηνικαῦτα Θεσσαλονίκης καὶ τὸν τοῦ πατρὸς φόνον ἀκήκοε, τὴν γνώμην εὐθὺς ἐς Καντακουζηνὸν μεταθεῖναι κέκρικε δεῖν, καὶ ἅμα συμφέρειν εἰς ἔργον αὐτῷ τὰ τῆς γνώμης προενεγκεῖν. Ὅθεν καὶ τρόπον λοιπὸν ἐζήτει, δι' οὗ Θεσσαλονίκην ἂν αὐτῷ παραδοίη. Προσεταιρισάμενος οὖν ὁπόσον ἔκκριτον ἦν τῆς Θεσσαλονίκης τὸν Ἀθηναῖον μιμεῖται Πεισίστρατον καὶ τὴν Θεσσαλονικέων χειροῦται ἀκρόπολιν (93), ἵν' ἐκεῖθεν ὡς ἐξ ὁρμητηρίου τῆς κεφαλῆς κατα-

inſimorum hominum, qui torrentis instar confluebant, degentium ibi monachorum cellulas expilabant ac nullo metu diripiebant, et ipsas cum postibus revulsas fores partiti libidinis pretium ad lupanaria portabant. Enimvero immanes viri, et sanguinem spirantes, interemptorum hominum capita, quorumdam et manus abcissas circumferendo, abominandum scelus ostentabant, stuporem et metum intuentibus quibusque incutientes, et omnes vias cruoribus carnibusque humanis implentes.

XIV. Erant sane ea quæ perpetrabantur lamentis et lacrymis dignissima; dirumque illud fuit huic urbium principi spectaculum. Nemo tamen ea intuendo flere, nemo illos qui mortui erant lugere quidebat, aut genitum edere, sive amicus, sive cognatione junctus, seu quilibet alius animo ad misericordiam aliunde propenso. Oculi enim exploratores obambulabant; hi vero abripiebantur, et vestimentis detractis feriebantur, ut insidiatores et Annæ imperatrici adversantes. Quæ enim tum fiebant, ea omnia ipsi summum gaudium, voluptatem inenarrabilem, et quales maxime volebat delicias afferebant. Itaque magno posthac metu cohibiti quicunque mortuos, quibuscum cognatione aut amicitia juncti fuissent, sepelire pro gentium et naturæ jure cupiebant, abstinuere ab iis continuo, ne non solum **740** a voto aberrarent, sed in similem calamitatem ipsi quoque inciderent. Ea enim imperatricis mandata esse dictitabatur, quæ et in mare insepultos illos projici jussisset, prædæ avibus ac piscibus futuros. Verumtamen id perfectum non est, cum populi clamorem et convicia hinc profecta, et surgentem non sine periculo tumultum quidam ad illius aures retulissent. Quamobrem et homines aliqui religiosi, omni metu excusso, alius alium hac illac per totum monasterium sublatos humavere. Quæ vero inde consecuta sunt, ab aliis tradita plenius accipi possunt.

XV. Interim primus Apocauci ex prima uxore filius, cum Thessalonicæ præesset et violentam patris mortem rescivisset, animum ad Cantacuzenum statim transferendum sibi esse judicavit; simulque expedire credidit, id quod in animo haberet, re ipsa præstare. Ex eo itaque cœpit meditari, qua ratione Thessalonicam illi traditurus foret. Lectissimos igitur quosque Thessalonicensium socios sibi adjungit, et Atheniensem illum imitatus Pisistratum, arcem urbis invadit, ut capiti incumbens, et inde tanquam ab statione excurrens, ipsum

Variorum notæ.

(92) Is Joannes Apocaucus appellatur a Cantacuzeno lib. III, cap. 93, ubi rem eamdem narrat. Sed et scribit lib. III, cap. 88, duos Apocauci filios, stoliditatem moresque improbissimos patris detestantes, paulo ante ipsius cædem ad ipsum Cantacuzenum transiisse. DUCANG. — *Ἐπεὶ δ' ὁ ἐκ τῆς προτέρας συζύγου πρῶτος Ἀποκαύκου υἱός.* In codice Regio legitur quidem πρῶτος, sed supra syllabam πρῶ eadem manu scriptum legitur τρί: unde dubium est utrum hic legendum sit πρῶτος an τρίτος. Cantacuzenus meminit trium Alexii Apocauci filiorum, quorum duos vivo patre ait ad se transiisse, *Hist.* lib. III, cap. 88; tertium, quem ambigimus utrum maximus an minimus natu fuerit, post patris mortem in suas partes transgressum, a Zelotis Thessalonicæ præcipitatum et obtruncatum narrat, ejusdem lib. cap. 93 et 94. BOIVIN.

(93) Quæ πόλει τινὶ ἔοικε μικρᾷ, καὶ οἰκήτορας ἰδίους habebat, inquit Cantacuz. cap. 94. DUCANG.

quoque civitatis corpus totum ex facili contineat. Sed nullum consilii hujus fructum percepit. Tragica enim patris, potius quam ipsius, fata præsentem fortunam manifeste repellebant. Itaque biduum intra promulgato populari decreto, ad arcem omnes undarum instar accurrunt; nec prius inde **741** absistunt, quam et arcem expugnent, et eorum, qui intus sint, belli jure potiantur. Demum Apocauci filio, eum iis quos secum habebat, trucidato, per omnes urbis plateas crudeliter circumferunt infelicia cæsorum capita ad eos territandos, qui similia moliantur.

τρέχων καὶ τὸ πᾶν τῆς πόλεως ἐκ τοῦ ῥᾴστου σῶμα κατάσχῃ. Ἀλλ' οὐδὲν τῆς τοιαύτης ἀπώνατο ἐπινοίας. Αἱ γὰρ τραγικαὶ κῆρες τοῦ πατρὸς, μᾶλλον ἢ αὐτοῦ, τὰς παρούσας περιφανῶς ἀντέκρουον τύχας. Διὸ καὶ δυοῖν ἡμερῶν μεταξὺ κηρύγματος γενομένου δημοτικοῦ, πάντες ἐπεξέθεον κατὰ ποταμοὺς ἐπὶ τὴν ἀκρόπολιν, καὶ οὐ πρότερον ἐκεῖθεν ἀπέστησαν, πρὶν τὴν ἀκρόπολιν ἐκπολιορκῆσαι, καὶ τοὺς ἔνδον πολέμου νόμοις ἀνδραποδίσασθαι, καὶ τὸν τοῦ Ἀποκαύκου (94) υἱέα σὺν τοῖς ἀμφ' αὐτὸν ξίφει διαχρησαμένους ἀνὰ πάσας τὰς τῆς πόλεως πλατείας περιενεγκεῖν ἀπηνῶς τὰς δυστυχεῖς αὐτῶν κεφαλὰς, εἰς ἔκπληξιν τῶν ὅμοια βουλευομένων.

CAPUT XI.

Batatzes ignobilis genere; ut ad opulentiam pervenerit. Thessalonicæ præficitur: deinde, Apocauco filium suum ei subroganle, ejicitur. Ad Cantacuzenum deficit. Solymanni generi armis adjuvatur. Mortuo Apocauco cum Anna imperatrice reconciliatus majores copias ex Asia arcessit. In Cantacuzenianos sævit. Petræ, præda et viatico defraudati, cum occidunt. Ad Cantacuzenum transeunt.

I. Sed me illud pene fugit, quod de Joanne Batatze narrandum erat: qui et ipse cum ignobilis genere esset, dives ex apographicis negotiationibus evaserat, alias ex aliis subinde suscipiendo, et ab humilioribus ad majores semper transeundo. Novissime ipsius Thessalonicæ præfecturam magna pecuniæ vi redemerat, atque illuc ab imperatrice Anna missus fuerat. Nec longo post tempore elapso, cum quæstuosam peram nondum ut volebat gravidam effecisset, inde erat ejectus, subrogante Apocauco filium suum; quem et ipsum impetus plebis, ut paulo ante diximus, ferro absumpsit.

Α'. Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε, τὸ τοῦ Βατάτζη δηλαδὴ Ἰωάννου (95)· ὃς καὶ αὐτὸς ἀσήμου γένους ὑπάρχων πλούσιος ἐξ ἀπογραφικῶν ἐγεγόνει ἐμποριῶν (96), ἄλλας ἐξ ἄλλων ταχὺ μετιών, καὶ παραλλάττων ἀεὶ τῶν εὐτελεστέρων τὰς μείζους. Ἄρτι δὲ καὶ τὴν τῆς Θεσσαλονίκης ἐπιτροπείαν χρήμασι μακροῖς ὠνησάμενος πρὸς τῆς βασιλίδος ἐκεῖσε πέμπεται Ἄννης. Οὐ μάλα δὲ συχνοῦ ῥυέντος χρόνου, πρὶν τὴν κερδαίνουσαν πήραν ἐμβριθεστέραν ὡς ἐβούλετο διαπράξασθαι, ἐκεῖθεν ἐκβάλλεται, τοῦ Ἀποκαύκου διάδοχον τὸν υἱὸν ἀποστείλαντος· ὃν τὴν τοῦ δήμου φορὰν παρανάλωμα ξίφους ἐργασαμένην μικρῷ δεδηλώκαμεν πρότερον.

II. Id Batatzes probrosum sibi duxerat, et dolore percitus ad Cantacuzenum desciverat; tum pro perfugio habens ditionis Thracicæ castellum, continuis inde excursionibus factis, maxime metuendus evaserat. Nam quos armis aggrediebatur, iis certam perniciem afferebat, magnis ex Asia viribus adjutus; quas petenti ipsi ab urbe Troja mittebat Solymannus satrapa, cum quo ille paulo ante, data in matrimonium filia, affinitatem junxerat.

Β'. Οὗτος οὖν ὁ Βατάτζης, εἰς αἰσχύνης λόγον τὸ πρᾶγμα θέμενος, καὶ λύπης μεστὸς γεγονὼς, προσέρρυη τῷ Καντακουζηνῷ· καὶ ὁρμητήριον τὸ τῆς Θρᾳκικῆς [P. 466] περιστάσεως (97) ἔχων φρούριον συνεχεῖς ἐκεῖθεν ἐποιεῖτο τὰς ἐκδρομάς· καὶ ἦν ἐς τὰ μάλιστα φοβερός τε καὶ δλεθρος προφανὴς οἷς ἐπῄει καὶ καθ' ὧν ὡπλίζετο, ἅτε δύναμιν ἔχων συχνὴν ἐξ Ἀσίας, ἣν ἐκ Τροίας ἐζητηκότι (98) πέμπων ὁ σατράπης Σουλυμὰν (99), γαμβρὸς ἐπὶ θυγατρὶ πρὸ βραχέος αὐτῷ καταστάς.

III. Quandiu itaque vixit Apocaucus, acerrimus hostis ac permolestus Byzantinis **742** Batatzes

Γ'. Ἕως μὲν οὖν Ἀπόκαυκος ἔζη, θερμὸς ἦν καὶ

Variorum notæ.

(94) Cantacuzenus eam rem videtur conferre in annum Christi 1346, *Hist.* lib. III, cap. 93. Boivin.

(95) Illius meminit Cantacuzenus lib. III, cap. 29. Quo loco Ἀχυρεϊτῶν προσιγορευομένῳ τάγματι præfectum fuisse tum ait; præterea cap. 22, 46, 76 et 90, ubi quædam ex iis quæ a Gregora narrantur attigit. Ducang.

(96) Qui vectigalia et alios principum reditus exigendos certo constituto pretio redimebant, ii a Latinis medii et infimi ævi scriptoribus *peræquatores*, *recuperatores*, atque etiam *descriptores*; a Græcis ἐξισωταὶ, ἐπόπται, et ἀναγραφεῖς dicti. Quodnam illorum munus fuerit, docet Ducangius in Glossariis mediæ tum Latinitatis tum Græcitatis. Hoc genus negotiationis a Gregora vocatur ἀπογραφικὴ ἐμπορία, quæ scilicet constabat redituum ac vectigalium descriptionibus. Boivin.

(97) Illud forte quod Τερίστασιν vocat Cantacuzenus lib. III, cap. 76. Aliud memorat cap. 56, quod Περιστίτζαν appellat. Ducang. — Placet admodum Ducangii conjectura, qui legendum putat Τεριστάσεως. Boivin.

(98) Cantacuzenus, ἐκ Λυδίας περιμένων στρατόν. Cujus tractus Sarchanem satrapam facit lib. III, cap. 96. Ducang.

(99) Duos hoc nomine memorat Cantacuzenus, alterum Sarchanis filium, Cerasæ Phrygiæ Satrapam, qui sub hæc tempora vel paulo ante in Thracia ex febre obiit, adeo ut vix is existimari possit Batatzæ gener, quandoquidem cum Batatzes cæsus interiit, adhuc superstes erat Sulymannus iste. Alter est Sulymannus, Orchanis filius primogenitus, de quo idem Cantacuzenus, lib. IV, cap. 4, 34, et alibi, et Laonicus, lib. I, pag. 12. Tertius filius Aitinis. *Annales Turcici* pag. 314 ejus 1 odit. Reg. Carasen ab eo expugnatam scribunt, urbem forte illam cui alter Sulymannus imperabat. Ducang.

μάλα τοι σφόδρα Βυζαντίοις λυπηρὸς ὁ Βατάτζης, διὰ τὸν τοῦ Ἀποκαύκου παῖδα δηλαδὴ καὶ τὴν ἀφαίρεσιν τῆς ἐπιτροπῆς ἀπεχθῶς διακείμενος πρὸς αὐτόν. Ἐπεὶ δ' Ἀπόκαυκος μὲν ἐξ ἀνθρώπων ἦν, ἀγώνισμα ξίφους γενόμενος, καὶ ἔδει Βυζαντίοις ἀνδρὸς θερμοτέρου καὶ δραστήριον ἐπιεικῶς ἔχοντος φρόνημα, γράμματα ἐφοίτα συχνὰ πρὸς τῆς βασιλίδος Ἄννης αὐτῷ, μακρῶν δωρεῶν καὶ ἀξιωμάτων ἐπαγγελίας κομίζοντα, εἰ βούλοιτο διάδοχος ἐλθὼν καταστῆναι καὶ βουλῆς καὶ τρόπων καὶ δόλων Καντακουζηνοῦ. Ταῦτα τὴν ἐκείνου διάνοιαν ἔθραυσε, καὶ τὴν γνώμην μετήνεγκεν· καὶ τοῦ καιροῦ καθάπερ ὀστράκου μεταπεσόντος, πλείω τὴν συμμαχίδα δύναμιν ἐκ Περσῶν μετεπέμπετο· καὶ συχνὰ κατατρέχων ἐδῄου καὶ ἔκαε τὰς τῷ Καντακουζηνῷ προσερρηγνυίας χώρας καὶ πόλεις, καὶ τὰ τῶν Βυζαντίων ἔπειθε ῥᾷστα φρονεῖν, τὴν ἐνεστῶσαν ἀνάγκην διαδιδράσκειν ἐθέλοντας.

A fuit, ob subrogatum videlicet Apocauci filium et ademptam sibi præfecturam ipsimet Apocauco infensus. Ubi autem Apocaucus, ferro interemptus, e vivis excessit, cum indigerent Byzantini viro acri et eo, cujus animus esset ad quidlibet audendum promptissimus, frequentes ad illum Annæ imperatricis litteræ perlatæ sunt, per quas magna ei munera magnæque dignitates promittebantur, si vellet et consiliorum et morum et fraudum successor Apocauco exsistere. Ea illius animum fregere. Itaque mutata sententia, converso tesseræ instar rerum statu, majora arcessit Persarum auxilia; crebris incursionibus vastat et incendit regiones et urbes, quæ ad Cantacuzenum desciverant; et facillime eas impellit, si urgentem necessitatem effugere velint, ut Byzantiorum partes sequantur.

Δ'. Ἀλλ' οὐδ' αὐτὸς τῆς τοιαύτης ὤνατο σπουδῆς. Ἐπεὶ γὰρ ὁ Καντακουζηνὸς τὴν διαστροφὴν καὶ μετάθεσιν τῆς τοῦ Βατάτζη διαχήκοε γνώμης, τάχιστα συνέστειλεν εἰς τὰ φρούρια πάντας καρποὺς ὁμοῦ τοῖς ἀνθρώποις καὶ τοῖς βοσκήμασιν, ἐπιτιμῶν, ὡς εὑρήσει τὰς τῆς ἐπιορκίας ἐκτίσεις πρὸς τοῦ ἐπιορκουμένου Θεοῦ· ὡς ἐντεῦθεν ἐλθόντα μετὰ τῆς Περσικῆς δυνάμεως Βατάτζην ἐρήμοις τε ἐντυγχάνειν οἰκητόρων ταῖς χώραις καὶ ταῖς πόαις ἄνευ βοσκημάτων, καὶ λιμῷ διὰ ταῦτα πιεζομένους ἐπάγεσθαι Πέρσας. Ταῦτα παρὰ τὰς ἐπαγγελίας καὶ τὰς ἐμβριθεῖς ἐκείνας ἐλπίδας θεασαμένοις τοῖς βαρβάροις ἀχθεσθῆναί τε ἐξεγένετο καὶ ἀποκτείνασι τοῦτον ἐς Καντακουζηνὸν τὴν ταχίστην μεταθεῖναι τὴν γνώμην ὁμοῦ τῇ χειρί. Τοῦτο δὴ βουληθεῖσι καὶ πέπραχται παραχρῆμα· κἀκ τοῦ δεινοῦ καὶ προσάντους ἐς τὸ δεξιόν τε καὶ εὐμενέστερον τὰ τῆς τύχης ἔρρει τῷ Καντακουζηνῷ, τοσούτων ἐχθρῶν ἀπονητὶ οἷον ἐξ αὐτομάτου φάναι καταστρεφομένων.

IV. Sed nec ipse fructum ullum ex hac molitione percepit. Ubi enim perversam et mutatam Bataizæ sententiam Cantacuzenus audivit, statim fructus omnes cum hominibus ac bestiis coegit intra castella; tum illum dixit luiturum perjuriorum pœnas numini perjuriis offenso. Bataizes itaque, Persicis cum copiis mox adveniens, vacuas cultoribus regiones et sine bestiis pascua invenit; atque hinc factum, ut Persæ, quos ducebat, fame laborarent. Quod cum Barbari contra promissa, contra uberrimas illas spes, pati se viderent, **743** ægre tulerunt; istoque occiso, animum statim et vires ad Cantacuzenum transtulerunt. Quod ubi semel decretum, continuo et perfectum est; cœperuntque ab adversa infestaque fortuna melius jam et felicius ire Cantacuzeni res, tot hostibus nullo labore et suapte quasi confectis.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ
ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
ΛΟΓΟΣ ΙΕ'.

NICEPHORI GREGORÆ
BYZANTINÆ HISTORIÆ
LIBER DECIMUS QUINTUS.

CAPUT PRIMUM.

Crales, Romanis dissidentibus, invalescit. Urbes multas invadit. Serrhas ipsas ad deditionem subigit. Ioannum se imperatorem pronuntiat. Imperium cum filio partitur. Quantam eo tempore Cantacuzenus

Thraciæ partem tenuerit. Thracia Persarum incursionibus crebris vastata. Cantacuzeni inopia : item Byzantinorum. Anna imperatrix pessime res administrat. Sacris imaginibus non parcit. Divites vexat. Ex ipso S. Sophiæ templo abreptos in vincula conjicit. Galatæi profugos excipiunt. Asyli jus vetustissimum : apud omnes gentes sanctum et inviolatum : a Christianis neglectum. Eversa Ecclesiæ dogmata. Ob eas causas templum subita ruina deformatum.

746 I. Crali autem Triballorum principi, seditionibus iis, quibus Romani inter se et adversus se invicem sæviebant, ad delicias abutenti, satis nondum erat. Nempe is opportunum illud cupiditati suæ tempus et donum fortunæ esse ducebat longe maximum. Pervadebat igitur flammæ instar, et continenter populabatur subigebatque obvias quasque Romanorum urbes et regiones; quod nemo esset, cui illos impetus reprimere vacaret. Byzantiis enim, et tacitis et confitentibus, optatius multo erat omnia illi Christopolin usque prodi, quam Cantacuzeno acquiri. Cantacuzeno autem omnino quidem nolente id fiebat; civilibus tamen bellis distracto propugnare non licebat. Ea propter omnia ab illo, Thessalonica excepta, Christopolin usque subacta sunt. Atque in iis ipsæ etiam Serrhæ, magna illa et præclara civitas, fame et longa obsidione, duobus sane molestissimis hostibus, ad deditionem compulsæ.

II. Ex eo Crales supra se ipsum evectus sumptoque inde grandiori supercilio (nihil quippe eorum quæ Byzantium usque Romanis supereranl, viribus suis et supremæ potestati restiturum arbitrabatur), **747** Romanum imperatorem ipse se pronuntiavit, et vivendi genus a barbarico ad Romanum morem transtulit, tiaraque et omnibus, quæ magni hujus imperii propria sunt, insignibus palam usus est, et ad hoc usque tempus utitur. Jam vero et cum filio totum imperium partitus illi quidem, ut secundum Triballorum instituta imperaret, ea regione cessit, quæ ab Ionio sinu et Istro flumine ad Scopiorum usque urbem pertinet; quam provinciam maximus fluvius sursum alicunde præterlabitur Axius : sibi vero Romanas regiones et urbes, Romanis institutis regendas, illinc usque ad Christopolitanas fauces reservavit. Quæ autem ab illis angustiis ad urbes usque Selybriam et Dercum occurrunt, ea jam omnia Cantacuzenus subegerat, Chersoneso excepta.

III. At Persæ ex Asia per Hellespontum quacunque tempestate, tanquam ab suis ad suas possessiones et sedes advecti, noctu atque interdiu, ferarum instar civitates Thraciæ adoriebantur : nunc

[P. 467] Α'. Κράλῃ δὲ τῷ Τριβαλλῶν ἡγεμόνι κόρος οὐκ ἦν, ἐντρυφῶντι ταῖς Ῥωμαϊκαῖς κατ' ἀλλήλων καὶ δι' ἀλλήλων στάσεσι, καὶ καιρὸν εἶναι λογιζομένῳ προσῆκοντα μάλιστα τοῦτον αὐτοῦ τῇ πλεονεξίᾳ καὶ δώρων τῆς τύχης τὸ κράτιστον. Διὸ καὶ καθάπερ φλὸξ ἐπῄει καὶ ἐπενέμετο διηνεκῶς τὰς πρόσω πόλεις καὶ χώρας Ῥωμαίων δουλούμενος, μηδενὸς ὄντος, ὅτῳ ἂν ἀνθίστασθαι ᾖ ταῖς τοιαύταις αὐτοῦ γε ὁρμαῖς. Βυζαντίοις μὲν γὰρ πολλῷ δι' ἐφέσεως μᾶλλον ἦν, καὶ σιωπῶσι καὶ ἐκλαλοῦσι, προδεδόσθαι εἰ μέχρι Χριστουπόλεως ἅπαντα, ἢ Καντακουζηνῷ προσγενέσθαι κτήσασθαι. Καντακουζηνῷ δὲ τοῦτο μὲν ἀδύλητον ὅλως ἦν· περισπωμένῳ δ' ὅμως ἐς τὰς ἐκ τῶν ὁμοφύλων μάχας καιρὸς ὑπερμαχεῖν οὐκ ἐνῆν. Διὰ δὴ ταῦτα καὶ πλὴν Θεσσαλονίκης ἅπαντα μέχρι στενῶν Χριστουπόλεως (1) ἐκείνῳ δεδούλωνται· μεθ' ὧν καὶ Σερρῶν ὑπάρχει τὸ μέγα τε καὶ θαυμάσιον ἄστυ, λιμῷ καὶ πολιορκίᾳ μακρᾷ προδοθὲν καθ' ὁμολογίαν, δυοῖν ἀμηχάνοις ἐχθροῖς.

Β'. Ἐντεῦθεν ὁ Κράλης μείζων ἑαυτοῦ καταστὰς καὶ δαψιλεστέραν ἑαυτῷ περιζόμενος τὴν ὀφρῦν (ἦστο γὰρ οὐδὲ τῶν μέχρι Βυζαντίου λειπομένων Ῥωμαίοις ἀνθίξειν οὐδὲν πρὸς τὴν ἐκείνου ῥώμην τε καὶ ἡγεμονικὴν ἀρχήν), [P. 468] βασιλέα Ῥωμαίων ἑαυτὸν ἀνηγόρευσε (2), τήν τε βάρβαρον δίαιταν ἐς τὰ Ῥωμαίων ἤμειψεν ἦθη καὶ καλύπτρᾳ καὶ πάσαις στολαῖς διασήμοις, ὁπόσαι τῇ μεγάλῃ ταύτῃ γε προσήκουσιν ἀρχῇ, περιφανῶς ἐχρήσατό τε καὶ χρῆταί γε μέχρι καὶ ἐς ἐμέ. Ἤδη δὲ καὶ πρὸς τὸν υἱὸν τὴν ὅλην ἡγεμονίαν ἐνείματο· καὶ τῷ μὲν ἄρχειν παρέσχε, κατὰ τὰ εἰθισμένα τοῖς Τριβαλλοῖς, τῆς ἔκ τε κόλπου τοῦ Ἰονίου καὶ αὖ Ἴστρου τοῦ ποταμοῦ μέχρι τῆς τῶν Σκοπίων πόλεως (3), ἧς καὶ ποταμὸς Ἀξιὸς (4) ἄνωθέν ποτε μέγιστος κάτεισι παραφαύων ἡγεμονίας· ἑαυτῷ δ' αὖ τῶν ἐκεῖθεν Ῥωμαϊκῶν χωρῶν καὶ πόλεων, κατὰ τὴν εἰθισμένην Ῥωμαίοις δίαιταν, ἄχρι καὶ ἐς τὰ περὶ Χριστούπολιν τῶν παρόδων στενά. Τά γε μὴν ἐκ τῶν τοιούτων στενῶν ἄχρι Σηλυβρίας καὶ Δέρκου (5) πάντ' εἶχεν ἤδη Καντακουζηνὸς ὑποχείρια, πλὴν Χερρονήσου.

Γ'. Περσικαὶ δὲ δυνάμεις, ἐξ Ἀσίας δι' Ἑλλησπόντου πᾶσαν ὥραν διαπεραιούμεναι, καθάπερ ἐξ οἰκείων ἐς οἰκεῖα νομὰς καὶ ἐπαύλεις, συχνὰς ἐποιοῦντο νύκτωρ καὶ μεθ' ἡμέραν τὰς θηριώδεις

Variorum notæ.

(1) Cantacuzen. lib. I, cap. 4. Χριστουπόλεως φρούριον, ἅμα μὲν ὂν χαρτερὸν ἔκ τε τῆς φύσεως τῆς κατασκευῆς τοῦ τόπου καὶ τῶν τειχῶν, ἅμα δ' ὅτι καὶ ὥσπερ εἴ τι χλεῖθρον κεῖται τῶν χλιμάτων ἑκατέρων μέσον. Meminit rursum Gregoras hoc cap. Χριστουπόλεως στενῶν. DUCANG.—Vide notam ad pag. 151 (col. 412) supra. BOIVIN.

(2) Cantacuzen. lib. III, cap. 89 extremo. DUCANG.

(3) Quam quidem urbem in Regiam deinceps delegit. Cantacuz. lib. IV, cap. 19. Vide Laonicum lib. I, pag. 14, et Leunclavium in *Pand. Turc.* DUCANG.

(4) Vide lib. VIII, cap. 4, sect. 7, et lib. XIII, cap. 2, sect. 7. BOIVIN.

(5) Πόλις ἐν τῇ Δέρκῃ λίμνῃ Cantacuzeno lib. III, cap. 81. DUCANG.

ἐφόδους κατὰ τῶν Θρᾳκικῶν πόλεων, νῦν μὲν αὐτονομίᾳ χρώμενοι λῃστρικῇ, νῦν δὲ συμμαχεῖν προσποιούμενοι Καντακουζηνῷ. Ὅπως δ' ἄρα ἦν, ἐνόσουν αἱ πόλεις καὶ μάλα πονήρως εἶχον Ῥωμαίοις πᾶσι τὰ πράγματα. Οὔτε γὰρ ὑποζυγίων, οὔτε ποιμνίων οὐδὲν τοῖς ταλαιπώροις Θρᾳξὶν ἐλέλειπτο, οὔτε βοῶν ἀροτήρων οὐδείς, δι' ὧν οἱ γεωργοὶ τὰς τῆς γῆς ἀναμοχλεύοντες αὔλακας τὸν ἡμερήσιον καὶ ἀναγκαῖον ἐκπορίζονται δασμὸν τῇ γαστρί. Κἀντεῦθεν ἀσπόρου τε καταλελειμμένης τῆς γῆς καὶ ἀνθρώπων ἐρήμου παντάπασι, καὶ τὸ ὅλον εἰπεῖν θηριώδους, ἀπορία χρημάτων ἐμάστιζε μὲν ἱκανῶς τὸν βασιλέα Καντακουζηνὸν, περιιόντα Θρᾴκην· ἐμάστιζε δ' οὐχ ἧττον καὶ Βυζαντίους, τῆς βασιλίδος Ἄννης καίριον οὐδὲν περὶ τὴν τῶν πραγμάτων μελετᾶν οὔτ' εἰδυίας οὔτ' ἐθελούσης διοίκησιν· ἀλλ' ἀφαιρουμένης μὲν τὸν τῶν ἱερῶν εἰκόνων κόσμον ἀνέδην, καὶ ὃν μὲν ἐκποιουμένης, ὃν δὲ χωνείᾳ παραπεμπούσης· προφάσει μὲν διὰ τὴν ἐς τὰ κοινὰ χρειαν, τὸ δὲ πλεῖστον εἰς ἑαυτῆς ἴδιον κέρδος.

Δ'. Ταῦτα δ' ἐργαζομένη οὐδὲ τοῦ κακουργεῖν ἀπέσχετο τοὺς ἐνδόξους, καὶ ὅσοι χρημάτων οἰκείων περιουσίᾳ προὔχειν ἐδόκουν. Δι' ἃ δὴ καὶ ἐς τὸ μέγα καὶ περιβόητον ἱερὸν τῆς τοῦ Θεοῦ Σοφίας, ἀσύλου πάλαι καταφυγῆς κεκτημένον προνόμια, καταφεύγοντας ἀπέσπων φεῦ ἀπηνῶς, καὶ πάσαις ἀπειθοῦν χερσὶν εἰς εἱρκτὴν καὶ λήθης ἅπαν φάναι φρούριον· ὡς ἀναγκασθέντας ἤδη λοιπὸν τοὺς ταλαιπώρους (ἐφευρετικὴν γὰρ εἶναί φασι τὴν ἀνάγκην) ἐς τὸ τοῦ Γαλάτου καταφεύγειν φρούριον, τῆς περιστάσεως τοῦτο μηχανησαμένης ἐξ αὐτομάτου φρούριον ὀχυρὸν καὶ ἱεράν τινα ἄγκυραν καὶ ἄσυλον ὄντως καταφυγήν. Καίτοι καὶ βαρβάροις καὶ Ἕλλησι, καὶ πάσῃ γῇ καὶ θαλάσσῃ, καὶ πάσαις ἡγεμονικαῖς ἐξουσίαις, εἰθισμένον ἀεὶ δι' αἰῶνος οἴκτου καὶ σπλάγχνων τοιαῦτα κεκτῆσθαι δείγματα. Χριστιανοῖς [P. 469] δ' οὖσιν ἡμῖν, καὶ νῦν μάλιστα χρῄζουσι τῆς ὁμοίας πρὸς Θεοῦ τυγχάνειν συμμαχίας, ἀπείρηταί τε καὶ παραλέλυται.

Ε'. Οὐ μόνον δὲ, ἀλλ' ὥσπερ κάλω ῥαγέντος καὶ δόγματα τῆς Ἐκκλησίας ἀνατέτραπται, καὶ θεῖοι Πατέρων κανόνες συγχέχυνται καὶ πεπάτηνται. Δι' ἃ δὴ καὶ αὐτὸ τοῦ ναοῦ τὸ κάλλος ἠκρωτηρίασται, καὶ ἐς τὸ βάθος ἔρριπται· δεικνύντος οὕτως προφανῶς τοῦ Θεοῦ καὶ διὰ τῶν φαινομένων τὴν τῶν οὕτω παρανομουμένων ὑπερβολὴν, καὶ οἷον τὴν μέλλουσαν προαναφωνοῦντος καὶ ἀπειλοῦντος ἐκβίασιν. Καί μοι δοκεῖ διὰ τοῦτ' ἄνευ σεισμοῦ καὶ περικλονήσεως γῆς γεγενῆσθαι τὸ πάθος τουτί.

A patronum licentia utendo; nunc se Cantacuzeni copias auxiliarias simulando. Sane ut ut erat, laborabant urbes, et cum omnibus Romanis pessime agebatur. Nihil enim jumentorum, nihil pecorum miserrimis Thracibus reliqui erat; nihil ex bubus aratoribus, quorum opera agricolæ, perrupto terræ gremio, quotidianum et necessarium parant faucibus vectigal. Cum itaque **748** ex eo terra inculta remansisset, et colonis omnino vacua, ac prorsus (ut ita dicam) fera, Cantacuzenum imperatorem, regiones illas circumeuntem, non mediocris flagellabat pecuniæ inopia; nec minor Byzantios, cum imperatrix Anna nihil circa rerum administrationem opportune statuere aut posset aut vellet; sed sacrarum imaginum ornamenta licentius detraheret, et alia venderet, alia ad aurificem mitteret, specie quidem, ut in usus publicos impenderet; at maxima ex parte, ut in rem suam converteret.

IV. Hæc porro cum faceret, ne tum quidem ab vexandis iis abstinebat, qui illustriores erant, aut rei familiaris copia abundare videbantur. Quocirca et eos, qui ad magnum celeberrimumque S. Sophiæ templum, inviolati jamdiu perfugii privilegiis ornatum, confugissent, avellebant heu crudeliter ac totis viribus in carcerem et in quamlibet (ut ita dicam) Oblivii arcem detrudebant. Coacti itaque miseri (etenim ingeniosum quiddam esse necessitatem ferunt) ad Galatæum castellum confugiebant, ipsa videlicet calamitate suapte illud sibi providente, præsidium firmum et sacram quamdam ancoram et inviolatum vere perfugium. Atqui et Barbaris et Græcis, et omni terræ ac mari, et omnibus imperiis ab omni ævo moris fuit, ut misericordiæ et affectus talia apud se haberent exempla. A nobis vero, qui et Christiani sumus, et nunc maxime simili numinis auxilio indigemus, illud interdicitur **749** atque abrogatur.

V. Quin imo, tanquam ruptis retinaculis, ex ipsa quoque Ecclesiæ dogmata evertuntur, et sacra Patrum præscripta confunduntur ac pedibus subjiciuntur. Eam ob causam ipsa templi pulchritudo mutilata est et ad terram afflicta; Deo palam ita significante, et evidentibus ostentis declarante, quam enormis foret ejusmodi impietas, futuramque ultionem quasi prænuntiante ac minitante: unde et factum puto, ut citra terræ tremorem et agitationem clades illa accideret.

CAPUT II.

Templum Sanctæ Sophiæ, qua parte orientem spectat, collapso hemisphærio dehiscit: Ejus cladis magnitudo verbis amplificata. Civium concursus et comploratio. Ipsorum nobilium, ac in primis feminarum in exportandis ruderibus pia sedulitas. Substructa ab imperatore Andronico fundamenta ruinam sistunt. Rei Byzantinæ status miserrimus. Lacedæmonii post Leuctricam, Romani post Cannensem pugnam, mulieribus aurum interdixere. Byzantini cur vestibus pullis passim uti cæperint. Deus hominum morbis leute medetur. Facilius ædificat quam destruit.

Λ'. Ἑσπέρα μὲν γὰρ ἦν ἤδη καὶ οὐρανὸς αἴθριος, περὶ που τὰ μέσα τῆς νυκτὸς, ὅτε πᾶσι μὲν ἀνθρώπων ὀφθαλμοῖς βαθεῖς ληνοβατοῦσα κίγνηται τοὺς

I. Nocte enim jam fere media, cœlo sereno, cum silentium ipsum omnibus hominum oculis invergit ac veluti imprimit soporem altissimum:

cum et galli ad nocturnos cantus alas movere et ingenitas buccinas modulate inflare meditantur, e quatuor illis arcubus, cœlo pene dixerim æmulis, unus, orienti nempe obversus, procubuit, secum trahens et eadem ruina involvens, quæcunque hemisphærium superimpositum fulciebant : atque ita deleta sunt, quæ in bemate pulchra inerant et recondita; deletus est sacrarum imaginum nitor; et gratia illa ubique diffusa brevi evanuit, veluti flos in agro, aut rosa in horto, quando vel locusta vel improvisa eruca statim incurrerit. Illa vero, quæ columnas sacras vestiebat ac distinguebat, omne æmulum opus supergressa Phidiæ sculptura, effusa omnino et deleta est, minutissimis calculis exæquata. Conciones autem, et conventus, et quæ **750** solebant haberi illic diebus et noctibus perpetuis dialecticæ theologicæque disputationes, studium suum in silentium præ stupore verterunt. Et nunc theatrum illud universo orbi commune, jucundus omnis linguæ sermo, dulcissimum auribus quibuslibet murmur, inaspectum astat spectaculum, et quædam velut columna animata tragœdiam medio aere exhibet, totiusque orbis lacrymas ciet; et ore quasi per culmen superne diducto, soli et astris indignum facinus palam annuntiat; cœlum denique tantum non testem advocat, et prophetica illa Deo occinit : « Filii matris meæ pugnaverunt contra me : percusserunt me, vulneraverunt me; et superbia eorum, qui oderunt me, ascendit semper. »

II. Id cum ita accidisset, manante statim fama, et per totam urbem mane. disseminata, major et clamor et luctus excitatus est, quam olim exstitit, cum Assyrius Nabuchodonosor, Solyma funditus eversa, Salomonici quoque templi magnificentiam dirult atque sustulit. Omnia itaque et tecta et fora et theatra deserebantur, omnibus ad illius cladis spectaculum confestim accurrentibus : et nemo erat cui aliud quidquam curæ impensioris esset, quod ab officio illo posset avocare. Circumfusi igitur et lamentati omnes, quantum par erat, mox inclinato corpore materiem et rudera exportabant; nec tum quisquam ex omnibus erat immunis; nec ibi divitem a paupere discerneres, nec illustrem ab obscuro, nec **751** servum a domino, nec nobilem ab operis mercenariis. Sed in eumdem ardoris impetum omnium pariter voluntas coalescebat. Mulierum tamen sedulitas multo major quam hominum in navanda opera fuit. Etenim illæ, utpote sexu ad uberem lacrymarum vim propensiore, largo demum fletu lateres ac lapides illos respergebant; humeris deinde imponebant, neutiquam tunc sollicitæ de sumptuosis vestimentis, quæ et lacerabat et pulvere opplebat tum confusa illa materia,

ὕπνους ἡ τῆς νυκτὸς σιωπή, πρὸς δ' ᾠδὰς νυκτερινὰς ἀλεκτρυόνες τάς τε πτέρυγας κινεῖν καὶ τὰς ἐμφύτους σάλπιγγας ἀνοίγειν ἐμμελῶς μελετῶσι, καὶ τηνικαῦτα πέπτωκεν ἡ μία τῶν αἰθερίων φάναι τεττάρων ἀψίδων (6), ἡ πρὸς ἥλιον ἀνίσχοντα βλέπουσα, συνεφελκύσασά τε καὶ συγκαθελοῦσα ἑαυτῇ καὶ ὅσον ὑπήρειδεν ὃ ἐπεκάθητο ἡμισφαίριον· καὶ συντέτριπται μὲν τὰ κρυπτόμενα κάλλη τοῦ βήματος. Συντέτριπται δ' ὁ τῶν θείων ἐκείνων κόσμος εἰκόνων· ἡ δὲ διὰ πάντων ἥκουσα χάρις ἔσβεσται ταχὺ, καθάπερ ἄνθος ἐν ἀγρῷ καὶ ῥόδον ἐν λειμῶνι, ὁπότ' ἂν ἡ καὶ κάμπη τις ἀδόκητος ἀθρόον ἐπιδράμοι. Ἡ δὲ τοὺς ἱεροὺς ἐκείνους κίονας περιελίττουσά τε καὶ ποικίλλουσα καὶ νικῶσα τὸ ἀμιλλώμενον ἅπαν Φειδίου λαξευτικὴ παντάπασιν ἐρρύη τε καὶ ἔσβεσται, λεπτότητα μιμησαμένη ψηφίδων. Πανηγύρεις δὲ καὶ ξυναυλίαι καὶ ἄμιλλαι συνήθεις ἐκεῖ, λογικαί τε καὶ ἱεραὶ, παννύχιοί τε καὶ πανημέριοι, πρὸς ἀφωνίαν μετήνεγκαν τὴν σπουδὴν ὑπ' ἐκπλήξεως. Καὶ νῦν [P. 470] τὸ παγκόσμιον θέατρον, τὸ πάσης γλώττης τερπνὸν ἀφήγημα, ὁ πάσης ἀκοῆς γλυκὺς θόρυβος, ἀόρατον ἕστηκε θέαμα, καὶ στήλη τις οἷον ἔμψυχος δι' αἰθέρος παιδυμένη τὴν τραγῳδίαν, καὶ πάσης γῆς προκαλουμένη δάκρυα, καὶ ὥσπερ στόμα διὰ τῆς ὀροφῆς ἄνω διάρασα περιφανῶς ἡλίῳ καὶ ἄστρασι τὴν ἀδικίαν προσαγγέλλει, καὶ τοὺς οὐρανοὺς μονονουχὶ προσκαλουμένη μάρτυρας ἐκεῖνα δὴ τὰ τῶν προφητῶν περιᾴδει πρὸς Κύριον· « Υἱοὶ μητρός μου (7) ἐμαχέσαντό μοι· ἐπάταξάν με, ἐτραυμάτισάν με· καὶ ἡ ὑπερηφανία τῶν μισούντων με ἀνέβη διὰ παντός. »

Β'. Τούτων δ' οὕτω συμβεβηκότων, τῆς φήμης ἔωθεν ῥυείσης καὶ ἀνὰ πᾶσαν διαδοθείσης τὴν πόλιν, βοὴ καὶ θρῆνος ἠγείρετο μείζων (8) ἢ κατ' ἐκεῖνον τὸν πάλαι, ὁπότε Ναβουχοδονόσορ ὁ Ἀσσύριος, ἁρδὴν ἐξανδραποδισάμενος Ἱερουσαλὴμ, ὁμοῦ καὶ τὸ τοῦ Σολομωντείου νεὼ καθεῖλέ τε καὶ ἀφῄρηται κλέος. Ἐκενοῦντο τοίνυν οἰκίαι πᾶσαι καὶ ἀγοραὶ καὶ θέατρα, καὶ πάντες ἐπὶ τὴν θέαν τοῦ πάθους ἀθρόον ἐξέθεον· καὶ οὐδεὶς ἦν, ὅτῳ προὐργιαίτερον ἕτερον ἦν τῶν ἁπάντων, ὃ τῆς σπουδῆς ἀπασχολῆσαι ταύτης ἂν δυνηθείη. Περιστάντες οὖν καὶ ἀπολοφυράμενοι πάντες ὁπόσον εἰκὸς, ἔπειτα κύψαντες ἐξεφόρουν τὴν ὕλην τῶν ἐρειπίων· καὶ ἦν οὐδεὶς τῶν ἁπάντων τέως ἀξυντελής· οὐδ' ἦν ἐκεῖ διακρίνειν πλούσιον ἐκ πενήτων οὐδ' ἐξ ἀδόξων ἔνδοξον, οὐδ' ἐκ δεσπότου δοῦλον, οὐ μέντ' ἂν οὐδ' ἐκ βαναύσων εὐγενῆ. Ἀλλὰ πρὸς μίαν ἐπίσης ἀνεκίνατο πάντων ἡ πρόθεσις ζήλου φοράν. Πολύ γε μὴν τῶν ἀνδρῶν ἡ τῶν γυναικῶν ὑπερεῖχεν εἰς τοῦργον σπουδή. Ἅτε γὰρ εὐπαθέστερον πρὸς δακρύων τὸ γένος φορὰν, πλουσίοις λοιπὸν τοῖς δάκρυσι ῥαίνουσαι τάς τε πλίνθου; καὶ πέτρας ἐκείνας ἔπειτα ἐπετίθουν τοῖς ὤμοις, οὐδαμῇ περιλάμπρων ἐνδυμάτων ἐνταῦθα φροντίζουσαι, ῥηγνυμένων καὶ

Variorum notæ.

(6) Cantacuzen. lib. IV. cap. 4. DUCANG.

(7) Cant cant. cap. I. v. 5, et cap. V, v. 7, et Psalm. LXXIII, v. 23. BOIVIN.

(8) Videtur Gregoras respexisse ad illa Gregorii Naziauzeni de Anastasiæ templo,

Οὐ τόσον, Ἀσσυρίοισιν ὅτ' ἤγετο τηλόθι πάτρης,
Λαὸς δουριαλὴς νηὸν ἐλαύνε μέγαν. BOIVIN.

κόνεως πληρουμένων ὑπό τε τῆς πολυμιγοῦς ἐκείνης ὕλης ὑπό τε τῆς ἐξ ἀλλήλων καὶ δι' ἀλλήλων συνεχοῦς τε καὶ ἀγχιστρόφου περιφορᾶς. Εἶπεν ἂν τις πηγὰς ἀφιέναι δακρύων τὴν ὕλην ἐκφορουμένην ἐκείνην· οὕτω κατὰ ποταμοὺς ἐχώρει τότε δάκρυα πασῶν ἐκεῖ γυναικῶν, ἐνδόξων ὁμοῦ καὶ ἀδόξων, καὶ οὕτω μακροῖς ἀνεμίγνυτο θρήνοις ὁ ζῆλος ἐκείνων καὶ ἡ σπουδή, ῥᾳστώνης οὐδεμιᾶς δυνηθείσης διακόψαι τὸν δρόμον καὶ τὴν συνέχειαν, ἐφ' ὅλοις ἐγγύς που νυχθημέροις τριάκοντα.

Γ'. Ἐλέγετο μέντοι πρὸς τῶν πολλῶν, ὡς εἰ μὴ προϋπάρχειν συνέβαινε τὰς πρὸς ἕω χρηπῖδάς καὶ τὰ ἐρείσματα, ὁπόσα πρὸς Ἀνδρονίκου τοῦ βασιλέως (9) πάλαι ἀνῳκοδόμηνται πάνυ τοι φιλοτίμως, κἂν πολλαπλάσιον ἐγεγόνει [P. 471] τὸ πτῶμα καὶ τῶν τε ἀνιάτων ἔν ἦν. Καὶ ταῦτα μὲν τοῦτον εἶχε τὸν τρόπον· καὶ τὸ θέρος ἐν τούτοις ἐτελεύτα.

Δ'. Κακῶν δ' ἀναχωχή τις οὔτ' ἦν, οὔτ' ἠλπίζετο· ἀλλ' ἐφ' ἑτέροις ἕτερα διηνεκῶς ἐπέῤῥει, καὶ ἐπὶ τὸ χεῖρον ηὔξε καὶ προὔβαινε. Ἦ τε γὰρ γῆ παντάπασιν εἰπεῖν ἄσπορός τε καὶ ἀγεώργητος ἐλείπετο· τῶν τ' ἐπιτηδείων μακρά τις ἐπεπόλαζε σπάνις διὰ τὰς τῶν ἄλλοτ' ἄλλων πολεμίων ἐφόδους· καὶ ἅμα χρημάτων πόρος ἦν οὐδεὶς οὐδαμόθεν, οὔτε τοῖς πένησιν ἐννοῆσαι δι' ἐργασίας ῥᾳστινοσοῦν, οὔτε τοῖς ἄρχουσιν, ὅθεν ἔρανόν τινα δασμολογοῦντες ἀργυρολογήσουσι. Καὶ ἦν ἰδεῖν κενουμένας τὰς πόλεις, καὶ τοὺς μὲν ἐς ἀλλοδαπὴν μετοικοῦντας, τοὺς δ' ἐν ἀπογνώσει μένοντας.

Ε'. Καὶ Λακεδαιμόνιοι μὲν πάλαι χρυσοφορεῖν τὰς γυναῖκας ἔπαυσαν, καὶ ἅμα οἱ τὸ τῆς πάλαι Ῥώμης διοικοῦντες ἄξιωμα, ψηφίσμασί τε καὶ δόγμασι δημοσίοις καὶ ἀσαλεύτοις ἑκάτεροι· οἱ μὲν διὰ τὸ ἐν Λεύκτροις ὑπὸ Θηβαίων σφίσι γενόμενον πάθος, ὁπότε δὴ μικροῦ τὴν πᾶσαν ἔκειρεν ὁπλιτικὴν ἀκμὴν τῆς Σπάρτης Ἐπαμεινώνδας ἐκεῖνος, Βοιωταρχῶν τηνικαῦτα· οἱ δὲ δι' Ἀννίβαν τὸν Καρχηδόνιον ὁπότε περί τε Κανύσιον πεδίον καὶ Ἀφείδιον ποταμὸν τοῖς κατὰ Ῥωμαίων μακροῖς ἐκείνοις τροπαίοις τελευταῖον τοῦτ' ἐπιθεὶς καὶ συγκλείσας τὴν μυριάριθμον ἐκείνην Ῥωμαίων κατηγωνίσατο στρατιάν· ὡς τοῖς πλουσίοις ἐκείνοις αἵμασι βαφῆναί τε ποταμοῦ τὸ ῥόθιον, καὶ ἄνευ ὕδατος, αἱμάτων ἔχειν ἄνωθεν εἶναι δοκεῖν τὰς πηγάς.

Ϛ'. Νῦν δ' ὥσπερ ἐξ ἑνός τινος αὐτομάτου κηρύγματος, διαδραμόντος ἁπάσας πόλεις Ῥωμαίων, μήτε μηδένα ἀνδρῶν μήτε γυναικῶν μηδεμίαν λαμπρυφορεῖν, ἀλλ' ὁμόσε πάντας ἐλέσθαι μελαίναις ἐσθῆσι ξυνεπεπτώκει κεχρῆσθαι, οὓς μὲν λύπης ἕνεκα προὔπαρξάσης ἅπας, οὓς δὲ διὰ τὰς κοινὰς καὶ δημοσίους κῆράς τε καὶ συμφορὰς τῶν ὁμοφύλων· ὡς μὴ πόλει καὶ πολιτείᾳ τὰ Ῥωμαίων ἐοικέναι πράγματα, ἀλλ' ἀμαυρά τινα καμνόντων εἴδωλα εἶναι, καὶ πόρρωθεν μονονοὺ προαναφωνοῦντα ἀλλήλοις τὴν ἔνδοθεν τῆς ψυχῆς φλεγμονήν, ὅσην ἑκάστῳ δαψιλῶς χορη-

tum continua et crebro iterata ab aliis ad alios per manus translatio. Dixisses materiam illam, quæ exportabatur, lacrymarum fontibus scaturire: adeo tunc torrentium instar ibant omnium quæ erant illic mulierum, illustrium simul et ignobilium, lacrymæ: adeo ingenti luctu mistus erat illarum zelus et officiosa diligentia: siquidem illos cursus et continuos labores nulla potuit mollities interrumpere, perpetuis ferme triginta diebus et noctibus.

III. Cæterum a plerisque dictitabatur, nisi orientem versus occurrissent fundamenta et moles, quas jampridem imperator Andronicus magnifice admodum substruxerat, futuram multo majorem ruinam, atque illud vulnus insanabile exstiturum fuisse. Porro hæc ita se habuerunt; ac in iis æstas consumpta est.

IV. Malorum autem remissio nulla neque erat, neque sperabatur; sed perpetuo alia ex aliis affluebant, ingravescebantque et provehebantur in pejus. Nam et terra seminibus omnino pene fraudabatur, et inculta remanebat, et rerum ad victum **752** necessariarum magnam quamdam inopiam induxerant hostium alias aliorum incursiones; nec parandæ alicunde pecuniæ ratio ulla a pauperibus excogitari poterat, quamcunque illi artem exercerent: nec erat magnatibus, unde corrogata aliqua stipe pecuniam cogerent; et urbes videre erat desolatas, aliis peregre abeuntibus, aliis domi despe-
C rata salute remanentibus.

V. Olim quidem Lacedæmonii mulieribus edixerunt, ut gestare aurum desinerent, nec non ii qui veteris Romæ imperium administrabant, consultis utrique et decretis publicis, iisque inconcussis: illi propter Leuctris acceptam a Thebanis cladem, cum robur Spartæ militare totum fere excisum est virtute illius Epaminondæ, qui tum Bœotis imperabat: hi vero, eo quod Annibal Carthaginiensis in Cannensi agro, apud Ausidum flumen, magnis illis, quas de Romanis reportaverat, victoriis novissima adjecta, coactas in unum locum innumerabiles Romanorum copias ita profligavit, ut largo cruore tinctis fluctibus, non ex aquæ sed e sanguinis fontibus derivari amnis videretur.
D

VI. Nunc vero, quasi edicto aliquo totas Romanorum urbes suapte pervagato, sic usu venit, ut nullus vir, nulla mulier veste candente, sed omnes pulla uterentur; alii dolore aliquo semel præcepto, alii communem ac publicam vicem et suorum civium infortunia dolentes; ita ut non civitati reive publicæ simile esset Romanum imperium, sed obscura quædam **753** simulacra luce carentium esse viderentur, quæ e longinquo sibi invicem quasi prædicarent intimum animi dolorem; eum nempe, quem unicuique non desinit cumulate ex-

Variorum notæ.

(9) Atque hinc discimus a quo exstructi fuerint muri illi obnitentes quatuor majoribus pilis sustinentibus hemisphærium, de quibus egimus in *Constantinop. Christ.* lib. III, sect. 36. DUCANG.

hibere præsens Romanorum infelicitas. Nimirum publicis et privatis Romanorum rebus divina justitia sic ferme medetur, ut illi medici, qui non præsentissimo efficacissimoque cauterio utuntur, sed leniore, et curationem in longum ducturo. Istud autem multo quam illud molestius videtur; non intelligentibus plerisque divina et benigna Providentiæ consilia, quando illa pœnitendi spatium iis largitur, qui gravissime deliquerint. Etenim hominibus quidem multo facilius est propria ædificia destruere, quam construere: Deo autem, utpote clementiori, rerum ædificatio et coagmentatio celerrime ac dicto citius, eversio nonnisi longo tempore, et ut plurimum lentius, ægreque admodum perficitur. Nimirum ille tantum non aperte ostendit, alterum quidem se volente, alterum vero partim volente, partim nolente fieri *** quod ad emendationem optimum habet consiliarium et adjutorem, moram ipsam longi temporis.

A γεῖν οὐ λήγει τὸ κακόδαιμον νῦν τῆς Ῥωμαίων τύχης· παραπλησίως τῶν ἰατρῶν ἐκείνοις, ἐπάγοντος τοῦ θεοῦ τοῖς καινοῖς τε καὶ ἰδιάζουσι Ῥωμαίων πράγμασι τὴν ἰατρεύουσαν δίκην, οἳ μὴ τῇ ὀξυτάτῃ καὶ ἀνυσιμωτάτῃ κέχρηνται καυτηρίᾳ, ὅτι μὴ τῇ μαλακωτέρᾳ τε καὶ διὰ μακροῦ ποιουμένῃ τοῦ χρόνου τὴν ἴασιν· ὃ πολλῷ δὴ τοῦ προτέρου δοκεῖ πως ἀνιαρότερον, οὐ συνιεῖσι τοῖς πλείστοις τοὺς θείους καὶ οἰκονομικοὺς τῆς προνοίας τρόπους, ὁπότε καιρὸν ἐθέλοι διδόναι μετανοίας τοῖς τὰ μέγιστα ἁμαρτάνουσιν. [P. 472] Ἀνθρώποις μὲν γὰρ πολλῷ ῥᾷον τὰς οἰκείας ἐστὶν οἰκοδομίας καθαιρεῖν, ἢ κτίζειν· θεῷ δὲ, φιλανθρώπῳ γε ὄντι, ταχίστην μὲν τὴν οἰκοδομὴν καὶ σύστασιν, καὶ θᾶττον ἢ λόγος, τῶν γινομένων ποιεῖσθαι· τὴν δέ γε καθαίρεσιν B διὰ μακροῦ τε τοῦ χρόνου καὶ βραδυτέραν ὡς τὰ πολλὰ, καὶ μάλα μόλις· μονονουχὶ δεικνύντι περιφανῶς, ἑκάτερον εἶναι, τὸ μὲν αὐτῷ κατὰ βούλησιν, τὸ δὲ κατ' ἀμφότερα· τό τ' ἀβούλητον... καὶ ὃ πρὸς διόρθωσιν (10) ἔχει κράτιστον σύμβουλον ἅμα καὶ σύμμαχον τὸν τοῦ χρόνου δίαυλον.

CAPUT III.

Imperantium culpæ excusantur, rerum causis ad arcanam Dei providentiam relatis. Cantacuzenus nimium supplex et abjectus in epistolis. Multum sibi et reipublicæ obfuit cunctando. Quosnam viros maxime imitari debuerit. Gregoras epistolam ejus selectam prolaturus, qua fide eam exhibiturus sit, docet. Epistola ad patriarcham. Scripta fuit rubris litteris, ipsius Cantacuzeni manu. Recisa sunt, quæ ad rem minus pertinebant. Cætera ornatius enuntiata.

I. Hæc et ipse mecum reputans nec socordiæ in bello gerendo, nec simplicitatis in illo rerum statu nimiæ Cantacuzenum imperatorem ausim damnare, nec zelotypiam Annæ et odium implacabile causari; sed occultiora quædam Providentiæ consilia, quæ omnia recte administrans criminibus **754** alio tempore admissis alio mercedem amplam rependit; agriculturæ morem imitata, quæ et ipsa, alio tempore mandatis terræ seminibus, alio colligit fructus.

Α'. Ταῦτ' ἐννοῶν καὶ αὐτὸς οὔτε νωθρότητα περὶ τὰ πολέμια καὶ ἀφέλειαν περὶ τὴν ἐνεστῶσαν περίστασιν ἔχω καταγινώσκειν τοῦ βασιλέως Καντακουζηνοῦ, οὔτε ζηλοτυπίαν καὶ κότον ἀπέραντον Ἄννης αἰτιᾶσθαι, καὶ ἀκατάλλακτον ἔχθραν· ἀλλὰ μυστικωτέρους τινὰς τῆς προνοίας τρόπους· ἢ τὰ πάντα καλῶς διοικοῦσα τὰς ἐν ἄλλοις ἡμαρτημένας αἰτίας καιροῖς ἐν ἑτέροις λαμπρῶς ἀποδίδωσι, γεωργίας μιμουμένη λόγους· ἢ καὶ αὐτὴ τὴν τῶν σπερμάτων καταβολὴν ἐν ἄλλοις τῇ γῇ ποιουμένη καιροῖς ἐν ἑτέροις τρυγᾷ τοὺς καρπούς.

II. Quapropter hac in parte historiæ libet selectam unam ex Cantacuzeni epistolis citra invidiam proferre: quas ideo hactenus omisimus (quamvis ille multas et continuas ad Byzantios miserit), quia nimiam quamdam humilitatem et indignas obsecrationes continebant; cum ille posset, si (ut imperatorem decuit) vigilans fuisset, majori strenuitate ac diligentia totam controversiam dirimere, non autem ita tempus frustra terere, simulque et se ipsum et Romanum imperium, cum minime oporteret, adeo afflictare, ut jam in genua prolapsum non speret institurum se unquam facile prioribus vestigiis. Potuit enim ille, si voluisset, antiquiora quædam sibi ad imitandum facta proponere, Alexii nempe Comneni, et eorum qui ipsum antecessere (quorum acris virtus Byzantiis facile præripuit, ne hostium consilia celeritatemque impressionis opportune præcaverent) et infinita diversaque tam popularium suorum quam externorum

Β'. Διὰ δὴ ταῦτα καὶ μνησθῆναι μιᾶς τινος ἀνεπιφθόνως τῶν ἐπιστολῶν Καντακουζηνοῦ, γενομένοις ἡμῖν ἐνταυθοῖ τῆς διηγήσεως, πρὸς βουλήσεως γίνεται· αἳ διὰ τοῦτο σεσίγηνταί μοι μέχρι νῦν, καὶ ταῦτα πολλαί τινες οὖσαι καὶ συνεχεῖς αἱ πεμπόμεναι πρὸς αὐτοῦ Βυζαντίοις, ὅτι πολλήν τινα τὴν ὑπόπτωσιν εἶχον καὶ σμικροπρεπῆ τινα τὴν παράκλησιν· ἐξὸν διαγρηγορήσαντι στρατηγικώτερον τρόπον κρατιστέραν ποιήσασθαι καὶ σπουδαιοτέραν τὴν τοῦ ἀγῶνος κρίσιν, καὶ μὴ μάτην οὕτω τρίβειν τὸν χρόνον, καὶ φθείρειν μὲν ἑαυτὸν, φθείρειν δὲ τὰ Ῥωμαίων οὐ δέον πράγματα, ὡς καὶ ἐς γόνυ πεσόντα ἤδη μηκέτ' ἐλπίζειν ῥᾳδίως ἐπὶ τῶν εἰθισμένων κρηπίδων ἑστήξειν· [P. 473] ἔχειν γὰρ αὐτὸν, εἴπερ ἐβούλετο, πρὸς ἀρχαιότερα τὴν μίμησιν ἀναφέρειν τῶν ἔργων, Ἀλεξίου τοῦ Κομνηνοῦ δηλαδὴ καὶ τῶν πρὸ αὐτοῦ (ὧν ἡ ὀξύτης εὐχερῶς Βυζαντίοις ἀφείλετο, προσηκόντως φυλάττεσθαι τὴν τῶν πολεμίων ἐπίνοιαν καὶ τὸ τῆς ἐφόδου τάχος) καὶ μυρία ἐν ἄλ-

Variorum notæ.

(10) Ita etiam Vaticanum exemplar; ex quo, quæ in Regio apographo deessent, suppleturum me sperabam. BOIVIN.

λοις ἄλλα τῶν τε ὁμοφύλων καὶ ἀλλοφύλων, παραπλησίαις καὶ μείζοσιν ἐντετυχηκότων ἄλλοτ' ἄλλοις ἄλλων περιστάσεσι βιαίων καὶ δυσανταγωνιστικωτέρων μᾶλλα πραγμάτων.

A hominum exempla, qui in similibus atque etiam in majoribus negotiorum turbulentorum difficiliorumque molestiis alias aliter versati sunt.

Γ'. Ὅμως ἐπεὶ τοῖς τῆς προνοίας ἀποῤῥήτοις πελάγεσι τὸ τῶν τοιούτων λόγων ἐπαφήκαμεν σκάφος, φέρε τὴν ὑπόσχεσιν ἀποδῶμεν, μιᾶς τινος τῶν Καντακουζηνοῦ μακρῶν ἐς Βυζαντίους ἐπιστολῶν ποιησάμενοι μνήμην, τοῦ τε μήκους ὑφαιρούμενοι τὰ πλεῖστα, τοῦ ἐπαχθοῦς εἵνεκα, καὶ ἅμα τὸ ἀκαλλὲς τῶν λέξεων πῃ μὲν μικρὸν ὑπερείδοντές τε καὶ ἀνεγείροντες, τοῦ εὐπρεποῦς εἵνεκα τῶν ἀκούσειν μελλόντων, πῃ δ' ἐῶντες, διὰ τὴν τῆς ἀληθείας ἐναργεστέραν τῶν λεγομένων δήλωσιν.

III. Verum quia arcano Providentiæ profundo earum rerum causas et rationes, veluti cymbam aliquam, permisimus; age, promissum absolvamus, ac unam ex longioribus **755** Cantacuzeni ad Byzantios epistolis sic afferamus, ut et pleraque tædii vitandi gratia recidamus, et invenustas dictiones, modo auditorum et decori ipsius causa fulciamus leviter et erigamus, modo ad rerum veritatem evidentius declarandam intactas relinquamus.

Δ'. « Οἶσθα, » φησὶν (11), « ἁγιώτατε δέσποτα πατριάρχα, τὴν φιλίαν, ὁπόσην ἐνεδειξάμην πρὸς σὲ καὶ τὴν σὴν τιμήν, καὶ ὁπόσοι σοι κατὰ γένος προσῆκον· ὅσην τε σπουδὴν εἰσήνεγκα, πρὸς τὴν πατριαρχικὴν ἀναχθῆναί σε περιωπήν, μήτε μηδεμιᾶς γενομένης μνήμης οὐδενὶ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων ἐν ταῖς πατριαρχικαῖς ψηφηφορίαις περὶ σοῦ, μήτ' αὖ ἡμῶν εἰσαγαγόντων τὴν μνήμην ἐψὲ τὴν σὴν, ἀναμφίλεκτον εὑρηκότων τὴν εἰσαγωγὴν, ἀφανείᾳ τετιμημένην τέως μακρᾷ καὶ βαθείᾳ. Ὅμως οἶσθα, ὁπόσους τηνικαῦτα διηντλήκαμεν ὑπὲρ τῆς σῆς τοὺς πόνους τιμῆς, πάντων ἀνθισταμένων μικροῦ, καὶ τυραννικὴν καλούντων ἐκείνην ἡμῶν τὴν σπουδήν. Οἶσθα δ' αὖ καὶ μετὰ τὸ γενέσθαι, πόσαις ἐνέτυχες περιστάσεσι πρὸς τοῦ Ἀποκαύκου, τὰς βασιλικὰς ὑποῤῥύττοντος ἀκοάς, καὶ συχνὰ τῶν θρόνων σε πείθοντος καθελεῖν. Ὧν ἁπάντων καθαιρέτης ὑπῆρχον αὐτὸς, μηχανήμασιν ἀνθιστὰς μηχανήματα καὶ ἑλεπόλεσιν ἑλεπόλεις, καὶ πύργος σοι γινόμενος κράτιστος καὶ θεμέλιος ἄσειστος. Δέον οὖν καὶ σὲ τοῖς ὁμοίοις ἡμᾶς ἀμείβεσθαι, σὺ δὲ καὶ προσεπιβαψιλεύσω τὰ χείριστα καθ' ἡμῶν. Δεηθῆναί σε χρεὼν ταίνυν τοῦ Θεοῦ, μὴ παραπλησίου τυχεῖν ἐκείνου κριτοῦ. Καὶ εἰ μὲν εἰς πεῖραν ἰὼν πρότερον συνεβούλευες μὲν ἐμοὶ τὰ δοκοῦντα χρηστά, εὕρισκες δ' οὖν δυσανασχετοῦντα καὶ μὴ πειθόμενον, ἄν τινα (12) πρόφασιν ἡ σὴ καθ' ἡμῶν τῆς κακίας ταύτης συσκευή. Νῦν δ' οὐδένα σοι λόγον εὐπροφάσιστον οἶμαι λελεῖφθαι, πρὸς ἀπολογίαν τῶν οὕτω δρωμένων ἰόντι. Ἅπαξ γὰρ ἀπειρηκότι παντάπασι τὴν πρὸς ἐμὲ τοῦ λοιποῦ συμφωνίαν, ἐξ οὐδεμιᾶς προφάσεως, οὐδένα περὶ τῶν ἀποβαινόντων ἐντεῦθεν τοῖς Ῥωμαίων [P. 474] πράγμασι δυσχερῶν ποιεῖσθαι λόγον πεφρόντικας. Εἰ οὖν ὀψὲ γοῦν, μετὰ τὴν πεῖραν τῆς ἀποβάσεως καὶ τῶν ἐν ὄψει διηνεκεῖ κακῶν, εἰς τὸ τῆς εἰρήνης ἀποβλέψαι; καλὸν, σώζεις μὲν τὸ κατάλειμμα τῶν Ῥωμαίων, σώζεις δὲ σαυτὸν, καὶ βασιλέα τὸν νέον, μετὰ τῆς μητρὸς καὶ βασιλίδος Ἄννης. Εἰ δὲ τοῖς ὁμοίοις ἔτι θέλεις ἐμμένειν, ἡμεῖς μὲν οὐκ ἐθελονταὶ βουληθείημεν ἄν ποτε γενέσθαι τῆς οἰκείας τύχης καὶ ζωῆς προδόται· ἀλλ' οὐδὲ σοὶ τὸ τυχὸν ἐκ τοῦ μὴ ἀντιπράττειν ἡμῖν ἀπόβαιεν ἄν· ἀλλὰ τὸ μὲν ἡμέτερον ἐν ἀφανεῖ τεθήσεται, σὺ δὲ τὸν ἐκ τῆς ἀπειθείας ἐπιόντα κίνδυνον ἐν ὄψει ἔσῃ καὶ ἐν ἐπιφανείᾳ τοῖς ἐπιοῦσι πᾶσι. Τὸ δὲ ἐπὶ τούτοις ἐμὸν ἐκ τοῦ μὴ ἀντιπράττειν ἡμῖν ἀπόβαιεν ἄν· ἀλλὰ τὸ μὲν ἡμέτερον ἐν ἀφανεῖ τεθήσεται, σὺ δὲ τὸν ἐκ τῆς ἀπειθείας ἐπιόντα κίνδυνον ἐν ὄψει ἔσῃ καὶ ἐν ἐπιφανείᾳ τοῖς ἐπιοῦσι πᾶσι. Τὸ δὲ ἐπὶ τούτοις ἐμὸν

IV. « Scis, inquit, sanctissime domine patriarcha, quam studiosum me et tui et dignitatis tuæ et eorum omnium, qui te cognatione attingerent, semper gesserim: et quantum diligentiæ contulerim, ut tu ad patriarchalem honorem eveherere, cum nullus de te sive episcopus, sive presbyter, mentionem in ferendis suffragiis eligendoque patriarcha injecisset, nec ipsa tui nominatio, quam magna et profunda caligine ad illam usque diem dignati fuerant, controversia caruisset. Scis tamen, quantos honoris tui causa labores, tum sustinuerimus, omnibus ferme refragantibus, ac nostrum illud studium tyrannicum vocitantibus. Scis rursus et quantis, posiquam patriarcha renuntiatus es, negotiis implicatus fueris, obtundente imperatoris aures Apocauco, atque ut te de gradu dejiceret subinde suadente. Ea ego omnia compressi, machinationes machinationibus, vires viribus opponendo, ac me ipsum tibi propugnaculum munitissimum fundamentumque inconcussum præbendo. Cum itaque paribus paria referri oporteret, tu nos injuriis cumulatos pessime remuneratus es. Superest igitur, ut Deum roges, ne eum judicem experiare tui similem. Quod **756** si, facto prius mei periculo, ea quidem suasisses mihi, quæ tu optima censuisses, me vero impatientem et minime audientem dicto offendisses, fuisset certe aliquis tuæ in nos iniquæ molitionis prætextus. Nunc vero nulla, opinor, tibi plausibilis ratio relicta est, si ad ea quæ fecisti defendenda aggrediare. Abjecta enim semel, nullo prætextu, omni mecum in posterum conjunctione, nullam deinde curam, nullam rationem habuisti eorum malorum, quæ in Romanum imperium inde redundarent. At si sero saltem, ipso eventu et continuo malorum conspectu edoctus, ad pacis bona respicias, servabis etiamnum et Romanorum quod superest, et te ipsum, et juniorem imperatorem cum matre Anna imperatrice. Sin velis in eodem semper instituto persiare, nobis sane, ut fortunam ac vitam nostram ultro prodamus, nunquam volentibus accidet: te autem nequidquam

Variorum notæ.

(11) Annum Christi 1346 ascripsimus, quo ineunte datam putamus illam Cantacuzeni ad patriarcham Joannem epistolam. Huic conjecturæ favet ordo ipse rerum narraturarum. Boivin.

(12) Εἶχεν ἄν τινα. Codex Vaticanus, ut accepi ex cl. V. L. Targnio. Boivin.

pœnitebit, pudore affectum, et in maximis periclitantem, cum iis qui eadem tecum senserint. Ego vero sacrosanctam almamque Trinitatem, Deum unicum, juro, me nec vivo divæ memoriæ imperatore, nec eodem mortuo, meditatum esse aut constituisse quidquam facere, quod non illi probatum fuisset, quantum scilicet ad imperatoria negotia attinuerit, non quidem adversus illius conjugem, neque etiam adversus juniorem imperatorem, eorum filium; neque honorem illum, quem mihi post imperatoris mortem propriis equis desilientes obvii quique tribuebant, de sententia mea mihi unquam, sed proprio quodam illorum **757** motu, delatum fuisse. Enimvero nihil non feci quovis tempore, meis etiam impensis, quo conservari eorum vita et salutis præsidium iis muniri posset. Non semper itaque, opinor, divina tacebit justitia, cum vestra in me et meos iniquitas eo proruperit; cum sanguinis tantum effusum sit; cum tot factæ sint, atque etiamnum fiant culpa vestra, barbaricæ incursiones; cum denique tot captivi noctu pariter et interdiu abducantur. Sed celeres a vobis et pares meritis pœnas persequetur, uti nimirum a cæteris, quos tacente me, sub oculis vestris, ut vos alienis cladibus eruditemini, divinum numen ferro absumpsit. Quod si mei causa tantam animo adversus omnes Christianos alitis immanitatem, et quovis ferro rigidiora corda geritis, omnis autem et moderatio et misericordia semel omnino e visceribus effluxit, testis esto primum quidem ille, a quo omnia perspiciuntur, pervigil Dei oculus: deinde fax ipsa solis, terrestrium omnium altrix; me, quod ad me attinebat, defensionem meam abunde probavisse, nec rationibus mihi pluribus opus esse. Omni igitur animi voluntate genua tua amplector, et per omnium rerum conditorem obsecro te, ne negligentia tua accidat, ut hæc nostra epistola oblivione aut alto silentio mersa obruatur; sed ut cum intimis ac necessariis tuis, cum viris intelligentibus eam communices. Ita quippe duorum alterum futurum est, ut aut melioris consilii auctores, quos sequare, habeas; **758** aut saltem eorum, quæ geruntur quæque accidunt, ipsi testes exsistant. »

V. Rubris ille litteris et propria manu cum epistolam longius produxisset, et multam in supplicando pusilli animi significationem dedisset, ut medio extremum responderet, orationem ibi ferme concludit. Nos vero quæ ad præsens institutum maxime pertinebant, inde excerpsimus, et eorum expositionem hoc loco, ita ut conveniens erat, edidimus.

A ται· σοὶ δ' ἔσται μετάμελος ἀνόνητος, αἰσχυνομένῳ καὶ κινδυνεύοντι περὶ τὰ μέγιστα, σύν γε δὴ τοῖς ταυτά σοι συμβουλευομένοις. Ὄμνυμι δέ σοι τὴν ἁγίαν καὶ ζωαρχικὴν Τριάδα, τὸν ἕνα Θεὸν, ὡς οὔτε ζῶντος τοῦ μακαρίτου βασιλέως, οὔτε θανόντος, μεμελέτηκα οὔτε βεβούλευμαι δρᾷν τῶν ἁπάντων οὐδέν, ὃ μὴ κατὰ γνώμην ἦν ἐκείνῳ, τῶν βασιλείων ἕνεκα πραγμάτων δηλαδὴ, οὔτε μὴν κατὰ τῆς ἐκείνου συζύγου, οὔτ' αὖ κατὰ τοῦ νέου βασιλέως κἀκείνων υἱέος· οὔθ' ἣν ἀπεδίδουν μετὰ τὸν τοῦ βασιλέως θάνατον βασιλικὴν ἔμοιγε τιμήν. ἐν ταῖς ὑπαντήσεσι τῶν οἰκείων ἀποβάντες ἵππων, τῆς ἐμῆς ἐτύγχανε γνώμης, ἀλλά τις ἰδιότροπος ἐκείνων ὁρμή. Ἐγὼ δὲ πάντ' ἔδρων ἀεὶ μετὰ τῆς οἴκοθεν δαπάνης, ὅσα συντήρησιν εἶχε τῆς τούτων ζωῆς, καὶ ἀσφαλείας σφίσιν ὑπῆρχεν ἀκρόπολις. Οὐ τοίνυν σιωπήσειν εἰς τέλος τὴν θείαν οἶομαι δίκην, τοσαύτης μὲν ῥαγείσης κατ' ἐμοῦ καὶ τῶν σὺν ἐμοὶ τῆς ἀδικίας ἐξ ὑμῶν, τοσούτων δὲ χυθέντων αἱμάτων, τοσούτων δὲ γενομένων καὶ γινομένων διὰ τὴν ὑμετέραν κακίαν ἐφόδων βαρβαρικῶν, τοσούτων δ' αἰχμαλώτων νύκτωρ καὶ μεθ' ἡμέραν ἀπαγομένων· ἀλλὰ ταχεῖαν καὶ ἀποχρῶσαν καὶ καθ' ὑμῶν ἐπαίσειν τὴν ἐκδίκησιν, ὥσπερ δῆτα καὶ κατὰ τῶν ἄλλων, οὓς ἔργον ξίφους, ἐμοῦ σιωπῶντος, ἐπεπράχει τὸ θεῖον πρὸ ὀφθαλμῶν ὑμῶν, ἵν' ὑμεῖς τοῖς τῶν ἄλλων κακοῖς παιδευθείητε. Εἰ μέντοι τοσαύτην ἐθρέψατε δι' ἐμὲ τὴν θηριωδίαν ἐν τῇ ψυχῇ κατὰ πάντων ἁπλῶς Χριστιανῶν, καὶ σιδήρου

B

C μὲν παντὸς σκληροτέραν ἐκτήσασθε τὴν καρδίαν, φειδὼ δὲ πᾶσα καὶ οἶκτος ἅπας καθάπαξ ἐῤῥύη τῶν σπλάγχνων, μάρτυς ἔστω πρῶτον μὲν ὁ τὰ πάντα βλέπων ἀκοίμητος ὀφθαλμὸς τοῦ Θεοῦ· δεύτερον δ', ἡ τὰ πάντα βόσκουσα τὰν γῆ λαμπὰς ἡλίου, ὡς τό γ' ἐμὸν παντάπασι μέρος ἀπολελόγημαι, καὶ πλειόνων οὐ δέομαι λόγων. Ἅπτομαι δ' οὖν καὶ τῶν σῶν γονάτων ἁπάσῃ προθέσει ψυχῆς, καὶ πρὸς τὸν ἁπάντων ὁρκίζω σε ποιητὴν, μὴ κατοκνήσαντι γένοιτό σοι τὴν ἡμετέραν ταύτην γραφὴν λήθης ἐκδοῦναι ῥοθίοις καὶ ἀφανείας πυθμέσι καλύψαι· ἀλλὰ κοινῶσαι φίλοις καὶ συγγενέσι, κοινῶσαι συνετοῖς ἀνδράσιν· ἵνα δυοῖν θάτερον, ἢ τὰ συνοίσοντα συμβουλεύσασι πείθεσθαι [P. 475] ἔχῃς, ἢ μάρτυρες γοῦν τῶν γινομένων τε καὶ ἀποβαινόντων εἶεν αὐτοί. »

D

E'. Ἐκεῖνος μὲν οὖν ἐρυθροῖς τε καὶ οἰκειοχείροις εἰς μῆκος ἐκτείνας γράμμασι τὴν ἐπιστολὴν (13), καὶ πολλῇ τῇ περὶ τὴν δέησιν σμικροπρεπείᾳ τοῦ ἤθους χρησάμενος, ἵνα τῷ ἄκρῳ τοῦ μέσου τύχῃ, τὸν λόγον ἐνταῦθά που κατέπαυσεν. Ἡμεῖς δὲ, τἀναγκαιότερα τῆς προθέσεως ἐκεῖθεν ἐρανισάμενοι, τὴν προσήκουσαν ἐξεθέμεθα δήλωσιν ἐνταυθοῖ.

CAPUT IV.

Patriarcha minore tandem fastu respondet. Sese et Cantacuzenum partim excusat, partim damnat. Rebus lapsis succurrendum censet. Pacem suadendo Annam effendit. Hujus in Cantacuzenum et Irenen odium,

Variorum notæ.

(13) More imperatorum Constantinopolitanorum, de quo diximus ad Alexiadem Annæam, pag. 253 Notarum. DUCANG.

ex zelotypia natum; fons malorum omnium. Patriarchæ tamen et totius curiæ Byzantinæ gravior quam Annæ culpa.

Α'. Τῷ γε μὴν πατριάρχῃ ταῦτα ἀκηκοότι, οὐχ Α οἵαν κατὰ τῶν πρὶν πεμπομένων, τοιαύτην κἀνταῦθα τὴν ὀφρὺν ἐπεδείξατο· ἀλλ' ἐς τὸ σωφρονέστερον τὴν διάθεσιν τῆς ψυχῆς ὑπὸ τῶν τοῦ χρόνου κυμάτων πεπεισμένος τρέπειν τοιάδε τινὰ ἀπεφθέγξατο·

I. His patriarcha auditis, non eodem fastu has litteras excepit, quo superiores; sed suadente illius temporis perturbatione, animi sui sententiam ad meliorem frugem revocavit, et sic ferme locutus est:

Β'. « Ἀμφοτέροις (φησὶν) εἰκότως ἄν τις ἐπιτιμήσειε, Καντακουζηνῷ τε κἀμοὶ, ἀνθρωπίνως διατεθεῖσι πρὸς τὴν παροῦσαν σπουδήν, καὶ μηδὲν ὑψηλότερον ἐννοεῖν βουληθεῖσιν, ὡς εἰ μὴ κἂν τὰ τῆς ἄνωθεν συνεπιλαμβάνοι προνοίας, μάταιος πᾶσα καθάπαξ εἰπεῖν τῶν ἀνθρώπων σπουδή. Ὅθεν ὀψὲ, μετὰ μακρὰν καὶ δριμυτέραν τὴν πεῖραν, τὸ δέον μανθάνειν ἀρχόμεθα, ὅτε δυσχερὴς ἡ τῶν σφαλμάτων ἐστὶ διόρθωσις. Ὁ μὲν γὰρ εἰς τὸν βασιλέα Μιχαὴλ τὸν Παλαιολόγον τὴν μνήμην ἀνενεγκών Β ἐμέμψατο τὴν εἰς τὸν τοῦ τελευτήσαντος βασιλέως υἱὸν ἀδικίαν καὶ τὴν τοῦ βασιλείου (14) κράτους τυραννικὴν ἀντίληψιν· καὶ βέλτιον ἢ κατ' ἐκεῖνον εἰς τὴν τοιαύτην καὶ αὐτὸς ἐληλυθέναι βεβουλημένος ἐγχείρησιν, αὐτὸς μὲν ὑπούλως καὶ μετά τινων ἀπατηλῶν καὶ σεσοφισμένων προφάσεων, τὸ βασίλειον περιζώσασθαι κράτος βεβούλευται· τὸν δὲ τοῦ τετελευτηκότος υἱὸν βασιλέως εἰληφέναι γαμβρὸν ἐπὶ θυγατρὶ πρὸς διαδοχὴν τῆς βασιλείας· πρᾶγμα δικαιότερον ἴσως καὶ ἥμερον, καὶ πάσης μέμψεως ὑπερόριον ἔχον τὸν πόδα. Οὗ κατὰ βούλησιν θείαν οὐκ ὄντος, ὡς ἔοικε, συνεπεπτώκει κἀμὲ πρὸς ἐπισφαλεῖς διανοίας τὸν νοῦν ἀγαγεῖν, καὶ πολέμιον ἰσχυρὸν τοῖς ἐκείνου τοιούτοις βουλεύμασι κατα- C στῆναι, ἀναμνησθέντα τῆς τοῦ τηνικαῦτα πατριαρχεύοντος Ἀρσενίου νωθρότητος· δι' ἣν, ὡς ἡμῖν γε νενόμισται, ἐπιορκίαι ποικίλαι τε καὶ φρικώδεις προὔβησαν, [P. 476] καὶ τὰ τῆς τότ' ἀδικίας ἐπὶ τὸ μέγιστον προκεχωρήκει· ὡς ἐκεῖθεν τῆς τοῦ θεοῦ σφοδρῶς ἐκκαυθείσης ὀργῆς, τὰ μέγιστα κατὰ Ῥωμαίων βλαστῆσαι κακὰ, καὶ μακροὺς κακοδαιμονίας ἐγερθῆναι κατὰ τῶν κοινῶν πραγμάτων καὶ βιαίους κλύδωνας ἄχρι καὶ ἐς τὴν τήμερον. Ἦμην γὰρ, ὡς εἰ ζῶσαν ἔχων ἐκεῖνος τότε ψυχὴν ἀνθίστατο τοῖς ἐκείνου περὶ τῆς βασιλείας βουλεύμασί τε καὶ πράγμασιν, ἥκιστ' ἂν δήπου τοσαῦτα κατὰ Ῥωμαίων ἐκέχυτο τὰ δεινά. Ὅθεν τὴν τότε προσήκουσαν μὲν θεραπείαν, ἥκιστα δὲ γενομένην, ἐν τοῖς νῦν καιροῖς καὶ πράγμασιν ἐπιδείκνυσθαι θέλων αὐτὸς, καὶ πο- D λύν τινα τὸν τῦφον καὶ τὴν ὀφρὺν ἐπισυρομένους ὑρέψας λογισμοὺς, ἁπάσῃ προθέσει ψυχῆς εἰς τὸν κατὰ τοῦ Καντακουζηνοῦ διανέστην πόλεμον, λαμπράς τινος δῆθεν προφάσεως ἔχων ἐφόδια πρὸς διέγερσιν, τά τε ἄλλα καὶ ὅπως ἐκ τοῦ παραχρῆμα πρὸς ὑπεροψίαν ἤθους ἑαυτὸν μετεσκεύασε, καὶ ὁμοῦ κἂν ταῖς τῶν οἰκείων ἐπιστολῶν ἐπισημασίαις τὸ σύνηθες δοῦλον ἀπείπατο, ἀφαιρούμενος ἀντικρὺς Ἄννης τῆς βασιλίδος καὶ τοῦ ταύτης υἱοῦ τὴν

II. « Ambobus, inquit, merito quispiam succenseat et Cantacuzeno et mihi, qui nos, ut humanum erat, in præsenti negotio gessimus, ac non altiora quædam cogitare voluimus; inanem videlicet esse omnem omnino hominum diligentiam, nisi et cœlestis adsit Providentia. Unde fit, ut sero, post longam et acerbam experientiam, quid expediat tum intelligere incipiamus cum difficile est nostris mederi erratis. Etenim hic, cum ad imperatorem Michaelem Palæologum animum retulisset, eum, quod imperatoris defuncti filium affecisset injuria, ac tyrannice in summam potestatem invasisset, improbavit; et honestius quam ille eadem aggredi volens, sibi quidem subdole, captiosis quibusdam et commentitiis rationibus allegatis, imperatoriam auctoritatem **759** arrogare, mortui autem imperatoris filium generum et imperii successorem adsumere decrevit: id quod justius fortasse benigniusque, et extra omnem reprehensionem positum erat. Sed quia alia, ut videtur, Dei voluntas fuit, eo factum est, ut et ipse ad incautas cogitationes animum appellerem, et hisce illius consiliis hostem me acerrimum opponerem, cum Arsenii, qui patriarcha illis temporibus fuit, socordiam animo reputassem, per quam effectum, meo quidem judicio, ut in varia horrendaque perjuria iretur, et ea quæ tum exstitit injuria progrederetur longissime; ita ut, numine gravi ira accenso, maxima inde in Romanos pullularint mala, magnæque in rempublicam calamitates et violenti ad hodiernam usque diem fluctus proruperint. Putabam enim, si is, animo acri et vivido præditus, illius tunc de imperio invadendo consiliis molitionibusque obstitisset, minime utique tot mala redundatura in Romanos fuisse. Medicinam igitur, quæ tum opportuna quidem erat, sed neutiquam facta est, cum ipse hoc tempore atque hoc rerum statu vellem adhibere, et cogitationes animo alerem plenas fastus et arrogantiæ, omni studio ad persequendum bello Cantacuzenum erexi me; speciosas videlicet quasdam causas, quibus tanquam irritamentis uterer, tum alias habens, tum maxime, quod ingenium suum ille ad superbiam repente traduxisset, ac in propriis epistolis obsignandis usitatum subditis morem **760** abdicasset, atque adeo ab imperatrice Anna et ab ejus filio supremam potestatem palam auferret. Quamobrem uterque nihil aliud fecimus, nisi totas penitus Ro-

Variorum notæ.

(14) Vide supra lib. IV, cap. 4. Boivin.

manorum vires attrivimus, et si qua forte bonæ spei scintillula in rebus reliqua esset, eam funditus sustulimus. Eos enim, qui omnia ad humanam industriam imprudentes referunt, eo calamitatis devolvi nihil mirum; imo maxime congruit cum divina Providentia; cujus est hic scopus, ut humani animi arrogantiæ frenum certum injiciat, et per ipsam rerum experientiam evidens ad posteros documentum aperte transmittat. Nobis itaque id plane usu venit, quod vulgari proverbio dici solet: Camelum cornua appetentem etiam auribus orbatam esse. Nam et ipsi cum ampliorem dignitatem fortunamque appeteremus, et occasionem utrique Romanos limites promovendi oblatam nobis putaremus, etiam iis, qui tum erant, dejecti sumus; iidemque ex opulentis inopes, ex illustribus viles et inglorii evasimus. Quæ igitur oportebat nos et providere et facere publicæ utilitatis causa, antequam lapsi essemus, ea sero saltem, ac postquam lapsi sumus, facere æquum est ac providere: ne et piscatoribus illis stultiores esse videamur, quibus quæ facienda fuerint sentire tunc subit, cum inflicta est plaga. »

III. Hæc patriarcha cum et animo agitasset et ore pronuntiasset, dictis ad persuadendum accommodatioribus Annam subibat, eique ut sententiæ suæ accederet persuadere conabatur. Satius nempe esse dictitabat, pace cum Cantacuzeno sponte facta, partis potiri melioris, quam ubi ab **761** invitis omnia ablata essent, ne minimam quidem posse partem sine lacrymis propriam habere. At Anna imperatrix moleste admodum hæc ferens eum, qui suasor esset, insidiatorem vocitare, et totis viribus hominem conspectu suo procul amovere. Et hæc fuit origo ac primum fundamentum offensionis, quæ Annam inter et patriarcham intercessit.

IV. Ex quo enim zelotypia tenebatur, quam illa affectionem malam in Cantacuzenum imperatorem et imperatricem Irenen impendio alebat, ne primis quidem auribus audire unquam sustinuerat verbum ullum de reconciliandæ cum iis gratia. Sed ipsi libido quædam flagrans et mirum erat oblectamentum, omnia et maledicta et fœda in eos probra subinde jacere, aut alios audire maledicentes. Id evidentem et manifestam omnibus brevi effecit totius mali primam radicem, quæ et civili bello originem dedisset, et ad extremum usque perstitisset rem Romanam atterere atque labefactare. Nimirum ea erat Annæ imperatricis zelotypia et malignitas, uti nos supra sæpe diximus, quam illa Romanæ felicitati palam prætulit, et cujus explendæ causa totum imperium prodidit.

ἡγεμονικὴν ἐξουσίαν. Διὸ καὶ πεπράχαμεν ἄμφω πλέον οὐδέν, ἢ πᾶσαν ἐκτρίψαι Ῥωμαίων ἁρδὴν ἰσχύν, καὶ μέχρι θεμελίων αὐτῶν καθελεῖν, εἴ τί που χρηστῶν ἐλπίδων τοῖς πράγμασι λέλειπται ζώπυρον. Τοῖς γὰρ ἀνθρωπίναις ἀναρτῶσι τὸ πᾶν ἐπινοίαις ἐξ ἀβουλίας ἐς τοιαύτας κατενηνέχθαι κῆρας οὐδὲν ἀπεικὸς ὅτι μὴ καὶ τῷ θείῳ μάλα προπῆκον σκοπῷ, χαλινὸν μὲν ἐπιτιθέντι σαφῆ τῇ τῶν ἀνθρωπίνων λογισμῶν αὐθαδείᾳ, διδασκαλίαν δ' ἐναργῆ διὰ τῆς τῶν πραγμάτων πείρας περιφανῶς τοῖς ἐφεξῆς; αἰῶσι παραπέμποντι· ὡς ἡμῖν τὰ τῆς παροιμίας ἄντικρυς συμβαίνειν ἐκείνης, ἣ κάμηλος (λεγούσης) ἐπιθυμιάσασα κεράτων καὶ τὰ ὦτα προσαπώλεσεν (15). Ἐπιθυμιάσαντες γὰρ καὶ αὐτοὶ δόξης καὶ τύχης μείζονος, καὶ καιρὸν ἔχειν ἑκάτερα δόξαντες ἐκτεῖναι τοὺς τῶν Ῥωμαίων ὅρους, καὶ τῶν ὄντων ἐξέστημεν· κἀκ πλουσίων πένητες, κἀξ ἐνδόξων ἄδοξοι γεγενήμεθα. Ἃ τοίνυν ἐχρῆν ἡμῖν καὶ διανοεῖσθαι καὶ δρᾷν ὑπὲρ τοῦ κοινῇ συμφέροντος, πρὶν ἢ παθεῖν, ὀψὲ γοῦν, μετὰ τὸ παθεῖν, ἄξιον καὶ διανοεῖσθαι καὶ δρᾷν· ἵνα μὴ καὶ τῶν ἁλιέων ἐκείνων ὦμεν χείρους, οἷς μετὰ τὸ πληγῆναι (16) τὴν τῶν καθηκόντων προσγίνεσθαι ἔπεισιν αἴσθησιν. »

Γ'. Ταῦτα διανοηθεὶς καὶ φθεγξάμενος ὁ πατριάρχης λόγοις πιθανωτέροις ὑπῆει καὶ ἐπεχείρει πείθειν συνθέσθαι καὶ τὴν βασιλίδα Ἄνναν. [P. 477] Εἶναι γὰρ ἔφασκε βέλτιον, ἐκόντας Καντακουζηνῷ σπεισαμένους, τὴν κρείττω μοῖραν καρποῦσθαι, πρὶν ἀφαιρεθέντας ἅπαντα οὐχ ἑκόντας μηδὲ τῆς ἐλαχίστης ἀδακρυτὶ κληρούχους εἶναι δύνασθαι. Πρὸς ταῦτα δυσχεράνασα λίαν ἡ βασιλὶς ἐπίβουλον ἐκάλει τὸν σύμβουλον, καὶ ὅλαις παλάμαις πόρρω που τῶν ὀφθαλμῶν ἐώθει τὸν ἄνθρωπον. Αὕτη σκανδάλων ἀρχὴ καὶ κατάστασις πρώτη κατὰ τοῦ πατριάρχου τῇ βασιλίδι καθίσταται.

Α'. Ἀφ' οὗ γὰρ τὸ τῆς ζηλοτυπίας αὐτὴν κατέσχε πάθος, ὃ κατὰ τοῦ βασιλέως Καντακουζηνοῦ καὶ τῆς βασιλίδος Εἰρήνης εἰς τὸ δαψιλέστερον ἔθρεψεν, οὐδ' ἄκροις ὠσὶν οὐδαμῆ ποτ' ἠνείχετο λόγον ἀκούειν ὑπὲρ ἐκείνων συμβατικόν. Ἀλλ' ἦν αὐτῇ διάπυρος ἔρως καὶ ξένον ἐντρύφημα, λοιδορίας ἀπάσας καὶ βλασφημίας ὀσίμνους κατ' ἐκείνων καὶ λέγειν ἀεὶ, καὶ λεγόντων ἄλλων ἀκούειν. Τοῦτο περιφανῆ καὶ κατάδηλον πέπραχε πᾶσιν ἐν βραχεῖ τῆς ὅλης κακίας τὴν ῥίζαν, ὅθεν καὶ ἡ τῆς ἐμφυλίου μάχης ἐβλάστησε πρόφασις, καὶ ὅπως εἰς τέλος παρέμεινε δαπανῶσα καὶ φθείρουσα τὰ Ῥωμαίων πράγματα. Ἦν δ' ἡ τῆς βασιλίδος Ἄννης ζηλότυπος καὶ χαιρέκακος γνώμη, καθάπερ ἡμῖν ἐν τοῖς ἀνωτέρω (17) πολλάκις εἴρηται λόγοις· ἧς τὴν Ῥωμαίων ἠλλάξατο προδήλως εὐδαιμονίαν αὕτη, καὶ δι' ἣν τῶν ὅλων προδότις πραγμάτων ἐγένετο.

Variorum notæ.

(15) Apostolius centur. IX, proverb. 70. BOIVIN.

(16) Apostolius centur. II, proverb. 53, et centur. XIII, proverb. 98. BOIVIN.

(17) Lib. XIV, cap. 3, sect. 9. BOIVIN.

Ε'. Οὐ τοσοῦτον δ' οἶμαι νεμεσήσῃ ἄν τις αὐτῇ, μὴ δυνηθείσῃ διαβλέψαι καὶ διακρῖναι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, γυναικί τε οὔσῃ καὶ ἀλλοφύλου τροφῆς καὶ διαίτης ἡλικιώτιδι, καὶ ἅμα μὴ δυναμένῃ παντάπασιν ἀνανῆψαι τοῦ τῆς ζηλοτυπίας πάθους, ὅσον αὐτῷ τε πατριάρχῃ καὶ συγκλήτῳ πάσῃ καὶ γερουσίᾳ τοσαύτῃ, τῇ παραλόγῳ ταύτῃ καθάπερ ἀνδράποδα πειθομένοις ἐξουσίᾳ, κύβον τ' ἀναρρίψαι τοσοῦτον καὶ πρὸς ἕνα λαθόντας ἐθελοντὰς ῥιφῆναι κίνδυνον, καὶ κοινὸν ἀλλήλοις γενέσθαι δυστύχημα καὶ ναυάγιον. Ἀλλὰ ταῦτα μὲν ἐν τούτοις ἦν· καὶ ἡ τῶν τῆς βασιλίδος Ἄννης κατὰ τοῦ πατριάρχου σκανδάλων πρόφασις ἐκ τοιούτων σπινθήρων ἀναρριπίζεσθαι πρὸς αἰθερίας φλόγας ἔσχε τὴν ἀρχήν. A

V. Minus tamen, opinor, aliquis ei succenseat, utpote quæ meliora distinguere et secernere a pejoribus non potuerit; cum et mulier esset, et educatione ac vivendi genere peregrino per omnem ætatem instituta esset, simulque haud posset omnino a zelotypiæ labe ad sanitatem emergere; quam et ipsi patriarchæ, et curiæ omni, et tot senatoribus, qui **762** veluti mancipia potestati illi insanienti adeo obsecuti sunt, ut aleam ejusmodi jacerent, et ultro in unum omnes discrimen imprudentes inciderent, sibique invicem commune infortunium atque naufragium exsisterent. Sed hæc quidem eo erant redacta; semenque illud fuit offensionum, quæ Annam inter ac patriarcham exortæ sunt; et ab hisce scintillis ducto initio, B ad æthera usque ventilatum est incendium.

CAPUT V.

Cantacuzenus Selybriam in deditionem accipit. Orestiade ab Hierosolymitano patriarcha coronatur. Byzantium clandestinis molitionibus conatur invadere. Hyrcanum, Bithyniæ satrapam, generum adsumit. Anna quoque Persica auxilia arcessit. Barbari acciti prædas agunt. Captivorum ingens numerus. Animus Augustæ durus et immitis. Persæ Romanos viæ socios ac duces dari sibi frustra postulant. Pace cum Cantacuzeno facta domum redeunt. De cometa, qui superiore anno apparuerat.

[P. 478] Α'. Ὁ δὲ Καντακουζηνὸς, ἀπογνοὺς τὴν ἐντεῦθεν εἰρήνην, ἑτέρας ἐπεχείρησε τέμνειν αὖλακας ἐννοιῶν τε καὶ πράξεων. Καὶ πρῶτον μὲν σπεύσας εἷλε Σηλυβρίαν καθ' ὁμολογίαν, ἐν ᾗ καὶ πύργον εἰς ἀκροπόλεως ἀσφάλειαν ᾠκοδομήσατο πάνυ τοι ὀχυρόν. Ἔπειτ' ἀπιὼν εἰς Ὀρεστιάδα καὶ συνηθροικὼς τούς τε κατὰ Θράκην ἐπισκόπους, καὶ ὅσοι φυγάδες ἐκ Βυζαντίου γενόμενοι συμπαρῆσαν αὐτῷ, βασιλικὴν περιτίθησι τῇ κεφαλῇ ταινίαν (18), κατὰ τὸ πάλαι κεκρατηκὸς τοῖς βασιλεῦσιν ἔθος, τῇ τοιαύτῃ πανηγύρει διακονησαμένου C τοῦ τῶν Ἱεροσολύμων πατριάρχου (19). Ἔτυχε γὰρ καὶ αὐτὸς μετὰ τῶν ἐκ Βυζαντίου φυγάδων ἐκεῖ τηνικαῦτα παρών. Ἔπειτα κραταιότερον ἐπέθετο Βυζάντιον ἑλεῖν ταῖς κρύφα συσκευαῖς καὶ ἐπιβουλαῖς.

I. Cantacuzenus vero, abjecta pacis in se habendæ spe, alia cœpit et consilia et facta animo designare. Ac primo quidem cum accelerasset, Selybriam in deditionem accepit; in qua et turrim, tutandæ arcis causa, munitissimam exstruxit. Deinde Orestiadem profectus, convocatisque Thraciæ episcopis, et iis omnibus, qui Byzantio egressi apud ipsum exsules aderant, imperatorium capiti diadema imponit, recepto jam inde antiquitus principum more, ministro illius celebrationis Hierosolymorum patriarcha. Forte enim et ipse tunc cum iis, qui Byzantio exsulabant, illic aderat. Ex eo enixius incubuit ad capiendum clandestinis molitionibus et insidiis Byzantium.

Β'. Διὸ καὶ τὸν τῆς Βιθυνίας σατράπην Ὑρκανὸν (20), μεγίσταις δωρεαῖς τε καὶ ὑποσχέσεσι τῆς βασιλίδος Ἄννης ὁρῶν ὑποκλίνειν σκεπτόμενον, καὶ ἅμα συννοῶν, ὡς τὰ μέγιστα σφῆλαι δύναται πᾶσαν ἣν ἂν οὗτος ἐπιβάληται δρᾶν κατὰ Βυζαντίων ἐγχείρησιν, γειτων τε ὢν ἐγγύτατος καὶ τῇ δυνάμει τοὺς κατ' αὐτὸν ἤδη Περσικοὺς ὑπεραίρων σατράπας (21), τῶν ἀναγκαίων ἐνόμισεν, ἀγαγέσθαι γαμβρὸν ἐπὶ τῇ θυγατρὶ Μαρίᾳ (22), πάλαι τοῦτο ζητοῦντα σὺν σφοδρῷ καὶ φλέγοντι τῷ πόθῳ, καὶ πρὸς τοὺς ἐσχάτους ἐλάσαι κινδύνους, εἰ μὴ τῆς ἐρωμέ- D

II. Quamobrem et Bithyniæ satrapam Hyrcanum cum a l imperatricis Annæ dona et promissa maxima animo inclinantem videret, simulque intelligeret, posse eum, quæcunque ipse adversus Byzantios esset conaturus, maxime labefactare, quod is et proximus esset vicinus, et potentia Persicos jam illius temporis satrapas anteiret, necesse esse sibi duxit **763** eum generum adsumere, Maria filia in matrimonium ei data, id jampridem vehementer cupienti et ardentissime optanti, et nisi virginæ amata potiretur, extrema pericula illatum se atrociter

Variorum notæ.

(18) Cantacuz. lib. III, cap. 112 init. ubi diem notat festum SS. Constantini et Helenæ matris, XII Kal. Junii. DUCANG. —*Βασιλικὴν περιτίθησι* κ. τ. λ. Bene se Maio. Vide Cantacuz. lib. III, cap. 95. BOIVIN.

(19) Lazarum vocat ibid. Cantacuzenus. DUCANG.

(20) Qui Ὀρχάνης dicitur Cantacuzeno lib. III, cap. 95, ubi has nuptias describit, Otomani primi Turcorum hodiernorum auctoris filius, ut scribit Laonicus lib. I, ubi et harum nuptiarum meminit pag. 12. DUCANG.

(21) Τοὺς κατ' αὐτὸν σατράπας interpretor *sui temporis satrapas*. Erunt fortasse qui malint *sui generis satrapas*, vel *vicinos satrapas*. BOIVIN.

(22) Hic errat Gregoras. Nam Theodoram ipsemet vocat Cantacuzenus non semel, ut et alii. Mariam vero primogenitam duxerat Nicephorus Angelus Acarnaniæ despota. Vide stemma Cantacuzenicum in *Famil. Byzant.* pag. 261. DUCANG.

minitanti. Nec enim par erat, cum, qui tam procul degeret, teneræ admodum venustæque et nalalibus claræ virginis amatorem esse ex sola auditione, virum barbarum et ætate provectum. Cum itaque Cantacuzenum videret in certamen vitæ tum descendentem, adesse sibi tempus existimavit incumbendi vehementius petitioni. Nunc igitur auxiliorum spe demulcens, nunc terrificans minis (etenim ad summas opes emerserat, et imperium longe florentissimum maximumque in Asia habebat, magna armorum exercitumque Persicorum copia circumseptus), voti compos brevi factus est, statimque Annæ imperatrici societatem renuntiavit. Metuendus inde ac prævalens esse cœpit Cantacuzenus.

III. At imperatrix Anna, cum id quod actum erat ægre ferret, et quidquid spei inde affulserat abjecisset, alio se convertit, et muneribus quamprimum ad eos satrapas, qui apud Philadelphiam versabantur, pinguioribus missis, Caras, Lydos et Ionas convocavit, et quidquid lectorum ibi equitum Persarum esset. Atque interea ver efluxit.

IV. Sole autem recens ab æstivo solstitio sese convertente, Persicæ illæ vires, quæ sex ferme hominum millibus constabant, trajecto Hellesponto, Mysorum prædam omnia inde Byzantium usque pervadendo effecere, nullo discrimine, utriuscunque ditionis essent ea, quæ occurrebant, et eamdem omnium lucri faciendi causa rationem habentes. Postquam autem omni numero majorem captivorum et manubiarum vim secum trahentes pro muris Byzantinis consedere, ab imperatrice Anna humanissime et perbenigne excepti sunt, nolente scilicet eorum quæ gerebantur sensum ullum accipere, ac ne minimam quidem misericordiam capiente magnæ illius cladis et communis captivorum sociserationis, quæ ad cœli usque convexa ferebatur et omnium ferme Byzantiorum aures feriebat, omnesque oculos cogebat lacrymarum fontibus scaturire : tum maxime cum catenis tanquam monilibus obtorto collo, miseros Barbari ad urbis portas deducerent, et verberibus crebris ferirent, cæderent, vulnerarent, ut grandi deinde pecunia eos redimerent. Hæc inter omnino illa immisericors manebat, et iis, quæ fierent, tanquam deliciis frui videbatur. Nimirum peregrina cum esset, simulque animum a natura accepisset indolis durioris, omnibus pariter infensa erat Romanis, et in quoslibet, cujuscunque conditionis essent, grassabatur.

V. Sed cum illi Romanos milites dari sibi peterent, qui adversus hostes præituri viæque et pugnæ duces exstituri forent, et horum magna quæ-

νης ἐπιτυχὴς γένοιτο, σφοδρῶς ἀπειλοῦντα. Οὐ γὰρ ἦν που τῶν εἰκότων, ὡς πορρωτάτω που διαιτώμενον, πάνυ τοι νέας οὔσης καὶ εὐπροσώπου τῆς κόρης καὶ γένους εὐδαίμονος, ἱραστὴν ἐκ μόνης γενέσθαι τῆς ἀκοῆς, ἄνδρα παρηβηκότα καὶ βάρβαρον. Ἐπειδὴ τοὺς περὶ ψυχῆς ἑώρα τὸν Καντακουζηνὸν ἀγῶνας τέως σταδιοδρομοῦντα, καιρὸν ἔχειν ᾠήθη, κραταιότερον ἐπιθέσθαι τῇ ζητήσει. Διὸ καὶ νῦν μὲν ταῖς τῆς συμμαχίας ὑποσαίνων ἐλπίσι, νῦν δὲ ταῖ ἀπειλαῖς περιδεᾶ καθιστῶν (ἦν γὰρ εἰς πλοῦτον ἐληλακὼς βαθὺν καὶ σφόδρα πολυτελῆ, καὶ μεγάλην ἔχων ἀρχὴν ἐν Ἀσίᾳ, καὶ πολλὴν περιβεβλημένος δύναμιν ὅπλων καὶ στρατῶν Περσικῶν), οὐκ εἰς μακράν γε ἐτετυχήκει τοῦ ποθουμένου, καὶ τὰς τῆς βασιλίδος [P. 479] Ἄννης σπονδὰς εὐθὺς ἀπείπατο. Καὶ ἦν ἐντεῦθεν φοβερός τις καὶ ἄμαχος Καντακούζηνός.

Γ'. Ἀχθεσθεῖσά γε μὴν ἡ βασιλὶς Ἄννα τῷ γεγονότι καὶ ἀπογνοῦσα τῶν ἐκεῖθεν ἐλπίδων ἐφ' ἑτέρας ἐτρέπετο· καὶ δῶρα τὴν ταχίστην δαψιλέστερα πέμψασα τοῖς περὶ Φιλαδελφίαν σατράπαις (23) Κᾶρας καὶ Λυδοὺς συνήθροισε, καὶ Ἴωνας, καὶ ὅσοι τῶν ἱππέων ἦσαν ἐκεῖθεν ἐπίλεκτοι Περσῶν. Καὶ τὸ ἔαρ ἐν τούτοις ἐτελεύτα (24).

Δ'. Ἄρτι δὲ τοῦ ἡλίου τὰς θερινὰς ποιουμένου τροπὰς, τὸν Ἑλλήσποντον ἡ Περσικὴ διαπεραιωσαμένη δύναμις αὕτη, εἰς ἓξ χιλιάδας ἔγγιστά που τὸν ἀριθμὸν ἀναφέρουσα, λείαν Μυσῶν τὰ ἐκεῖθεν ὄχρι καὶ ἐς Βυζάντιον ἐπιπορευομένη πάντα πεποίηται, μηδὲν διακρίνουσα, ὁπότερα εἴη τὰ ἓν ποσὶν αὐθεντίας· ἀλλ' ὁμοῦ πάντα κέρδους ἕνεκα λογιζομένη χρήματα. Ἐπεὶ δὲ ξύν γε τῷ πάντ' ἀριθμὸν ὑπερβαίνοντι πλήθει τῶν αἰχμαλώτων καὶ τῶν λαφύρων ἐκείνων πρὸ τῶν τοῦ Βυζαντίου τειχῶν ἰόντες ηὐλίσαντο, πολλῆς τῆς δεξιώσεως καὶ φιλοφροσύνης ἠξίωνται πρὸς τῆς βασιλίδος Ἄννης, μηδαμῇ τῶν πρασσομένων αἰσθάνεσθαι βουλομένης, μηδ' οἰκτον γοῦν τινα βραχὺν λαμβανούσης ὁπωσοῦν τοῦ μεγίλου πάθους ἐκείνου καὶ τῆς κοινῆς τῶν αἰχμαλώτων χραυγῆς, ἣ μέχρι τῶν αἰθερίων ἀψίδων ἀναφερομένη μικροῦ πᾶσαν ἐξέπληττεν ἀκοὴν Βυζαντίων καὶ πάντας ἠνάγκαζεν ὀφθαλμοὺς ἀφιέναι δακρύων πηγάς· καὶ μάλιστ' ὅτε δίκην ὁρμαθῶν ἀλύσεσι δεδεμένους ἐκ τῶν τραχήλων κομίζοντες τοὺς ἀθλίους οἱ βάρβαροι παρὰ τὰς τῆς πόλεως πύλας συχναῖς ταῖς μάστιξιν ἔπαιον, ἔπληττον, ἐτίτρωσκον, πολυταλάντου πράσεως ἕνεκα. Ἐφ' οἷς ἀμείλικτος ἔμενε τὴ παράπαν αὐτῇ, καὶ ὥσπερ ἐπεντρυφῶσα τοῖ γινομένοις. Ἅτε γὰρ οἶμαι ἀλλόφυλος οὖσα, καὶ ἅμα τὴν τῆ γνώμης ἕξιν σκληροτέραν ἐκ φύσεως ἐσχηκυῖα, πᾶσιν ὁμοίως ἦχθετο Ῥωμαίοι, καὶ κατὰ πάσης ἁρδὴν ἐχώρει τύχης.

Ε'. Ἐπεὶ δ' ἐκείνων ζητούντων τοὺς ἐπὶ τοὺς πολεμίους ἄξοντας, καὶ ἡγεμόνας ἐσομένους τῆς ὁδοῦ καὶ τῆς μάχης, στρατιώτας Ῥωμαίων πολλή τις

Variorum notæ.

(23) Sarchanem Philadelphiæ satrapam ab Anna evocatum scribit Cantacuz. lib III, cap. 96. DUCANG.

(24) Anno 1347. DUCANG. — Imo anno 1346. BOIVIN.

ἦν ἀπορία καὶ σπάνις, καὶ οὐδ' εἰς τὴν τοῦ Βυζαντίου φρουρὰν ἀρκέσειν ἔμελλον τοὺς ἐν ὅπλοις τηνικαῦτα παρόντας, ἀναστρέψαντες πάντα τε ἐδῄωσαν τὰ τοῦ Βυζαντίου προάστεια μέχρι Σηλυβρίας, κἀκεῖ σπεισάμενοι τῷ Καντακουζηνῷ καὶ δῶρα πρὸς ἐκείνου λαβόντες, ὁπόσα εἰκός, διεπεραιώθησαν οἴκαδε. μήτε μὴν οὗ χάριν ἐκλήθησαν καὶ πᾶν τοὐναντίον δράσαντες. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

A dam esset penuria atque paucitas, ac ne ad Byzantium quidem tutandum satis futuri esse viderentur ii qui tum in armis erant, conversi retro omnia Selybriam usque Byzantii **765** suburbia vastavere : atque ibi pace cum Cantacuzeno facta, muneribusque ab eo, quæ et quot par erat, acceptis, domum trajecere, nihil eorum, quorum causa accessiti erant, sed alia plane exsecuti. Et hæc quidem in hunc modum gesta sunt.

Γ'. Πρόῃγε μὴν τοῦ ἐνιαυτοῦ τούτου, κατ' αὐτὰς τοῦ Ὠρίωνος τὰς ἐπιτολάς, [P. 480] ἤρξατο φαίνεσθαι ξιφίας ἐν οὐρανῷ, περὶ τὴν κεφαλὴν τῆς Ἑλίκης τὰ πρῶτα· ἐκεῖθεν ἐπὶ τὸν ζωδιακὸν ὁσημέραι ποιούμενον τὴν πορείαν ἧκε περὶ τὰ τέλη τοῦ Λέοντος, ὅπη καὶ τὰς ἡλίου πορείας ἔτυχε τηνικαῦτα γίγνεσθαι, κἀκεῖ διελύθη. Καὶ εἶναι Ῥωμαίων καὶ τοῦτο τοῖς πράγμασιν ἔδοξεν ἥκιστα πάνυ χρηστὸς εἰκών.

VI. Anno superiore, in ipso Orionis ortu, cœperat cometes ensis specie in cælo apparere, circa Helices caput primo, atque inde ad zodiacum quotidie iter flectere, donec ad Leonis postremam partem accederet, ubi et sol ipse tum versabatur, ibique evanesceret. Et esse illud quoque visum est minime faustum rei Romanæ augurium.

CAPUT VI.

Nobiles Genua exacti, classe instructa, Chium improviso adoriuntur. Chii se et mœnia sua strenue defendunt. Commeatu interclusi dedunt se hostibus. Idem et Phocæenses faciunt. Phaccolatus imperatorias triremes armat. Duas Latinorum naves capit. Galatæi, ea re offensi, ab advehendo frumento statim abstinent. Receptis rebus suis, redeunt in gratiam cum Byzantiis. Phaccolatum minis terrent, qui idcirco stipatores circa se habere cogitur.

Α'. Τοῖς δ' ἐκ Γενούας ὑπὸ Τοΐζου (25) τοῦ νέου δουκὸς ἐξωσθεῖσιν ἐκείνοις Λατίνοις διὰ τὸ τοῦ τρόπου τυραννικώτερον, ὡς εἰρήκειμεν, ἐπειδὴ πλούτῳ καὶ δόξῃ τῶν πολλῶν διαφέρειν ἐνῆν, ἄδοξόν τι καὶ ἀγεννὲς ἐδόκει, πλανήτην ἐπὶ μακρὸν οὕτωσὶ βίον τρίβειν ἀπόλιδάς τε καὶ ἀνεστίους. Ὅθεν τριήρεις κατασκευάσαντες ἐγγὺς που τριάκοντα ἐς Χίον τὴν νῆσον (26) ἐξαίφνης κατέπλευσαν, μηδαμῇ τῶν Χίων τὸν τοιοῦτον προεγνωκότων ἐπίπλουν. Ἦ γὰρ ἂν ἐς τὸ δαψιλέστερον ἐσκομισάμενοι τἀπιτήδεια δυσάλωτοί πως ἢ μᾶλλον ἀνάλωτοι τὸ παράπαν ὄντες ἐτύγχανον. Δῆλον δέ· καὶ γὰρ ἕως τὰ προστυχόντα σφίσιν ἐνῆν εἰς ἀποτροπὴν τοῦ λιμοῦ, θαρραλεώτερον τοῖς πολεμίοις ἀνθίσταντο, καὶ συχνὰ τῶν πυλῶν ἐπεκθέοντες συχνοὺς τῶν Λατίνων ἐτίτρωσκόν τε καὶ ἔκτεινον.

I. Interim ii Latini, qui Tuzi illius novi ducis edicto Genua exacti fuerant, eo quod tyrannico essent (ut diximus) ingenio, cum et opibus et dignitate multum a vulgo distarent, indecorum et ignavi animi esse duxere, vitam errabundam tamdiu trahere, urbe et domo carentes. Instructis itaque triginta ferme triremibus, ad insulam Chium repente appulerunt. Neque hujus classis accessum Chii ullo modo præsensere. Alioqui rerum necessariarum uberiori copia in urbem invecta, expugnatu difficiles, aut potius omnino hostibus inexpugnabiles exstitissent. Nec dubium. Etenim quamdiu ad pellendam famem ea habuere, quæ fors obtulisset, hosti confidentius resistebant, crebrisque extra portas eruptionibus factis, multos Latinorum et vulnerabant et occidebant.

Β'. Τῆς δὲ πολιορκίας ἐκτεινομένης διὰ γῆς καὶ θαλάττης, καὶ πάσης ἐντεῦθεν ἀποκλεισθείσης ἔξωθεν σιτοπομπίας καὶ πάσης ὅπλων ἐπικουρίας, τά τε χρειώδη πάντα ἐπέλιπε καὶ ὁ λιμὸς ὑφέρπων ἐντὸς ἠνώραποδίζετό τε καὶ ψυχὰς ὁμοῦ τοῖς σώμασιν ἐδαπάνα, μαστίζων τε καὶ περιελαύνων ἐς τὸ ἀμήχανον. Ὅθεν ἀπογνόντες οἱ Χῖοι παρέδοσαν ἑαυτοὺς ὑποσπόνδους τοῖς πολεμίοις. Τοῦ δὴ τοιούτου δυστυχήματος ἔργον καὶ Φωκαεῖς, οἱ πρὸς τῇ παραλίᾳ τῆς Ἰωνίας οἰκοῦντες, γεγένηνται, καταπλευσάντων σφίσι τῶν πολεμίων εὐθὺς μετὰ τὴν τῶν Χίων ἅλωσιν. Καὶ τὸ θέρος ἐν τούτοις ἐτελεύτα.

II. At cum obsidio terra pariter et mari in **766** longius traheretur, omnisque inde spes intercluса esset externorum commeatuum et cujuscunque armorum auxilii ; eos necessaria quæque deficiebant ; obrepensque intus fames grassabatur, animasque et corpora simul flagellando atque ad extremam inopiam redigendo absumebat. Omni itaque spe abjecta, dedunt se hostibus Chii ex pactione. Sed et Phocæenses, maritimam Ioniæ oram accolentes, in eamdem calamitatem inciderunt, hostium classe post Chium captam ad eos statim appulsa. Hæc dum gererentur, æstas efflaxit.

Γ'. Φθινοπώρου δ' ἐπιγενομένου βασιλικὰς τριήρεις κατασκευασάμενος ὁ Φακεωλάτος (27) εἰς ἐκδί-

III. Insecuto autumno, imperatoriis triremibus instructis, Phaccolatus Chios ulturus in altum de-

Variorum notæ.

(25) De quo supra lib. XIII, cap. ult. sect. 2. BOIVIN.

(26) Ut Chius et utraque Phocæa in Genuensium potestatem venerint, narrat etiam Cantacuzen. lib. III, cap. 95 ; lib. IV, cap. 11, 12 ; Bizarus, lib. VI, p. 130, sub an. 1346. DUCANG.

780 I. Jam itaque apertis palatii portis, magno agmine effusi ruere ii qui vincti antea tenebantur, quotquot sive nobiles sive alterius cujuscunque conditionis erant. Uni patriarchæ Joanni, sua tum dignitate dejecto, exire non licuit: de quo, antequam nostra oratio huc processisset, quædam dicere debuimus; cæterarum autem rerum series ab eo argumento nos invitos longissime abduxit.

Β'. Ἐξ ὅτου γὰρ Ἄννα ἡ βασιλὶς τὴν ἑαυτῆς πρὸς Καντακουζηνὸν ἐξεπολέμωσε γνώμην, συνεργῷ τε ἅμα καὶ πιστοτάτῳ ἐκέχρητο τῷ πατριάρχῃ τούτῳ συμβούλῳ πρὸς ἃ πάντα κρύφα τε καὶ ἐς τοὐμφανὲς δρώμενα ἦν· καὶ νῦν μὲν αὕτη τῆς ἐκείνου γνώμης διοσχερῶς ἐξήρτητο, νῦν δὲ τῆς ἑαυτῆς ἐξαρτώμενον εἶχεν ἐκεῖνον· καὶ συνελόντι φάναι, φρόνημα ἓν ἀμφοτέροις ἦν ἐν ἅπασι, τοῖς τε ἄλλοις, δηλαδὴ καὶ οἷς ὁ Παλαμᾶς ἐδογμάτιζε καινοτέροις καὶ ἀήθεσι πάνυ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ. Καὶ δεῖγμα τοῦ λόγου σαφὲς, ἃ τοῖς τὸν ἡσύχιον ἐν Ἄθῳ τῷ ὄρει βίον ἀσκοῦσιν ἔπεμπεν αὕτη γράμματα ξύν γε τῷ πατριάρχῃ κατὰ τοῦ Παλαμᾶ· τά τε οἰκεῖα ταύτης φημὶ καὶ ὅσα ὁ ταύτης υἱὸς Ἰωάννης ὁ βασιλεὺς ὑπ' αὐτῆς προστατόμενος ἔγραφεν· οἷς τά τε ἄλλα ἐνεγέγραπτο καὶ δὴ καὶ ὡς ἥκιστα χρῆναι νομίζειν, εἱρκταῖς καὶ φρουραῖς ἐνέχεσθαι Παλαμᾶν διά γε δὴ τὸ Καντακουζηνῷ τὴν γνώμην τίθεσθαι, ὅτι μὴ διὰ τὸ ξὺν οὐδενὶ κόσμῳ περιΐοντα θεοτήτων ἀκτίστων διδάσκειν ἀπειράκις ἀπείρων ἐόντων, κατ' ἀλλήλων διϊσταμένων (εἶναι γάρ φησι τὰς μὲν ὑπερκειμένας καὶ νοητάς· τὰς δ' ὑφειμένας καὶ ὁρατάς), καὶ τοιαῦτα ἄττα βλασφημοῦντα συγχεῖν καὶ ταράττειν τὴν τοῦ Θεοῦ Ἐκκλησίαν.

II. Imperatrix Anna, ex quo animum hostilem in Cantacuzenum induerat, hoc ipso patriarcha, ad ea omnia, quæ sive clam sive palam agerentur, a ljutore simul et fidissimo consiliario usa fuerat: et modo quidem hæc ex illius, modo iste ex hujus sententia totus pendebat: atque, ut paucis absolvam, unus utrique animus erat, tum in omnibus aliis rebus, tum adversus ea dogmata, quæ Palamas nova et inusitata in sanctam Dei Ecclesiam invehebat. Id certo indicio constat: nempe ex litteris, quas contra Palamam sive Anna ipsa cum patriarcha, sive matris jussu Joannes imperator, ad montis Atho monachos scripsit: quibus litteris tum alia inerant, tum ne quis vinculis custodiisque ideo Palamam coerceri existimaret, quod is animum ad Cantacuzenum adjecisset; sed quod idem, immodeste huc illuc vagando, divinitatum æternarum, earumque inter se dissidentium (alias enim supereminentes et intelligibiles, alias humiliores visibilesque esse dictitat) infinite infinitum examen doceret exsistere, et talia **781** quædam exsecranda proferendo Dei Ecclesiam confunderet ac perturbaret.

Γ'. Διετέλει γε μὴν ἡ τοιαύτη παρ' ἀμφοτέροις ἀκμάζουσα σύμπνοια καὶ ὁμοφροσύνη, τῷ τε πατριάρχῃ δηλαδὴ καὶ τῇ βασιλίδι, πρὶν δι' ἀκριβοῦς γε [P. 491] τῆς πείρας ἀπογνόντα τὸν πατριάρχην τῆς τῶν κοινῶν σωτηρίας πραγμάτων ἄρξασθαι παραινεῖν αὐτῇ τὰ συνοίσοντα, καὶ βουλευτὴν καθίστασθαι περὶ ξυναλλαγῶν καὶ σπονδῶν πρὸς τὸν Καντακουζηνόν. Ἀφ' οὗ δὲ τοιαύτην ἔγνω συμφέρον βαδίζειν ὁδὸν, παραχρῆμα καθ' ἑαυτοῦ καὶ τὴν βασιλίδα ἐξέμηνε. Καὶ τοὖντεῦθεν ἦν ἀρχὴ καὶ κατάλυσις πρώτη συμπνοίας τε καὶ ὁμοφροσύνης ἐκείνης, καὶ

III. Et ea quidem voluntatum consensio et concordia non prius ambos inter, patriarcham dico et imperatricem, vigere desiit, quam ille, post accuratam experientiam desperata reipublicæ salute, cœperit huic ea suadere, quæ profutura essent, auctorque exstiterit gratiæ reconciliandæ et pacis cum Cantacuzeno faciendæ. Ex quo autem utilius esse statuit eam sequi viam, ex eo repente in se ipsum quoque imperatricem exacerbavit. Et hæc fuit mali origo ac prima labes, quæ conjunctionem illam concordiamque dissolveret: hoc fuit vulnus,

Variorum notæ.

(45) Februarii die quarta, si Gregoræ credendum; octava, si Cantacuzeno; quem minime certe, probabile est erravisse in eo die assignando, quo imperii sedem invasit. Boivin.

quod nec fomenta nec ligamina ulla admitteret. Augusta igitur omnes ex eo artes animo versare, ut patriarchæ pontificatum abrogaret, omnia secum volvere ac revolvere consilia, denique ad id, quod sibi propositum erat, nihil invenire efficacius, quam si opinionum illarum et inpiarum vocum, quas impensissime antea repudiarat, cum Palamæ sectatoribus demum particeps facta, amicos eos sibi redderet, et ipsis adjutoribus uteretur adversus istum acerrimis.

IV. Primum igitur domo, tanquam carcere, ita eum includi jubet, ut a nemine adiri possit: tum pontificum cœtus diu noctuque in eumdem cogit et instigat; tandem episcopis edicit, ut postridie conveniant ad eum gradu dejiciendum. Ei vero rei B moram nox attulit, inducta in fauces gravi inflammatione, quæ interitum repentinum minabatur. Atque inde usque per triduum mortis terrores idem **782** circumsteterunt, et ejus judicium perturbarunt. Etenim perseverantissima Dei clementia cohibebat adhuc supremæ iræ tela, et mulieris differebat exitium; atque ad pœnitendum animo ferenti spatium largita his tantum incommodis et difficultatibus leviter adumbrabat pœnam reservatam. Cum autem quartus dies ægram confirmasset et erexisset, suum illum priorem animum in patriarcham denuo recepit, et ad priora rursus consilia rediit. Sex interceesserant dies, cum episcopis iterum edicit, ut iisdem de rebus acturi postridie C conveniant.

V. Sole recens orto, ad eam propere accurrit vir monasticæ et tranquilliori vitæ addictus; cui illa subinde ad se ventitanti arcana conscientiæ aperire consueverat. Ille tabellam porrigit, aitque se, summo mane egressum, eam ante fores casu offendisse: nescire autem, a quo et quorsum jacta esset. In ea quæ legebantur, hæc erant: Primo horrendas exsecrationes in virum illum religiosum, et pœnarum gravissimarum denuntiationes (earum scilicet, quæ et animæ et corpori diuturni ac intolerandi doloris acrem sensum afferunt), si metu ille aut quacunque alia ratione deterritus supprimeret ac D tradere imperatrici eam tabellam recusaret. Deinde ad ipsam imperatricem oratio convertebatur; et hæc ferme erat vis verborum: « Nisi desieris pugnare et bellum inferre sacrosanctis Ecclesiæ dogmatis, non poteris facere, quin et tuam auctoritatem **783** labefacies, et tuæ ipsa gloriæ exitium confles atque moliare. » His imperatrix auditis, stomachari et acutioribus exclamationibus in hominem acerbe invehi, eique gravissimas pœnas minari, si unquam in palatio posthac cernatur. Tabella deinde rupta magno cum spiritu, ea quam

νόσημα, μήτε μάλαγμα μηδὲν μήτε καταδέσμους οὐδένας παραδεχόμενον. Πᾶταν μὲν οὖν ἐκεῖθεν ἡ βασιλὶς ἐπίνοιαν στρέφουσα κατὰ τῆς τοῦ πατριάρχου καθαιρέσεως (46), καὶ πάντας ἐφ' ἑαυτῆς κυλίουσά τε καὶ ἀνακυκλοῦσα λογισμούς, οὐδὲν ἀνυσιμώτερον εὗρισκεν ἐς τὴν τοιαύτην πρόθεσιν, πλὴν τοῦ ῥημάτων ἐκείνων, ὧν ἐξ ὅλης ἀπεωθεῖτο πρότερον τῆς ψυχῆς, καὶ ἀθέσμων φωνῶν τοῖς περὶ τὸν Παλαμᾶν κοινωνήσασα φίλους ἑαυτῇ καταστήσασθαι, καὶ συμμάχοις σφίσι χρήσασθαι θερμοτέροις κατ' αὐτοῦ.

Δ'. Πρῶτον μὲν οὖν ἀπρόϊτον ὡς ἐν εἱρκτῇ τῷ οἴκῳ συγκεκλεῖσθαι τοῦτον ἐπέταττεν· ἔπειτα συνόδους ἐπισκόπων νύκτωρ καὶ μεθ' ἡμέραν ἤθροιζέ τε καὶ ὥπλιζε κατ' αὐτοῦ. Τὴν γοῦν ὑστεραίαν ἡρισαμένη ποτὲ πρὸς τὴν ἐκείνου καθαίρεσιν ἀθροισθῆναι τοὺς ἐπισκόπους ἐπέσχεν ἡ νὺξ ἐκείνη, φλεγμονὴν τῷ λαιμῷ δεινὴν ἐπενεγκοῦσα, θάνατον ἀπειλοῦσαν πάνυ τοι σφόδρα αἰφνίδιον. Καὶ ἦσαν ἐντεῦθεν ἄχρι τριῶν ἡμερῶν οἱ τοῦ θανάτου φόβοι κυκλοῦντες καὶ τὸ τῆς ψυχῆς ταράττοντες λογιζόμενον. Τὸ γὰρ τοῦ Θεοῦ μακρόθυμον ἐπεῖχεν ἔτι τὰ τῆς τελευταίας ὀργῆς βέλη, καὶ τὸν τῆς γυναικὸς ἀνεβάλλετο βλάβρον, πλὴν ὅσον τὴν ἀπειλὴν ἐν τοιούτοις ἀῤῥωστήμασί τε καὶ πράγμασιν ἀμυῤῥῶς ἐζωγράφει, μεταμελείας καιρὸν μαινομένῃ ψυχῇ παρεχόμενον. Ἐπεὶ δὲ ἡ τετάρτη ῥᾳόνά τε ἐπεπράχει καὶ ὑπερσχεῖν παρεσκεύαστο, τοὺς προτέρους αὖθις ἀνεκαλεῖτο κατὰ τοῦ πατριάρχου τρόπους, καὶ εἰς τὰ πρότερα ἐπανεδρόμει βουλεύματα. Ἓξ μεταξὺ παρῆλθον ἡμέραι, καὶ τὴν ὑστεραίαν αὖθις ὁρισαμένη τοὺς ἐπισκόπους ἐπὶ τοῖς ὁμοίοις ἐπέστατεν αὖθις ἀθροίζεσθαι.

Ε'. Ἅρτι δὲ τοῦ ἡλίου τῆς γῆς ὑπερκύψαντος, σπευδῇ ταχύνας ἦκεν αὐτῇ μοναδικὸν καὶ ἡσύχιον ἄγων βίον ἀνήρ, ᾧ σύνηθες φοιτῶντι συχνότερον ἀκούειν τὰς μυστικὰς τῶν λογισμῶν ἐξαγορεύσεις αὐτῆς. Καὶ δέλτον ἐγχειρίζων ἔλεγεν αὐτῇ, περὶ τῶν θυρῶν εὑρεῖν αὐτομάτως ἐξιόντα αὐτὸν ὀρθριαίτερον, ἀγνοῶν ὅστις ὁ ῥίψας εἴη, καὶ ὅτου χάριν. Τὰ γε μὴν ἐγγεγραμμένα [P. 492] εἶχε πρώτων μὲν ὅρκους φρικώδεις κατὰ τοῦ πνευματικοῦ ἐκείνου ἀνδρὸς καὶ κολάσεων δεινῶν ἀπειλάς, ὅσαι ψυχῇ καὶ σώματι μακρὰν ἐπιφέρουσι καὶ ἀφόρητον τὴν δριμύτητα, εἰ βουληθείη διὰ δειλίαν, ἢ δι' οἱονδήτινα τρόπον, συστεῖλαι καὶ ἧκιστα ἐθελῆσαι δοῦναι τῇ βασιλίδι τὴν δέλτον, Ἔπειτα ἐστρεψε τὸ τοῦ λόγου πρόσωπον ἐς τὴν βασιλίδα. Καὶ ἦν ἡ τῶν λεγομένων δύναμις τοιαύτη. « Εἰ μὴ παύσῃ μαχομένη καὶ πόλεμον ἐγείρουσα κατὰ τῶν ἱερῶν τῆς Ἐκκλησίας δογμάτων, οὐκ ἂν φθάνοις φθείρουσα τὴν σὴν αὐθεντίαν καὶ τὸν τῆς οἰκείας δόξης ἔλεθρον αὐτὴ ἐαυτῇ δημιουργοῦσα καὶ ἐξυφαίνουσα. » Τούτων αὐτῇ κατὰ τὴν βασιλὶς γεγονυῖα ἐχαλέπηνέ τε καὶ ἐξύστερον ἀνεβόησε, λοιδορουμένη σφόδρα τάνδρί, καὶ ἀπειλοῦσα τὰ μέγιστα τῶν δεινῶν, εἰ τῶν βασιλείων

Variorum notæ.

(46) De qua Joannis patriarchæ Constantinopolitani abdicatione Cantacuzen. lib. III, cap. 99; lib. IV, cap. 5. BIANC.

ἔνδον ὀφθείη τοῦ λοιποῦ. Κἄπειτα διαῤῥήξασα τὴν δέ τον ξὺν πολλῷ τῷ θυμῷ τὸν προκείμενον ἦει κατὰ τοῦ πατριάρχου σκοπόν· καὶ συνεκάλει τοὺς ἐπισκόπους, καὶ ὅσοι τῆς τοῦ Παλαμᾶ φατρίας ὑπῆρχον, λῆρον ἡγησαμένη τὰ ἠκουσμένα.

ς'. Ὅθεν ἀπεκλείοντο μὲν αἱ πύλαι τῶν βασιλείων ἅπασιν, ὅσοι τῷ πατριάρχῃ συνηγοροῦντες εἶεν· ἀπεκλείετο δ' ὁ πατριάρχης αὐτὸς παῤῥησίας ἁπάσης καὶ τῆς ἐς τὴν σύνοδον ἐκείνην τῶν ἐπισκόπων ἀπαντήσεως. Καὶ οὕτως ἐρήμῃ χρησάμενοι δίκῃ καθαίρεσιν ἔγγραφον ἐποιήσαντο κατ' αὐτοῦ, δι' οὐδὲν ἕτερον αἴτιον, ἢ ὅτι τὸν Παλαμᾶν ὁμοῦ ταῖς αὐτοῦ καινοφωνίαις ἀναθέματι καθυπέβαλλε, καὶ τὸν ὑπὲρ ἐκείνου κατέλυε Τόμον ὑστερογενέσιν ἑτέροις Τόμοις. Ἐκείνην μὲν οὖν τὴν ἡμέραν ἐν τούτοις ἡ βασιλὶς ἀνηλωκυῖα περὶ δύσιν ἡλίου τρυφῶσαν παρετίθει τράπεζαν καὶ χλιδῶντα συμπόσια τοῖς ἐς τὴν τοῦ πατριάρχου καθαίρεσιν ἀγωνισαμένοις· καὶ γέλωτές τινες οὐ μάλα εὐσχήμονες καὶ χαρμόσυνα διηγήματα πανταχόθεν τὴν εὐωχίαν ἐκείνην συνεκρότουν τε καὶ ἐθώπευον. Ἄρτι δὲ περὶ τὰς τῶν ὀρνίθων ᾠδὰς τῆς νυκτὸς γενομένης ἐκείνης, πάντα ἐς τοὐναντίον τὰ τῆς χαρᾶς ἐκείνης ἀντέστραπται. Ἑσπέρας γὰρ ηὐλίσατο ἀγαλλίασις, καὶ εἰς τὸ πρωῒ κλαυθμός. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

ζ'. Τῷ δὲ βασιλεῖ Καντακουζηνῷ, τῶν βασιλείων ἐντὸς γενομένῳ, προσῆκων τόπος ἥκιστα ἦν εἰς καταμονήν· καὶ ταῦτα μήπω μηδὲ τῆς συζύγου παρούσης, ἀλλ' ἐν Διδυμοτείχῳ διατριβούσης ἔτι. Οἷς μὲν γὰρ ἀρκοῦσαν ἔχειν ἐνῆν οἰκήμασι δίκαιον βασιλεῖ, ταῦτα προκατέχουσαν οὐκ ἐξέστησεν Ἄνναν τὴν βασιλίδα ξύν γε τῷ παιδὶ καὶ βασιλεῖ Ἰωάννῃ, οὐδ' ἐμποδὼν ἐγεγόνει τὴν προτέραν σφᾶς ἐν τούτοις ἔχειν ἀνάπαυσιν· ἀλλ' ὥσπερ σφίσι τῶν βασιλικῶν πρωτείων ἐξεχεχωρήκει λαμπρῶς ἔν τε καθέδραις καὶ εὐφημίαις, οὕτω κἀν ταῖς οἰκήσεσιν ἐπεπράχει. Αὐτὸς δ' ἐν τοῖς [P. 493] περὶ τὸν Ἀλεξίου τοῦ πάλαι μέγιστον τρίκλινον ἐρειπίοις μᾶλλον ἢ οἰκήμασιν εἰπεῖν δίδωκε φέρων οἰκεῖν ἑαυτόν.

η'. Ἰωάννην γε μὴν τὸν πατριάρχην, δέσμιον τηνικαῦτα παρόντα τοῖς βασιλείοις εὑρών, οὐδὲ μιᾶς ἠξίωσε προσαγορεύσεως. Διώκτην γὰρ αὐτοῦ καταστάντα, καὶ θερμὸν ἐξ ἀρχῆς πολέμιον, οὔτ' εὖ τι δρᾶν εἶχε, τῆς καρδίας ἥκιστα προθυμουμένης ὑμᾶλον πρυτανεύειν οὐδέν· οὔτ' αὖ τοῖς αὐτοῦ κακοῖς κακὰ προστιθέναι κέχρικεν ἕτερα δεῖν· πλὴν ὅτι ταῖς τοῦ Παλαμᾶ πειθόμενος εἰσηγήσασι τῇ τε τῆς ἐπισκοπῆς καθαιρέσει προσεπῆγε καθαίρεσιν (47), καὶ ἅμα ἐν τῇ τοῦ θείου Βασιλείου μονῇ (48) προστεταχὼς ἀπενεχθῆναι τέως ἐς Διδυμότειχον ἐκεῖθεν ἐξόριστον μετ' ὀλίγον αὐτὸν ἐπεπόμφει.

θ'. Καὶ ταυτὶ μὲν, ἰδίας καὶ πολυτελεστέρας δ.

A instituerat via patriarcham aggredi pergit: ac ea quæ audierat floc-ifaciens episcopos convocat, et quotquot Palamicæ factionis erant.

VI. Præcludebantur itaque palatii fores illis omnibus, qui patriarchæ defensionem susciperent: eratque ipsi patriarchæ præcisa omnis dicendi licentia, et ad illius synodi episcopos interdictus accessus. Ita sententiam in eum absentem et inauditum scripsere, nullam aliam ob causam, nisi quod Palamam simul et ipsius nova dogmata anathemate perculisset, et scriptum pro eo Tomum posterioribus Tomis rescidisset. In his consumpto illo die, imperatrix circa solis occasum sumptuosam B mensam apposuit, et epulum dat lautissimum iis, qui, ut patriarcha dignitate spoliaretur, operam navaverant: ac risus quidam non adeo modesti et fabellæ festivæ undecunque convivium illud adornarunt et permulserunt. At illa ipsa nocte, circa gallicinium, omnis ea lætitia in mœrorem versa est. Vespere enim demorata est exsultatio, et ad matutinum fletus [1]. Et hæc quidem ita se habuerunt.

VII. Imperatori autem Cantacuzeno, palatium ingresso, locus minime idoneus erat, **784** in quo habitaret; idque, etsi nondum adesset uxor, sed adhuc Didymotichi commoraretur. In qua enim ædium parte versari imperatorem conveniens erat, C ab ea imperatricem Annam haud movit, quæ cum filio Joanne imperatore ibi habitare occupaverat; neque impediit, quo minus ii sedem illic ut antea haberent. Sed ut imperatoriis prærogativis aperte iis cesserat, tam in sessionibus quam in acclamationibus, ita et in ipsis habitationibus cessit. Ibi se vero ad illas, quæ circa maximum Alexii veteris triclinium occurrunt, ruinas potius quam ædes sibi contulit et habitatum ivit.

VIII. Joannem autem patriarcham, qui tum in palatio vinctus astabat, obviam cum habuisset, nulla allocutione dignatus est. Ei enim, qui se persequi instituisset, et ab initio hostis acerrimus exstitisset, nec poterat benefacere, voluntate minime propensa ad benigne consulendum; nec illius malis alia addere mala visum est; nisi quod suadenti Palamæ obsecutus episcopalem dignitatem iterato illi ademit, et cum in divi Basilii monasterium interim transferri eum jussisset, Didymotichum inde paulo post exsulatum misit.

IX. Et hæc quidem, tametsi peculiari fusioriqne

[1] Psal. xxix, 6.

Veriorum notæ.

(47) Scripserat, puto, Gregoras, τῇ τε τῆς ἐπισκοπῆς καθαιρέσει τὴν τῆς ἱερωσύνης προσεπῆγε καθαίρεσιν, id est, *Episcopalis dignitatis abrogationi etiam sacerdotii abrogationem adjecit.* Boivin.

(48) Id silet Cantacuzenus. De hoc monasterio egimus in *Constantinop. Christ.* lib. iv, sect. 6, n. 12. Ducang.

expositione egebant, summatim quodammodo nos jejuniusque percurrimus; aliis videlicet bene multis, ad eumdem finem quotidie et undecunque tendentibus, eadem argumenta copiosius **785** explicanda relinquentes: ad quos volenti cuique facillimum est accedere, ut ex iis rerum copia et varietas cumulatius percipiatur. Quæ cum ita sint, licebit jam nobis, ad institutum reversis, eamdem illam rursus persequi seriem historiæ, et eorum quæ secuta sunt ordiri inde narrationem; ita tamen ut pleraque interjecta, et quæcunque ab aliis sive privatim sive publice commemorata sunt, compendii causa omittamus.

A μενα πραγματείας, κεφαλαιώδως πως ἡμεῖς καὶ σφόδρα τοι πεφεισμένως οὕτωσὶ διεξεληλύθειμεν, πλείσταις ἄλλαις διεξιέναι λόγοις ἀφθονωτέροις τὰς ὑποθέσεις γλώτταις παραγωροῦντες, καὶ ἄλλοτ' ἄλλαις ἀεὶ πανταχόθεν εἰς ἕνα τινὰ συγκεκροτημένον ἐχούσαις δρόμον τὸ πέρας· οἷς ἐντυγχάνειν τέ ἐστι ῥᾷστα τοῖς βουλομένοις καὶ ἅμα τὸ πολύχουν τε καὶ ποικίλον τῶν ὑποθέσεων ἀκριβέστερον ἐκμανθάνειν. Τούτων δ' οὕτως ἐχόντων, ἐξέσται λοιπὸν ἐπανιοῦσι τῶν τῆς ἱστορίας ἡμῖν ἐκείνων ἔχεσθαι πάλιν ὁμοίως εἰρμῶν, κἀκεῖθεν τῆς τῶν ἑξῆς ἀφηγήσεως ἄρχεσθαι, τὰ πλείω συντομίας εἵνεκα τῶν μεταξύ, καὶ ὅσα πλείστοις ἄλλοις ἰδίᾳ τε καὶ δημοσίᾳ ἐστὶν εἰρημένα, παραλιμπάνοντας.

CAPUT X.

Quibus artibus Palamitæ Annam simul et Cantacuzenum sibi mancipaverint. Palamas, cum se ipsum non posset, patriarcham fecit Isidorum, Monembasiæ episcopum electum. Hujus erga Palamam merita. Episcopi plerique patriarcham novum jubent anathema esse, haud impune. Ut undecunque in eumdem ab orthodoxis scripti et Byzantium missi anathematismi fuerint.

1. Cum omnino studerent Palamæ sectatores nova commenta usque stabilire et exstruere, atque id unum tam e longinquo quam e proximo spectarent; iidemque res Byzantiorum ruere in pejus, Cantacuzenum vero magis ac magis invalescere animadverterent; Annam quidem imperatricem palam et clare, tum ipsi per se, tum per viros principes illi maxime conjunctos, ac per omnem aulicarum mulierum turbam, adulabantur; ut et eam, et eos omnes, qui ad eam se adjunxerant, conciliarent sibi adjutores: erat enim ipsis promptum, instigante malo genio, circumvenire et labefactare hominum mentes; clanculum autem scriptis variisque artibus Cantacuzeno favebant, quo videlicet ipsum quoque ad nova dogmata e longinquo traherent atque formarent. Itaque et proditoribus operam ipsi impensissimam navabant, ut Cantacuzenus Byzantium ingrederetur. Atque ita porro mancipata sibi penitus illius voluntate, leve jam esse videbatur quidquid obstabat, et Cantacuzenum quoquoversus pro libitu ferre atque agere, postquam **786** is plenissimam auctoritatem imperatoriam induit, vix ab iis magnum putabatur.

Α'. Ἐπεὶ γὰρ τοῖς περὶ τὸν Παλαμᾶν τὸ σπουδαζόμενον ἅπαν ἦν, ἀεὶ συνιστᾷν καὶ ἐποικοδομεῖν τὰς σφῶν αὐτῶν καινοφωνίας, πόρρωθέν τε καὶ ἐγγύθεν, ἔπειθ' ὑποῤῥέοντα μὲν πρὸς τὸ ἀδοξότερον τὰ τῶν Βυζαντίων ἐώρων πράγματα, τὰ δὲ τοῦ Καντακουζηνοῦ πρὸς τὸ ἐπικρατέστερον ἀνιόντα, Ἄνναν μὲν ἐς προῦπτον αὐτοὶ καὶ λαμπρῶς ἐθώπευον τὴν βασιλίδα, διά τε τῶν αὐτῇ προσιρκειωμένων ἀρχόντων καὶ ὅσον τὴν βασίλειον ἐπλήρου γυναικωνῖτιν πλῆθος, ἵνα δὴ συναγωνιζομένην ἔχοιέν σφισιν αὐτὴν ἅμα τοῖς ἀμφ' αὐτὴν ἅπασιν· εἶχον γὰρ εὐφυῶς ὑποῤῥαμεῖν καὶ ἀναμοχλεῦσαι ῥᾷστα γνώμας ἀνθρώπων, τοῦ πονηροῦ [P. 494] παραθήγοντος πνεύματος· λάθρα δὲ γραφαῖς καὶ πολυτρόποις μηχαναῖς τῷ Καντακουζηνῷ συνεκρότουν, πόρρωθεν καὶ αὐτὸν ἐς τὰς οἰκείας καινοφωνίας μεθέλκοντές τε καὶ ἁρμοζόμενοι. Διὸ καὶ τοῖς προδιδοῦσιν αὐτοὶ συνήρτουν τὰ κράτιστα εἰς τὴν τοῦ Καντακουζηνοῦ πρὸς Βυζάντιον εἴσοδον. Καὶ οὕτωσι λοιπὸν ἐξανδραποδισαμένοις ἐκείνου τὴν γνώμην ἅπασαν μικρόν τι τὸ κωλύον ἅπαν ἐνομίζετο, καὶ μόγις μέγα, φέρειν καὶ ἄγειν Καντακουζηνὸν εἰς ἅπαν τὸ σφίσι βουλόμενον, ἀφ' οὗ τὸ βασίλειον ἐς τὸ ἐντελὲς περιεζῶσθαι ξυνερρύη κράτος.

II. Ac Palamas quidem sic statuebat, conducere admodum rationibus suis, duorum alterum effici: ut aut se ipsum, si posset, sedi patriarchali imponeret; aut quemvis saltem e suis sectatoribus. Quia igitur ipsi pro se agenti minime ex sententia succedebat, idcirco Isidorum promovendum duxit.

Β'. Δόξαν οὖν ἐς τοὺς ἰδίους τῷ Παλαμᾷ τρόπους ἀνυσιμώτατον δυοῖν πεπραχέναι θάτερον· ἢ ἑαυτόν, εἰ δυνηθείη, τοῖς πατριαρχικοῖς ἐγκαθιδρῦσαι θρόνοις, ἢ γοῦν τῆς φατρίας τόγε δεύτερον ἕνα ἀντινοῦν· ἐπειδήπερ αὐτῷ μὲν ἥκιστα κατὰ σκοπὸν ἐχώρει τὸ πρᾶγμα, ἀντεισενεγκεῖν Ἰσίδωρον (49) ἐξεγέ

Variorum notæ.

(49) Cantacuzen. lib. IV, cap. 3. DUCANG.—Huc pertinet Ignatii, patriarchæ Antiocheni, Tomus contra hunc Isidorum; qui Tomus exstat apud Leonem Allatium (*De libris ecclesiasticis Græc.* dissert. II). Novembri mense promulgatus, indict. 15, hoc est anno Christi 1344 exeunte. Palamas in oratione, quæ adversus Joannem Calecam patriarcham scripta exstat cod. Reg. 2409, fol. 280, v., suam et Isidori causam agit his verbis: Ἀλλὰ καὶ μετὰ τὰς συνόδους ἀμφοτέρας ἐκείνας, καὶ τὸν ἐπ' ἐκείναις τόμον, ὕστερον οὐκ ὀλίγον χρόνον, ὑποψηφίους Μονεμβασίας τόν τε Παλαμᾶν, καθ' οὗ νῦν μαίνεται, καὶ τὸν αὐτῷ συνηγωνισμένον ἐν πᾶσιν ἱερὸν ἢ Ἰσίδωρον, μετὰ πάσης ποιεῖται τῆς Ἐκκλησίας, αὐτὸς ὁ νῦν λέγων ἐξ ἀρχῆς ἀμφιβόλους αὐτοὺς εὐθὺς εἶναι περὶ τὸ σέβας, καὶ ἔτι μᾶλλον προϊόντος τοῦ λόγου. Πῶς οὖν τηλικαύτην ψῆφον σὺν πᾶσι τοῖς ἀρχιερεῦσιν ἐπ' αὐτοὺς ἤγε, καὶ προκαθηγεῖσθαι τῆ Ἐκκλησίας ἠξίου, καὶ πρὸς τοσοῦτον διδασκαλικὸν ἀνεβίβαζε θρόνον, εἰ μηδὲ τῆς εὐσεβείας ἀσφαλῶς ἔχειν ἡγεῖτο τούτους· ἀλλὰ τὸν μὲν Παλαμᾶν πολλὰ

νετο, ὃς Μονεμβασίας μὲν ἐψήφιστο πρότερον· ἔπειτα διὰ τὸ ταῖς τοῦ Παλαμᾶ καὶ αὐτὸν ἁλίσκεσθαι καινοφωνίαις καθῄρηταί τε καὶ τῆς ἱερᾶς ἀφώρισται κοινωνίας· δι' ὃν δὴ καὶ πατριαρχεύσαντα νῦν τὸ τῆς ἐκκλησίας εὐθὺς ἐῤῥάγη σύστημα (50).

Γ'. Καὶ πρῶτον μὲν (51) τῶν ἐπισκόπων οἱ πλείους ἐς τὸ τῶν θείων ἀποστόλων ἀθροισθέντες τέμενος, δεύτερον δ' ἐς τὴν Στεφάνου τοῦ θείου πρωτομάρτυρος μονὴν (52), αὐτόν τε Ἰσίδωρον καὶ ὅσοι ὁμόφρονες εἶεν ἀναθέματι κανονικῷ καθυπέβαλλον, καὶ ἅμα τὴν ψῆφον ὑπογραφαῖς ἰδίαις κυρώσαντες παῤῥησίᾳ σφίσιν ἐπεπόμφεισαν. Ἐφ' οἷς ἀχθεσθέντες σφόδρα τὸν βασιλέως θυμὸν ὀξύνουσι κατ' αὐτῶν. Κἀντεῦθεν τοῖς μὲν παραθεωρεῖσθαι ξυνέβαινε, κἀξ ἐνδόξων ἀδόξοις καθίστασθαι, κἀξ εὐπόρων αὖ αἰφνίδιον ἀπόροις· τοῖς δ' ὑπερορίοις γίνεσθαι τῆς μεγάλης πόλεως, οἷς μὲν ἐχοῦσιν, οἷς δ' οὔ.

Δ'. Καὶ τὰ ἐπὶ τούτοις ἔστι διηγουμένων ἑτέρων ἀκούειν πλατύτερον· ὅπως μὲν ἄλλος ἄλλοθι διεσπάρησαν ἅπαντες, καὶ ἀπερῤῥίφησαν μετὰ τῆς παῤῥησίας καὶ τῶν ἐλέγχων· ὅπως δ' αὖ τῶν πανταχῇ θαλάττης τε καὶ γῆς ὀρθοδόξων ἐς Βυζάντιον συχνὰ ἐσεφοίτα γράμματα, ζήλου θείου μεστά, περιφανεῖ παραπεμπόντων ἀναθέματι Παλαμᾶν ὁμοῦ καὶ Ἰσίδωρον, καὶ ὅσοι ὁμόφρονες ἔκ τε Ἀντιοχέων φημὶ καὶ Ἀλεξανδρέων καὶ ἅμα Τραπιζουντίων ἐπισκόπων καὶ πρεσβυτέρων· ἔκ τε Κυπρίων ὁμοῦ καὶ Ῥοδίων καὶ ὀρθοδόξων προσοίκων· ἔκ τε Μυσῶν καὶ Τριβαλλῶν, καὶ ὅσοι τοῖς τῶν θείων Πατέρων ὅροις ἐμμένειν μακρῷ παρειλήφεσαν ἐθισμῷ, καὶ μηδέν τι νεώτερον δέχεσθαι παρ' οὐδενὸς τῶν ἁπάντων, κἂν ἀγγέλων τις ἐξ οὐρανοῦ κομίζῃ.

Hic Monembasiæ electus antehac episcopus mox novorum Palamæ errorum cum et ipse convictus fuisset, dejectus dignitate fuerat, et a sacra communione segregatus. Eodem nunc patriarchatum obtinente, scissum est statim ecclesiæ corpus.

III. Atque episcopi plerique, cum in sanctorum Apostolorum ædem primum, deinde in divi Stephani protomartyris monasterium convenissent, canonico anathemate Isidorum, et quotquot illi assentirentur, perculerunt. Deinde decretum, propriis subscriptionibus confirmatum, confidenter illis miserunt. Quod illi ægre admodum ferentes imperatoris animum in hos stimulant: eoque factum, ut horum alii despicerentur, et ex illustribus obscuri, ex opulentis inopes statim exsisterent; alii magna urbe exsularent, volentes quidam, nonnulli inviti.

IV. Quæ deinde gesta sunt, ea ab aliis narrata fusius accipere est: ut nempe omnes alius alio dispersi sint et ejecti, sua cum dicendi libertate suisque illis criminationibus; ut rursus ab orthodoxis, ubique maris et terrarum degentibus, frequentes litteræ Byzantium ventitarint, zeli divini plenæ, quæ Palamam **787** simul et Isidorum, et omnes eorum fautores, apertis exsecrationibus prosequebantur; ab Antiochensibus dico, et Alexandrinis, Trapezuntiisque tam episcopis quam presbyteris; item ab Cypriis Rhodiisque, et orthodoxis adjacentibus; nec non Mysis et Triballis, et quicunque sanctorum Patrum inhærere præscriptis, ac nihil quidquam novi ab quocunque allatum admittere, vel si ab angelo afferretur, tradito jam inde antiquitus more instituerant.

CAPUT XI.

Cantacuzenus et Isidorus mutuam sibi operam ad summos honores adipiscendos præstant. Cur ille iterum inauguratus. Cur ea res non in S. Sophiæ templo, sed in Blachernensi, celebrata sit. Duorum imperatorum et trium Augustarum sedilia. Pompa equestris. Solemnis e palatio prospectus. Epulæ. Stannea et

Variorum notæ.

βιασάμενος, καὶ δι' ἑαυτοῦ καὶ δι' ἑτέρων πλεῖστα παρακαλέσας, ὡς οὐκ εἶχε κατὰ τοῦτο πειθόμενον, καὶ μάρτυρας τούτου μετὰ πολλῶν ἑτέρων καὶ τῶν Μονεμβασιωτῶν οἱ τηνικαῦτα παρόντες· ὡς οὖν μὴ κατὰ τοῦτο πειθήνιον εἶχε, Θεσσαλονικεῦσιν ἐπιστῆσειν ἰσχυρίζετο, βίᾳ μείζονι κεχρημένος. Τὸν δὲ τοῦ πνεύματος ὄντως ἄνθρωπον, καὶ τὰ πάντα ἱερόν τε καὶ χρηστὸν ἢ Ἰσίδωρον, ὡς πάντες ἂν συμφαῖεν οἱ τὸν ἄνδρα εἰδότες, πολλοῖς τῶν Μονεμβασιωτῶν παρακλῆσεσι, δέξασθαι πείθει τὴν τούτων ἱερὰν προστασίαν, καὶ τὸν εἰθισμένον ἐπὶ τοῖς τοιούτοις ἱεραρχικὸν ἀσπασμὸν ἐκτελέσαντα, συνεδρεύειν ἐντεῦθεν καὶ συλλειτουργεῖν ἐσημήνατο, τῷ νῦν ἐξ ἀρχῆς ἀμφιδόλους ἡμᾶς εἶναι περὶ τὸ σεβὰς ψευδογραφοῦντι. Πῶς γὰρ ἀμφίβολον εἶχε περὶ τὸ σεβὰς, ὃν συλλειτουργὸν εἶχε, καὶ τῆς εὐσεβείας, διδάσκαλον προὐχειρίσατο; ἀλλ' ἐπασπάσατο, φησὶ, τὴν δίκην ἐφ' ἑαυτὸν καὶ ὁ ὑποψήφιος Μονεμβασίας. Οὐκοῦν ὑποψήφιος ἦν· εἰ δ' ὑποψήφιος, οὐκ ἀμφίβολος ἦν, καὶ ταῦτ' ἐξ ἀρχῆς. Τίνος δὲ καὶ χάριν ὁ ὑποψήφιος οὗτος ἐπεσπάσατο τὴν δίκην ἐφ' ἑαυτόν; ὡς τὰ αὐτὰ, φησὶ, τῷ Παλαμᾷ φρονῶν. Καὶ μὴν οὗτος τῶν ἐκ Θετταλίας τῷ Παλαμᾷ συνελθόντων εἷς ἦν, καὶ φανερῶς ἐξ ἀρχῆς τὰ αὐτοῦ φρονήματος ὑπῆρχεν αὐτῷ, καὶ ταῖς συνόδοις ἐκείναις παῤῥησίᾳ συνηγορῶν. Πῶς οὖν μετὰ τὰς συνόδους ἐκείνας ὑποψήφιος ἡμῖν ἐγεγόνει; Μᾶλλον δὲ πῶς οὐκ ἐντεῦθεν δῆλον, ὡς ἐκεῖνος μὲν ἐπὶ τῆς αὐτῆς ἔμεινεν εὐσεβείας, ἧς καὶ πρότερον ἦν, καὶ δι' ἣν ἐξεδήμησε τῆς πατρίδος, καὶ ὑπὲρ ἧς ἠγωνίσατο, καὶ τῆς ὑπὲρ εὐσεβείας ἀγωνίας ἆθλον τὴν ψῆφον ἀπενεγκάμενος τότ' εὐθὺς, νῦν ὕστερον ταύτης, τῆς οἰκείας εὐσεβείας ἕνεκα, καὶ τὴν τιμὴν τῆς ἀρχιερωσύνης καὶ τὴν ταύτης ἀφαίρεσιν ἔθετο παρ' οὐδὲν, ὑμεῖς δὲ τὸ σεβὰς, ὅπερ ἐκέκτησθε ψηφιζόμενοι τοῦτον, ἐξομοσάμενοι νῦν, ἅτε τοῖς Βαρλααμίταις προσθέμενοι, μὴ συμμεταθέμενον τὸ φρόνημα τοῦτον παραπλησίως ὑμῖν ἀπεψηφίσασθε νῦν. Ἀλλ' οὐδ' ὁμολογίαν ἐπείσθη, φησὶ δοῦναι τοῦ οἰκείου φρονήματος ἀπαιτηθεὶς, ὥσπερ οὐδ' ὁ Παλαμᾶς ἐπείσθη. Βαθεῖ τῆς ἀναιδοῦς καὶ ἀπροφασίστου ψευδορρημοσύνης. Ὄντως σύνοδος ἀθετούντων εἰσὶ, κατὰ τὸν Ἱερεμίαν. Boivin.

(50) Hæc etiam fuse narrat Cantacuzen. d. cap. 3. Ducang.

(51) Ut Isidorum patriarcham Constantinopolitanum episcopi anathemati semel ac iterum subjecerunt, silet Cantacuzenus. Ducang.

(52) De variis S. Stephani ædibus Constantinopoli eginus in *Constantinopoli Christ.* lib. IV sect. 6, n. 89 et seqq. Ducang.

facilis vasa. Corium inauratum et gemmæ vitreæ in diadematis ac vestimentis. Tantæ inopiæ causa duplex. Pecunias ab iis qui ærarium exhauserant Cantacuzenus non repetit; incertum, utrum lenitate, an timiditate. Suorum postulata et querelas ut eluserit. Ejus filia Helena Joanni Palæologo nubit.

I. Sed nos argumentorum copia et varietate eo usque sensim abrepti sumus, ut ea omissa sint, quæ potiora videntur exstitisse; nempe ut alter alterum auctorem habuerit et architectum dignitatis, Cantacuzenum quidem Isidorus patriarchicæ, Isidorum vero Cantacuzenus imperatoriæ, secundo dehinc. Quæ enim celebratio Didymotichi peracta fuerat, ea Palamitis completa minime videbatur.

II. Ishæc vero in templo Blachernensi perfecta est. Etenim illud orbis miraculum, magnum, inquam, illud et omnium sermone celebratissimum S. Sophiæ templum, ex quo pars ejus eversa erat, eo redactum (proh dolor!), ut nulli esset usui, minime erat opportunum ejusmodi festis ac celebritatibus apparandis. Hoc vero tantam multitudinem capere haud poterat; adeoque arctior locus et inamœnior videbatur. Nam cum publicus ille suggestus, cui imperatorios thronos imponi oportebat, eum exigeret longitudinem, quæ et altitudini et latitudini responderet, **788** necesse etiam erat utrinque spatium satis amplum diaconis patere ad sedendum, ubi opus futurum esset; ita ut templi reliqua pars angustior jam foret, quam ut posset capere variam hominum multitudinem. Tamen cum ex omnibus templis nullum esset, quod maxime illi posset æquiparari, altero hoc velut subsidiario uti necesse visum est.

III. Erant autem ii qui sedilia illa imperatoria tunc tenebant, cognomines et socii duo imperatores; item tres imperatrices, Anna et Irene Cantacuzenæ cum filia Helena. Quæ cum ita essent, primo et vicesimo Maii die, circa decimam horam, ascensis statim equis, ita ut erant, cum imperatoriis illis insignibus, venere ad palatium. Cumque ibi de more spectandos se ex alto suggestu exhibuissent, mox descenderunt, ac mensa apposita, mensas in quinque sedilibus consedere.

IV. Tanta porro tunc laborabat inopia palatium ut in lanceis et poculis nihil ibi esset aurei aut argentei; sed stannea quidem nonnulla, cætera vero

Α'. Ἡμεῖς δ' ἐς τοσοῦτον ἥκομεν τοῦ παρενεχθῆναι [P. 495] λαθεῖν τῷ πολυειδεῖ καὶ ποικίλῳ τῶν ὑποθέσεων, ὥσθ' ἃ παρεῖται δοκεῖν εἶναι τὰ καιριώτερα. Τὰ δέ ἐστιν, ὅπως τε ἑκάτερος ἑκατέρῳ χορηγῷ καὶ ταμίᾳ τοῦ ἀξιώματος ἐχρήσατο· Καντακουζηνῷ μὲν Ἰσίδωρος τῆς πατριαρχίας, Καντακουζηνὸς δ' Ἰσιδώρῳ τῆς βασιλείας τὸ δεύτερον. Ἡ γὰρ ἐν Διδυμοτείχῳ πρὶν ἀναγόρευσις τὸ τέλειον ἔχειν ἥκιστα ἐδόκει τοῖς Παλαμίταις.

Β'. Γεγονέναι δὲ τὰ τοιαῦτα συμπέπτωκε καὶ τὸν ἐν Βλαχέρναις θεῖον νεών. Τὸ γὰρ θαῦμα τῆς οἰκουμένης ἐκεῖνο (53), τὸ μέγα λέγω καὶ περιβόητον τῆς τοῦ Θεοῦ Σοφίας τέμενος, ἀφ' οὗ τὸ μέρος ἐκεῖνο καθῄρηται, πρὸς τὸ ἀχρεῖον φεῦ ἀπενεχθέν, μακράν τινα τὴν ἀωρίαν εἶχε τοιαύταις ἑορταῖς διακονεῖσθαι καὶ πανηγύρεσιν. Μὴ οὖν πρὸς τοσοῦτον οὗτος ἀποχρῶν πλῆθος πνιγηρόν τι χωρίον ἐδόκει καὶ ἀτερπές. Τοῦ γὰρ δημοσίου βήματος (54) ἐκείνου μῆκος ἀνάλογον ἔχειν ἀπαιτουμένου τῷ τε ὕψει καὶ πλάτει, ἐφ' οὗ τοὺς βασιλικοὺς ἔδει τεθῆναι θρόνους (55), ἐχρῆν ἑκατέρωθεν τὴν προσήκουσαν ἔχειν εὐρυχωρίαν καὶ τοὺς τοῦ θεραπευτικοῦ τάγματος (56), ὁπότε δεήσειεν· ὡς εἶναι βραχὺ λοιπὸν τὸ λειπόμενον τοῦ νεὼ πρὸς ὑποδοχὴν διαφόρων ὄχλων. Ὅμως ἐφαμίλλου τῷ μεγίστῳ θείῳ ἐκείνῳ τεμένει τῶν πάντων ὄντος οὐδενός, ὁ δεύτερος ἐξ ἀνάγκης ἔδοξε πλοῦς εἰς τὴν χρείαν αὐτός.

Γ'. Καὶ ἦσαν οἱ τοὺς βασιλικοὺς (57) τηνικαῦτα θρόνους πληροῦντες ἐκείνους δυοῖν τε βασιλέων ὁμωνύμων ὁμοφροσύνη καὶ ἅμα βασιλίδες τρεῖς, Ἄννα τε καὶ Εἰρήνη ἡ Καντακουζηνὴ μετὰ τῆς θυγατρὸς Ἑλένης. Τούτων δ' οὕτω τετελεσμένων, περὶ δεκάτην ὥραν που τῆς πρώτης καὶ εἰκοστῆς τοῦ Μαΐου (58) ἵππων εὐθὺς ἐπιβάντες, ὡς εἶχον, μετὰ τῶν βασιλικῶν ἐνδυμάτων ἐκείνων ἦκον ἐς τὸ παλάτιον. Κἀκεῖ τὴν συνήθη πεπαιηκότες ἐμφάνειαν (59) ἀφ' ὑψηλοῦ τοῦ βήματος εἶτα κατῆσαν, καὶ τράπεζαν παρετίθεσαν, ἐπὶ πέντε θρόνων αὖθις καθίσαντες.

Δ'. Τοσαύτῃ [P. 496] δὲ πενίᾳ κατεῖχετο τὰ βασίλεια τηνικαῦτα, ὥστ' οὐδὲν ἦν τῶν τρυβλίων καὶ ἐκπωμάτων ἐκεῖ χρυσοῦν ἢ ἀργυροῦν· ἀλλ' ἔνια

Variorum notæ.

(53) **Similia narrat** Cantacuz. lib. IV, cap. 4, et ibi deinceps **tum ab Anna** imperatrice, **tum ab ipso** Cantacuzeno, ac denique ab Joanne Palæologo **solo** insperante, **rursum ædes Sophianæ instauratæ sit.** DUCANG.

(54) **Concideraat** nempe μεγάλη στοὰ μετὰ τοῦ βήματος, **inquit** Cantacuzenus. DUCANG.

(55) **Erant** igitur ea tempestate throni imperatorii in **ipso Bemate**, seu intra cancellos. Vide *Constantinopolim Christ.* lib. III, sect. 49. DUCANG.

(56) **Diaconos** intelligit, quibus in Bemate locus dabatur, **dum sacra** peragebatur liturgia. Alioquin extra **Bema consistebant.** Vide eumdem *Constantinopolim Christ.* lib. III, sect. 82. DUCANG.

(57) Cantacuzen. lib. IV, cap. 1. DUCANG.

(58) **Hic dies, quem Gregoras Maii vicesimum primum numerat, a Cantacuzeno numeratur decimus tertius ejusdem mensis. Utri chronologo potior hac in re fides habenda est? Cantacuzeno certe; assignanti videlicet eum diem, quo ipse sit coronatus. Gregoras, eo quod Cantacuzenus bis esset coronatus, semel quidem Orestiade seu Adrianopoli, an. Chr. 1346, mensis Maii die 21; iterum autem Byzantii, an. Chr. 1347, eodem mense, et non eodem die, primæ et secundæ στεφηφορίας dies facile potuit confundere, non item Cantacuzenus.** BOIVIN.

(59) Seu παράστασιν, de qua supra quædam attigimus. DUCANG.

μὲν κεττιτέρινα, τὰ δ' ἄλλα πάντα κεραμεᾶ καὶ ὀστράκινα. Ἐξ ὧν ἔξεστι συνιέναι τοῖς ὅσοι μὴ ἀδαεῖς τῶν τοιούτων καὶ περὶ τῶν ἄλλως ὀφειλομένων, ὁπόσα μὴ κατὰ τὸ εἰκὸς τελεῖσθαι ξυνέβαινε, τῷ τῆς ἐνδείας βιαίῳ τῶν τότε τυραννουμένων πραγμάτων καὶ λόγων καὶ ἐγχειρημάτων. Ἐῶ γὰρ λέγειν, ὅτι καὶ τὰ βασιλικὰ τῆς ἑορτῆς ἐκείνης διαδήματά τε καὶ περιβλήματα, ὡς ἐπὶ τὸ πλεῖστον, χρυσοῦ μὲν εἶχον τὴν φαντασίαν καὶ λίθων ὅθεν πολυτιμήτων· τὰ δ' ἦν ἐκεῖνα μὲν ἀπὸ σκύτους, ὁπόσα χρυσὸς ἐπιχρύζει πρὸς τὴν τῶν σκυτέων ἐνίοτε χρείαν· ταῦτα δ' ἐξ ὑέλων, παντοδαπὴν ἐχόντων χροιὰν πρὸς τὸ διαυγές. Ἦσαν δ' οὗ καὶ σποράδην εἰπεῖν εὐκοσμίαν ἔχοντες ἀληθεύουσαν λίθοι πολυτελεῖς καὶ μαργάρων στιλπνότης, οὐκ ἀπατῶσα τὰς ὄψεις· οὕτως ἔρρει καὶ σφόδρα ἔσβη καὶ κατηνέχθη τὰ τῆς ἀρχαίας ἐκείνης εὐδαιμονίας τε καὶ λαμπρότητος τῶν Ῥωμαϊκῶν πραγμάτων· ὡς νῦν γε μηδ' ἄνευ αἰσχύνης ἔχειν ἡμᾶς ἐκτιθέναι τὴν τῶν τοιούτων ἀφήγησιν.

Ε'. Αἰτίαι δ' ἦσαν τῆς τοιαύτης καταφορᾶς τε καὶ κακοδαιμονίας· πρώτη μὲν, ἡ τῶν ἐμφυλίων στάσεων φορά τε καὶ σύγχυσις· ᾗ ῥᾴστη μὲν ἡ τῶν ὄντων ἦν χρηματικῶν εἰσόδων ἀνατροπή· ῥᾴστη δ' ἡ τῆς οὐκ οὔσης δαπάνης εὕρεσις καὶ ἐπίνοια· δευτέρα δὲ καὶ τελευταία, τὸ φιλάργυρόν τε καὶ χρυσομανὲς τῆς γνώμης τῆς τε βασιλίδος Ἄννης καὶ Ἀλεξίου τοῦ Ἀποκαύκου· οἷς ἡ τοῦ στρατεύσασθαι χρεία κατὰ τοῦ Καντακουζηνοῦ, πρόφασιν παρασχοῦσα πλουτεῖν κακοτρόπως, ὅλαις ἐξαντλεῖν ἐπινενόηται χερσὶ τὰ ἐκ πολλοῦ τοῖς βασιλικοῖς ταμείοις ἐντεθησαυρισμένα πολυτελῆ κειμήλια. Προσποιούμενοι γὰρ ἑτέροις πιπράσκειν τὰ μὲν αὐτῶν αὐτοὶ κατ' ἐκλογὴν ἐσφετερίζοντο λάθρα· τὰ δ' αὐτοὶ ἑαυτοῖς ἐπίπρασκον, πάνυ τοι εὔωνον, καὶ ὁποία βουλομένοις σφίσιν ἦν, τὴν πρᾶσιν ποιούμενοι. Ἦν δ' ὅμως καὶ ἐξεπίτηδες τὸ γινόμενον, ὡς αὐτοῖς ἐνίοτε ἐκλαλούμενον ἦν· ἵν' εἰ τύχοι παρειληφὼς τὴν βασίλειον ἀρχὴν ἐς Βυζάντιον εἰσελήλυθώς ὁ Καντακουζηνὸς, μὴ εἶναί οἱ χρημάτων εὐπορίαν, δι' ὧν τοῖς ἡγεμόσιν ἰσχὺς κατ' ἐχθρῶν περιγίνεται καὶ κόσμος τῇ ἀρχῇ δημιουργεῖται· ἀναλογίαν γὰρ ἔχειν βίῳ παντὶ τὰ χρήματα, καὶ μάλιστα πάντων ταῖς ἡγεμονικαῖς ἀρχαῖς, ὁποίαν δή που τοῖς πᾶσι ζώοις ἡ τῶν νεύρων σύμπηξίς τε καὶ ἁρμονία.

Ϛ'. Ὅθεν ἐλθόντι τῷ Καντακουζηνῷ πάντ' ἦν παντάπασι κεκενωμένα τὰ βασιλέων ταμεῖα· καὶ πλὴν ἀέρος καὶ κόνεως καὶ τῶν Ἐπικουρείων εἰπεῖν ἀτόμων, εὑρηται πλέον οὐδὲν ἐν αὐτοῖς. Δέον οὖν ζητῆσαι καὶ λαβεῖν ἃ μὲν ἐκ τῆς [P. 497] βασιλίδος Ἄννης εἰς τὰς τῶν βασιλικῶν ἐνεργειῶν ἀναγκαίας δαπάνας· ἃ δ' ἐκ τῶν τὰ δημόσια κατεδηδοκότων, κἀκείθεν πορισαμένων τὴν τοῦ πλουτεῖν εὐπορίαν, κἀκ πενήτων πάνυ τοι γεγονότων ἐξαίφνης πλουσίων· ὁ δὲ σιωπῇ παρέδραμεν ἅπαντα· εἶθ', ὡς ἐμοὶ δοκεῖ, τῇ συμφυεῖ καὶ συντρόφῳ πραότητι κάντεῦθα χρώμενος· εἶθ', ὡς ὁ τῶν πλείστων ἐκράτει λόγος, δειλίας τε συνισχημένος τρόποις ἐξ ὁμοφυοῦς τινος ἀφελείας καὶ ἅμα δεδιὼς ἀδόκητόν τινα στά-

A omnia fictilia et testacea essent. Ex his quilibet, earum rerum non rudis, cætera quoque aliunde requisita, nec ita ut par erat perfecta (tyrannica quippe inopiæ vi in factis, in dictis, in consiliis, tum temporis dominante) facile intellecturus est. Nam ilia quidem dicere omitto, ut et ipsa in solemnitate diademata et vestimenta, maxima ex parte, auri quidem speciem haberent et gemmarum pretiosissimarum: constarent **789** autem illa corio, qualia nonnunquam inaurantur ad coriariorum usum; hæc vitro, omnigenis coloribus perlucente. Erat tamen alicubi, sed sparsim, sincerus pretiosorum lapidum nitor, et is, qui oculos non deciperet, margaritarum fulgor. Adeo dilapsa erat penitusque exstincta et pessumdata vetus illa B rei Romanæ fortuna et magnificentia, ut ne nunc quidem sine pudore earum rerum narrationem edere possimus.

V. Cur autem adeo res perditæ et afflictæ essent, hæ causæ erant. Prima, civilium dissidiorum tumultus et cæca perturbatio; cui facillimum fuit et id quod rei pecuniariæ erat effundere, et eos sumptus comminisci atque excogitare, qui nulli erant. Altera, eademque ultima, avaritia et auri amore furens animus Annæ imperatricis Alexiique Apocauci; quibus belli Cantacuzeno inferendi necessitas occasionem præbens perperam ditescendi ideo excogitata est, ut plenis manibus pretiosas illas C gazas haurirent, quæ in imperatoriis thesauris jampridem erant repositæ. Aliis enim vendere simulantes nonnulla, delectu habito, in rem suam convertebant: quædam ipsi sibi vili admodum pretio, et ut libitum erat, vendebant. Id tamen et consulto fiebat, ut ab ipsis temere aliquando vulgatum: ne videlicet Cantacuzeno, si forte is Byzantium ingressus rerum potiretur, parata esset copia pecuniarum, unde et principibus vires ad debellandos hostes suppetunt, et ornamenta **790** imperii conflantur: pertinere enim pecuniæ rationem ad quemlibet statum; maxime vero ad principatus conservandos, ad quos ita se habet, ut ad animantem compactio et coagmentatio nervorum.

D

VI. Offendit itaque Cantacuzenus thesauros imperatorum omnes omnino exhaustos, nihilque in iis præter inane et pulverem et Epicureas (ut ita dicam) atomos. Cum igitur quærere et accipere oporteret partim ab imperatrice Anna, ad necessarias functionum imperatoriarum impensas, partim ab iis qui rempublicam depeculati fuissent, et magna sibi inde opum vi parata ex inopibus ditissimi statim evasissent; ille silentio omnia præteribat: sive ut mihi videtur, suam illam ingenitam coalitamque lenitatem in eo quoque retineret; sive, ut plerique dictitabant, timidis moribus præpediretur, naturali quadam animi humilitate; et quia, turbidis adhuc rebus et nondum ordina-

tis, improvisam aliquam seditionem extimesceret.

VII. Tantum nempe aberat, ut molestus esset ulli eorum qui tempore usi ad rapiendum opportuno partiti inter se fuissent cum ipsius proprias facultates, tum eorum qui eum secuti erant; domos nempe et prædia, et quæcunque auro ac margaritis pretiosisve lapidibus seu compinguntur, seu contexuntur; ut imo, cum deberet, primo quidem rem omnem familiarem, ab iis qui diripuissent repetitam, restituere iis qui pericula pro se infinita obiissent, deinde et præmia **791** pro laboribus digna persolvere; ne curaret quidem, ubi illorum unusquisque vesperi diversaturus esset: sed et reposcentes increparet, et clamitantibus indignaretur, et pernoctantes sub dio ac circum alienas fores errabundos negligeret. Nimirum iis sese ille tanquam exemplar proponebat, qui eadem et ipse pateretur; velut aliquis dispensator aut libripens, qui stans medius ex æquo sibi et aliis fortunam seu prosperam seu iniquam distribuat, præcisis ita radicitus et occlusis ijs linguis, quæ examinis justi æquitatem perperam interpretentur. Sed utrum illa recte necne Cantacuzenus statuerit atque fecerit, illis relinquo judicandum, qui hanc historiam eo modo legunt, quo oportet; quique initia rerum cum extremis commode componere, et, tanquam in uno corpore, rerum particulatim ac sigillatim gestarum dictarumve cohærentiam et seriem facta comparatione observare possunt. Ego vero illuc redeo.

VIII. Septimo post celebrationem illam et solemnem diadematis impositionem die, templum idem Blacherniense, eodem suggestu et iis quæ diximus sedilibus, imperatores simul et imperatrices excepit; atque ibi juniorum principum conjunctio rite perfecta est, Joannis, inquam, et Helenæ: illius quidem sedecim annos nati; hujus autem biennio junioris.

Ζ'. Τοσοῦτον γὰρ ἀπέσχετο τοῦ μηδενὶ δι' ὄχλου γενέσθαι τῶν ὅσοις, τῷ καιρῷ πρὸς ἁρπαγὴν χρησαμένοις συμμάχῳ, διανείμασθαι ξυνεπεπτώκει τά τε αὐτοῦ καὶ τὰ τῶν ἀκολουθησάντων αὐτῷ πράγματα, οἰκίας τε καὶ ἀγροὺς δηλαδή, καὶ ὅσα χρυσὸς καὶ μάργαρος καὶ λίθοι πολυτελεῖς συνοικοδομοῦσι καὶ συνυφαίνουσιν· ὥστε καὶ ὀφείλων ἀποδοῦναι πρὸς τῶν ἡρπακότων ἀνειλημμένα μὲν τὸ οἰκεῖον ἅπαν πρότερον τοῖς μυρίους ὑπομεμενηκόσι δι' αὐτὸν κινδύνους, προσαποδοῦναι δ' αὖ καὶ τὰ τοῖς πόνοις ἀνάλογα ἐπαθλά σφισιν, ὁ δὲ οὐδ', ὅποι καταλύσειεν ἐκείνων ἕκαστος ἑσπέρας, ἦν πεφροντικώς· ἀλλὰ καὶ ἀπαιτοῦσιν ἐπετίμα, καὶ καταβοῶσιν ἤχθετο, καὶ διανυκτερεύοντας ἐν τοῖς ὑπαίθροις καὶ πλανωμένους ἐς ἀλλοτρίας θύρας ὑπερεώρα, ὑπόδειγμα τιθεὶς, ὡς ἔφασκε, σφίσιν αὐτὸς ἑαυτὸν διὰ τῆς τῶν παθημάτων ταὐτότητός, ὥσπερ τις βραβευτὴς καὶ ζυγοστάτης μέσος ἱστάμενος καὶ νέμων ἐπίσης ἑαυτῷ τε καὶ τοῖς ἄλλοις τὴν τοῦ βίου ῥοπὴν καὶ τὴν τῶν ὕδρεων πρόφασιν· ῥίζοθεν οὕτως ἐκτέμνων καὶ ἀποφράττων κακῶς τὰς τὸ δίκαιον σοφιζομένας τῆς κρίσεως γλώττας. Ἀλλὰ περὶ μὲν τοῦ εὖ τε καὶ ὡς ἑτέρως τὰ τοιαῦτα τῷ Καντακουζηνῷ ἐψηφίσθαι τε καὶ πεπρᾶχθαι κρίνειν παρίημι τοῖς τῇδε τῇ ἱστορίᾳ κατὰ τὸ εἰκὸς ἐντυγχάνουσι, καὶ συνάπτειν εὐφυῶς δυναμένοις ταῖς ἀρχαῖς τῶν πραγμάτων τὰ τέλη, καὶ παρεξετάζειν, ὥσπερ ἐφ' ἑνός τινος σώματος, τὴν ἀλληλονχίαν καὶ συστοιχίαν τῶν κατὰ μέρος καὶ καθ' ἕκαστα πεπραγμένων τε καὶ λελεγμένων. Ἐγὼ δ' ἐκεῖσε ἐπάνειμι.

Η'. Ἑβδόμῃ γὰρ μετὰ τὴν ἀναγόρευσιν (60) καὶ στεφηφορίαν ἐκείνην ἡμέρα παρῆν· καὶ ὁ αὐτὸς ἐν Βλαχέρναις εἶχε θεῖος ναὸς μετὰ τοῦ βήματος καὶ τῶν δίφρων ἐκείνων τούς τε βασιλέας ὁμοῦ καὶ τὰς βασιλίδας· καὶ τὰ νόμιμα τῆς τῶν νέων βασιλέων προετελεῖτο συζυγίας, Ἰωάννου φημὶ καὶ Ἑλένης, τοῦ μὲν ἐξκαιδεκαέτους ὄντος (61), τῆς δὲ δυοῖν ὑποδεδηκυίας ἐτῶν ἐκείνου.

CAPUT XII.

Isidorus patriarcha pronuntiatum a decessore suo in Cantacuzenianos anathematismum abrogat. Risum et indignationem movet, qui reus sit, et alios absolvat. Episcopos eligit rudes et indoctos. Palamas Thessalonicæ episcopus ab eo ordinatus ejusce urbis ingressu prohibetur. Gregoras ecclesiasticarum rerum fusiorem expositionem aliis relinquit.

I. Sed quia omnis et exercitus et populus molestia afficiebantur, ac futura magis quam præsentia verebantur judicia, eo quod a Joanne, antehac **792** patriarcha, paulo post accensum civile bellum, abscissus esset et exclusus Christiana communione, quisquis sive Cantacuzenum ut imperatorem esset agniturus, sive Palamam et ipsius sectatores in

Α'. Ἐπεὶ δὲ στρατὸς καὶ δῆμος ἅπας ἠχαλλέ τε καὶ τὰ [P. 49s] μέλλοντα μᾶλλον ἢ τὰ παρόντα ἐδεδίει δικαιωτήρια, διὰ τὸ ἐκκεκόφθαι καὶ ἀφωρίσθαι τῆς τῶν Χριστιανῶν κοινωνίας πρὸς τοῦ πατριαρχεύσαντος Ἰωάννου, τῆς ἐμφυλίου στάσεως ἄρτι καθισταμένης, εἴ τίς τε Καντακουζηνὸν ὡς βασιλέα καὶ εἴ τις Παλαμᾶν μετὰ τῆς φατρίας εἰς κοινωνίαν

Variorum notæ.

(60) XII Kal. Jun. Cantacuzen. lib. IV, cap. 4, proinde anno integro ac completo, ex quo Adrianopoli a patriarcha Hierosolymitano coronatus fuerat, eodem die festo, ut idem narrat lib. III, cap. 11. Ducange. — Ἑβδόμῃ γὰρ μετὰ τὴν ἀναγόρ. Imo ὀγδόῃ, quo die Constantini Magni et Helenæ ejus conjugis memoria celebratur, inquit Cantacuz. *Histor.* lib. IV, cap. 4, pag. 718. Itaque is dies fuit Maii vicesimus primus; non autem, ut Gregoras putavit, vicesimus octavus. Boivin.

(61) Vide quæ adnotavimus supra ad lib. XII, cap. 2, sect. 1. Boivin.

προσίεσθαι βούλοιτο, ἔγγραφον ὁ πατριαρχεύων τέως Ἰσίδωρος, ἐπ' Ἄμωνος ἀναβεβηκώς, διεξῆλθε συγχώρησιν, ἣ καὶ ἣν τῶν ἁπάντων οὐδεὶς ᾧ ἤρεσκέ τε καὶ προσεδέδεκτο· ἀλλ' ὑπηνέμια παντάπασιν ἐδόκει, καὶ ἀμυδρότερα πάσης σκιᾶς, καὶ χλεύης καὶ μυκτῆρος ἄξια μακροῦ, καὶ μικροῦ δέω λέγειν, ἦν οὐδεὶς ᾧ μὴ γέλως τὰ λεγόμενα ἦν, καὶ ὅμοια ὥσπερ ἂν εἴ τις ἄμφω τὰς ὄψεις τελέως ἀφῃρημένος τοὺς τῶν ὀφθαλμῶν τὸν ἕτερον πεπηρωμένους ἰατρεύειν ὑπισχνεῖτο. Τοῖς γε μὴν σεμνοτέροις ταῦτα δὴ τὰ τοῦ Εὐαγγελίου διὰ γλώττης ἦν, « Ἔξελε (φάσκουσι) πρῶτον, ὑποκριτά, τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου· » καὶ αὖ ἐπὶ τούτοις ὁπόσα γε τούτοις ὁμόστοιχα. « Δέον γὰρ αὐτὸν (ἔφασκον) συγγνώμην ἑαυτῷ τὴν μείζω ζητεῖν ἐπὶ διπλοῖς καὶ πολλαπλοῖς τοῖς ἐγκλήμασιν, ὁ δὲ τοὺς οὐδὲν αὐτοῦ δεομένους ἀναιδῶς οὕτωσὶ θεραπεύειν ἠξίου, τοὺς μὴ πάνυ λεπρούς, εἰπεῖν, ὁ πάνυ λεπρὸς, καὶ τοὺς μικρᾶς δεομένους καθάρσεως ὁ ῥύπου καὶ πηλοῦ μεστὸς, κατὰ τοὺς χοίρους, οἳ τῷ βορβόρῳ ἐγκαλινδοῦνται. » Τοιούτοις μὲν δὴ καὶ μείζοσι τούτων αἱ πολλαὶ καὶ διάφοροι γλῶτται τῶν τηνικαῦτα παρόντων ἐκεῖ πρὸς αὐτὸν ἐπετόξευον σκώμμασι· καὶ σύνδυο καὶ σύντρεις ἐκ διαστήματος ἀθροιζόμενοι διεπόρουν ἀλλήλοις τά γε τοιαῦτα κοινούμενοι καὶ τὴν ἀναίδειαν λοιδοροῦντες ἐκείνου λάθρα καὶ ὑπ' ὀδόντα.

Β'. Ἦσαν δ' οἳ καὶ ἐκκεκαλυμμένως ἐς προῦπτον ἐλοιδοροῦντο τἀνδρὶ, μηδὲν ὑγιὲς μήτε δρῶντι, μήτε λαλοῦντι, μήτ' ἐν τῷ τότε παρόντι τῆς ὥρας, μήτ' ἐς τὸ ὕπιθεν τοῦ χρόνου. Μετὰ γάρ βραχύν τινα χρόνον, διὰ τὸ τῆς αὐτοῦ ῥαγῆναι κοινωνίας τοὺς πλείους τῶν ἐπισκόπων καὶ πρεσβυτέρων, πλῆθος ἀγοραῖον ἑαυτῷ θιασώτας ἀθροίσας [P. 499] τοιούτων τὴν ἐκκλησίαν ἀντὶ τῶν ῥαγέντων ἐνέπλησεν, ἐπισκόπους σχεδιάστας καὶ πρεσβυτέρους ἑτέρους, ὥσπερ οἱ μῦθοι πάλαι τοὺς σπαρτοὺς καὶ αὐθημερινοὺς γίγαντας, καὶ οὕτω κατὰ τῆς εὐσεβείας ἀμαθῶν λογίων ὁπλίσας πλεῖστα συνέδρια.

Γ'. Ἔπειτα θεραπεύειν ἠξίου λυπούμενον τῆς τῶν πατριαρχικῶν ἀποτυχίας θρόνων τὸν Παλαμᾶν, διδάσκαλόν τε ὄντα τοῦ θιάσου καὶ τῆς φατρίας καί οἱ τῶν ἀξιωμάτων αἴτιον· καὶ τοῦτον ἐπίσκοπον χειροτονεῖ Θεσσαλονικέων (62)· οἳ καὶ ἀπιόντα μήτε τινὰ τετυχηκέναι ξενίας πρὸς τῶν ἐκεῖ ξυμπέπτωκε πολιτῶν, καὶ ἅμα τὴν ἀπὸ Σκυθῶν πόρρωθεν εἰληφότα ῥῆσιν, εἰπεῖν, καθάπερ τι Κυλώνειον ἄγος ἐξ αὐτῶν εὐθὺς ἐπανιέναι ἐληλαμένον τῶν τῆς πόλεως ἀγρῶν καὶ προαστείων, πρὶν ἐντὸς γενέσθαι πυλῶν καὶ πρὶν ἐγγὺς ἐληλυθέναι τείχους.

Δ'. Ἀλλὰ ταυτὶ μὲν ἑτέροις καταλελοιπότας ἡμᾶς, οἳ πραγματείαν εἰς μῆκος ἰδίαν πεποίηνται πάνθ' ὁπόσα τοῖς ἐκκλησιαστικοῖς συμβέβηκε τότε δόγμασιν, χρεὼν, ἃ τῇ ἱστορίᾳ κεφαλαιωδῶς πως εἰρῆσθαι

A communionem esset admissurus; ideo Isidorus, qui tum patriarcha erat, ambone conscenso, scriptam recitavit absolutionem; quam nemo omnium fuit qui probaret et admitteret: sed inania prorsus ea, et umbra quavis futiliora, risuque et sanna dignissima videbantur. Quin illud pene dixerim, neminem fuisse, cui ea quæ dicebantur risum non moverint, perindeque habita sint, ac si quis, utroque oculo penitus orbatus, eos qui altero capti essent sanaturum se promitteret. Gravioribus certe viris illa Evangelii in ore erant: « Ejice primum, hypocrita, trabem de oculo tuo: et tunc festucam, quæ est in oculo fratris tui [1]: » aliaque addebantur his affinia. « Qui enim (aiebant illi) duplicis et multiplicis criminis reus eget ipse ampliori absolutione, is ita impudens est, ut eos, qui nihil ipso indigent, curandos suscipiat, non omnino leprosos, ut ita dicam, omnino ipse leprosus, et eos, qui parvo labore possint purgari, sordibus ipse et luto coopertus, porcorum instar, qui in cœno volutantur. » Talibus eum, imo et acerbioribus, dicteriis multæ et variæ eorum qui tum aderant linguæ incessebant; binique et terni ex intervallo coeuntes de his inter se ambigebant et colloquebantur, istius impudentiam clanculum et **793** mussitando conviciis insectantes.

B

II. Erant etiam qui aperte et propalam homini convicia facerent, nihil aut facienti aut dicenti, quod sani hominis esset, sive tunc sive postea. Nempe is paulo post, quia plerique episcoporum ab eo divulsi defecerant, plebeiam colluviem thiaso suo ascribendam coegit; et istiusmodi homines in eorum, qui defecerant, locum suffecit. Ita Ecclesiam factis ex tempore episcopis et sacerdotibus novis implevit; quales fabulantur fuisse satos illos et unius diei Gigantas; et doctorum indoctorum cœtus quamplurimos in religionem armavit.

C

III. Solari deinde Palamam statuit, mœstum et patriarchali sede exclusum se dolentem; solari, inquam, voluit gregis et sodalitii magistrum suæque dignitatis auctorem. Eum itaque Thessalonicensem episcopum eligit. At hic profectus illuc nec hospitio quidem ab ejus urbis civibus excipitur: sed e longinquo Scythicum, ut aiunt, responsum accipit, et tanquam Cyloneum aliquod piaculum ab ipsis statim ejusdem urbis agris suburbiisque, nondum portas ingressus, et antequam ad ipsos muros propius accessisset, ejectus redit.

D

IV. Verum hæc nos aliis relinquere oportet; iis videlicet, qui ea omnia, quæ tum ad doctrinam ecclesiasticam pertinentia acciderunt, delegere sibi fusius tractanda. Quæ autem summatim dici

[1] Matth. VII, 3.

Variorum notæ.

(62) Cantacuz. lib. IV, cap. 15. DUCANG.

(63) Fortasse Ephesi archiepiscopum his verbis indicat; de quo Cyparissiotes, *Palamicarum transgressionum* lib. I, serm. IV, cap. 10 in fine. BOIVIN.

historiæ conveniens est, ea jam percurrenda sunt, et series, quam nos supra interrupimus, continuanda.

προσῆκον, ἤδη διεξιέναι κατὰ τὸν ἄνω που παραλειφθέντα εἰρμόν.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ

ΡΩΜΑΪΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΛΟΓΟΣ ΙϚ΄

NICEPHORI GREGORÆ

BYZANTINÆ HISTORIÆ

LIBER DECIMUS SEXTUS.

CAPUT PRIMUM.

Cantacuzenus totam Thraciam, Medea excepta, Triballus omnem fere Macedoniam jam tum possidebat : ipsam Berrhœam paulo post cepit. Thessalonica neutri parebat. Hujus urbis status perturbatissimus. Zelotarum licentia. Medeæ urbis situs. Ut a Cantacuzeno obsessa et ad deditionem compulsa sit. Joannes et Manuel Asanes creantur sebastocratores. Prior uxorem ducit Alexii Apocauci filiam, Andronico Palæologo primum nuptam. Socrui suspectus domum cum uxore dimittitur. Gravis pestilentia. Andronicus, Cantacuzeni liberorum natu minimus, moritur.

795 I. Urbium Thraciæ, excepta Medea, quæ maritima est, nulla jam erat, quæ Cantacuzeno non pareret, ex quo Byzantium ingressus et ritu solemniore imperator declaratus fuerat. In Macedonia autem cum cæteræ jam subactæ a Triballorum principe erant, tum ipsa quoque Berrhœa paulo post in ejus ditionem concessit. Auxiliis enim destituta non poterat diu barbaricæ et pertinaci oppugnationi resistere. Atque interea fugitivus inde cessit is, qui tum temporis præfecti munere fungebatur, Manuel, imperatoris filius. Thessalonicæ vero neutrum placebat, neque Cantacuzeno submittere se, neque Triballorum principi.

A. Τῶν μὲν οὖν Θρᾳκικῶν πόλεων οὐδεμία, πλὴν τῆς παραλίου Μηδείας (64), ἐλέλειπτο, τοῦ μὴ ἐς ὑποταγὴν καταστῆναι τῷ Καντακουζηνῷ μετὰ τὴν ἐς Βυζάντιον εἴσοδόν τε καὶ τὸ τῆς αὐτοκρατορικῆς ἀναγορεύσεως ἐντελές. Ἐν δὲ Μακεδονίᾳ, τῶν ἄλλων ὑπακουσῶν τῷ τῶν Τριβαλλῶν ἡγεμόνι, Βέρροια μὲν (65) καὶ αὐτὴ μετ' ὀλίγον τῶν ὑπηκόων αὐτοῦ ἐγεγόνει, συμμαχίας ἄνευ ἐπὶ μακρὸν ἀντέχειν οὐ δυναμένη [P. 500] πρὸς βαρβαρικὴν καὶ ἐπίμονον μάχην, φυγάδος ἐκεῖθεν μεταξὺ γενομένου τοῦ τηνικαῦτα ἐπιτροπεύοντος Μανουὴλ, τοῦ τοῦ βασιλέως υἱοῦ. Θεσσαλονίκη δ' οὐκ ἤρεσκεν (66) οὐδενὶ προσρυῆναι, μήτε τῷ Καντακουζηνῷ, μήτε μὴν τῷ τῶν Τριβαλλῶν ἡγεμόνι.

II. Nempe eam urbem seditio jampridem **796** occuparverat, et eorum, qui Zelotæ nominabantur, factio cæteris præerat : isque erat status, qui ad nullam referri posset reipublicæ formam. Nec enim aristocraticus is erat, qualem Lycurgus olim apud Lacedæmonios constituit ; neque democraticus, qualis Athenis primum fuerat, et deinde ex-

Β'. Στάσις γὰρ ἐκ πολλοῦ κατεῖχεν αὐτήν· καὶ Ζηλωτῶν (67) οὕτωσί πως ὠνομασμένων ἄθροισμα τῶν ἄλλων ἐπρώτευε· καὶ ἦν πρὸς οὐδεμίαν τῶν πολιτειῶν τὴν μίμησιν ἀναφέρουσα. Οὔτε γὰρ ἀριστοκρατική τις ἦν, ὁποίαν τοῖς πάλαι Λυκοῦργος Λακεδαιμονίοις ἀνύειν προσετετάχει· οὔτε τις δημοκρατική, καθάπερ τῶν Ἀθηναίων ἡ πρώτη τε καὶ

Variorum notæ.

(64) Ita Cantacuzen. lib. IV, cap. 9, Μήδειαν τὴν κατὰ Πόντον παράλιον πόλιν vocat, cujus quidem nescio an alii meminerint, nisi illa sit de qua agit Tzetzes Chil. IV, sect. 72, ubi observat cum et scribi, cum Μηδία appelletur, Medorum regio, per ι.

Μηδείας τῆς Ἀλήτου μὲν ἦτα σὺν διῤῥόγῳ.

Illius porro situm mox describit Gregoras : ἥ γε μὲν Θρᾳκικὴ Μήδεια ἧ δυτικωτέραν τι ἔχει Βυζαντίου τὴν θέσιν, καὶ πρὸς τῷ ἄκρῳ τοῦ χ Εὐξείνου κειμένη Πόντου σταδίους ἐντεῦθεν ἀπέχει μικρόν τι τετρακοσίων ἐπέκεινα. DUCANG.

(65) Cantacuzenus lib. IV, cap. 4, ut Manuele filio expulso Berrhœenses Crali urbem tradiderint narrat. DUCANG

(66) Cantacuzen. lib. IV, cap. 15 extr. DUCANG.

(67) De quibus hic et alibi non semel idem Cantacuzenus. DUCANG.

ἦν ἐκ τετραφύλων εἰς δεκαφύλους ἐπεπράχει Κλεισθένης· οὐδ' ἦν τε Ζάλευκος τοῖς Ἐπιζεφυρίοις Λοκροῖς ἐδράβευσε καὶ ἦν τοῖς ἐν Σικελίᾳ Χαρώνδας ὁ Καταναῖος· οὔτε τις ὑπὸ δυοῖν ἢ πλειόνων εἰς ἓν τι κραθεῖσα καινότερον εἶδος, ὁποῖαί τινες ἦσαν ἥ τε Κυπρίων καὶ ἣν ἐν τῇ πάλαι Ῥώμῃ τὸν δῆμον, κατὰ τῶν ὑπατικῶν ἀνδρῶν στασιάσαντας, καταστήσασθαι λέγεται· ἀλλ' ὀχλοκρατία ξένη τις καὶ οἵαν φέροι ἂν καὶ ἄγοι τὸ αὐτόματον. Θρασύτεροι γάρ τινες, εἰς αὐτοχειροτόνητον αὐθεντίας ἄθροισμα συλλεγέντες, πᾶσαν ἐκεῖ κατατρέχουσιν ἡλικίαν, τῆς τε πόλεως ἐκδημαγωγοῦντες τὸν ὄχλον πρὸς τὸ βουλόμενον καὶ τῶν πλουτούντων ἀφαιρούμενοι τὰς οὐσίας, τρυφῶντές τε καὶ αὐτοὶ καὶ μηδενὶ τῶν ἔξωθεν ὑπείξαι κελεύοντες ἡγεμόνων, ἀλλὰ τοῦτ' εἶναι κανόνα καὶ νόμον τοῖς ἄλλοις, ὅπερ ἂν ἐκείνοις δόξειεν.

A stitit, postquam Clisthenes ex quatuor tribubus decem effecit; nec similis ei, cujus auctor Zaleucus apud Locros Epizephyrios; neque ei, cujus in Sicilia Charondas Catanæus; neque una aliqua reipublicæ forma recentior, conflata ex duabus aut pluribus inter se commistis, qualis fuit et apud Cyprios, et ea quam in veteri Roma dicitur plebs constituisse, seditione adversus consulares facta; sed inusitatus quidam penes multitudinem dominatus et is, quem casus temere ferret, genitus. Quidam enim audaciores, cum sociis ejusdem potestatis privata auctoritate coivissent, in omnem ibi ætatem grassabantur, plebem quidem, quæcunque erat in civitate, mancipatam libidini suæ habentes; eos autem, qui opulentiores essent, fortunis spoliantes; simulque et ipsi licentia exsultabant, et aliis auctores erant, ut externorum principum nulli se submitterent, sed ea omnes lege ac regula uterentur, quæ ipsis placuisset.

Γ'. Ἡ γε μὴν Θρᾳκικὴ Μήδεια, ἡ δυτικωτέρα τε ἔχει Βυζαντίου τὴν θέσιν καὶ πρὸς τῷ ἄκρῳ τοῦ Εὐξείνου κειμένη πόντου σταδίους ἐντεῦθεν ἀπέχει μικρόν τι τετρακοσίων ἐπέκεινα, πρὸς ὀλίγον ἀποστατήσασα, καὶ καθ' ἑαυτὴν γενομένη, πολλὰ μὲν ἔδρασε κατὰ Βυζαντίων δεινά, πλεῖστα δ' ἐπεπόνθει· τέλος δὲ πολιορκηθεῖσα προὔδωκεν ἑαυτὴν Καντακουζηνῷ καθ' ὁμολογίαν. Καὶ ταῦτα μὲν τῇδέ πη ἔσχε.

III. At Medea, urbs Thraciæ, quæ magis quam Byzantium ad occidentem vergit, et Ponti Euxini extremitati adjacet, stadiisque hinc distat paulo plus quadringentis, cum haud diu rebellasset, et seorsum sola stetisset, multa gravia adversus Byzantios patravit; plurima item perpessa est. Ob sessa demum Cantacuzeno se ex 797 pactione dedidit. Et hæc quidem ita ferme se habuerunt.

Δ'. Σεβαστοκράτορες δ' ἐπὶ τούτοις (68) ὑπὸ τοῦ βασιλέως οἱ δύο τῆς βασιλίδος Εἰρήνης χειροτόνηνται ἀδελφοί, Ἰωάννης καὶ Μανουήλ, καὶ τοῖς τῷ τοιούτῳ προσήκουσιν ἀξιώματι παρασήμοις (69), ἔν τε καλύπτραις καὶ ὑποδήμασιν ἅμα, κεκόσμηνται. Ὧν ἕτερος, ὁ Ἰωάννης, ὀλίγῳ ὕστερον ἐς τὸ τῶν Ἐπιβατῶν ἀπιῶν φρούριον τῇ Ἀλεξίου τοῦ Ἀποκαύκου θυγατρὶ συνεζύγη· ἣ συνῳκήκει πρότερον ὁ Παλαιολόγος Ἀνδρόνικος (70), ὃν πνιγῆναι κατὰ τὸν περὶ Διδυμότειχον καὶ Ἀδριανούπολιν ποταμὸν ἀνωτέρω (71) που δεδηλώκαμεν. Βραχὺν δ' ἐκεῖ διατρίψοντα χρόνον ἔπειθ' ἑκόντα προὔπεμπε τὸν Ἰωάννην [P. 501] σύν γε τῇ νέᾳ συζύγῳ λαμπρῶς ἡ πενθερὰ ἐς τὸ τῆς Τραϊανουπόλεως ἔγγιστα φρούριον, τὴν τῶν Ἀδήλων λέγω μονήν (72). Ἔνθα τὰς τῶν οἰκήσεων ἐπαύλεις καὶ τοὺς ἀγροὺς ἐκ πολλοῦ πρὸς Καντακουζηνοῦ κεκλήρωται τοῦ βασιλέως. Ἐδεδίει γὰρ ἐκείνη, μὴ χειρωσάμενος ἐκεῖνος τὸ τῶν Ἐπιβατῶν φρούριον μετὰ τῶν χρημάτων ἐκεῖθεν ἔξω στον ταύτην ποιήσηται.

IV. Creantur deinde ab imperatore sebastocratores duo Irenes imperatricis fratres, Joannes et Manuel, et illius dignitatis insignibus, capitis nempe simul et calceis, decorantur. Horum alter, Joannes videlicet, paulo post ad castellum Epibatarum profectus Alexii Apocauci filiam uxorem duxit, Andronico Palæologo antehac nuptam, quem in eo fluvio, qui Didymotichum et Hadrianopolim præterfluit, suffocatum esse supra diximus. Ibi Joannes aliquantisper commoratus est. Mox eum socerus volentem inde, cum nova nupta, ad proximum Trajanopoli castellum magnifice prosecutus est; ad monasterium nempe Adelorum, ubi et domos et agros ei jampridem Cantacuzenus imperator assignaverat. Verebatur quippe illa, ne Epibatarum castello simul et pecuniis potitus gener eam inde exsulare cogeret.

Ε'. Κατὰ τοῦτον μέντοι τὸν χρόνον νόσημα τοῖς

V. Ea tempestate morbus quidam gravis et pe-

Variorum notæ.

(68) Cantacuzen. lib. IV, cap. 5. DUCANG.

(69) Codin. De *Offic. aulæ Constantinop.* cap. 3, n. 16, descriptis ejusmodi insignibus Sebastocratoricæ dignitatis, hæc subdit: ὁ δὲ βασιλεὺς ὁ Καντακουζηνὸς, τοὺς γυναικαδέλφους αὐτοῦ Ἰωάννην καὶ Μανουὴλ τοὺς Ἀσανίους τιμήσας Σεβαστοκράτορας, δέδωκεν αὐτοῖς φορεῖν ταμπάρια καὶ κάλτζας, οἷα καὶ οἱ Δεσπόται. Quid vero sit ταμπάριον diximus in *Gloss. med. Lat.* in *Tabardum* et in *Gloss. med. Græcit.* DUCANG.

(70) Cantacuzen. lib. III, cap. 71; Gregoras lib. III, cap. 10. DUCANG.

(71) Lib. XIV, cap. 5, sect. 6. BOIVIN.

(72) Vide notata ad lib. XII, cap. 16, sect. 1. DUCANG. — Ducangius putabat Gregoram hoc loco Ἀδήλων μονὴν vocare illud monasterium quod alibi Ἀδήρων μονὴν vocavisset. At non verisimile est. Nam alibi quidem de monasterio Anderorum seu Abderorum, tanquam de utriusque Asanis carcere, locutus est: hic autem Adelorum monasterii meminit, ut ejus loci in quo alter Asanes prædia habuerit, sibi jampridem assignata a Cantacuzeno. BOIVIN.

stilens homines invasit; ducto ab Scythis et Mæotide Tanaidisque ostiis initio, recente adhuc vere, annumque illum perpetuum duravit, pervadens et corrumpens solam præcise maritimam terræ oram, urbes simul et agros, tum nostros, tum eos omnes, qui continenti tractu ad Gades usque et Herculis columnas pertinent. Anno autem sequente etiam ad Ægæi maris insulas transiit. Deinde et Rhodios attigit, **798** et Cyprios, et quicunque cæteras insulas colunt. Absumebat autem tabes illa viros æque et mulieres, opulentos et inopes, seniores et junieres; uno verbo, nulli nec ætati nec conditioni parcebat. Domus pleræque habitatoribus omnino exhauriebantur uno die, interdum biduo, cum nemo cuiquam afferre auxilium posset, sive vicinus, sive genere et sanguine conjunctus. Nec vero homines solos morbus ille usque flagellabat; sed et si qua alia animalia cum hominibus plerumque degerent et habitarent, canes, inquam, et equos, et cujusquemodi avium genera; ipsos etiam mures, si qui forte in domorum parietibus latitabant. Signa autem mali eminentia, et subitæ mortis præmuntia, hæc erant: tumor circa crurum brachiorumque extrema enascens, et sanguinolenta simul tabes; quæ eos, qui correpti erant, ea ipsa nonnunquam die, sedentes aut ambulantes e vivis statim efferebant. Eo tempore et Andronicus, imperatoris liberorum natu minimus, mortuus est.

ἀνθρώποις (75) ἐνέσκηψε βαρὺ καὶ λοιμῶδες, ἀρξάμενον ἀπὸ Σκυθῶν καὶ Μαιώτιδος καὶ τῶν τοῦ Τανάϊδος ἐκβολῶν ἦρος ἄρτι καθισταμένου, καὶ διήρκεσεν ἅπαντα τὸν ἐνιαυτὸν ἐκεῖνον, μεταβαῖνον καὶ διαφθεῖρον ὡσαύτως μόνην ἐς τάχριβὲς τὴν παράλιον οἰκουμένην, πόλεις ὁμοῦ καὶ χώρας, τάς τε ἡμετέρας καὶ ὅσαι κατὰ τὸ συνεχὲς διήκουσιν ἄχρι Γαδείρων τε καὶ στηλῶν Ἡρακλείων. Δευτέρου δ' ἐπιόντος ἔτους μετέβη καὶ ἐς τὰς τοῦ Αἰγαίου νήσους. Ἔπειτα καὶ Ῥοδίων ἥψατο, καὶ Κυπρίων ὁμοίως, καὶ ὅσοι τὰς ἄλλας νέμονται νήσους. Ἐπενέμετο δὲ τὸ πάθος ἐπίσης ἄνδρας καὶ γυναῖκας, πλουσίους καὶ πένητας, γηραιοὺς καὶ νέους, καὶ ἁπλῶς εἰπεῖν, οὐδεμιᾶς οὔθ' ἡλικίας οὔτε τύχης ἐφείδετο. Ἐκενοῦντο δ' οἶκοι πλεῖσται καθάπαξ τῶν οἰκητόρων ἁπάντων μιᾶς ἡμέρας, ἢ καὶ δυοῖν ἐνίοτε, μηδενὸς μηδενὶ βοηθεῖν δυναμένου, μήτε ξὴ τῶν γειτονούντων, μήτε μὴν τῶν κατὰ γένος καὶ καθ' αἷμα προσηκόντων οὐδενός. Οὐ μόνους γε μὴν ἀνθρώπους τὸ πάθος οὐτωσὶ διετέλει μαστίζον· ἀλλὰ καὶ εἴ τι κατ' οἶκον ὡς τὰ πολλὰ τοῖς ἀνθρώποις ἐκείνοις συνέζη τε καὶ συνῴκει τῶν ἄλλων ζώων· κύνας φημὶ καὶ ἵππους καὶ ὀρνίθων παντοῖα γένη, καὶ εἴ τινες ἐν τοῖς τῶν οἴκων τοίχοις οἰκοῦντες ἔτυχον μύες. Σημεῖα δὲ τοῦ τοιοῦδε νοσήματος ἦν ἐξανθοῦντα, καὶ τοῦ ἄθρόου πρόδρομα θανάτου ἐκείνου, ὀγκώδης τε ἔκφυσίς τις περὶ τὰς ἀρχὰς τῶν μηρῶν καὶ τῶν βραχιόνων καὶ ἅμα αἱματώδης φθόη· ἃ τοὺς συσχεθέντας αὐθημερὸν ἐνίοτε, καθημένους ἢ βαδίζοντας, τοῦ παρόντος ἀπῆγε τάχιστα βίου. Ὅτε δὴ καὶ Ἀνδρόνικος (74), ὁ τῶν υἱέων τοῦ βασιλέως νεώτερος, ἐτεθνήκει.

Ils erat rerum status, cum Joanni Asani, qui cum in agris Adrianopoli circumjectis versabatur, Matthæum nepotem suum libuit privatim convenire. Hic imperatoris liberorum natu maximus urbibus Thraciæ præfectus a patre tum fuerat. Casu autem accidit, ut in eumdem cum avunculo locum deveniret, et iisdem uterque venationibus uterentur. Libuit, inquam, **799** Asani, arcana animi cogitata cum hoc communicare. Prior itaque exorsus hanc orationem habuit:

CAPUT II.

Matthæus, Cantacuzeni filius natu maximus, Thraciæ urbibus a patre præfectus, ab Asane avunculo privatim convenitur. Asanes sua et fratris merita erga Cantacuzenum jactat: quem suorum saluti non consulere queritur. Matthæum ad defectionem hortatur. Matthæus respondet, id ipsum cupere se. Imminentium periculorum metu, et patris exemplo, futuram defectionem excusat. Avunculo adjutore rem aggreditur. Orestiadis arcem occupat. Animos sibi conciliat.

[P. 502] Α'. Τῶν μέντοι πραγμάτων (75) ἐν τούτοις ὄντων, ἔδοξε τῷ Ἀσὰν Ἰωάννῃ, τοῖς περὶ τὴν Ἀδριανούπολιν χωρίοις ἄρτι τὰς διατριβὰς ποιουμένῳ, τὸν ἀδελφιδοῦν ἰδίᾳ παρειληφότι Ματθαῖον (ὃς καθ' ἡλικίαν προὔχων τῶν βασιλέως παίδων τῶν τε ἐν Θράκῃ πόλεων τὴν ἐπιτροπὴν πρὸς τοῦ πατρὸς καὶ βασιλέως ἐκληρώσατο τηνικαῦτα, καί οἱ συμβέβηκεν ἐν ταυτῷ ξυνιέναι τῷ θείῳ, καὶ κυνηγεσίοις χρήσασθαι τοῖς αὐτοῖς) ὧν αἱ καρδίας αὔλακες θαλαμεύουσι λογισμῶν ἐκείνῳ κοινώσασθαι· καὶ ἀρξάμενος ἔλεξε τοιάδε·

Β'. « Εἰ μὲν τύχην, » φησὶν, « τινὰ καὶ τυραννοῦσαν πεπρωμένην τοῖς ἀνθρώποις τὰ πράγματα πρυτανεύειν οἴεσθαι ἔπεισί σοι, ἢ τῷ αὐτομάτῳ δεδωκυῖαν τὴν τῶν πραγμάτων ὁδόνην ἀτέκμαρτόν τινα καὶ ἀκυβέρνητον φέρεσθαι πλοῦν, σιωπᾷν τε ἄμεινον καὶ τὸν τῆς πεπρωμένης ἄδηλον περιμένειν μῖτον. Εἰ δὲ προαιρέσει καὶ βουλῇ τὰ ἐφ' ἡμῖν ὡς

Variorum notæ.

(75) Pestilentiam pariter hanc insignem, quæ tum grassata est, eleganter describit Cantacuz. lib. IV, cap. 8. DUCANG.

(74) Cantacuzen. loco laudato. DUCANG.

(75) Hanc Matthæo filio propositam defectionem attigit Cantacuzenus, lib. IV, cap. 7, 8, ubi de Joanne Asane silet. DUCANG.

ἐπὶ τὸ πλεῖστον διοικεῖσθαι δέδοται, τοῦ χάριν, παρὸν ἡμᾶς ἐκ τοῦ ῥᾴστου καρποῦσθαι τὸ ζῆν ἀκινδύνως, ἐθέλοντὰς ἡμῖν αὐτοῖς πάντοδαπῶν περιπλέκειν δίκτυα φόβων; Οἶσθα γὰρ, ὡς μυρίους ἐν τῇ ὑπερορίᾳ διηντλήκαμεν μόχθους μετὰ μακρῶν καὶ παντοδαπῶν τῶν κινδύνων, ὁπόσοι θανάτου γείτονες ἐπεφύκεσαν, τῷ σῷ πατρὶ περιποιούμενοι τὸ ἀκίνδυνον· ὡς δεύτερα εἶναι τὰ Διοσκούρων ἐγκώμια, καὶ εἴ τινες Ὀρέσται καὶ Πυλάδαι τὸν μακρὸν ἐμπεπλεκότες αἰῶνα φιλαδελφίας ὑποδειγμάτων, εἴ τις τὰ ἡμέτερα τοῖς ἐκείνων ἀντεξετάζειν ἐθέλει. Καὶ ἦν ἡ τοὺς τοιούτους ἀεὶ κατὰ τοῦ σοῦ μηχανωμένη πατρὸς διωγμοὺς καὶ θανάτους Ἄννα ἡ βασιλὶς, πρόσωπον ἀληθείας ἔχουσαν οὐδ' ἡντινοῦν προβάλλεσθαι δυναμένη πρόφασιν κατ' αὐτοῦ. Παρ' ἧς ἐγώ τε καὶ οὗμὸς ἀδελφὸς Μανουὴλ πολλὰς ἐδεξάμεθα λάθρα μεθ' ὅρκων παντοίων γραφὰς, ἡμῖν τε κτημάτων ὁμοῦ καὶ χρημάτων προσόδους ἐπαγγελλομένης καὶ ἅμα τοῖς καθειργμένοις γονεῦσιν ἐλεύθερον ἦλιον. Ἀλλ' ἡμεῖς γε, τοὺς τῆς δίκης σέβειν ἐθέλοντες ὁρόνους, ἐν ἀσαλεύτοις ἔχειν ὅροις ἐρηρεισμένους τοὺς πόδας ἐκρίναμεν δεῖν, καὶ μὴ διὰ φαυλότερον ἀγαθὸν [P. 503] διηνεκεῖς τινας τῷ συνειδότι μάστιγας προξενεῖν. Τὸ γὰρ διὰ τὴν ἐμαυτοῦ σωτηρίαν σε μετὰ τοῦ σοῦ προδιδόναι πατρὸς (ἐῶ γὰρ τὴν ἄλλην ἐνταῦθα λέγειν συγγένειαν, ἢ τῶν κινδύνων ξυμμετέχειν τε καὶ παραπολαύειν ξυνέβαινεν) ὅμοιον ἦν, ὥσπερ ἂν εἰ ἐμαυτὸν ἀντ' ἐμαυτοῦ προεδίδουν, καὶ τοὐμὸν ἐκὼν παρεῖχον αἷμα κατὰ γῆς κενοῦσθαι διὰ τοὐμὸν εἰπεῖν αἷμα. Οὕτως εἰς αἰνίγματος λόγον τὴν ἐντεῦθεν ἀνέφερον ἔννοιαν, καὶ λύσιν οὐχ εὕρισκον οὐδεμίαν, ὥστε καθ' ἓν γέ τι παραλογίσασθαι τὰς τῶν τότε λογισμῶν κρηπῖδας. Ἄγουν οὐτωσί πως ἐφυλαξάμην αὐτὸς ἐν τῷ τότε παρόντι μὴ ὁρᾷν, νῦν τὸν πατέρα τὸν σὸν κατὰ σοῦ καὶ τῆς σῆς ὁμοῦ συγγενείας ἁπάσης ὁρῶ δεδρακότα· ναὶ μὴν καὶ κατὰ πάντων, ἁπλῶς εἰπεῖν, ὁπόσοις τοὺς μακροὺς ἐκείνους τετύχηκεν ἄθλους δραμεῖν, στρατιώταις καὶ στρατηγοῖς, οἷς μὲν τοὺς ὑπερορίους ἐκείνους, οἷς δὲ τοὺς κατ' οἶκον, καὶ οἷς τὰς ἐν δεσμωτηρίοις κακώσεις. Οὐ γὰρ ἁπλοῦν ὑπῆρχεν ὃ τοῖς ταλαιπώροις τότε ξυνηνέχθη πάθος, οὐδ' ἐπὶ βραχύν τινα τὸν χρόνον, ὅτι μὴ παντοδαπὸν καὶ ποικίλον, κἀπὶ μακροῖς ἐντεταμένον τοῦ χρόνου τοῖς ὅροις. Οὕτω χαλεπὰ μὲν, οἷς ἐθελοντὰς ἡμεῖς ἑαυτοὺς καθήκαμεν πάθεσι τότε· χαλεπώτερα δ' οἷς ἄκοντες νῦν πρὸς τοῦ σοῦ πατρὸς ὑπεβλήθημεν ἀναξίως ἡμῶν. Ὑπὲρ γὰρ ἐλευθερίας εὐδαίμονος τρέχοντες δουλείαν ἐλάθομεν ἀλλαξάμενοι κακοδαίμονα τῶν μακρῶν ἐκείνων πόνων καὶ δρόμων. Οὓς γὰρ ὡς ἐπιβούλους σφοδροὺς τῆς ἡμετέρας ἐφεύγομεν ζωῆς, τούτους δεσπότας μάλα τοι ἄσμενος ἡμῖν ὁ σὸς ἐκεχειροτονήκει πατήρ· ὥσπερ ἂν εἰ ἐπίτηδες οὕτω τοὺς πολλοὺς ἡμεῖς ὑπεμένομεν πόνους, ἵνα τὰ τῶν διωκόντων ξίφη θᾶττον ἢ κατὰ τὴν ἐκείνων βούλησιν τοῖς ἡμετέροις λαιμοῖς προσαράξωμεν, καὶ ἵνα παρὰ τοσοῦτον πικρότερα τῶν διωγμῶν τὰ τῶν ἀμοιβῶν καρπωσώμεθα τέλη, παρόσον τότε μὲν ἐλπίδες εὐδαίμονες ἡμῶν τὸ ἡδόμενον ἔδοσχον· νῦν δὲ καὶ τὰς

A quibus facillimum est vitam agere omnis periculi expertem, ultro ipsi nobis multiplices metus, veluti retia quædam, nectimus? Scis quippe nos infinitos labores, cum magnis multisque et proximis morti periculis conjunctos, exhausisse, ut patri tuo securitatem redimeremus. Itaque et gemellorum Jovis liberorum, et quotquot unquam Oreste et Pyladæ charitatis fraternæ exemplis longas saeculorum ætates impleverunt, minor profecto laus fuerit, si quis velit eum illorum rebus nostras conferre. Hæc patri tuo pericula, has mortes Anna imperatrix, nullo colore, nullo probabili prætextu ei infensa, perpetuo usque conflabat. Ego vero et frater meus Manuel multas ab ea litteras clam accepimus; per quas illa, quovis jurejurando interposito, possessiones B nobis pecuniariosque reditus, parentibus vero vinctis libertatem pollicebatur. Sed nos justitiæ tribunal revereri et intra limites immotos fixa tenere vestigia maluimus, quam vilioris **800** emolumenti gratia perpetuos conscientiæ stimulos admovere. Enimvero salutis meæ causa teque et patrem tuum prodere (ut hoc loco sileam et aliam cognationem, quæ periculorum socia et particeps erat) perinde illud fuit, ac si mei causa me ipsum prodidissem, et sanguinis mei conservandi studio meum sanguinem ultro effudissem. Adeo ejusmodi cogitationem ænigmati similem esse statuebam; adeo nulla a me solutio reperiebatur, quæ consiliorum meorum firmas rationes vel minimum labefactaret. At ea C quæ per illud tempus cavi ego ne admitterem, ea ipsa nunc in te et in totam cognationem tuam video a patre tuo admissa esse: imo et in omnes prorsus milites ac duces, qui magnos illos labores sive foris sive domi decurrerunt; atque in eos ipsos, qui carceris ærumnas pertulere. Non enim simplex fuit ea, quæ tum incidit miseris calamitas, neque in breve tempus duravit; sed multiplex et varia, et in longum temporis spatium diffusa. Quamobrem etsi gravia fuere ea mala, quibus ipsi nos ultro tum injecimus, graviora tamen illa sunt, quibus nunc inviti a parente tuo et indigni subjicimur. Nam qui beata pro libertate certabamus, miseram servitutem diutinis illis laboribus D cursibusque imprudentes permutavimus. Quos nempe ut salutis nostræ insidiatores acerrimos vitabamus, eos nobis parens tuus dominos volens et libens destinaverat. Quasi vero nos tot labores consulto pertulissemus, ut eorum, qui nos persequebantur, gladios jugulis nostris citius quam illi vellent **801** admoveremus, atque ut eam perciperemus demum mercedem, quæ ipsis fugæ ærumnis eo esset acerbior, quod illis quidem temporibus præclaræ spes cupiditatem nostram alebant; nunc vero ipsam quoque spei suavissimam auram tuus nobis pater aperte eripuit. Neminem enim puto esse, qui pignoribus firmis cavere nobis possit, non curaturam esse Annam imperatricem, ut omnes cita morte statim puniamur, qui parenti

tuo superstites futuri summs. Age igitur, quandiu A summus nostri juris, præclarum facinus concipe, meisque tui et mei causa consiliis obsequere, quo nos turpe et ignobile periculum sic propulsemus. Tutius imperii parte ablata, proprium tibi parare imperium enitare, quod parenti quidem tuo, dum is victurus est, subjiciatur; eo autem mortuo, peculiare sit et firmum tibi salutis præsidium. Duorum enim alterum nobis inde futurum est, ut aut securi salutarem fortunam consequamur, aut præsentis vitæ calamitatibus quam celerrime liberemur; quibus interesse tolerabile iis duntaxat esse existimo, qui non ingratum illud et miserrimum putant, solem habere ignominiæ suæ testem perpetuum. » Hæc Joannes Asanes. Matthæo sororis suæ filio in hunc fere modum suasit, sui et illius, item cognatorum et amicorum securitati prospiciens.

τῶν ἐλπίδων γλυκείας αὔρας ὁ σὸς ἡμῶν ἐκ τοῦ προφανοῦς ἀφήρηται πατήρ. Εἶναι γὰρ τῶν ἀπόντων οἶμαι μηδένα, ὃς ἂν ἐνέχυρα παρέχεσθαι δύναιτο, μὴ θάνατον εἶναι ταχύπουν εὐθὺς τὰ πάντων ἡμῶν ἐπιτίμια πρὸς τῆς βασιλίδος Ἄννης, οἷς δήπουθεν ἐξέσται ζῆν μετά γε τὴν τοῦ σοῦ πατρὸς ἀπαλλαγήν. Φέρε τοίνυν, ἕως ἡμῶν αὐτῶν ἡμεῖς ἐσμεν κύριοι, γενναῖόν τι δρᾶσαι προθυμήθητι, ταῖς ἐμαῖς ὑπὲρ σοῦ καὶ ἡμῶν πειθόμενος συμβουλαῖς, ἵν' οὕτωσί πως τὸν αἰσχρὸν καὶ ἀκλεᾶ κίνδυνον ἀποκρούσασθαι δυνηθῶμεν. Μέρος γὰρ τῆς ὅλης ἀρχῆς ὑφελόμενος οἰκείαν σαυτῷ περιποιήσασθαι προθυμήθητι βασιλείαν, ζῶντι μὲν ὑπήκουσαν τῷ σῷ πατρὶ, τελευτῶντι δὲ, ἰδιότροπον ἐσομένην σοι τοῦ ζῆν καταφύγιον ἀσφαλές. Δυοῖν γὰρ ἐντεῦθεν ἡμῖν ἔσται θάτερον, ἢ τὴν σώζουσαν ἐκ τἀσφαλοῦς καταχτήσασθαι τύχην, ἢ τῶν τοῦ παρόντος ἀπηλλάχθαι τὴν ταχίστην βίου δυσχερῶν· οἷς συνεζηκέναι, [P. 5114] φαίνεται οὐδὲ σφόδρα κακόδαιμον, μάρτυρας τῆς Ἀλλ' ὁ μὲν Ἀσὰν Ἰωάννης τοιάνδε τινὰ διεξῄει τε κἀκείνῳ καὶ συγγενέσι καὶ φίλοις προμνώμενος τὸ ἀκίνδυνον.

B

μόνοις εἶναι φορητὸν ἐκείνοις οἶμαι, οἷς οὐκ ἄχαρι αἰσχύνης διὰ βίου τὰς τοῦ ἡλίου κεκτῆσθαι αὐγάς. » τὴν συμβουλὴν πρὸς τὸν ἀδελφιδοῦν Ματθαῖον, ἑαυτῷ

III. Matthæus vero ex sorore nepos his illum excepit: « Iidem **802** et me semper circumstant metus noctu pariter et interdiu, o bone; et quemadmodum illæ Persarum navales copiæ Eretriam olim Artemisiumque circumsidebant, ita animum meum multa diversaque cogitationum agmina undique obsident, quasi insulam onerariæ aliquæ naves ac triremes terrorum plenæ et curarum gravissimarum, quæ piratico veluti impetu appulsæ advehant nobis præsagia evidentis infelicitatis. Parturio itaque, et eos qui inde oriuntur dolores perfero; parere autem, et id quod angit excutere haud possum, patrias reveritus naturæ leges, quæ nec in iis quidem, quæ sunt manifesto justa, filios parentibus adversari sinunt. Ac tibi quidem sæpenumero arcanum illud aperire volui; obsecundantem vero linguam minime habui. Etenim illa, statim atque cordis fetum educere in lucem inceperat, nervis quasi resolutis impetum remittebat, cum eam patris reverentia, veluti torpor aliquis prævalens, graviter constrictam haberet. Atque ita mihi, quæ animo agitaveram, ad nihilum rursus recidebant, et facillime subvertebantur. Quod si de aliis quibuscunque rebus ageretur, ac non totum illud periculum, in quo sumus, ad vitam pertineret, eo illud magis neglexissem, quod non solum a cæteris plerisque nihil distare me existimem; sed etsi intelligentiam a natura ita comparatam haberem, ut magnitudine sua æthereos axes ut ingere et cœlestibus tabernaculis hospes excipi videretur, facillime eam ego paternæ auctoritatis pedibus subjecissem. **803** At nunc, ut et ipse planiori utar oratione, quadam veluti porta a te, qui secundum a patre locum apud me obtines, patefacta, quoniam vita omnibus hominibus chara est, et multi sæpe, subitis periculis circumstantibus, supremam induerunt potestatem, quasi salutis

C

Γ'. Πρὸς ὃν ὁ ἀδελφιδοῦς Ματθαῖος ἠμείβετο τάδε· « Κἀγὼ τοῖς αὐτοῖς ἀεὶ περιστοιχίζομαι φόβοις νύκτωρ καὶ μεθ' ἡμέραν, ὦ βέλτιστε· καὶ ὥσπερ τῶν Περσῶν ἐκείνων αἱ ναυτικαὶ δυνάμεις Ἐρέτριαν πάλαι καὶ Ἀρτεμίσιον περιελήλυθυῖαι συνεῖχον, οὕτω τὴν ἐμὴν καρδίαν παντοδαποὶ κυκλοῦσιν ἀεὶ χοροὶ λογισμῶν, ὥσπερ νῆσον φορτίδες τινὲς καὶ τριήρεις, φόβων γέμουσαι καὶ φροντίδων μακρῶν, αἳ τῆς μελλούσης ἡμῖν, ὥσπερ ἐξ ἐφόδου λῃστρικῆς, κατάγουσαι φέρουσι μνήμας προφανοῦς κακοδαιμονίας. Ἐξ ὧν ὠδῖνας μὲν ἔχειν ἔνεστι, καὶ τὰς ἐντεῦθεν ὑπομένειν ἀλγηδόνας· τίκτειν δ' ἥκιστα ἔνεστι, καὶ ἀποσκευάζεσθαί πως τὸ λυποῦν, ὑφορωμένῳ τοὺς πατρίους τῆς γενέσεως νόμους, οἳ μηδ' ἐς τὰ προφανῆ συγχωροῦσι δίκαια πατράσιν υἱέας ἀντινομοθετεῖν. Καί σοι πολλάκις; ἐγὼ τὸ ἀπόῤῥητον βουληθεὶς ἐξειπεῖν τὴν μαιευσομένην ὅμως οὐκ εἶχον γλῶτταν. Ἀρχομένη γὰρ πρὸς φῶς ἐξάγειν τὸ τῆς καρδίας ἔμβρυον τοὺς τόνους εὐθὺς παρελύετο τῆς ὁρμῆς, καθάπερ ὑπὸ νάρκης τινὸς ἐνδυναστευούσης σφοδρῶς πεδουμένη, τῆς τοῦ πατρὸς αἰδοῦς δηλαδή· καί μοι τὰ τῆς γνώμης ἐς τὸ μηδὲν αὖθις ἐχώρει, καὶ κατεστρέφετο ῥᾳστα. Εἰ οὖν περὶ ἄλλων ὁτωνδήποτε πραγμάτων ὁ λόγος ἦν, καὶ ἥκιστα περὶ τὸ ζῆν ὁ πᾶς ἡμῖν ἐκινδυνεύετο φόβος, παρὰ τοσοῦτον ἠμέλησα ἄν, παρόσον μὴ ὅτι τῶν πολλῶν οὐδὲν αὐτὸς διαφέρειν οἶμαι, ἀλλ' εἰ καὶ σύνεσιν εἶχον ἐκ φύσεως οὕτωσὶ κεχορηγημένην, ὡς διὰ μήκεθος αἰθερίων φαύειν δυκεῖν ἀντύγων, καὶ οὐρανίαις τισὶ ξενοδοχεῖσθαι σκηναῖς, ῥᾷστα ἂν ἔγωγε φέρων ὑπέζευξα ταύτην τοῖς τῶν τοῦ πατρὸς βουλημάτων ποσί. Νῦν δ' οὖν, ἵνα καὶ αὐτὸς πλατυτέρῳ χρήσωμαι λόγῳ, σοῦ καθάπερ τινὰ θύραν ἡμῖν ἀνοίξαντος, ὃς καὶ δευτέραν μοι σώζεις τάξιν πατρὸς, ἐπειδὴ πᾶσι φίλον ἀνθρώποις τὸ ζῆν, καὶ πολλοὶ πολλάκις, ὑπὸ τῶν ἀθρόων περιστάντων κινδύνων, τὴν βασίλειον, ὥσπερ τινὰ φρουρὰν, περιεζώσαντο δύναμιν, ἄκον-

τες μὲν, ἀναγκαίως δὲ, οὔκουν αἰτιωμενὸς ἔμοιγε τις ξὺν δίκῃ πάντως αἰτιῶτο ἄν, εἰ καὶ αὐτὸς, ὑπὸ τῶν ὁμοίων ἐλαυνόμενος φόβων, ἐς τὴν τῶν ἐρυθρῶν ὑποδημάτων ἀντίληψιν καταφεύγοιμι. Ὅμοιον γὰρ ἂν ποιοίη τις ἐντυθοῖ, τὰ τοιαῦτ' εὐλαβούμενος, ὥσπερ ἂν εἰ χειμῶνι μεγίστῳ [P. 505] περιπεσὼν ἐν πελάγει μέσῳ καὶ κύμασιν, ἐν οἷς τῆς ὁλκάδος συμβὰν οὕτωσί πως ῥαγείσης ἐξὸν αὐτῷ σανίδος ἐπειλημμένον τινὸς διαπόντιους μὲν ἔχειν κινδύνους, ἔχειν δ' ὅμως ὁμοῦ καὶ τὰς ἐλπίδας τοῦ ζῆν αἰωρουμένας, ὥσπερ ἀπὸ λεπτοῦ τινος καὶ ἀραχνώδους ὑράσματος, ὁ δ' ἀφειδῶν παντάπασιν ἑαυτοῦ πυθμέσιν ὑποβρυχίοις ὑδάτων ἐθελοντὴς ἑαυτὸν παραπέμπῃ. Τοῦτο δὲ παραπληξίας ἔγγιστ' ἂν εἶναι δόξειε τοῖς ὅσοι καλῶς τὰ τοιαῦτα βούλονται κρίνειν. Τὰ γὰρ ἐξ ἀφανοῦς τινος ἀνάγκης ἐπιόντα δεινὰ συγγνώμην σαφῆ τοῖς πάσχουσι νέμει. Οἷς δ' ἀπὸ γνώμης ἰδίας εἰς τὰς τῶν δεινῶν ἐμπίπτειν ἔπεται λαβυρίνθους, μεγάλη τις χορηγεῖται νέμεσις, παρ' οἷς σχολὴ τὰ τοιαῦτα φιλοτιμότερον σκέπτεσθαι. Ἐγὼ δ' ἵνα τι καὶ βαθύτερον φθέγξωμαι, οὐδὲ τῆς πατρικῆς ὑπερόριον γνώμης ὃν εὑρίσκω τουτί. Αὐτὸς γάρ μοι τοὺς τοιούτους προεζωγράφησε τρόπους ἐν ἑαυτῷ, ὁπότε συνελαθεὶς καὶ αὐτὸς ὑπὸ τῶν περιστάντων κινδύνων εἰς τοῦτο προήχθη τὸ σχῆμα τῆς βασιλείας, ὥσπερ εἰς ἀσφαλείας ἀκρόπολιν· ὡς νῦν γε δυοῖν θάτερον ἐλπίζειν ἔσεσθαί μοι πρὸς τοῦ πατρὸς ἔφεται· ἢ γὰρ, ὡς μιμησάμενον τὴν ἐν ἀπόροις εὐπορίαν αὐτοῦ, τὸν υἱὸν ἐπαινέσειεν ἄν πως ἐμέ· ἢ εἰ λοιδορεῖσθαί μοι ἐπιχειροίη, λάθοι ἂν αὐτὸς ἑαυτῷ περιφανῶς λοιδορούμενος ἢ ἐμοί· ὡς μηδ' ἔχειν παρ' οὐδέσιν Ἑλλανοδίκαις (76) τὸ συγκεχωρηκὸς ἐμοὶ τῆς ἐγχειρήσεως ἐπεξιέναι. »

A præsidium; nolentes quidem illi, sed cogente necessitate : non jure omnino succenseat mihi aliquis, si et ipse, similibus actus terroribus, ad purpureos calceos capessendos confugero. Nam qui hoc rerum statu nolit id committere, perinde is faciat, ac si medio in mari tempestate maxima fluctibusque circumventus, fracta etiam hæc inter casu aliquo navi, cum præsto ei sit tabula, qua arrepta maris quidem pericula patiatur, at spem salutis, velut tenui aliquo aranea filo pendentem, retineat, suæ tamen omnino salutis oblitus in profundos aquarum gurgites ultro se immittat; quod quidem æquis rerum æstimatoribus insaniæ proximum esse videatur. Quæ enim calamitatis occulta quadam necessitatis vi invehuntur, ea illis qui patiuntur, excusationem certam tribuunt. Qui vero in mala, tanquam in labyrinthos, scieus prudensque inciderit, eum gravis manet reprehensio apud illos, quibus ista studiosius vacat expendere. Mihi vero, ut et aliquid dicam solidius, non multum id a paterno instituto videtur abhorrere. Ipse enim mihi hunc morem in se præscripsit, tum cum is quoque, circumstantibus periculis compulsus, ad illa **804** imperii insignia, tanquam ad fortunæ perfugium processit. Quamobrem duorum alterum licet mihi sperare a patre. Aut enim, ut suæ in expediendis rebus difficillimis solertiæ imitatorem filium fortasse ille me laudaverit; aut si ad conviciandum aggrediatur, sibi ipse palam imprudens magis conviciabitur quam mihi : nec quia id ausus fuerim, licebit ei apud ullum justum judicem pœnas a me expetere. »

Δ'. Ταῦτ' εἰπὼν καὶ αὐτὸς τὸν μὲν θεῖον ξυνδιαφέρειν παρήγγειλε τὴν ἐγχείρησιν, καὶ τοῖς ἑκάστοτε στρατιώταις ὁμιλεῖν τὰ εἰκότα· αὐτὸς δὲ τὴν τῆς Ὀρεστιάδος κατειληφὼς ἀκρόπολιν ὅλην ἐκεῖθεν ὠχύρου τὴν πόλιν, καὶ πρὸς ἔργα παρεσκευάζετο, ἐκδημαγωγῶν τε καὶ μαλακοῖς τισι λόγοις ἐξιδιούμενος τὰ στρατόπεδα.

IV. Hæc locutus avunculo præcipit, ut secum huic molitioni struendæ incumbat, et cum militibus, quacunque occurrerint, ac prout par fuerit, colloquatur. Ipse Orestiadis arce occupata, totam inde urbem munit; tum captando benevolentiam, et blandis verbis exercitus sibi divinciendo, ad opus se accingit.

CAPUT III.

Cantacuzenus anxius et consilii inops. Uxorem Irenen ad filium legat. Hic obviam matri procedit. Irene eum frustrata Orestiadem clam ingreditur. Matthæus eo reversus matrem salutat. Obsequium pollicetur. Rogat, ut se metu liberet. Matris oratio. Quantam apud filium vim habuerit. Irene Byzantium redit. Filii Andronici mortem luget.

[P. 506] Α'. Ταῦτ' οὐκ ἦν ἀκούοντι ἠρεμεῖν τῷ πατρὶ ἀλλ' ἀθυμίαις ἐναπεσχολεῖν, καὶ συντήκειν συχνὰ τὸ θυμούμενον τῆς ψυχῆς, πάλαι διαινειμαμένῳ τοῖς μὲν υἱέσι τὰς ἀνελευθέρους τοῦ βίου τύχας, τῷ δὲ γαμβρῷ Παλαιολόγῳ τὰς τοῦ βασιλείου κράτους διαδοχάς. Διὸ καὶ αὐθημερὸν ἐξιέναι πάνυ τοι προθυμούμενος, ὅμως ἐπεῖχεν ἔτι, καὶ ἐνεκαρτέρει τῷ τῆς γνώμης βουλευτηρίῳ. Καὶ μέντοι καὶ ἥκιστα μάλα τοι ἀρεστὸν ἐδόκει, δυοῖν ἓν γέ τοι ὁρᾶν ἐκ τοῦ παραχρῆμα. Οὔτε γὰρ ἄνευ ὅπλων ἐκ Βυζαντίου πρὸς γνώμην ἰέναι ἐθόρρει, ταῖς τῆς φιλοτιμίας ἄρτι

I. His pater auditis nequaquam quiescere, sed totum se mœrori dare; idemque iram suam subinde comprimere et conquiescere ea ratione, quod liberis suis servilem fortunæ conditionem, genero autem Palæologo imperii successionem jampridem assignasset. Itaque eo ipsa die egredi valde cupiens tamen se continuit, et secum tacite deliberare perstitit. Neutrum certe ei placebat statim facere. Neque enim sine armis Byzantio exire, et in ipso ambitionis æstu fluctuantem animum adoriri; nec rursus cum armis exercitibusque illuc conferre se

Variorum notæ.

(76) Ἑλλανοδίκης est proprie *judex justus, incorruptus, et* (ut Pindarus Olymp. ode 5 loquitur) ἀτρεκής. Wolfius. *apud ullum Græciæ judicem, quod mutavimus.* Boivin.

audebat. Ita enim sopitos adhuc, et velut sub cinere latentes, in animo adolescentis motus furiatum iri magis, quasi **805** flamma ad cœlum usque ventilata, affectibus duobus ambitione et metu perturbatos.

II. Demum ei satius visum est Irenen mittere imperatricem, quæ mulier alte mentis, eademque ad res tractandas cum natura sua tum ipso usu mire habilis, mollibus quibusdam et ad persuadendum accommodatis, maternis denique dictis filium aggredi una omnium maxime sciebat. Itaque hæc egreditur. Ille matri, cum esset apud urbem Pamphilum, obviam procedit magna fiducia, festinatque eam, antequam Orestiadem perveneril, in ipso itinere alicubi foris deprehensam convenire, et viæ causam longe ab urbe scisciturl. At illa, hujus festinationem callide frustrata, furtim in urbem Orestiadem, antequam filius sensisset, irrepserat.

III. Matthæus, postquam in via id quod acciderat audivit, ac se occultioribus matris consiliis circumventum certo cognovit, postridie et ipse Orestiadem venit; matrem, ut par est, salutat: simul se, quidquid illa jusserit, dicto audientem fore pollicetur, modo omnem sibi metum ex animo revellat; matrem quippe eam esse, quæ animum timore suspensum, et futuri terrore concussam filii amantissimi mentem, firmare optime sciret. Illæc vero filium, benigna quadam majestate exceptum, prorsus regie alloquitur, et hanc habet orationem:

IV. « Ego, inquit, mi fili, proverbium illud: Semper Africa aliquid fert **806** novi, laudo quidem, sed non absolute, quia nec absoluta est ejus pronuntiati sententia. Etenim de universo terræ et maris orbe cum id dici oporteret, de sola Libya pronuntiatum est; quæ pars cum exigua sit, totius orbis rempublicam vix repræsentat. Illa nempe rerum novarum affluentia, quæ Libyæ tribuitur, ad solas pertinet animalium monstrosorum formas, et rerum aliarum species, ad nostras provincias propter longinquitatem rarius commeantium, peculiare autem aliquid in se habentium, qualia nobis incognita in illa dura et inhumani regione nascuntur. Totius vero orbis novitates situ, viriditate, gaudio, tristitia, gloria, infamia, morbo, sanitate, vita, morte, atque, ut paucis absolvam, virtute, vitio, mutationibus denique ac omnigenis et infinitis variationibus, res humanas usque distinguunt. Et mirum sane, quod cum tot nova idem hic orbis parial, utrumque tamen ei inesse credatur, atque ita hominum mentes deludat, ut aliis semper flo-

διανηχομένην ἀχμαῖς· οὔτε μεθ' ὅπλων αὖ ἐκεῖ διαβαίνειν καὶ στρατοπέδων. Ἐκμῆναι γὰρ ἂν οὕτωσὶ μᾶλλον πρὸς αἰθερίους φλόγας ὡς ἐν σποδιᾷ καθευδούσας ἔτι τὰς ἐν τῇ ψυχῇ τοῦ νεανίσκου κινήσεις, ὑπὸ δυοῖν ὀχληθείσας παθῶν, φιλοτιμίας ὁμοῦ καὶ δειλίας.

Β'. Καὶ μὲν δὴ λοιπὸν ἐκπέμπειν ἐδόκει βέλτιον Εἰρήνην (77) τὴν βασιλίδα, βαθείαις τε χρωμένην ταῖς τῆς συνέσεως αὔλαξι καὶ ἅμα οἰκονομικὴν ἐς τὰ μάλιστα οὖσαν ἔκ τε πείρας καὶ φύσεως, καὶ μαλακωτέρους τινὰς ξὺν τῷ πιθανῷ, καὶ ὅλως εἰπεῖν μητρικοὺς τῷ παιδὶ κομίζειν εἰδυῖαν λόγους. Ἐξιούσης τοίνυν αὐτῆς, ἐπειδὴ περὶ Πάμφιλον ἐγγύνει τὴν πόλιν, πρὸς ἀπάντησιν αὐτὸς ἐπορεύετο μάλα τεθαῤῥηκὼς τῆς μητρὸς, καὶ ἅμα ἐπειγόμενος κατὰ τὴν πορείαν, πρὶν ἐς Ὀρεστιάδα ἀφικέσθαι τὴν μητέρα, ἔξω που προκατειληφέναι, καὶ τὸν τῆς ἀφίξεως πόῤῥωθεν πυθέσθαι σκοπόν. Ἡ δὲ τοὺς ἐκείνου σοφῶς παρακρουσαμένη δρόμους ἔλαθεν ἐντὸς Ὀρεστιάδος παρεισπεσοῦσα, πρὶν αἰσθέσθαι τὸν υἱόν.

[P. 507] Γ'. Ἐπεὶ δὲ παρὰ τὴν ὁδὸν ὁ Ματθαῖος ἠκηκόει τὸ δρᾶμα, καὶ βαθυτέραις ἔγνω σαφῶς τῆς μητρὸς καταοφισθεὶς ἐπινοίαις, ἐς τὴν ὑστεραίαν καὶ αὐτὸς τῇ Ὀρεστιάδι ἐπιδεδήμηκε, καὶ τῇ τε μητρὶ τὴν προσήκουσαν ἀπεδίδου προσκύνησιν καὶ ἅμα πρὸς ἅπαν τὸ κελευόμενον ὑπισχνεῖτο παρέχειν ὑπείκοντα ἑαυτὸν, εἰ δέος ἅπαν ἐξέλοιτο τῆς ἐκείνου ψυχῆς, μήτηρ τε οὖσα καὶ ψυχὴν καλῶς εἰδυῖα θεραπεύειν ἀμφιῤῥεπῶς ταλαντευομένην ὑπὸ δειλίας, καὶ φόβῳ τινασσομένην τοῦ μέλλοντος γνώμην υἱοῦ φιλομήτορος συνιστᾷν. Ἡ δὲ μάλα βασιλικῶς προσειποῦσα καὶ μετά τινος ἐπιεικοῦς μεγαλοπρεπείας δεξιωσαμένη τὸν υἱὸν τάδε διέξεισιν·

Δ'. « Ἐγὼ (φησὶν) ὦ παῖ, τὴν παροιμίαν, τὴν Ἀεί τι Λιβύη(78), φάσκουσαν, φέρει καινὸν, ἐπαινῶ μὲν, οὐ τελέως δέ· διότι μὴ τέλειον ἔχει τὸ τῆς ἀποφάνσεως δόγμα καὶ ψήφισμα. Περὶ γὰρ ὅλης γῆς καὶ θαλάττης ἀποπεφάνθαι προσῆκον, ἡ δὲ περὶ μόνης Λιβύης τὸ δόγμα ἐξήνεγκε, μικροῦ τινος μέρους οὔσης αὐτῆς, καὶ βιαίαν ἐχούσης τὴν μίμησιν πρὸς τὴν τῆς ὅλης γῆς ἀριστοκρατίαν. Λιβύης μὲν γὰρ ἡ καινότης ζώων τε μόναις τερατομόρφοις ἰδέαις ὁρίζεται καὶ πρός γε ἔτι τῶν ἐκεῖθεν διὰ μῆκος ὁδοῦ ἀπανίως παρακομιζομένων ἐς τὰ ἡμέτερα ἤθη πραγμάτων ἄλλων, ἰδιοτροπίαν τινὰ κεκτημένων, ὁπόσα ξενίζοντα φύεται παρὰ τῇ σκληρᾷ καὶ ἀνημέρῳ ἐκείνῃ γῇ. Τῆς δὲ πάσης γῆς ἡ καινότης μαρασμῷ καὶ χλόῃ καὶ χαρᾷ καὶ λύπῃ μερίζει τὸν βίον διηνεκῶς, καὶ δόξῃ καὶ ἀδοξίᾳ, καὶ νόσῳ καὶ ὑγιείᾳ, καὶ θανάτῳ καὶ ζωῇ, καὶ ἁπλῶς εἰπεῖν, ἀρετῇ καὶ κακίᾳ, καὶ τροπαῖς καὶ ἀλλοιώσεσι παντοίαις τε καὶ μέτρον ἅπαν ἐλαυνούσαις. Καὶ θαῦμα μὲν, πῶς ταῖς κοινοποιαῖς, ταύταις ἅμφω κεκτῆσθαι δοκεῖ, καὶ παίζει τὰς τῶν ἀνθρώπων γνώμας, καὶ τοῖς μὲν ἀνθεῖν ἀεὶ

Variorum notæ.

(77) Cantacuzen lib. IV, cap. 8 DUCANG.

(78) Est hoc initium epistolæ ad Chrysoloram scriptæ. Unde suspicor longam hanc orationem non ab Irene Augusta, sed a Gregora fuisse lucubratam. Vide Indicem epistolarum Gregoræ. BOIVIN.

δοκεῖ, καὶ τοὺς τῆς τύχης πόδας ἕκαστον ἐπ' ἀσφαλοῦς ἐρείδειν· τοῖς δὲ μηδὲν κεκτῆσθαι βέβαιον μηδ' ἀσφαλές. Βραχεῖα γάρ τις ὥρα πολλάκις καὶ μία ῥοπὴ διαστήματος χρονικοῦ μεταβάλλει πρὸς τοὐναντίον ἅπαν, καὶ ῥίπτει πολλὰ τῶν ἑστάναι δοκούντων εἰς ἔδαφος· καὶ αὖ πρὸς ὑπερφάνον ἐνίοτε τύχην ἀνάγει τὰ ἀφανῆ. Θαῦμα δὲ, πῶς ἀμιγὲς οὐδὲν οὐδ' αὐτοτελὲς τῶν ἁπάντων εὑρίσκεται παντάπασιν οὐδαμῆ, οὔθ' ἃ τῶν ἀγαθῶν, οὔθ' ἃ τῶν φαύλων εἶναι νομίζουσιν ἄνθρωποι· ἀλλὰ τὰ ἀλλήλων διηνεκῶς πολέμια καὶ μαχόμενα σύντροφόν πως ἔχει τὴν βλάστην, καὶ μίαν δήπου τινὰ τὴν εἰς φῶς προενεγκοῦσαν μητέρα προΐσχεται· καὶ τὰ τὴν ἄσπονδον ἔχθραν πρὸς ἄλληλα κεκτημένα ξένας τινὰς ἐν ἀνθρώπου θύει ψυχῇ τὰς σπονδάς· καὶ οὔτε βίον ἄλυπον ὄντα παρ' οὐδενὶ τῶν ἁπάντων ὁρῶμεν, [P.508] οὔτε λύπην παντάπασιν ἀτερπῆ· ἀλλ' εἶναι συμβαίνει καὶ λύπην, αἰτίαν χαρᾶς, καὶ αὖ μητέρα λύπης χαράν. Ταῦτα μὲν εἶναι συμφυᾶ πως, καὶ ἐγκατῳκοδομημένα τοῖς πράγμασιν, ἡ πεῖρα ξυγχωρεῖ συνιέναι ταῖς συνετωτέραις ψυχαῖς· τὸ δὲ μεγέθη καὶ σμικρότητας τούτοις διδόναι, τοῦτο δ' οἶμαι δήπουθεν ὡς τὰ πολλὰ τῶν ἐφ' ἡμῖν ὑπάρχειν ἔν. Ὅς γὰρ μεγάλοις ἐφίεται πραγμάτων ὕδασιν ἐγκυδιστᾶν, ἀνάγκη τούτῳ καὶ μεγάλους ὑφίστασθαι τῶν κινδύνων τοὺς κλύδωνας· ᾧ δὲ βραχυτέροις ἐνδιαιτᾶσθαι νομίζεται ἀποχρῶν, τούτῳ δὲ καὶ μετριωτέραις κεχρῆσθαι ταῖς λύπαις τοῦ βίου χρεών. Βασιλεία τοίνυν ἐν τοῖς τοῦ βίου πράγμασι μέγιστον εἶναι χρῆμα νομίζεται τύχης καὶ, ἵν' εἴπω, τὸ κράτιστον τῆς εὐδαιμονίας ὕψος. Τὸ δὲ μικροῖς τισιν ὀβολοῖς ὁρίζεσθαί τῳ τοῦ βίου τὴν εὐπορίαν καὶ τριβωνοφορεῖν, καὶ ἱκανὸν εἶναι ὃ τῇ φύσει τὸ ἀναγκαῖον μόνον χαρίζεται, τοῦτο δὲ κακόδαιμον φαίνεται, καὶ τούτων ἑνὸς, οἷς ὁ πλεῖστος ὄχλος καταρᾶται. Ὧ δ' ἑκατέροις τοῖς βίοις ἐν πείρᾳ γενέσθαι τετύχηκεν, ἄρχεσθαι μᾶλλον οὗτος ἢ βασιλεύειν ἕλοιτ' ἂν οἶμαι μάλα προθύμως, καὶ πένητα μᾶλλον τρίβειν βίον, ἢ ὃς μυρίαις περιστοιχίζεται δόξαις καὶ χρήμασιν· εἰ δ' οὖν, λεγέτω τις παρελθών, πῶς Ἀλέξανδρος ἐκεῖνος ὁ μέγας, ὁ μέχρις Ἰνδῶν τὰ τῆς Εὐρώπης διαβιβάσας ὅπλα, τὸν εὐτελῆ τοῦ Διογένους πίθον καὶ τὴν διερρωγυῖαν ἀμπέχεσθαι μᾶλλον ἑαθῆτα ποθεῖν ὡμολόγει, ἢ τὴν τῆς ὅλης Ἀσίας τε καὶ Εὐρώπης ἔχειν ἀρχὴν, καὶ τὸν Βαβυλώνιον ἐκεῖνον περιβεβλῆσθαι πλοῦτον· ὅθεν καὶ τὸ πολὺ τῆς ῥᾳστώνης χεθὲν Δαρείῳ καὶ Πέρσαις ὄνειρον ἔδειξεν εἶναι σαφῶς τὰς δοκούσας εὐδαίμονας τύχας τοῦ βίου. Οὐδὲν γὰρ οὕτω μεστὸν ὑποψίας καὶ ἀπιστίας, ὡς βασιλεία καὶ δυναστεύουσα χείρ. Ὧ μὲν γάρ βασιλεύεσθαί πως τετύχηκεν, ἕνα μόνον οὗτος δέδιε, τὸν βασιλέα· φαίην δ' ἄν, οὐδ' αὐτὸν, εἰ τὰ δίκαια φυλάττειν, ὅστις ποτ' ἂν ᾖ, ἐθέλει, καὶ τὴν λαχοῦσαν μοῖραν στέργειν τοῦ βίου. Ὧ δὲ βασιλεύειν ἔξεστιν, οὗτος μετὰ τῶν ἐμφανῶν ἐχθρῶν πλείους ἔχει καὶ τοὺς κρύφα τὰς πλείους συσκευάζοντας τῶν ἐπιβουλῶν. Οὐκ ὀκνήσω δ' εἰπεῖν. ὡς καὶ αὐτοὺς ἀεὶ δέδιεν, ὁπόσοι φυλάκων ἔχουσι τάξιν αὐτῷ, καὶ περίεστι τρέμειν ἀεὶ, καὶ Ταντάλειον, ὡς φασι, τὸν βίον ἄγειν. Ἃ δὴ

A rere, et fortunæ vestigia stabili fundamento quisque figere videatur, aliis nihil firmi habere, nihil certi. Fugax enim hora sæpe et momentum temporis multa, quæ stare videbantur, omnino in contrarium vertunt et ad terram affligunt: atque ad summum fortunæ splendorem obscura quandoque evehunt. Mirum vero, quomodo nihil usquam sincerum, nihil ab omni parte perfectum inveniatur eorum omnium, quæ seu bona seu mala esse homines arbitrantur: sed res, sibi invicem æternum inimicæ et pugnantes, velut **807** coalescant, et unius quasi matris sinu editas se in lucem profiteantur: et ea, quæ odium implacabile inter se exercent, inusitata quædam fœdera in hominum animis feriant; ac neque vitam tristitiæ immunem B quiquam contingere videamus, nec tristitiam jucunditatis prorsus expertem; sed esse soleat et lætitiæ origo tristitia, et rursus tristitiæ mater lætitia. Et hæc quidem esse rebus insita quodammodo atque infixa intelligentiores quique sciunt, experientia nempe edocti. At ut illa ipsa vel augeantur vel minuantur, id ego existimo penes nos esse ut plurimum. Qui enim se in magnas negotiorum undas gestiat immergere, eum necesse est maguos subire periculorum fluctus; cui vero minoribus interesse satis fuerit, eum oportet moderatioribus aflici vitæ molestiis. Regia certe dignitas in hac vita maximum esse fortunæ donum existimatur, et summus, si fas dicere, felicitatis C cumulus. Contra paucis obolis metiri copiam omnem rei familiaris, et veste uti trita, et satis habere id quod naturæ solas res necessarias suppeditat, id et miserum videtur, et eorum unum, quæ vulgi maxima pars detestantur. Qui vero utramque vitæ conditionem expertus est, is multo libentius pareat quam imperet, et vitam trahere inopem malit, quam quæ infinitis honoribus opibusque stipata sit. Sin minus, prodeat aliquis doceatque nos, quomodo Alexander ille Magnus, cujus auspiciis arma Europæ **808** ad Indiam usque penetrarunt, vile Diogenis dolium habitare, et ejusdem lacera veste indui, optatius sibi esse confessus sit, quam Asiæ et Europæ totius imperium possidere, et Babyloniis divitiis cumulari? D quarum effusa abundantia Dario et Persis ostendit, merum esse somnium ea quæ conditionem vitæ beatiorem facere existimantur. Enimvero nihil est ita suspicionis et diffidentiæ plenum, ut principatus et potestas summa. Nam quem alteri subditum esse fortuna volunt, is unum duntaxat pertimescit, imperatorem videlicet; sed ne hunc quidem (ausim dicere), si jura, quicunque tandem ille sit, velit servare, et ea quæ contigit sibi fortuna contentus vivat. At cui imperare datum est, is præter apertos hostes, complures alios habet, qui nullas ei clanculum insidias struant. Nec verebor illud affirmare, timeri ab eo semper etiam ipsos stipatores; ita ut ei perpetuo contremiscenda et Tantalea, ut aiunt, vita agenda sit. Hæc

cogitans, mi fili, benevolæ matris consiliis pareto, et aliorum sententiæ cave ne accedas, qui, ad propriam utilitatem omnia referentes, te ipso tanquam larva quadam utuntur, quoad, ubi ex sententia sibi successerit, ipsi deinde tibi per fraudem ex tuum afferant repentinum; nec sic fere consulas rebus nostris, ut ii qui nos persecuti sunt. Nam cooreta semel tempestate, nihil omnino inter nos iliosque erat, quod in concordiam reduceret. Sanguinis autem vinculum, quo nos tecum jungimur, nihil est quod dissolvat. Qua enim queso **809** ratione persuaderi possit cognatis visceribus, ut se invicem dilacerent; quorum arcanam compactionem solus novit, qui ea inter se irruptis quibusdam et adamantinis vinculis colligavit? Aut quid nobis parentibus tuis sub sole et cœlo suave esse possit absente te? Atque hæc maxime res est, quæ me nunc tuo cum patre vivam ad tumulum adigit, quod istarum, quas animo aluisti, cogitationum nos ipsi causa fuerimus. Ecquid porro aliud parentibus morte omni acerbius esse possit, præter ruinam liberorum, et eorum quidem bonorum; quorum vel sola recordatio efficit ut ii vivant, et eorum animæ viridissimum florem largitur? Tu vero paulisper, si vis, exspecta, quoad pater ipse sis. Tum expertus probe scies, quantam sub imis visceribus flammam alat parentum in liberos amor. Mihi certe verba nunc desunt, quibus id possim tibi penitus persuadere, antequam ipse eorum quæ dico experientiam nactus sis. At tu matris lacrymas ne despice; nec te hujus longi itineris capiat oblivio, quod ego tui causa citius quavis homine expedito conficere et accelerare studui; ne scilicet te ipsum cæcis periculis irretires, et fumum fugiens in ignem incideres, periculique umbram cavens, quæ in incerto futuri metu verteretur, in abrupta te præcipitia palam atque ultro mitteres; cujusmodi malum longe gravius est quam quæ nolentibus accidunt, qualia nos, ut scis, per illud sexennium vexati pertulimus; ne denique ejus, quam tum effugi, mortis tecum particeps propter **810** te quodammodo fierem. Sane quibus nolentibus calamitas supervenit, eos manet venia quædam, miserationi conjuncta. Quibus autem temeritate sua accidit, ut malorum fontes sibi ipsis foderent, iis indignari eo magis æquum est, quod ne eos quidem sibi relinquant, qui jure et merito miserturi sint. Quod si mihi multa in medium proferas veterum exempla, quæ te ad similes casus metuendos compellant, atque inter cætera id, quod de Martio illo, qui Romæ olim bellum intulit, narratur; ei nempe matris lacrymas in tantum fraudi fuisse, ut a quibus coronari cum oportebat, ab iis densissima lapidum grandine obrutus infelicissime obierit; postquam de illo vera audiveris, meliorem certe sententiam amplecteris. Præciderat sibi ille omnem defensionem: nullam sibi in posterum spem veniæ reliquerat. Aderat igitur suimet ipse accusator, et in ejus conscientia stimuli

δὴ λεγόμενον, βίσκειν βίον. Ταῦτ' ἐνόησον, φίλτατε, πείθου μητρὸς εὐνοούσης βουλαῖς, καὶ μὴ γνώμαις ἑτέρων σύμφερεσθαι δίδου, οἳ πρὸς ἓν δὴ μόνον τὸ οἰκεῖον σκοποῦντες συνοίσον προσωπείῳ τινὶ κέχρηνταί σοι, μέχρις ἂν τὸ βουλόμενον σφισι κατορθωκότες αὐτοῖς, ἔπειτα καὶ σοὶ τὴν τοῦ βίου σχεδιάσωσιν ἐπιβούλως ἀπαλλαγήν· μηδὲ παραπλήσια τίθεισο τοῖς δικῶσι ἡμῶν τὰ ἡμέτερα. Παρόσον [P. 509] γὰρ ἐκείνων καὶ ἡμῶν τὸ συνάγον εἰς ὁμόνοιαν ἦν τῶν ἁπάντων μετὰ τὴν ζάλην οὐδὲν μεταξύ, παρὰ τοσοῦτον ἡμῶν τε καὶ σοῦ τὸ τὴν τοῦ αἵματος ἕνωσιν διϊστῶν τῶν ἁπάντων ἔστιν οὐδὲν μεταξύ. Τί γὰρ ἂν εἴη τὸ πεῖσαι δυνάμενον σπλάγχνα φύσεως ὑπ' ἀλλήλων τε καὶ δι' ἀλλήλων ῥήγνυσθαι· ὧν τὴν ἀπόρρητον σύμπτυξιν μόνος οἶδεν ὁ ξυνδήσας ἀλύτοις τισὶ καὶ ἀδαμαντίνοις δεσμοῖς; Ἤ τί τῶν ὑφ' ἡλίῳ καὶ ἀέρι πάντων ἡδὺ γένοιτ' ἂν τοῖς γονεῦσιν ἡμῖν, σοῦ μὴ παρόντος; ὡς νῦν γε τοῦτ' ἔστιν ὃ με μάλιστα ζῶσαν μετὰ τοῦ σοῦ κατάγει πατρὸς εἰς πυθμένας ᾅδου, ὅτι σύ γε ἡμῶν ἕνεκα τοιούτους ἐθρέψας ἐν σεαυτῷ λογισμούς. Τί δ' ἄλλο τῶν πάντων εἴη θανάτου παντὸς γονεῦσι πικρότερον, ἢ τέκνων καταστροφή, καὶ τέκνων ἀγαθῶν· ὧν ἡ μνήμη καὶ μόνη τούτοις δημιουργεῖ πνοὴν καὶ τὸ θάλλειν ἐκ περιουσίας χαρίζεται τῇ ψυχῇ; Ἀνάμεινον δ', εἰ βούλει, μικρὸν, μέχρις ἂν καὶ αὐτὸς τέκνων γένῃ πατήρ· καὶ τότε διὰ τῆς πείρας εἴσῃ καλῶς, ὁπόσην οἱ τεκόντες τοῦ φιλτρου τὴν φλόγα βόσκουσιν ἐν μέσοις τοῖς σπλάγχνοις ὑπὲρ τῶν τέκνων. Νῦν γὰρ οὐκ ἔχω, τίσι χρησαμένη λόγοις πεῖθειν ἂν σε δυναίμην τελέως, πρὶν εἰς τὴν τῶν λεγομένων σε πεῖραν ἀφῖχθαι. Μὴ δὴ παρίδῃς δάκρυα μητρὸς, μηδὲ μόχθον ἐν λήθῃ ποιήσῃς τοσαύτης ὁδοιπορίας, ὁπόσην ἐγὼ διανῦσαι καὶ συντεμεῖν τάχιον ἢ κατὰ πάντα εὔζωνον ἄνδρα προεθύμημαι διὰ σὲ, ἵνα δήπου μὴ σεαυτὸν ἀτεκμάρτοις περιβάλῃς κινδύνοις, καὶ καπνὸν φεύγων εἰς πῦρ ἐμπέσῃς, καὶ σκιὰν φυλαττόμενος ὑποψίας, ἐν ἀδήλῳ μέλλοντος φόβου καλινδουμένην, εἰς κρημνοὺς ἀποτόμους περιφανῶς συνωθήσῃς σαυτὸν ἑκοντί (ὃ τοῦ ἀκουσίου πάθους ἐστὶ μακρῷ χαλεπώτερον, ὁποῖον καὶ ἡμῖν τὸν ἑξαέτη χρόνον ἐξεγένετο πάσχειν ἐκεῖνον ἐλαυνομένοις, ὡς γε οἶσθα) καὶ ὃν διέφυγον τότε θάνατον, τούτου σὺν σοὶ διά σέ πως παραπολαῦσαί μοι γένηται. Οἷς μὲν γὰρ ἀκουσίοις ἔπεισι τὰ δεινὰ, συγγνώμη τις εἴωθεν οἴκτῳ συγκεκραμένη συνεξακολουθεῖν. Οἷς δ' ἐξ ἰδίας ἀβουλίας συμβαίνει πηγὰς ἀνορύττειν κακῶν ἑαυτοῖς, τοσοῦτον νεμεσᾶσθαί σφισιν εἰκὸς, ὅσον οὐδὲ τοὺς ἐλεήσοντας καταλιμπάνουσιν ἑαυτοῖς ξύν γε λόγῳ τῷ πρέποντι. Εἰ δέ μοι πολλὰ τῶν πάλαι πρὸς μέσον ἄγεις ὑποδειγμάτων, ὁπόσα πρὸς τοὺς ὁμοίους σε φόβους ἐνάγουσι, καὶ ξύν γε τοῖς ἄλλοις, ὅτι καὶ Μάρκιον ἐκεῖνον, τὸν τῇ πάλαι στρατηγήσαντα Ῥώμῃ ποτὲ, ἐς τοσόνδε τὰ μητρὸς ἔσφηλε δάκρυα, ὡς μυρίαις ὑφ' ὧν στεφανοῦσθαι ἐχρῆν καλυφθέντα λίθων βολαῖς θανεῖν δυστυχῶς, ἀλλὰ τάλιν θῇ περί γε τἀνδρὸς ἐκείνου μαθὼν τὴν ἀμείνω κρίσιν ἕλοιτο ἄν. Πάσης γὰρ ἐκεῖνος ἀποκλείσας ἑαυτὸν ἀπολογίας, καὶ θύραν οὐδεμίαν συγγνώμης ταῖς ἐπιούσαις καταλειπὼς ἐλπίσιν,

αὐτὸν ἑαυτῷ κατήγορον ἐκ τοῦ σύνεγγυς εἶχε, καὶ πολλὰ ταῖς τοῦ συνειδότος [P.510] σκηναῖς αὐλιζόμενά οἱ παραπέπηγε κέντρα. Τὰς γὰρ πλείστας Ῥωμαίων χώρας καὶ πόλεις θᾶττον ἢ λόγος ἀφελόμενος τὰς μὲν τοῖς ἐναντίοις ἐχαρίσατο, τὰς δ' ἐξηνδραποδίσατο καὶ κατέσκαψε χεῖρον ἢ τὰς Θήβας Ἀλέξανδρος. Καὶ διὰ τοῦτο Μάρκιος εὐελπις ἥκιστα ἦν, οὐδὲ πάρυδον ὅλως εἰς πίστιν εἶχον ταῖς Ῥωμαίων ψυχαῖς αἱ Μαρκίου συνθέσεις· οἵ τε Ῥωμαίων αὖ πολέμιοι φρικώδεσιν ὅρκοις αὐτὸν προκατειληφότες, ἔπειτα μέγαν ἐξ ἀσθενοῦς ταῖς οἰκείαις ξυμμεμαχηκότες δυνάμεσιν ἐπεπράχεσαν· ἃς βραχύ τι παρακρούσασθαι διὰ τὰ μητρὸς δόξας δάκρυα ἔλαθεν εἰς τοὐλάττους ὀλέθρους ὠλισθηκώς. Σὺ δ' οὔτε βλάβην τοῖς Ῥωμαίων οὐδεμίαν παρέσχες πράγμασιν, οὔθ' ὅρκοις οὐδέσι δέσμιον σεαυτὸν προκατέστησας. Ταῦτα γὰρ ἅπαντα προκατειληφυῖα λαμπρῶς ἡ τῆς ἐμῆς ἀφίξεως ἀνεχαίτισεν αὖτη σπουδή· ὡς εἶναί σοι μηδὲν ἐμποδὼν τῶν ἁπάντων ταῖς μητρικαῖς παραινέσεσι πείθεσθαι. Ἔπειθ' ὁρᾷς καὶ εἰς ὅσον μὲν βραχύτητος ἡ Ῥωμαίων ἀρχὴ συνεστάλη, εἰς ὅσον δὲ πενίας τὰ Ῥωμαίων ἐρρύη πράγματα· ὡς μηδὲ λέγειν θαρρεῖν φειδοῖ τῆς τῶν ἀκουσομένων αἰδοῦς. Ὅμως ἔξ ἑνός γέ του δηλώσω σοι τρόπου. Ἴσασι μὲν γὰρ τῶν Ῥωμαίων καὶ βαρβάρων οἱ πλεῖστοι τὸν πλοῦτον πρὸ τῆς συγχύσεως καὶ τῶν διωγμῶν ἐκείνων, ὁπόσος τοῖς σοῖς γονεῦσιν ὑπῆρχεν ἡμῖν, ἔν τε χρυσῷ καὶ ἀργύρῳ καὶ λίθων καὶ μαργάρων πολυτελείᾳ, ἔν τε ποίμναις καὶ βουκολίοις καὶ μυριάσι παντοίων θρεμμάτων καὶ βοσκημάτων. Ἴσασι δὲ καὶ τῶν παρεστώτων οἱ πλείους τὸ τῶν ἡμετέρων πλῆθος ἀποθηκῶν, αἳ τοῖς ἐκ γῆς παντοδαποῖς γεννήμασιν ὑπερεξεχέοντο, καὶ τὰ ταμιεῖα ἐκεῖνα, ὁπόσα βρίθοντα κομιδῇ τοῖς ἐτησίοις καρποῖς τε καὶ θησαυροῖς ἐστενοχωροῦντο. Τῆς δὲ καθ' ἡμέραν ἑκάστην τραπέζης τὴν ἀφθονίαν καὶ πολυτέλειαν, ἀλλὰ καὶ ταύτην ὅσοι μετεῖχον ἐκείνης καὶ παραπέλαυον, ἴσασιν ἅπαντες, τά τε ἄλλα καὶ ὡς οὐδ' ἄχρι καὶ ἐς τὸ τοῦ δεκάτου μέρος ἐκείνης ἀνήκειν τὰ τῆς βασιλικῆς ἡμῖν τραπέζης δύναται τήμερον. Οὕτως ἀσθενῶς ἔσχε, καὶ ἐς τοσοῦτον ἔρρει καὶ κατενήνεκται δυστυχίας τὰ Ῥωμαίων πράγματα προφανῶς· ὡς ἐξεῖναι σκοπεῖν σε, γλυκύτατε, τί καταλελοιπὼς τῷ πατρὶ καὶ τοῖς γε ἀμφ' αὐτὸν ὁμοῦ καὶ σὺν αὐτῷ, τί ποτ' ἂν λάβοις αὐτὸς ἰδία πρὸς εὐπορίαν σοί τε καὶ τοῖς γε ἀμφὶ σὲ στρατιώταις. Οὔτε γὰρ ἄνευ ὅπλων καὶ στρατιωτικῶν δυνάμεων δυνατὸν βασιλείαν συνίστασθαι, καὶ μάλιστα τὴν ἐκ νεωτερισμοῦ· οὔτε χρημάτων ἄνευ, τό γε μεῖζον εἰπεῖν, ὅπλα καὶ στρατιωτικὰς εἰκὸς ἀθροίζεσθαι δυνάμεις. Στρατιωτῶν γὰρ ἄνευ ἐνίοτε μεγάλα καὶ καθ' αὐτὸν ἰσχύοντα πάντες ἴσασι τὸν χρυσὸν, καὶ πάσης [P.511] ἑλεπόλεως μεῖζω. Πρὶν γὰρ αἰσθέσθαι τοὺς πλείους, εὑρίσκεται ποικίλαις ῥᾳδίως, προδεδομένη τοῖς πολεμίοις ἡ πόλις διὰ χρυσόν. Οἶσθα δ' αὖ καὶ ὅσος ἐκ τῶν στρατοπέδων τοῖ, ἄγουσιν ὄχλος μετὰ κινδύνων ἕπεται, μήτε πολέμων παρόντων, μήτε μισθῶν διδομένων αὐτοῖς. Οἷς γὰρ ὁρίζεσθαι τὸν βίον ἐν τῷ μισθοῦ στρατεύεσθαι ἕπεισι, τούτοις ἀνάγκη καὶ τὸν μὲν πόλεμον

plures infixi penitus insidebant. Plerosque agros et urbes Romanis cum ademisset, idque summa celeritate, partim hostibus concesserat, partim diripuerat, et pejus, quam Thebas Alexander, vastaverat. Idcirco minimum erat Martio bonæ spei; neque illius pactiones apud Romanorum animos aditum ullum habebant ad fidem acquirendam. Romanorum vero hostes eumdem horrendis juramentis primum obstrinxerant, deinde suis viribus adjutum ex humili magnum effecerant. Itaque ille propter matris lacrymas cum eos aliquantulum **811** visus esset elusisse, in ultima mala imprudens delapsus est. Tu vero nec detrimenti quidquam rei Romanæ attulisti, nec te ullis juramentis præpedivisti. Ista enim omnia plane antevertit et inhibuit adventus mei celeritas; ita ut nihil quidquam tibi obstet, quominus matris exhortationibus pareas. Vides præterea, quam in angustum contracta hujus imperii magnitudo, quo inopiæ redacta sit Romana res. Vereor equidem dicere, ut audientium pudori parcam. Tamen id tibi una re declarabo. Norunt Romanorum et Barbarorum plerique, quantæ nobis parentibus tuis opes, ante confusionem temporum et calamitosam illam fugam, in auro fuerint, in argento, in gemmis et margaritis pretiosissimis, in gregibus et armentis, denique in infinita quorumlibet altilium pecorumque vi. Norunt etiam plurimi ex iis, qui hic adsunt, quot apothecas omni genere earum rerum, quas terra gignit, redundantes; quæ horrea, annuis fructibus et acervis gravida et coarctata, habuerimus. Jam de lautitia et magnificentia mensæ quotidianæ, qui ejus participes nobiscum fuerunt, ii sciunt cum alia, tum nec ad decimam partem pristinæ illius magnificentiæ posse progredi eos sumptus, qui in mensam imperatoriam hodie a nobis fiunt, usque eo debilitatæ, eo calamitatis lapsæ sunt ac demersæ palam res Romanæ. Potes nunc, dulcissime, expendere, quid et patri, et iis quos secum ac circa se habet, **812** relinquens, quidnam seorsum ipse tandem habiturus sis, quod et tibi et tuis militibus sit satis. Nec enim sine armis militaribusque copiis constituere imperium sibi quisquam potest, præsertim si id per novas res quærat: nec, quod majus est, arma militaresque copiæ videntur parari posse sine pecunia. Nemo scilicet hoc nescit, ipsum per se aurum multa sine militibus posse, imo majorem quam tormentum ullum murale vim habere: et compertum sæpe est, urbem propter aurum, antequam plerique sensissent, nullo labore hostibus proditam fuisse. Scis denique, quantum molestiæ et periculorum ab exercitibus redundet in duces, cum nec bellum geritur, nec stipendia persolvuntur. Nam qui rem fortunamque omnem sibi in stipendiis positam esse intelligunt, eos necesse est et bellum multo malle quam pacem, et pacem multo quam bellum pejorem arbitrari. Iis siquidem bellum non solum accipiendi stipendii, sed et prædæ per vim agendæ

occasio fit, unde et parabilium epularum copia affluit. Contra pax eorum etiam, quæ quis parta habet, effusio quædam est. Tu vero utraque re, militibus et pecunia scilicet, statim destitutus facere non poteris, quin te ipsum perdas potius, quam imperatoriam tibi auctoritatem asseras. Mihi igitur credere si velis, quæ et mater sum, et te diligo magis, quam tute ipse te, tuas mihi res committito, paulisperque exspecta quoad celerrime ad parentem tuum reversa, et ut securus sis efficiam, et ut opulentus evadas summa deinde cura provideam.»

πολλῷ τῆς εἰρήνης ἡγεῖσθαι βελτίω, τὴν δ' εἰρήνην πολλῷ χαλεπώτερον τοῦ πολέμου χρῆμα. Ὁ μὲν γὰρ πόλεμος σὺν τῷ μισθῷ καὶ βιαίας ἁρπαγῆς καθίσταταί σφισιν αἴτιος ἀφ' ὧν ἀφθονία τραπέζης ἀμόχθου προτίθεται· εἰρήνη δὲ τοὐναντίον ἄφθονος καὶ τῶν ὄντων δαπάνη καθίσταται. Σὺ δ' ἀμφοτέρων ἐστερημένος ἐν τῷ αὐτίκα οὐκ ἂν φθάνοις φθείρων σεαυτὸν, βασίλειον σεαυτῷ περιποιούμενος κράτος. Ἢν γοῦν ἐμοὶ πείθεσθαι θέλῃς, τῇ μᾶλλον ἢ σὺ σαυτὸν ποθούσῃ μητρὶ, ἐμοὶ τὰ σὰ προσανάθου, βραχὺ περιμείνας, ἕως ἂν τὴν ταχίστην ἐς τὸν σὸν ἐπανιοῦσα πατέρα, ξὺν τῷ ἄφοβον εἶναί σε, καὶ τὰ τῆς εὐπορίας ἐκεῖθεν ἐν μεγάλῃ σοι ποιήσωμαι προμηθείᾳ.»

V. Hæc locuta imperatrix Irene animum filii **813** mollivit, et dicto audientem prorsus effecit. Itaque, cum et cætera omnia, quæ præterea instabant, intra non multos dies præclare ordinasset, Byzantium quam diligentissime rediit: ubi Andronici filii sui comperto interitu, diebus luxit compluribus. Et hæc quidem ita ferme procedebant.

Ε'. Ταῦτ' εἰποῦσα καὶ τὴν τοῦ Υἱοῦ μαλάξασα γνώμην ἡ βασιλὶς Εἰρήνη, καὶ σφόδρα τοῖς οἰκείοις πειθόμενον δείξασα λόγοις, καὶ τἄλλα πάνθ', ὁπόσα ἐπὶ τούτοις χρεών, οὐ μάλα συχναῖς ταῖς ἡμέραις· καλῶς διαπραξαμένη, τάχιστα ἐς Βυζάντιον ἐπανῆει· κἀνταῦθα τὴν τοῦ υἱέως μεμαθηκυῖα τελευτὴν Ἀνδρονίκου λίαν ἐφ' ἱκαναῖς ἐπένθησεν ἡμέραις. Καὶ ταῦτα μὲν τῇδέ πη ἐφέρετο.

CAPUT IV.

Cantacuzenus Didymotichum proficiscitur, ut motus componat ab uxore jam sopitos. Joannes patriarcha, ne rebus novis faveat, Byzantium inde transfertur. Moritur non longo post. Ejus elogium. Provinciæ Matthæo Cantacuzeno assignata a patre. Cantacuzeni imperatoris oratio ad filium. Reditus in urbem.

1. Post Arcturi ortum imperator, Byzantio egressus, Didymotichum venit: ut eos tumultus, quos ab imperatrice Irene jam sopitos fuisse diximus, componeret, et res in meliorem statum verteret. Hinc autem ille ante omnia Joannem patriarcham ejecit, et Byzantium, ut in palatio vinctus custodiretur, misit, ne et ipse favens novis rebus, quæ illic ciebantur, maximum et intolerandum reipublicæ detrimentum afferret. At hic, non longum ex eo in vita commoratus, ibi decessit, quinque ferme et sexaginta annos natus, quatuordecim circiter patriarchica dignitate potitus, et decimo post exaugurationem mense mortuus. Erat porro vir ille statura non adeo procera; vultus conformatione plane honesta ac liberali; item lingua in dicendo expedita. In sacris canonibus et in legibus, quæ ad forenses causas pertinent et quotidianos civilium negotiorum casus explorant, versatissimus jam inde ab adolescentia fuit. At idem Græcis literis non admodum erat instructus; sed extremo tantum digito eas attigerat. Hunc autem defectum vis naturæ excellens supplebat. Indole enim memoriaque adeo præstabat, **814** ut quæcunque legisset, ea memoriter, per integrum duarum aut trium horarum spatium, fideliterque recitaret. Quamobrem multa singulis diebus festis convenientia, ad populi congregati multitudinem eruditendam, cum ex sacris Scripturis excerperet, om-

Α'. Μετὰ δὲ τὰς τοῦ Ἀρκτούρου ἐπιτολὰς ἅρας ἐκ Βυζαντίου ὁ βασιλεὺς ἦκεν ἐς Διδυμότειχον, συμβιβάσων καὶ ἀποκαταστήσων οὓς ἡ βασιλὶς, ὡς εἴρηται, Εἰρήνη θορύβους ἔφθη κατευνάσασα. Καὶ πρῶτον μὲν ἐκεῖθεν τὸν πατριάρχην ἐκβεβληκὼς (79) Ἰωάννην ἐν τοῖς Βυζαντίου [P. 512] ἀρχείοις δέσμιον ἐπεπόμφει φρουρεῖσθαι, ἵνα μὴ τοῖς ἐκεῖ νεωτερισμοῖς συναράμενος καὶ αὐτὸς μεγίστης καὶ δυσεφίκτου τοῖς δημοσίοις γένηται πράγμασι βλάβης αἴτιος. Ὃς καὶ μικρὸν ἐπιβιοὺς ἐνταῦθα ἐτελεύτησε, πέντε καὶ ἑξήκοντα γεγρωὼς ἐγγὺς ἔτη· πατριαρχεύσας μὲν περί που τὰ τεσσαρεσκαίδεκα (80)· ζήσας δὲ μετὰ τὴν καθαίρεσιν μῆνας δέκα. Ἦν δὲ ὁ ἀνὴρ τὴν μὲν ἡλικίαν οὐ πάνυ εὐμήκη· τὴν δὲ τοῦ προσώπου ἰδέαν πάνυ εὐσχήμων· τήν τε γλῶτταν ἀκώλυτον ἔχων ἐν τῷ λέγειν· καὶ κανόνων ἐκκλησιαστικῶν καὶ νόμων, ὅσοι κατὰ τὰς δίκας ἐγνωσμένοι τοῖς πολιτικοῖς πράγμασιν ὑποθέσεων, πάνυ τοι ἠσκημένος ἐκ νέου. Τῆς γε μὴν Ἑλληνικῆς παιδείας οὐ πάνυ τοι σφόδρα μετέσχε, πλὴν ἢ ὅσον ἄκρῳ δακτύλῳ γεύσασθαι. Ἀνεπλήρου δ' ὅμως τὸ ἐκεῖθεν ἐλλιπὲς ἡ τῆς φύσεως ὀξύτης. Οὕτω γὰρ εὐφυής τε καὶ μνήμων ἦν, ὡς δύνασθαι λέγειν ἀπὸ στόματος, ὅσα ποτὲ προανεγνώκει, μέχρι καὶ ἐς διάστημα δυοῖν καὶ τριῶν ἀσφαλῶς ὡρῶν. Διὰ δὴ τοῦτο καὶ τῶν θείων Γραφῶν ἐρανιζόμενος τὰ ταῖς ἑκάσταις τῶν ἑορτῶν ἐς διδασκαλίαν τοῖς ἠθροισμένοις ὄχλοις κατάλληλα δη-

Variorum notæ.

(79) Cantacuzenus lib. IV, cap. 3, Didymotichо, ubi morbum cum aliqua mentis alienatione contraxerat, in urbem adduci præcepisse scribit, quo a medicis curaretur, ex eoque postmodum decessisse. Ita dissident invicem Cantacuzenus et Gregoras, uterque pro libito, seu potius.... DUCANG.

(80) Vide adnotata ad lib. X, cap. 7, sect. BOIVIN.

μοσίᾳ διῇει πάντ' ἀπὸ στόματος ἀποτάδην, ὥσπερ ἀπὸ βιβλίου, μηδαμῇ ποτε μήτε γλώττης ἐνιαχοῦ διὰ λήθην ἀκροσφαλοῦς γινομένης, μήτε τῆς διανοίας ὑστεριζούσης κατὰ τὴν τῶν λεγομένων πρόοδον· ἀλλ' ὥσπερ ἐν ἁρμονίᾳ καὶ λύρᾳ, συνηχούντων ἐς τὸ πάνυ τοι εὐφυὲς καὶ ἀπεξεσμένον ἀμφοῖν.

nia continenti oratione publice sic pronuntiabat, quasi de scripto; ut nec lingua vitio memoriæ usquam titubaret, nec in progressu orationis mens tardius assequeretur ea, quæ dicebantur; sed, quasi in symphonia aut in lyra, apte prorsus et æquabiliter ambæ concinerent.

Β'. Τούτων δ' οὕτως ἐχόντων, ἰδίᾳ παρειληφὼς ὁ βασιλεὺς ἐκεῖ τὸν υἱὸν, λόγων τε πειθοῖ καὶ πατρικῶν ἀδύσσοις παραινέσεων, λογισμῶν τε ἐκείνων ὑπέρτερον, ὁπόσοι πλήρεις τῶν μελλόντων ἦσαν φόβων, ἔπραττε καὶ ἅμα τῆς Ῥωμαίων ἡγεμονίας ἀποτεμόμενος μέρος (81) ἡγεῖσθαι διὰ βίου παρεῖχεν, οἱονεί τινα σατραπικὴν καὶ αὐτόνομον ἡγεμονίαν, πρός τε τὸ ἀσφαλῶς καὶ βεβαίως καὶ ἅμα τῶν ὑποπτευομένων φόβων ὡς πορρωτάτω ζῶντα διατελεῖν. Τὸ δὲ ἦν, μῆκος μὲν, ὅσον τὸ ἐκ Διδυμοτείχου πρὸς ἄνεμον ζέφυρον ἀποκλίνον, ἄχρι που τῶν τῆς Χριστουπόλεως ἐγγιστα προαστείων· εὖρος δ', ὅσον τὸ ἐκ θαλάττης εἰς Ξάνθειαν ἀνιὸν τὸ πολίχνιον, καὶ ὅσα μικρὸν ἐπέκεινα κεῖται χωρία. Παρασήμοις γε μὴν τοῦ μεγέθους συμβόλοις κεχρῆσθαι ἐπέτρεπεν, ὅσα βασιλείας μέν εἰσιν ἥττω, ἀξιωμάτων δ' ἁπάντων ἄλλων ἐπέκεινα· παρήγγελλέ τε, καθάπερ εἰκόνα καὶ ἀφορμήν τινα μείζονος εἶναι νομίζειν τοῦτ' ἐξουσίας ».

II. Hæc cum ita se haberent, filium illic imperator privatim convenit : rationum vi et paternis admonitionibus altiorem facit iis suspicionibus, quæ futuri metu plenæ eum angebant : simul Romani imperii partem recisam, regendam ei quandiu victurus sit assignat, quasi satrapicum quemdam et nomini subditum principatum, nempe ut tutior jam et firmior ab iis quæ formidabat, periculis quam longissime deinceps viveret. Patebat porro ea provincia, in longum quidem, a Didymoticho zephyrum versus ad Christopolitana proxime suburbia; in latum autem, a mari ad oppidulum Xanthiam, et paulo ulterius. Sed et iis insignibus majestatis uti permisit, quæ supremo quidem imperio essent inferiora, cæteris vero quibuscunque altiora dignitatibus; præcepitque, ut illud imaginem quasi et occasionem esse duceret majoris potestatis.

[P. 513] Γ'. « Σοὶ μὲν γὰρ εὐφυῶς, » φησὶν, « ἄρχοντι, καὶ ξὺν γε τῇ προσηκούσῃ προνοίᾳ ταυτὶ τὰ μέτρια τῶν ὑπηκόων διοικοῦντι πράγματα, ἐξέσται δήπου καὶ μείζονός ποθ' ἡγεμονίας ἐπειλημμένῳ πρὸς τὸ ἄμεινον ἄγειν· καὶ ἅμα οἷς ἀφορᾷν περιγίνεται πρὸς σὲ, καὶ τοῖς γε σοῖς ὁπώσποτε φιλοῦσιν ἐγκαλλωπίζεσθαι προτερήμασι, καὶ τούτοις δ' αὖ βεβαίας λελείψεται κτᾶσθαι προσδοκίας ἐπὶ σοὶ, ὅσαι τῆς ἀγαθῆς φλεβὸς ἀπορρέουσαι βίον προμνῶνταί σφισιν εὐδαίμονα. Οὐδεμία γὰρ ἐρράθυμημένη καὶ ἀνανταγώνιστος ἀρετὴ λαμπρῶν ἀξιοῦται γερῶν, ὁπόσα περιφανεῖς βραβεύει στεφάνους. Ἐπεὶ καὶ σύνεσιν ἀνδρὸς καὶ γνώμην ἡγεμονικὴν οὔτ' ὄψις, οὔτε μαντικοί τινες τρίποδες, εἴ τινες εἶεν χρηστηριαζόμενοι, τοῖς πολλοῖς οὕτωσὶ προσημαίνειν δύνανται, ὡς ἡ ἐπὶ τῆς χρείας καὶ τῶν καιρῶν ἀναλάμπουσα πεῖρα τῶν τε λόγων καὶ πράξεων. Πολλοῖς γὰρ ἐξ ἀπειρίας ὁ φανταστικὸς νοῦς μεγάλας ὑποτίθησι πλάττων εὐτυχίας τε καὶ μακαριότητας, καθάπερ αἱ ζωγράφων χεῖρες τοὺς τύπους τοῖς χρώμασι, παίζουσαι κατὰ τὸ βουλόμενον τῆς ψυχῆς. Ἡ δ' ἐκ τῶν πραγμάτων πεῖρα, οἷον ἔμψυχος διδάσκαλος καθισταμένη, μέγαν ἐντίθησι νοῦν, καὶ σωφρονέστερον εἰς ἁρμονίαν προδείκνυσι βίου τὸν ἄνθρωπον. Ἐγὼ δέ σε καὶ φραγμὸν οἱονεί τινα τίθημι τῆς ἡμετέρας ἀρχῆς καὶ ἐπικρατείας, ὡς ἐξεῖναί σοι, δίκην προβλῆτος ἀναδεδειγμένῳ, τὰς οἷον ἐξ ἀχανοῦς πελάγους τῶν Τριβαλλῶν τρικυμίας σεαυτῷ μὲν ἀφορμὰς λαμπρῶν διδόναι τρο-

III. « Tibi enim, inquit, si **815** sapienter imperes, et ea, quæ decet, prudentia modicam hanc provinciam administres, licebit fortasse, majoris aliquando imperii potito, tuas res provehere in melius, simulque iis qui intuentur in te, et honores tuos solent utcunque sibi gratulari, spes in te certas, bono scilicet fonte derivatas, et beatam vitam spondentes, integrum erit collocare. Quæ enim virtus otiosa est et nihil habet cum quo luctetur, ea præmiis magnificis et illustribus palmis non donatur. Nimirum hominis intelligentiam, et animum illum imperio dignum, nec visio ulla, nec vaticini tripodes, si consulantur, ita populis declarant, ut ea, quæ in usu et occasionibus elucet, dictorum factorumque experientia. Ac multis quidem, quia sunt rerum rudes, animus imaginum plenus magnas objicit, sed fictas, felicitates et beatitudines, ut pictorum manus ad libitum ludentes quidlibet coloribus exprimunt. Usus autem rerum, veluti magister vivus, ibullum intelligentiæ infundit, et homines in vita sapienter instituenda cautiores præstat. Ego vero nostri imperii nostræque ditionis murum quasi quemdam statuo te, ut possis, rupis instar constitutus adversus fluctus ex Triballis tanquam ex immani profundo effervescentes, tibi quidem tropæorum illustrium occasionem paratam habere, nobis autem securitatem præstare. Hinc fiet in primis, ut magna tibi ab omni Romanorum genere laudum sege-

Variorum notæ.

(81) Τῶν κατὰ Χαλκιδικὴν πόλεων præfecturam datam Matthæo filio indicat Cantacuzenus lib. IV cap. 10. DUCANG.

trit udur, commune **816** illud in omnes bene- ficium conferenti. Etenim rerum a pri cipibus gestarum gloria ab animis subditorum suum omne pretium revera sortitur. Nempe hi, quandiu ipsis bene est, divinos principibus honores impertiri solent. Ubi autem male rem gerunt, contraria prorsus facere haud verentur, quavis fortunæ mutatione eos faciliime mutante. Illud vero non ignoro, queri posse te de nobis, qui id gratificemur, quod minime gratum esse debeat, et voluptatis guttulam danies ærumnarum maria in te tota effundamus. Siquidem ea per nos loca habiturus es, quæ flamma hostilis quotidie depopulatur, quæ diu et noctu grassantibus barbaris non minus patent, quam nostræ regiones. Quas enim terras pervadendo invias ac desertas facere haud desinunt, a mari quidem, piraticæ ex Asia Persarum copiæ, a terra autem apertæ claudestinaque Triballorum incursiones et infesti exercitus, eas nos tibi possidendas assignamus, quas æternum certamen et periculum capiti, quasi Tantaleum aliquod saxum, impendens verius dixeris, quam providentis animi beneficium. Et erunt quidem omnino justæ expostulationes tuæ, si ista nobis objicere volueris, mederi autem non admodum facile erit. Nec enim nobis, quamvis cupientibus et multum sollicitis, aliud paratum erit, quod in locum eorum, quæ data fuerint, substituamus. Vides quippe in summas angustias adductum esse Romanum imperium, et inviam pene ac feram nobis pro omnibus patere solam Thraciæ regionem, urbes autem, **817** quæ generis Romani reliquias conservent, paucissimas circumstare, suburbiis et ipsas, vestibulisque ad urbium ornatum requisitis, destitutas; longinquis præterea finibus, et vastis solitudinibus interjectis, a se invicem distantes; quales patentissimo in campo numerosissimaque stipula, post messem et falcem, sparsæ et numerabiles spicæ. Omitto intestinam tragœdiam, quam civium sibi invicem infestorum discordia exhibuit; qua factum est, ut habitatorum potius simulacra nunc quam habitatores esse videantur. Adeo res nostræ in præsenti afflictæ sunt; adeo civiles illi et implacabiles tumultus, ab inimicis meis excitati, non solum maximam iis, qui nequiores erant, opportunitatem dederunt, ut licentiæ et contumaciæ assuescerent, sed et externorum in nos hostium potentiam plane confirmarunt. Undenam scilicet, nisi inde, Triballus in nos tantus crevisset; qui fluvii instar exundans, et limites suos longe prætergressus, effusis fluctibus partem imperii Romani jam inundavit, partem inundaturum se minitatur? Nimirum ille, longo terræ intervallo a nobis divisus, eo audacie processit, eas vires collegit, ut nostros agros illius exercitus perpetuo incursent et subitis irruptionibus vastent impune; telorum autem stridorem ad nostras aures facile perferat, nulla alia re fortem se in vincendo exhibens, nisi quod ex Romanorum calamitatibus consilium capit et vires. Quem

A παίων, τοῖς δ' ἡμετέροις ἀσφάλειαν πράγμασιν. Ἐξ ὧν περιέσται σοι μάλιστα καὶ ὁ πολὺς τῶν ἐπαίνων ἰσμὸς ἐκ τοῦ κοινοῦ τῶν Ῥωμαίων γένους, κοινὸν τοῖς ὅλοις χαριζομένῳ τουτὶ τἀγαθόν. Τῷ ὄντι γὰρ ἡ τῶν ἡγεμονικῶν εὐγένεια πράξεων ἐν τῇ ὑπηκόων γνώμῃ τὸ τίμιον ἔχει. Εὖ γὰρ πάσχοντες ἰσοθέους διδόασί σφισι τιμάς· κακοπραγοῦντες δὲ ὁρᾷν οὐκ ὀκνοῦσι πᾶν τοὐναντίον, ταῖς πανταδαπαῖς τοῦ βίου τύχαις ῥᾷστα συναλλοιούμενοι. Οὐκ ἀγνοῶ δ' ἔγωγε, ὡς ἐγκαλεῖν τὸ τῆς χάριτος ἔχεις ἡμῖν ἄχαρι, καὶ ὡς σταλαγμόν σοι παρέχοντες εὐφροσύνης ὅλα σοι πελάγη συμφορῶν ἐπαντλοῦμεν. Ἐκεῖνα γάρ σοι παρέχομεν ἔχειν χωρία, ὁπόσα διηνεκῶς τὸ πολέμιον ἐπιβόσκεται πῦρ, καὶ ὅσα οὐχ ἧττον τῶν μεθ' ἡμέραν καὶ νύκτωρ δῃούντων ἐστὶν ἐθνῶν, ἢ ἡ ἡμετέρα. Ἃ γὰρ ἀεὶ κατατρέχοντες ἀτριβῆ τινα πράττουσιν ἐρημίαν ἐκ μὲν θαλάττης αἱ ληστρικαὶ τῶν ἐξ Ἀσίας δυνάμεις Περσῶν, ἐκ δ' ἠπείρου τῶν Τριβαλλῶν αἱ φανεραὶ καὶ λανθάνουσαι κατὰ τὸ συνεχὲς ἐκδρομαὶ καὶ στρατοπεδεῖαι, ταῦτά σοι κλῆρον παρεσχηκέναι γέγονεν ἡγεμονίας ἡμᾶς, ἄπαυστον μάχην μᾶλλον εἰπεῖν καὶ κινδυνον ὑπὲρ κεφαλῆς αἰωρούμενον, οἱονεί τινα λίθον Ταντάλειον, ἢ διανομὴν προμηθῆ. [P. 514] Καὶ δίκαια μὲν πάντως ἔσται σοι τὰ λεγόμενα, ἢν ταῦτα προφέρειν ἐθέλῃς ἡμῖν, οὐ μάλα γε μὴν ἰάσιμα. Οὐδὲ γάρ, καίπερ ἐθέλουσι καὶ πολλὰ σκεπτομένοις, ἡμῖν παρέσται μέρος σοι πλὴν τοῦ δοθέντος ἕτερον ἀντιδιδόναι. Ὁρᾷς γὰρ ὡς εἰς στενὸν κομιδῇ τὰ Ῥωμαίων ἐλήλαται πράγματα, καὶ ἄβατός τις μικροῦ καὶ θηριώδης ἡμῖν ἀντὶ πάντων ἡ τῆς Θράκης ἥπλωται μόνη γῆ· πόλεις δ' ὀλίγαι περὶ αὐτὴν γένους διασώζουσι λείψανα μόλις Ῥωμαϊκοῦ, δίχα προαστείων καὶ αὗται καὶ τῶν ὀφειλομένων προθύρων εἰς εὐκοσμίαν πολιτικήν, καὶ πρόσῃγε μακροῖς τισιν ὅροις καὶ διαστήμασιν ἀοικήτοις ἀλλήλων διεστηκυῖαι· καθάπερ ἐν μακρῷ πεδίῳ καὶ παμπληθεῖ καλάμῃ μετὰ θέρος καὶ δρέπανον σποράδες ἅμα καὶ εὐαρίθμητοι στάχυες. Ἐῶ γὰρ τὴν τῶν ἔνδον ἀριθμεῖν τραγῳδίαν, ἣν ἡ κατ' ἀλλήλων πολύχους ἐπήνεγκε στάσις· ὡς εἰδώλοις γέ τισιν ἐοικέναι μᾶλλον οἰκητόρων, ἢ οἰκήτορσιν. Οὕτω δυστυχῶς ἔχει τὰ καθ' ἡμᾶς πράγματα νῦν, καὶ οὕτως ἡ τῶν ἐμῶν διωκτῶν ἐμφύλιος καὶ δυσπαραμύθητος στάσις οὐ μόνον μεγίστας τοῖς φαυλοτέροις παρέσχεν ἀρχὰς εἰς ἐθισμὸν ἀταξίας ὁμοῦ καὶ τραχύτητος, ἀλλὰ πάνυ τοι σφόδρα καὶ τὴν τῶν ἀλλοφύλων ἐχθρῶν καθ' ἡμῶν ἐπέῤῥωσε δύναμιν. Ἡ πόθεν ἄλλοθεν μέγας καθ' ἡμῶν ὁ Τριβαλλὸς ἐγεγόνει· ὃς καθάπερ ποταμὸς πλημμυρήσας, καὶ μακροῖς διαστήμασι τοὺς οἰκείους ὑπερβὰς ὅρους, τὰ μὲν τῆς Ῥωμαίων ἡγεμονίας παμπληθέσιν ἤδη ῥοθίοις κατέκλυσε, τὰ δ' ἀπειλεῖ κατακλύσειν; Δυσπαριθμήτοις γὰρ διαστήμασι γῆς ἡμῶν ἀφιστάμενος τοσαύτην εἴληφε τόλμαν καὶ δύναμιν, ὡς καὶ τὴν ἡμετέραν ἤδη συνεχῶς κατατρέχειν τὰ τούπου στρατόπεδα, καὶ μηδενὸς κωλύοντος ἐξ ἀφόβου λῃΐζεσθαι, καὶ τὸν τῶν ἐπιδρατίδων ψόφον εἰς τὰς ἡμετέρας ἔχειν τέως ἀκοὰς παραπέμπειν· καὶ ταῦτα μηδὲν μηδαμῇ τι πλέον γενναιότητος γνώρισμα πρός γε

τὸ νικᾶν παρεχόμενος, ἢ τὰς Ῥωμαίων τύχας οἰκείαν τιθέμενος εὐβουλίαν καὶ δύναμιν. Ἔπειτα τίνα με οἴει ψυχὴν ἔχειν, ὦ φίλτατε, ἢ ποίοις ὀδυνῶν ἄνθρακι πυρπολεῖσθαι τὴν τῶν πατρικῶν σπλάγχνων σύμπηξιν, ὁπότε σε θορυβούμενον οὕτω καὶ τὴν ψυχὴν ὑπὸ τῶν μελλόντων θραυόμενον φόβων ὁρῶν κατὰ βούλησιν ἀναψύχειν ἥκιστα δύναμαι· ἀλλ' ὥσπερ πολλοῖς τισι κεκυκλωμένος ἀντιπάλοις ξίφεσιν, ἀνθέλκουσί τε καὶ ἀντιπερισπῶσιν ἑκάστοις πρὸς ἑαυτὰ, πρὸς οὐδὲν τῶν ἁπάντων ἀποκλίνειν ἔχω μετά τινος εὐφυοῦς λογισμοῦ, οἷος ἂν ἐφόδια εἴη κεκτῆσθαι ἱκανὸς ἐς χωρίον κατάγειν εὐλίμενον, καὶ τοιούτων θορύβους κυμάτων δυνάμενον ἀποκρούεσθαι; Ὑρὸς μὲν γὰρ τὰς τοῦ μακαρίτου βασιλέως ἐκείνου καὶ φίλου κατὰ τὸ εἰκὸς [P. 515] ἐντολὰς ἀποβλέπων τῷ ἐκείνου παιδὶ τὸν βασίλειον ἀναγκάζομαι περιποιεῖσθαι κλῆρον· πρὸς δ' αὖ τὰς ἐνόρκους ἐπαγγελίας (82), ἃς τοῖς ξύν γε ἐμοὶ διωκομένοις καὶ κινδυνεύουσιν ἔπραττον ὑπ' ἀνάγκης ἐγὼ, τὸν περὶ ψυχῆς ἀγωνιζόμενος πολύμοχθον ἐκεῖνον διαῦλον, καὶ καταφεύγων ὡς εἰς φρουρὰν ἀναγκαίαν τὴν τῶν βασιλικῶν συμβόλων ἀντίληψιν, αὖθις ἀναφέρομαί σφισι διανέμειν τὰ λειπόμενα τῶν βασιλικῶν χωρίων, οὐ μάλα σὺν ἡδονῇ. Ταῦτ' οὖν ἐννοοῦντί σοι, φίλτατε, φέρειν γενναίως εἰκὸς εἴ τι μὴ κατὰ βούλησιν εἴη παρακομιζόμενον ὑπὸ τῶν ἀεὶ τοῖς ἀνθρωπίνοις ἐφεδρευόντων πράγμασιν ἐπαχθῶν. Μὴ γὰρ νῦν πρῶτον ἄρχεσθαι οἴου διά σὲ τὴν τοῦ βίου δυσέφικτον ταύτην δυσχέρειαν. Ἀλλ' ἀεὶ περιχορεύει τἀνθρώπινα πάνθ' ὁμοίως, καὶ πάσης ἐπίσης κατορχεῖται τύχης καὶ ἡλικίας. Τὸ μὲν οὖν λύπης ἄθικτον διανύσαι τὸν βίον, τοῦτο δ' ἀδύνατον εἶναι νόμιζε, καὶ τῆς ἀνθρωπίνης ὡς πορρωτάτω φύσεως· τὸ δὲ τἀπιόντα διηνεκῶς ἐξ ἀδήλου δεινὰ πειρᾶσθαι φέρειν γενναίως τὴν τῶν ναυτιλλομένων μιμούμενον κυβερνητικήν, τοῦτο δ' ἀνδράσι προσῆκον νοῦν ἔχουσι, καὶ μάλιστα τοῖς ἀρχαῖς πολιτικαῖς ἀσχολουμένοις τὸν ἅπαντα βίον. Ἀγαπητὸν γὰρ ἂν εἴη τὰ τῆς λύπης ἐπίσης ἀναχεχρᾶσθαι τοῖς εὐφραίνουσι, καὶ μὴ πλεονεκτεῖν τὰ χείρω. Ὁρῷ μὲν γὰρ, ὡς πολύχουν μὲν ἀεὶ τὸ δυστυχὲς ἐπιῤῥεῖ τοῖς ἡμετέροις καθάπερ ἐκ λόχου δεινῶς ἐπιτιθέμενον πράγμασι· τὸ δ' εὐδαιμον σφόδρα τοὶ σπάνιον· καὶ τοῦτο δ' οὐ μόνιμον, ἀλλὰ δίκην ἄνθους τάχιστα μαραινόμενον· οἶμαι, τοῦ Θεοῦ παίδευμα τοῦθ' ἡμῖν δραστικώτατον μάλα ἐπάγοντος, ἵνα μὴ μέγα φρονῶμεν, ὑπέρτερα τῆς τοῦ θνητοῦ φύσεως ἀναλογιζόμενοι. Διὰ δὴ τοῦτο καὶ Αἰσώπῳ πάλαι τῷ Φρυγὶ τὸν Θεὸν οὐχ ὕδατι νομίζειν ἐπῆλθε τὴν γῆν, ἀλλὰ δάκρυσι, φυράσαντα πλάσαι τὸν ἄνθρωπον. »

A mihi interea sensum esse existimas, mi fili, quibus doloris ignibus paternum pectus aduri censes, **818** cum te futuri metu adeo turbatum et animo fractum video, minime autem possum ex sententia recreare; sed multis ipse quasi circumseptus infestis gladiis, qui me ancipitem distrahunt et singuli ad se revocant, quo me vertam nescio, nec quidquam mihi succurrit boni consilii, quod viam mihi instruat ad aliquem portum, ejusmodi fluctuum tumultibus repellendis parem? Cum enim, ut par est, ad illius divi et amici imperatoris mandata respicio, imperatoriam hæreditatem cogor ejus filio propriam asserere. Cum autem animum ad illa refero, quæ, impellente necessitate, jurato promisi iis, qui mecum exsules periclitabantur, quo tempore certamen illud capitis laboriosissimum obivi, et ad imperii insignia capessenda tanquam ad præsidium necessarium confugi; tum rursus iis cogor, id quod imperantibus adhuc restat territorii, haud multum lætus distribuere. Hæc si cogites, fili amantissime, fortiter feras oportet, quidquid tibi ea molestiæ, quæ perpetuo humanis rebus insident, præter voluntatem tuam importaverint. Cave enim putes tui causa nunc primum nasci iniquas illas et difficiles vitæ ærumnas. Semper ea omnia humana circumsistunt; in omnem æque et conditionem et ætatem insultant. Hoc tu tibi persuaderas fieri non posse, ut vita ab omni molestia immunis transigatur, sed ab humana conditione longissime id abesse: at ingruentia ex improviso mala magno animo ferre, et **819** nauticam in eo artem imitari, id vero hominum esse intelligentium; eorumque in primis, quorum tota vita in civitatibus regendis occupata sit. Quod si tristia lætis temperarentur æquabiliter, nec pejora prævalerent, gaudendum esset ista sorte. Verum nos calamitosa multa tanquam ex insidiis erumpere et nostris rebus ingruere, prospera autem rara admodum videmus evenire, eaque non permanere, sed floris instar brevi marcescere: Deo opinor efficacissimam illam nobis disciplinam adhibente, ne efferamus ipsi nos, mortali conditione altiora affectantes. Ea propter et Æsopo Phrygio olim videbatur, non aqua sed lacrymis dilutam fuisse eam terram, qua hominem Deus formasset. »

Δ'. Ταῦτ' εἰπὼν ὁ βασιλεὺς τὸν μὲν υἱὸν ἀφῆκεν ἐπὶ τὸν δοθέντα γίνεσθαι κλῆρον· αὐτὸς δὲ ταχὺ τὰ ἐκεῖθεν, ὡς ἐδύνατο, καθιστάμενος πράγματα τὴν ἐς Βυζάντιον ἐπορεύετο.

IV. Hæc locutus imperator filium ad assignatas possessiones capessendas dimisit. Ipse rebus illic, ut potuit, diligenter ordinatis, Byzantium discessit.

CAPUT V.

Gregoras, de se ipso dicturus, docet quamobrem id nunc faciat. Ea dicere, quæ principibus haud placeant, periculosum est. Quorumdam aures veritate offenduntur. Idcirco ait se multa omissurum. De Cantacuzeno, antequam is rerum potiretur, præclaras spes conceperat. Eumdem, sua spe deceptus, errore liberare statuit. Dicendi libertas quantum et quibus in rebus silentio præstet. Ea multum valet, si et

Variorum notæ.

(82) Atqui eum noluisse illis flagitantibus quidquam promittere, legimus supra lib. XIV, cap. sect. 4 et 5. BOIVIN.

opportunitas adsit, et amicitia antecesserit. Cantacuzeni et Gregoræ crebra colloquia. Patrum dogmata quo studio quibus verbis ad hoc defensa. Contraria factio Cantacuzenum in Gregoram instigat. Hic imperatorem confidentius arguit, non ideo irascentem, sed lenitate Hadriano similem. Irenen adit, filii morte afflictam. Eam mortem pœnam corruptorum dogmatum esse affirmat et persuadet. Ita partes suas Augustæ patrocinio roborat. Isidorus et alii Palamitæ Irenen a Gregora conantur alienare. Ab ea male accepti Cantacuzenum arcessunt. Cantacuzenus, tumultum veritus, Byzantium statim venit. Gregoram hortatur, ut sileat. Idem etiam suadet Isidorus. Quem Gregoras variorum errorum accusat. Isidori canones musici seu hymnodiæ igni damnantur. Loquendi libertas reddita iis, quibus adempta fuerat. Concordia sumptuoso convivio sancita. Palamas, Didymoticho accitus, lites renovat, Cantacuzeno adjuvante. Negat Gregoras nova disputatione opus esse. Palamam redarguit. Item Cantacuzenum. Assentatorem quemdam objurgat. Scripta testimonia proferri a Palama non sinit. Concilium dimittitur.

I. Ego vero in hac parte historiæ ea summatim repetam, quæ a me omissa sunt invidiæ metu; qua fit, ut plerique proni sint ad obtrectandum proximo, præclara de se ipso narranti. Sciebam videlicet, invidiam, cujus natura veritati semper adversatur, bonis omnibus inhærescere. Alioqui vero, cum lateret adhuc in cunis et quasi in utero malum, isque esset rerum status, qui bonam etiamnum spem offerret, minime illis temporibus annexa erat inevitabilis dicendi necessitas. Nunc autem, cum et id quod **820** parturiebatur in lucem eruperit, et magnum ex scintillis incendium in veritatem ab adversa parte excitetur, periculumque sit, ne nobis interim (ut est omnibus mortalibus incertum quid cuique futurum sit) terrestris hujus vitæ exitum nactis, antequam istius mali causas bene animadverterimus, ignorent posteri res nostras; quem videlicet me in illis perturbatæ Ecclesiæ negotiis gesserim; ut convenerim imperatorem, et quantum præ me zelum tulerim; ideo necessarium nobis visum est pauca de multis compendiose narrare.

II. Nemo est, opinor, qui ignoret, minime periculosum esse, ea dici a subditis, quæ imperantibus jucundissima sint. At iidem, cum ad exasperandos offendendosque animos, et ea quæ minime placeant dicenda, linguam acuunt, tum vero consequens est, ut perquam ægre audientiam sibi faciant; pronam autem ad convicia herilem linguam pronioremque ad pœnas manum nanciscantur. Volenti itaque mihi ea quæ liberius a me dicta sunt, et zeli illius mei spectatum ardorem exponere, metuendum est, ne cum totius veritatis vix minimam partem declaravero, videar falsi ne minimam quidem partem omisisse. Quamobrem et illos reveritus, qui veritatem nonnunquam gravem et auditu asperam esse statuunt, cum aliquid in se generosum et eminens habet virtutis ostentatio, ac tum præsertim, cum de se ipso aliquis præclara narrat, etsi ille testes habeat spectatorum innumerabilium oculos; pleraque silentio volens prætereo.

III. Mihi certe, cui magna jam olim cum imperatore fuisset amicitia, antequam is ad imperatoriam **821** dignitatem esset evectus, mihi, inquam, ad ingenium illud mite respicienti, et ad alia omnia, quæ eximia sane illi viro a natura inerant, quidam veluti bonæ spei flores animum maxime recreabant; cum hoc mihi facile persuaderem, eum, statim atque rerum potiturus esset, religionem oppressam liberaturum esse ea belli flamma,

A [P. 516] Α'. Ἐμοὶ δ' ἐνταῦθοί γενομένῳ τῆς ἱστορίας ἀνακεφαλαιώσασθαι ἔπεισιν, ὅσα μοι διὰ τὸ τῶν πολλῶν παρεῖται ἐπίφθονον, οἷς προὔργου τοὺς γείτονας γίνεται μέμψεσθαι, περὶ σφῶν αὐτῶν ἀφηγουμένους τὰ βέλτιστα· βασκανίαν εἰδότι πᾶσιν ἀγαθοῖς ἐπιφυομένην, ἢ τὴν φύσιν ἀντιστρατευομένην ἔχει ταῖς ἀληθείαις διηνεκῶς. Ἄλλως τε καὶ τῆς κακίας ἐν σπαργάνοις ἔτι καὶ γάλαξι κρυπτομένης, καὶ τὴν ἀγαθὴν τῶν πραγμάτων προσδοκίαν τέως προβαλλομένων, ἄφυκτον ἥκιστα εἶχεν ἑπομένην ἐνταῦθα τῶν λόγων τὴν χρείαν ὁ χρόνος. Νῦν δ' ἐπειδὴ τά τε τῶν ὠδίνων ἐρράγη καὶ λαμπρὸν ἐγείρουσι τὸν πυρσὸν οἱ τῶν ἐναντίων σπινθῆρες πραγμάτων κατὰ τῆς ἀληθείας, καὶ δέος μὴ τοῦ μέλλοντος ἀνθρώποις ἅπασιν ἐν ἀδήλῳ κειμένου, τῆς κάτω ζωῆς ἡμῶν τελευτῇ μεταξὺ χρησαμένων, πρὶν καλῶς ξυννενοηκέναι τοὺς λόγους τῆς συμφορᾶς, ἀγνοῆται τοῖς ἐσομένοις τάμά, ὅπως τε προσηνέχθημεν τοῖς τῆς Ἐκκλησίας οὕτω ταραττομένης πράγμασι καὶ ὅπως τῷ βασιλεῖ προσιόντες ὅσον τὸν ζῆλον ἐνεδειξάμεθα, ἀναγκαῖον ἡμῖν ἐψήφισται, βραχέα τῶν πολλῶν συνελόντα, εἰπεῖν.

B Β'. Ἄρχουσι μὲν γὰρ τὰ ἥδιστα λέγειν ὑπηκόους εἶναι ἀκίνδυνον, πρὸς δὲ τὸ τραχὺ καὶ ἀντίξουν, καὶ ἥκιστα κατὰ γνώμην, [P. 517] θήγειν τὴν γλῶτταν, δυσπρόσοδον μὲν εὑρίσκειν ἀκολουθεῖν τὴν ἀκρόασιν, πρόχειρον δ' εἰς λοιδορίας τὴν δεσπόζουσαν γλῶτταν καθ' ἑαυτοῦ, καὶ πρός γε προχειροτέραν εἰς τιμωρίας τὴν χεῖρα, δοκεῖ μοι παρ' οὐδενὸς ἀγνοεῖσθαι. Διό μοι διεξιέναι βουλομένῳ τὴν παῤῥησίαν καὶ τὸ θέατρον ἐκείνου τοῦ ζήλου δεδιέναι περίεστι, μὴ πολλοστημόριον τῆς ὅλης λέγων ἀληθείας· μηδὲ πολλοστημόριον ψεύδους δόξῳ καταλιμπάνειν. Ὑφορώμενος οὖν καὶ τοὺς τὴν ἀλήθειαν ἐνίοτε τραχεῖαν δύσηχον ἡγουμένους, ὁπότε τι γε ναῖον ἔχοι πρὸς ὄγκον ἡ τῆς ἀρετῆς ἐπίδειξις, καὶ μάλιστ' ὁπότε περὶ ἑαυτοῦ τις ἀφηγεῖσθαι τὰ λῴονα βούλοιτο, καὶ εἰ μυρίων ἔχοι θεασαμένων μάρτυρας ὀφθαλμούς, ἐκὼν ἀφωνίᾳ τὰ πλεῖστα παρίημι.

C Γ'. Ἐμοὶ γὰρ λαμπρὰν ἐσχηκότι φιλίαν ἐκ πολλοῦ πρὸς βασιλέα, καὶ πρὶν ἐς τὰς βασιλείους ἀναβεβηκέναι τύχας, διά τε τοὺς τῆς πραότητος τρόπους καὶ ὅσα τἀνδρὶ προσῆν ἐκ φύσεως ἕτερα τὰ χρηστά, ἐλπίδων ἔχειν ἐν τῇ ψυχῇ λειμῶνας εἰπεῖν ἀγαθοὺς ξυνέβαινε μάλιστα πάντων, λύσειν αὐτὸν αὐτίκα τῆς βασιλικῆς ἐξουσίας ἐπειλημμένον τὴν τῆς εὐσεβείας οἰομένῳ πολιορκίαν, ἣν οἱ τῆς ἀντιχαλκηδονίου φατρίας Τελχῖνες πονήρως ἀνέφλεγον·

D

καὶ τοῦτό μοι τῶν μοχθούντων λογισμῶν ἐγίγνετο κατάλυμα τερπνόν, καὶ φροντίδων ὀλισθαίνειν εἰς ἀπόγνωσιν κινδυνευουσῶν πρᾷός τις καὶ γέμων εὐφροσύνης ζέφυρος· οἰομένῳ, καθάπερ τὸ ἔαρ ἐλευθερίαν τῶν χειμερίων νεφῶν ταῖς ἡλιακαῖς ἀκτῖσι παρέχεται, οὕτως ἐλευθερίαν τῆς κατεχούσης ὑπὲρ τῶν θείων δογμάτων λύπης εὑρήσειν κἀμέ.

Δ'. Ἐπεὶ δ' ὡς πορρωτάτω τῆς ἐμῆς ἤδη ἀπόδημον γνώμης ἑώρων αὐτόν, καὶ τὸ τῶν εὐγενῶν ἐκείνων ἐλπίδων ἄνθουν ἐνδιαίτημα μαραινόμενόν τε καὶ τῇ τῆς ἐναντίας μοίρας κακίᾳ παραχωροῦν τε καὶ καθάπαξ ἡττώμενον, βέλτιστον ἔνδοξεν εἶναί μοι, τὰς τῶν ζητήσεων ἄλλας ἄλλοις παρακεχωρηκότι περιφανῶς, ὁπόσαι τὴν τῶν ἀναγκαίων πορίζειν ἔχουσιν ἔνδειαν, ἐπὶ τὸ προμηθὲς ὁμόσε τῆς τοῦ φίλου κεχωρηκέναι ψυχῆς. Στρατόπεδα γάρ, ὡς εἰπεῖν, λογισμῶν παντοδαπῶν καὶ ποικίλων, ὑφ' ἡγεμόνι τῷ ζήλῳ τοῦ κρείττονος ἐν ἐμοὶ διηνεκῶς συγκροτούμενα, θανάτου γέμουσαν εἶναι τὴν ἐνταυθοῖ σιωπὴν ὑπετίθεντο, σώματος μὲν ἴσως ἥκιστα, ψυχῆς γε μὴν καὶ μάλα μάλιστα. Μηδὲ γὰρ ἀφεστάναι δειλίας, αἰσχίστου νοσήματος, τὸ τὸν τοῦ ζήλου θησαυρὸν ἀφωνίᾳ μακρᾷ θαλαμεύειν, μηδ' αὖ ἀγνοεῖν ἡμᾶς, [P. 518] τὸν ἐν τῷ τῆς δειλίας σκότῳ κρυπτόμενον πόθον τῶν ἀγαθῶν ἥκιστα δύνασθαι σύνιδεῖν τὴν τῆς Θεοῦ παῤῥησίας ἀλήθειαν. Ὃ γὰρ προφάσεις δῆθεν εὐλόγους ὑπὲρ δειλίας πλάττειν εἴη ἐθέλοντι, τὸν ἀκοίμητον οἰομένῳ λανθάνειν ὀφθαλμὸν τοῦ Θεοῦ, λέληθε πρυφανῶς αὐτὸς ἑαυτὸν ἀπολλὺς καὶ καθ' ἑαυτοῦ στρατευόμενος ἀντίκρυς. Τοσοῦτον γὰρ διαφέρειν ἐς τὴν τοῦ κρείττονος μοῖραν οἶομαι τὴν παῤῥησίαν ἐνταῦθα τῆς σιωπῆς, ὅσῳ τῶν ἐκ γῆς φυομένων ὁπόσα πρὸς τὸ αἰθέριον μετεωρίζει φῶς τοὺς καρποὺς τῶν ἐν τοῖς κόλποις τῆς μητρὸς γῆς ταμιευομένων. Ἐκεῖνοι μὲν γὰρ καὶ πρὸ γεύσεως ὀσφρησίν τε καὶ ὀφθαλμὸν ἑστιῶσι λαμπρῶς, καὶ χαρίζονταί γε ἁφῇ, καὶ τέρψεως σχεδὸν ἁπάσης· ἁπάσαις αἰσθήσεσι γίνονται ἄγαλμα· τούτων δὲ οὐκ εὐπρόσοδον οἱ πλεῖστοι ταῖς αἰσθήσεσιν, οὐδ' ἱλαρόν τε καὶ ἄλυπον παραχρῆμα προσάγουσι τοῖς χρῄζουσι τὴν ἑαυτῶν φορὰν, ἀλλ' ὅλην ὅλης ὡς τὰ πολλὰ δῃμότητός τε καὶ δυσωδίας σφόδρα ἀπόζουσαν. Ἄλλως τε καὶ οἷς μὴ εἶναι παῤῥησίαν ὁμοῦ τοῖς καιροῖς ἔπεται, τοῦτοις δήπου καὶ εὐπροφάτιστόν τινα χώραν ἀπολογίας εἰς ἀπόδρασιν λείπεσθαι, βραχεῖς τινας πάντως ἢ μηδένας εἶναι τοὺς ἀντεροῦντας οἶμαι. Μήτε γὰρ παῤῥησίαν, ἧς θεμέλιος ἄσειστος προειλημμένη γίνεται φιλία, τῶν προσηκόντων πόῤῥω καιρῶν, μήτε καιροὺς παῤῥησίας τοιαύτης ἄνευ ἐντελές τι δύνασθαι δρᾶν. Εἶναι γὰρ καὶ παῤῥησίαν φιλίας χωρὶς ἀμαυρόν· καὶ αὖ καιρὸν, ἀμφοῖν ἐκείνοιν λειπόμενον, περαίνειν μὴ δύνασθαι τῶν δεόντων μηδέν. Ἡμῖν δ', οἷς τὸ παῤῥεῖν ἐκ πολυετοῦς ἐκείνῳ συντέθραπται φιλίας καὶ ὁμιλίας, ἄτοπον εἶναι ἐδόκει, σιωπῇ καθυφεῖσθαι τοὺς τῶν ἀναγκαίων ἐς τὴν χρείαν καιρούς.

Ε'. Ὅθεν ὁμιλίας ἕνεκα καὶ νῦν συχνὰ καλοῦντι

A quam contrariæ factionis Telchines improbissime ventilabant. Eratque illud mihi laborantis animi gratum quasi diversorium, curarumque ad desperationem vergentium solamen, zephyro leni et jucundo haud absimile. Putabam scilicet, quemadmodum ver hibernis nubibus liberat solis radios, i a et me liberatum iri eo mœrore, quem pro sacris dogmatis suscepissem.

IV. Postquam autem animadverti Cantacuzenum longissime ab sententia mea recedere, et præclaras illas spes, quæ mihi florum instar sese obtulerant, marcescere, ac partis adversæ malignitati semel omnino victas cedere; optimum esse duxi alias petitiones allis plane relinquere, eas nempe quæ ad comparandam rerum necessariarum copiam B pertinerent, in eam autem curam incumbere me, quæ amici animæ consuleret. Cogitationes quippe multiplices et variæ in animo meo, velut legiones quædam, laudabilioris zeli auspiciis glomerabantur perpetuo, atque hoc loco silentium, si minus forte corpori, animæ certe mortiferum prorsus esse submonebant : nec enim distare ab ignavia, qui morbus turpissimus est, alto silentio sepultum zeli thesaurum; neque etiam **822** nescire nos, non posse amorem boni, si timiditatis in tenebris delitesceret, sinceræ fidei veritatem cognoscere. Nimirum qui pervigilem Dei oculum sperans falli posse speciosum velit timiditati suæ prætextum obtendere, is sibi ipsi imprudens manifestum exitium C moliatur, et in se ipsum palam arma convertat. Quippe in ejusmodi casibus tanto excellentiorem esse existimo vocem silentio, quanto ex iis rebus, quæ a terra gignuntur, illæ, quæ fructus suos ad cœli lumen attollunt, præstantiores sunt iis, quæ terræ matris in sinu reconduntur. Illæ scilicet odoratum aspectumque splendide pascunt etiam ante gustatum, et tactui blandiuntur, et omni ferme voluptate omnes sensus oblectant. Harum vero pleræque nec facilem aditu, nec jucundum, nec amaritudinis expertem, fructum suum statim cupientibus exhibent; sed totum ut plurimum acrem et graveolentem. Ac iis quidem, quos illa dicendi libertate uti tempori ipsi minus consentaneum est, probabilem excusationem reliqui, ad quam con- D fugiant, paucissimi erunt opinor, aut potius nulli, qui inficientur. Nec enim dicendi libertas, cujus est fundamentum inconcussum ea quæ antecessit amicitia, absque opportuno tempore, nec tempus opportunum absque illa dicendi libertate potest quidquam perfecti efficere : si quidem ipsa dicendi libertas, si absit amicitia, leve quiddam et futile est; temporis autem opportunitas, duplici illo auxilio destituta, nihil quidquam eorum quæ opus sunt, potest perficere. **823** Nobis vero, qui cum illo fidenter agere consuessemus, pro veteris amicitiæ familiaritatisque jure, absurdum videbatur, silentio nostro negligi opportunitatem ea faciendi, quæ essent necessaria.

V. Quamobrem colloquendi gratia cum subinde

me etiamnum arcesseret imperator, subinde et ipse me ad eum conferebam; nullam aliam ob causam mea me voluntate ad eam operam navandam impellente, si cordis arcana aperire nec fraudem veritati facere hic oportet, nisi quia nolebam cedere iis qui terminos a patribus constitutos movere, et absurda novarum opinionum commenta introducere studerent: atque ut eum hortarer, in institutis sibi traditis firmiter ut perseveraret. Nihil itaque non feci, nihil non dixi, et me in omnes formas verti, et lapidem omnem movi; nunc blandioribus cum eo verbis litterisque agendo, ut ipsius morem primo mansuefacerem, deinde illum haberem voluntati meæ obsequentem; nunc redarguendo et animi socordiam ipsi exprobrando, et quidquid malorum in Romanos invasurum ob illa Ecclesiæ naufragia esset, prædicendo. « Etenim, aiebam, qui leges a majoribus bene constitutas ne minimum quidem audent egredi, iis et hujus vitæ cursus feliciter procedit, et spes futuri melior promissam justis mercedem spondet. Qui vero sapientibus parentum decretis nolunt inhærere, in gravissimis vitæ ærumnis conflictantur, et inceptorum tales exitus ipsis contingunt, quales **824** minime velint; ac iidem post vitam ad intolerabiliora et desperatiora mala appellunt. »

VI. Novissime et contrariam factionem ex altera parte instare intellexi, clanculumque et palam eum instigare, ut me exsilio statim multaret. Verebantur quippe, ut opinor, ne zeli illius nostri igne, velut ferrum, tandem aliquando mollitus, propensior ad credendam mihi exsisteret, et totam laqueorum illorum fraudem mutatus eluderet. Idcirco et ipse exinde meam agendi rationem in projectiorem audaciam verti, et liberius jam ipsum cœpi arguere, duabus de causis. Quippe aut illum pudore affectum belli Ecclesiæ illati violentiam repressurum; aut certe coactum iri Byzantio quamprimum etiam me expellere: nec enim tolerabile mihi esse opinionum novitates intueri oculis religiosis. Sed erant ea quæ dicebam, inanis molestia, et frustra laborabam. Nam neque ille vel minimum remittere de suos illo proposito statuit; turpe siquidem esse ducebat, mutare institutum, et ea opinione desistere, qua ipse ab initio confirmata; totius controversiæ unus omnium maxime auctor existitiss: videretur; neque etiam in me, multa exprobrantem irridentemque, aut privatim ipse gravius animadvertere decrevit, aut aliis impellentibus cessit; sed æquo et pari mecum jure usque disputare perrexit, solita lenitate, ut ii qui adversarios ulciscI non possunt; Hadrianum imperatorem feliciter, ut mihi videtur, imitatus, qui **825** Phavorinum philosophum secum altercantem occidere cum posset, nequidem irascebatur, sed in morum mansuetudine perseverabat, et cum eo tanquam cum æquali rixabatur. Ea propter hic quoque imperatorem ii qui aderant admirabantur

τῷ βασιλεῖ συχνὰ καὶ αὐτῷ μοι φανεῖν ἐς αὐτὸν περιῆν, ὅτ' οὐδέν τι τῶν πάντων ἕτερον ἐμὲ τῆς προθυμίας εἰς τὴν σπουδὴν ἐγειρούσης, εἰ χρὴ τὸ τῆς καρδίας ἀνακαλύπτειν ἀπόῤῥητον ἐνταυθοῖ καὶ μὴ παρακρούεσθαι τὴν ἀλήθειαν, ἢ τοῦ μὴ καθυφεῖναι, οἷς ἂν ὅτ' ἐφέσεως εἴη, πατέρων ὅρια κινοῦσιν, ἐκτόπους ἀντεισάγειν καινοφωνίας, ἀλλ' ἐμμένειν τοῖς δεδομένοις δόγμασι παραινεῖν ἀσφαλῶς. Καὶ ἦν οὐδὲν, ὃ μὴ ποιῶν καὶ λέγων ὑπῆρχον ἐγὼ, παντοδαπὸς γιγνόμενος, καὶ πάντα κάλων κινῶν, νῦν μὲν τὸν κολακικώτερον τρόπον καὶ λόγοις καὶ γράμμασι πρὸς αὐτὸν ἐνδεικνύμενος, ἵν' οὕτωσί πως τὸ ἦθος πρότερον τιθασσεύσας αὐτοῦ πρὸς τὸ βουλόμενον σχοίην πειθόμενον· νῦν δ' ἐλέγχων καὶ ψυχῆς αὐτῷ νωθρότητα ὀνειδίζων, [P. 519] καὶ ὅσα Ῥωμαίους δεινὰ καταλήψεται προλέγων διὰ τὰ τοιαῦτα τῆς Ἐκκλησίας ναυάγια. « Οἷς μὲν γὰρ τῶν εὖ κειμένων πατρίων (ἔφασκον) νομίμων οὐδεμία τολμᾶται παράβασις, εὔδρομον μὲν τὴν τοῦ βίου φορὰν πρὸς εὐδαιμονίαν, εὐέλπιδα δὲ τὴν τῶν ἐπηγγελμένων τοῖς δικαίοις ἐς τὸ μέλλον ἀποκατάστασιν εἶναι· οἷς δὲ τοῖς εὖ κειμένοις οὐχ ἕπεται δόγμασιν ἕπεσθαι τῶν πατέρων, τούτοις δ' ἀνήκεστα μὲν τὰ τοῦ βίου περιχωρεῖν παλαίσματα, καὶ μάλα ταῖς προαιρέσεσιν ἐναντία τῶν πραττομένων τὰ τέλη· ἀνηκέστους δὲ καὶ δυσέλπιδας μᾶλλον τὰς μετὰ τὸν βίον καταγωγὰς ἁπάντων. »

ς'. Ἄρτι δὲ καὶ τὴν ἀντικειμένην φατρίαν ξυνενόουν ἐγκειμένην ἑτέρωθεν, λάθρα τε καὶ προφανῶς αὐτὸν διεγείροντας, ἐξορίας με δρᾶν τὴν ταχίστην ὑπεύθυνον. Ἐδεδίεσαν γάρ, οἶμαι, μὴ τῷ τοῦ ἡμετέρου ζήλου πυρὶ, καθάπερ σίδηρος, ὄψέ ποτε μαλαχθεὶς εὐπαθέστερος γένηται πρὸς πειθὼ, καὶ ὅλην μεταβαλὼν τὴν τῶν δικτύων ἐπίβουλον θήραν ἀνασοβήσῃ. Διὸ καὶ ἐς τὸ παραβολώτερον μᾶλλον ἐκεῖθεν τὸν ἐμὸν καὶ αὐτὸς ἀνεχάλκευον τρόπον, καὶ ἀφειδέστερον ἤδη τοῖς πρὸς αὐτὸν ἐλέγχοις ἐχρώμην, δυοῖν ἕνεκα· ἢ γὰρ αἰδεσθέντα παύσειν τὸ τοῦ κατὰ τῆς Ἐκκλησίας πολέμου βίαιον, ἢ κἀμὲ τοῦ Βυζαντίου τάχιστα ποιεῖν ἠναγκάσθαι ἐξόριστον. Μηδὲ γὰρ ἀνεκτὸν εἶναί μοι, τὴν τῶν δογμάτων καινοτομίαν ὀφθαλμοῖς ὁρᾶν εὐσεβεῖν αἱρουμένοις. Ἀλλ' ἦν ἄρα τὰ λεγόμενα μάταιος ὄχλος, καὶ ἐπόνουν ἀνήνυτα. Οὔτε γὰρ οὐδὲ βραχὺ τῆς προθέσεως ἐκείνης ἐκεῖνος ἐνδοῦναι προήρητο· αἰσχύνην γὰρ ἐνόμιζεν εἶναί οἱ τὴν τοῦ τρόπου μετάθεσιν, καὶ τὴν τῆς δόξης μεταβολὴν, ἣ τὴν ἰσχὺν αὐτὸς ἐξ ἀρχῆς χαρισάμενος τῆς ὅλης μάλιστα πάντων ἔδοξεν ὑποθέσεως αἴτιος· οὔτ' ἐμοί τι δεινὸν ἐπάγειν, πάνυ τοι λοιδοροῦντί τε καὶ χλευάζοντι, οὔτ' οἴκοθεν αὐτὸς βεβούλευται, οὔτε ξυνωθούντων ἄλλων παρενήνεκται. Ἀλλ' ἦν ἀπὸ τοῦ ἴσου μοι διαλεγόμενος, μετὰ τῆς συνήθους πραότητος ἀεὶ, ὥσπερ οἱ μὴ δυνάμενοι τοὺς ἐναντίους ἀμύνεσθαι· τὴν μίμησιν, οἶμαι, πρὸς Ἀδριανὸν εὐστόχως ἀνάγων τὸν αὐτοκράτορα, ὃς αὐτῷ φιλονείκως ποτὲ διαφερομένου Φαβωρίνου τοῦ φιλοσόφου, ἐξὸν ἀποκτεῖναι, ὁ δὲ οὐδαμῇ παρωξύνετο, ἀλλ' ἐνεκαρτέρει τῷ μειλιχίῳ τοῦ ἤθους, ἀπὸ τοῦ ἴσου διαφερόμενος. Διὸ καὶ ταῦθ' μᾶλλον ὁ βασιλεὺς ἐθαυμάζετο

πρὸς τῶν παρόντων διὰ τὸ τοῦ ἤθους ἥμερον, ἢπερ A ἐγὼ διὰ τὸ τοῦ ζήλου θυμοειδές.

magis, quod esset miti ingenio, quam me, quod zelum animosum præferrem.

Ζ'. Τούτων δ' οὕτως ἐχόντων, καὶ οὕτω χωρούσης τῆς τῶν πραγμάτων τύχης, οὐδ' οὕτως ἦν ἡσυχῇ καθήμενον φέρειν ἐμέ· ἀλλ' ἐδυσφόρουν καὶ ἤσχαλλον, καὶ μέσης ἥπτετό μου τῆς καρδίας τὸ πάθος· [P. 520] καὶ καιρὸν τῆς ἐμῆς ἐζήτουν προθέσεως ἄξιόν τι, πρὶν ὑπὸ λύπης παθεῖν, διδρακέναι. Τοῦ δὲ χρόνου χωροῦντος ἐς τὸ τοῦ φθινοπώρου πέρας, ἐπειδὴ τῷ βασιλεῖ διὰ Ματθαῖον τὸν υἱὸν, ὡς εἴρηται, διὰ σπουδῆς ἀφικνεῖσθαι ἐς Διδυμότειχον ἦν, ἵνα δὴ λυπούμενον ἐκεῖνον παραμυθούμενος τὰς τῆς βασιλίδος Εἰρήνης ἐπαγγελίας εἰς ἔργον ἀγάγῃ, τοῦτον ἐγὼ τὸν καιρὸν ἀγαθὸν ἡγησάμενος ἔρμαιον, καὶ τοῖς σκοπουμένοις ἐπιεικῶς μοι προσήκοντα, B πρόσειμι κατ' ἰδίαν Εἰρήνῃ τῇ βασιλίδι, καὶ ἅμα τοῦ τε ζήλου δῆλον τίθημι τὸ φλέγον καὶ τούς γε ὑπὲρ εὐσεβείας ἄνθρακας ἀναχαλύπτω τῆς ἐμῆς καρδίας, κἀπὶ νέῳ καὶ ἀκμάζοντι τῷ τοῦ παιδὸς τὴν καρδίαν τέῳ; ἠσχολημένην πένθει τῆς ἐκείνου τελευτῆς αἰτιώτατον ἔφασκον εἶναι τὴν τῶν δογμάτων κατάλυσιν· ἧς ὁ ἐκείνου πατὴρ ἐνδιαίτημα βέβαιον πεπραχὼς τὴν καρδίαν μεγίστην τοῖς κακοῖς ἐδεδώκει ῥοπὴν εἰς τὴν τῆς κακίας ἐπίδοσιν. Ταῦτ' εἰπὼν καὶ πλείω τοῖς εἰρημένοις ἀκόλουθα παρεινείρας ἐκ τῆς Γραφῆς ῥᾷον ἢ κατὰ τὰς ἐλπίδας αὐτὴν ἐπεπείκειν. Ἀγχίνους γὰρ οὖσα γυνὴ, καὶ δεισαμένη μὴ πένθος ἐπὶ πένθει προσλάβῃ παροξυνομένου θεοῦ, ξυνῆκεν εὐθὺς καὶ κράτιστος ἦν τοῦ λοιποῦ τοῖς ἐμοῖς συνήγορος λόγοις, ἥκιστά τε ἐκεῖθεν ἔληγε λοιδορουῦσα καὶ σκληρατέροις τοὺς τῆς Ἐκκλησίας λύκους βάλλουσα σκώμμασιν. Ἐντεῦθεν τοὔμὸν ἐν πάσαις ἔκειτο γλώσσαις ὄνομα, πρᾶγμα τετελεκότος μικροῦ τοῖς ὅλοις ἀπογνωσθὲν καὶ ἥκιστα, πρὶν εἰς ἔργον ἐλθεῖν, ἐλπιζόμενον. Τοῦτο ταῖς ὀδυνωμέναις ὑπὲρ τῆς Ἐκκλησίας ψυχαῖς ἡδείας ἀναπνοῆς τινος ἔδοξεν ἔαρ καὶ γλυκὺς θησαυρὸς εὐφροσύνης, καὶ οὐδὲ πόρρω χρηστῶν τινων ἦν ἐλπίδων, οὐδ' ἔτι μέγα πεῖσαι καὶ βασιλέα λοιπὸν, συμμαχούσης ἤδη τῇ ἀληθείᾳ καὶ βασιλίδος.

VII. Hæc cum ita essent, et in hunc modum res succederent, nec tum quidem potui quietus sedere et patienter ferre; sed ægre tuli et indignatus sum, et intimum pectus dolor attigit; atque opportunum ex eo tempus captavi, ut antequam mœrori succumberem, aliquid proposito meo dignum navarem. Tempore itaque procedente, sub autumni finem, cum (ut diximus) imperator Matthæi filii causa Didymotichum ire festinaret, tristem videlicet eum consolaturus, et imperatricis Irenes promissa perfecturus; illud ego tempus in lucro deputans, et mihi ad ea quæ meditabar, valde opportunum ratus, imperatricem Irenen privatim convenio; zeli fervorem declaro, et animum religionis amore inflammatum aperio. Quoniam autem recenti et crudo filii mortui desiderio teneri animum ejus videbam, causam ejus mortis verissimam esse affirmo dogmatum corruptionem, cui pater defuncti firmam sedem suo in corde fixisset, ac proinde maximum improbis pondus ad sceleris incrementum addidisset. Hæc locutus, cum et plura his affinia ex sacra Scriptura interseruissem, facilius **826** quam speraveram illam permovi. Prudens quippe mulier, verita ne Deo exacerbato alium ex alio luctum acciperet, intellexit statim, et meis verbis acerrime deinde patrocinata est; nec desiit ex eo insectari et acerbioribus dictis lupos Eccle-

Η'. Ταῦτ' οὐκ ἦν ἀνεκτὰ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· ἀλλὰ θόρυβος σφᾶς ἠγκαλίζετο· καὶ μυρίων θανάτων ἦν φορτικώτερον. Διὸ καὶ πρὸς ἓν ἀθροιζόμενοι σύστημα πάντες, ὁπόσοι τῆς πονηρᾶς D φατρίας τὰς τῶν ἐν Βυζαντίῳ φροντιστηρίων διέλαχον προεδρίας, καὶ πρό γε τούτων ὁ τὸν πατριαρχικὸν ἔχων Ἰσίδωρος θρόνον, προσῆεσαν Εἰρήνῃ τῇ βασιλίδι, πολλὴν ἐμοῦ δρῶντες τῇ γλώττῃ καταδρομὴν, καὶ πολλὰς καταχέοντες λοιδορίας, καὶ τὴν ἐμὴν ἀποσείεσθαι πείθειν ἐπιχειροῦντες ὁλοτρόπως ὁμιλίαν. Ἐπεὶ δὲ πολλὰ μογήσαντες ἤνυσαν μὲν οὐδὲν, ἠλαύνοντο δ' οὐκ ἄνευ μέμψεων ἐκεῖθεν μακρῶν, γράμματα ἐς βασιλέα τὴν τῶν ἀποβάντων ἔχοντα δήλωσιν πέμπουσιν, ἀξιοῦντες ἀφέμενον ὅσα οἱ ἀνὰ χεῖρας ἔτυχεν ὄντα δημοσίων φροντίδων γέμοντα πράγματα ἐς Βυζάντιον τάχιστα ἀφικνεῖσθαι, σφῶν βοηθήσοντα δόξῃ, κινδυνευούσῃ τὰ καίρια, καὶ ὅσα ἐπὶ τούτοις ἀκόλουθα ἦν τῷ σκοπῷ· [P. 521]

VIII. Ea diabolo et angelis ejus tolerabilia haud fuerunt; sed eos trepidatio invasit, et quavis morte gravius id iis visum est. Coitione itaque facta, quicunque pravo de grege partiti inter se fuerant Byzantinorum monasteriorum præfecturas, et ante hos is qui patriarchalem sedem tenebat, Isidorus, ad imperatricem Irenen accedunt, et lingua in me acriter invecti multis me probris cooperiunt, eique, ut ab omni prorsus mecum consuetudine abstineat, persuadere contendunt. Sed cum illi magno labore non modo nihil consecuti essent, sed et inde non sine multis reprehensionibus exacti essent, litteras ad imperatorem mittunt, ea quæ acciderant significantes, postulantque, ut omissis negotiis, **827** quæ plurima et civilibus curis plena præ manibus tunc erant, Byzantium advolet, eorum gloriam in extremum discrimen adductam defensurus. Illis alia addunt

proposito suo consentanea, atque ea præsertim, quæ diris criminibus in me confictis non carebant.

IX. Ille, statim ut hæc audivit, perturbatus, iis quæ tum instabant parvi factis, necesse esse duxit Byzantium venire quam celerrime, non tam ad confirmandas opiniones novas, quam ne inde turbæ in maxima imperii urbe exsisterent. Ubi advenit, nihil ei ex omnibus prius fuit, quam ut mecum ipse et patriarcha colloqui conarentur mihi persuadere altum ut silentium voverem, ac ne insanæ cohortis opiniones identidem vellicans magno adjumento essem iis, quibus istos carpere, linguisque acerrimis et ore libero insectari, magna voluptas esset.

X. Postquam autem, multis illic disputationibus habitis, vana et impia dicere patriarcham luculenter ostendimus, non solum quia ille multitudinem divinitatum infinite infinities substantia divina inferiorum, increatarum quidem, at visibilium, et substantia carentium, statuere cum Palama videbatur, sed etiam quod sanctorum hymnos de Trinitate, jam inde antiquitus cantari in ecclesia solitos, privata ipse auctoritate tenebris damnaverat, data volenti cuique licentia eos in ignem aut in mare projiciendi; suos vero proprios, quos nuper condidisset, stolidi, ut ita dicam, ventris fetus impios, illorum loco cantari jusserat; in quibus hoc inter cætera **828** scriptum ab eo erat, non substantiam, sed quamdam substantiæ expertem per se energiam Deum proprie dici debere: positione tamen, etiam ipsam substantiam: humano fortasse desiderio permittente; nempe analogice, quemadmodum et homines filii Dei et dii per gratiam vocantur: et, quæ conclusionis summa erat, non substantiam, sed illam a substantia abscissam energiam, carnem a Virgine Dei genitrice Maria accepisse; ejusmodi quippe esse substantiam ipsam, ut participari non posset, et ab rerum terrestrium cura prorsus aliena esset, alicubi scilicet in superioribus locis constitutam: multis itaque illic, ut diximus, variisque disputationibus habitis, et tota ferme illa nocte ibi consumpta, imperator, ubi controversiam illam non aliter finitum iri intellexit, Isidori illius novos canones igne deleri, ac loquendi libertatem recipere eos qui antea habuissent jussit. His ita ordinatis et omnium assensu comprobatis, sumptuosa nobis mensa, signum concordiæ, apposita est. Ac sic una cum imperatoribus epulati surreximus, sperantes principis edicto confirmatum iri postridie ea, de quibus convenerat; ne ab ecclesiis Dei, ubique maris et terrarum patria religionis dogmata defendentibus, vocarentur in dubium ea quæ tum fiebant.

XI. At pactum illud nec diu, nec iis omnibus qui contrariæ factionis erant, ratum esse placuit. Enimvero necessitatem imperatori adhibuere, ipsum quoque Palamam arcessendi, ad consultandum

A τά τε ἄλλα δηλαδὴ καὶ ὅσοις τὰς παλαμναιοτάτας ἐμοὶ προσάπτειν αἰτίας ἀπεῖναι οὐκ ἦν.

Θ'. Ὃ δὴ καὶ πρὸς τὴν ἀκοὴν εὐθὺς διαταραχθέντι μικρά τε τῶν ὁσα οἱ ἀνὰ χεῖρας ἦν τηνικαῦτα πεφροντικότι τάχιστα ἐς Βυζάντιον ἐδόκει τῶν ἀναγκαίων πορεύεσθαι, οὐ τοσοῦτον συστάσεως ἕνεκα τῶν καινοφωνιῶν, ὅσον τοῦ μὴ θορύβους ἐντεῦθεν ἐπιχωριάζειν τῇ μεγίστῃ πόλει τῶν Βυζαντίων. Ἀφιγμένῳ δ' ἔργον ἦν οὐδὲν οὐδενὸς προϊστάμενον, ἢ ξύν γε τῷ πατριάρχῃ διάλεξιν πρός με πεποιημένοις πείθειν πειρᾶσθαι, μακρᾷ τινι θύοντα σιωπῇ, μηδαμῇ ταῖς τῆς ἀτόπου φάλαγγος καινοφωνίαις συχνὰ διαλοιδορούμενον μακρὰν παρέχειν ῥοπήν, οἷς αὐτοὺς διασύρειν καὶ ὅλαις ταράττειν γλώτταις καὶ χείλεσιν ἐλευθέροις ἔρως μακρός.

B Ι'. Ὡς δὲ πολλῶν ἐκεῖ ῥυέντων ἀντιπάλων λόγων μάταια λέγων καὶ βλασφημῶν ὁ πατριάρχης ὑφ' ἡμῶν ἠλέγχετο προφανῶς, οὐ μόνον ὅτι πλῆθος θεοτήτων ἀπειράκις ἀπείρως ὑφειμένων τῆς θείας οὐσίας, ἀκτίστων μέν, ὁρατῶν δὲ καὶ ἀνουσίων, δοξάζειν ἐδόκει ξύν γε τῷ Παλαμᾷ, ἀλλὰ κἄξ ὧν ἰδίᾳ τοὺς μὲν εἰωθότας ἐπ' ἐκκλησίας ἄνωθεν τριαδικοὺς τῶν ἁγίων ᾄδεσθαι ὕμνους ἐς τἀφανὲς ἐρρίφθαι κατεδίκαζεν, ἐξουσίαν βουλομένοις πυρὶ καὶ θαλάττῃ χαρίζεσθαι παρεχόμενος· αὐτὸς δ' οἰκείους ἄρτι πεποιηκὼς, ἀτόπου φάναι γαστρὸς ἔκγονα βλάσφημα, τούτους ἀντ' ἐκείνων προσέταξεν ᾄδεσθαι· ἐν οἷς τά τε ἄλλα γράφων ἦν καὶ ὡς οὐ τὴν οὐσίαν χρεών, ἀλλ' ἀνούσιόν τινα καθ' αὑτὴν λέγειν ἐνέργειαν εἶναι κυρίως Θεόν· θέσει δὲ καὶ τὴν οὐσίαν, συγχωροῦντος ἴσως τοῦ ἀνθρωπίνου πόθου κατὰ τὸ ἀνάλογον, ὥσπερ καὶ ἄνθρωποι κατὰ χάριν υἱοὶ καλοῦνται Θεοῦ καὶ θεοί· καὶ τὸ τοῦ συμπεράσματος σκοπιμώτατον, μὴ τὴν οὐσίαν, ἀλλὰ τὴν τῆς οὐσίας ἐκείνην ἀπερρωγυῖαν ἐνέργειαν ἐκ τῆς παρθένου καὶ θεοτόκου σεσαρκῶσθαι Μαρίας· ἀμέθεκτον γὰρ εἶναι καὶ ἀνεπίστροφον τελέως τῶν κατὰ γῆν τὴν οὐσίαν ἐκείνην, ἐν τοῖς ἄνω που τόποις ὁριζομένην· πολλῶν οὖν ἐκεῖ ῥυέντων, ὡς εἴρηται, καὶ ποικίλων ἐξ ἀντιπάλου λόγων, καὶ μικροῦ τῆς ὅλης ἐκείνης ἐνταυθοῖ καινοτομηθείσης νυκτὸς, ἐπεὶ μὴ τὰ τῆς ὑποθέσεως ἄλλοις ἠρεμήσειν ὁ βασιλεὺς ξυνενόει, Ἰσιδώρου μὲν ἐκείνου τοὺς νέους κανόνας ἀφανείας δοθῆναι προσετετάχει πυρί· παῤῥησιάζεσθαι δ' αὖθις τοὺς εἰωθότας ἐκ παλαιοῦ. [P. 522] Τούτων δ' οὕτω συντεταγμένων καὶ συμπεφωνημένων, τράπεζα πολυτελὴς ἡμῖν παρεκομίζετο, σημεῖον ὁμοφροσύνης. Καὶ συνεστιασθέντες οὕτω τοῖς βασιλεῦσιν ἀνέστημεν, ἐλπίσαντες ἐς τὴν ὑστεραίαν καὶ βασιλικοῖς κυρωθήσεσθαι γράμμασι τὰ συμφωνηθέντα, ὡς μὴ ἀμφίβολα τὰ γιγνόμενα εἴη ταῖς ἁπανταχῇ θαλάττης καὶ γῆς ὑπὲρ τῶν πατρίων τῆς εὐσεβείας δογμάτων ἀντεχομέναις Θεοῦ ἐκκλησίαις.

C

D

Ια'. Ἀλλ' οὐκ εἰς μακρὰν τὰ τῆς συμφωνίας ἐκείνης οὐδὲ πᾶσιν ἤρεσκε τοῖς ἐκ τῆς ἀντικειμένης φατρίας βέβαια παραμένειν· ἀλλ' ἀνάγκην προσῆγον τῷ βασιλεῖ, μεταπέμπτον καὶ Παλαμᾶν ἐς τὴν

τῶν δεδογμένων ποιεῖσθαι βουλὴν, μὴ θόρυβον, ὡς περιφρονούμενος, ἐπιὼν ἀναφλέξῃ, τὴν τοῦ μύθου τοῦ Ἀττικοῦ μιμούμενος Ἔριν ἐκείνην, ἣν τῷ τερατώδει τοῦ μήλου μεγίστην πάλαι φασὶν ὑφάψαι στάσεως φλόγα καὶ μάχην τῷ τῶν θεῶν συνεδρίῳ, ὅτι μὴ ἐς τὴν κοινὴν ἐκείνην τῶν τῆς Θέτιδος γάμων τράπεζαν ἐσεκλήθη καὶ αὕτη. Διὰ δὴ ταῦτα μετάπεμπτος ἐκ Διδυμοτείχου καὶ Παλαμᾶς ἐς Βυζάντιον τάχιστα γίνεται. Καὶ ἵνα τὸν μέσῳ τοῦ φορτικοῦ χάριν παρέλθω, πρὸς τοὺς κατ' ἐμοῦ καὶ αὐτὸς ὁμοίως, μᾶλλον δ' εἰπεῖν οἰκειότερον κατὰ τῶν τῆς Ἐκκλησίας δογμάτων, πολέμους ὁπλίζεται. Καὶ ἐπειδὴ τὸν ἀγῶνα θυμοῦ καὶ κενοδοξίας πνέων εἰσῆλθε μακρᾶς, ἐμοῦ μηδένα πάρεδρον ἔχοντος σύμμαχον, πλὴν μόνου Θεοῦ, καθάπερ καὶ ἐς τοὺς πρότριτα διαλόγους, αὐτὸς πρός γε τοῖς ἄλλοις καὶ αὐτὸν βασιλέα, τὸ τῆς ἰσχύος κεφάλαιον, κράτιστον εἶχε σύμμαχον. Ἃ μὲν οὖν ἐμοί τε κἀκείνοις ἐν προοιμίοις λελάληται, μηδεμιᾶς ἐς τὴν παροῦσαν ἀφήγησιν ἔχοντα χρείας ἀνάγκην, σιωπῇ παρατρέχειν κεκρίκαμεν δεῖν. Τὰ δ' ἐφεξῆς εἶχεν οὕτω.

A do iis rebus, quæ decretæ essent; **829** ne is tumultum, velut despectus, interventu suo excitaret, illam fabula Attica decantatam Discordiam imitaturus, quæ pomi prodigio maximam seditionis flammam et pugnam in concilio deorum ideo olim accendisse dicitur, quia ad commune illud et nuptiale Thetidis convivium vocata haud fuisset. Quamobrem Didymoticho arcessitus Byzantium accurrit et Palamas. Atque ut fastidii vitandi causa ea omittam, quæ interjecto tempore acciderunt, accingit etiam ille se ad bellum mihi, imo (ut congruentius loquar) sacris Ecclesiæ dogmatis inferendum. Cumque in certamen descendisset, ingentem spiritum et magnam arrogantiam præ se ferens, ego quidem neminem habebam, qui mihi adesset ac succurreret, Deo excepto, sicut nec in illa disputatione, quæ habita triduo ante fuerat; iste autem, præter cæteros, ipsum quoque imperatorem, in quo summa roboris erat, acerrimum habebat propugnatorem. Quæ igitur ego et illi præfati sumus, ea, quia ad præsentem narrationem non necessario pertinent, silentio prætermittenda judico. Quæ vero secuta sunt, ea fuerunt ejusmodi.

B

ΙΒ'. Μὴ χρείαν ἔφασκον ἔγωγε εἶναι δευτέρων ἔτι διαλόγων καὶ κρότων ἀπὸ γλώττης μαχίμων ἐμοὶ, εἰ βέβαιοι μένουσιν αἱ τῆς προτέρας ἐκείνης διαλέξεως καταστάσεις. Εἰ δ' ἐκεῖνα παντάπασι λέλυται καὶ ἐς τοὺς λήθης ἔρριπται ῥύακας, οὐδ' οὕτω μοι πάλιν δευτέρων δεῖ συζητήσεών τε καὶ ἀποδείξεων. Εἰ γὰρ ἃ πρὸ βραχέος βασιλεῖ τε καὶ πατριάρχῃ δέδοκται, νῦν ἀραχνίων λέλυται τρόπον, πῶς ἂν οἷα καὶ Παλαμᾷ περὶ τῶν αὐτῶν πεπράξεται, πιστά τε καὶ ἀναμφισβητήτως ἡμῖν ἔχοντα φανείη, εἰ ἄρα καὶ αὐτό; μοι ξυμφωνεῖν ἐπαγγέλλοιτο, πρὸς ἃ δὴ καὶ πειθομένοις ὑμῖν ἐχρώμην, τῷ μεγέθει τῆς ἀξίας πλεῖστον ὑμῶν λειπόμενος, καὶ ἅμα τῇ τῶν τρόπων αἰδοῖ καὶ σεμνότητι πολὺ τὸ ἐνδεές τε καὶ ὀφειλόμενον ἐκ πολλῶν πολλάκις ἐνδεδειχώς;

C

XII. Negabam mihi opus esse altera disputatione et pugnacis linguæ strepitu, si stabilia manerent ea, quæ priori disputatione constituta fuissent. Sin illa omnino abolita et oblivionis fluctibus mersa essent, ne sic quidem mihi novis quæstionibus argumentationibusve opus esse. Si enim quæ paulo ante imperatori et patriarchæ placuerant, ea nunc velut telæ araneārum soluta sunt, quomodo ea, quæ Palamas iisdem de rebus statuet, sincera nec ambiguæ **830** fidei esse videbuntur, si forte concessurum se mihi illa promiserit, de quibus vos antea mihi assensistis; cum ipse dignitatis amplitudine vobis multum inferior sit; honestate autem et morum gravitate longe abesse, longe superari sese a vobis, sæpe et multis argumentis ostenderit?

[P. 523] ΙΓ'. Πρὸς ἅπερ ὁ Παλαμᾶς, « Οὐδ' ἐμοὶ, φησὶ, διαλέξεων δεῖ καὶ κριτηρίων ἄλλων, ἅπαξ εἰληφότι τὰ πρὸς δικαίωσιν καὶ ἀσφάλειαν ἔγγραφα τῶν ἐμοὶ λαληθέντων ὁπώσποτε πρὸς Ἰωάννου τοῦ πατριάρχου καὶ τῶν τότε συνεδρευόντων ἐπισκόπων ἐκείνῳ ψηφίσματα. » Πρὸς ἅπερ ἐμοὶ τοιάνδε ποιεῖσθαι τὴν ὑποφορὰν ξυνέπιπτεν. « Εἰ μὲν δὴ καὶ μέχρι καὶ ἐς τέλος ὑπὸ τοῦ δεδρακότος ἐκείνου τὸ κῦρος εἶχεν ἐκεῖνα, καὶ μὴ οὐκ εἰς μακρὰν ἑτέροις διασέσεισταί τε κἀκ βάθρων ἀναμεμόχλευται στεῤῥοτέροις γράμμασι καὶ ψηφίσμασι, σοὶ μὲν ἴσως, εἰ καὶ μὴ τῇ ἀληθείᾳ, τὸ παράπαν εἶχε τὸ εὔλογον. Εἰ δ' αὐτῷ γε δήπου τῷ δεδρακότι, μετὰ πλειόνων ἢ πρότερον αὖθις τῶν ἐπισκόπων (83) συσκεψαμένῳ,

D

XIII. Ad hæc Palamas: « Nec mihi, inquit, aliis disputationibus opus est, aliisve judiciis, cum ad eorum quæ quoquomodo dixi, probationem confirmationemque scripta impetraverim decreta a Joanne patriarcha et ab iis qui cum illo tunc sedebant, episcopis. » Ego vero hæc subjeci: « Si ea decreta is qui fecerat ad extremum rata habuisset, si non eadem paulo post firmioribus aliis scriptis ac decretis labefactata et funditus convulsa fuissent, tibi quidem fortasse, etsi non veritati, probabilis ratio suffragaretur. Quod si ipse qui fecerat, re coram episcopis pluribus, quam quot antea convenerant, denuo examinata, et multiplici decretorum illorum vitio perspecto, omni studio in id incubuit,

Variorum notæ.

(83) Itaque adversus Palamam synodus coacta est a Joanne patriarcha. Atque illud est concilium, de quo Gregoras (*Historiæ* lib. XIX, cap. 1, n. 18), veterem ait famam percrebuisse, tanquam hæresim omnium maximam correcturo, coactisque ex omni pene orbe patriarchis et episcopis, octavi et ultimi concilii nomen habituro. Tamen Joannes Cyparissiotes *Palamicarum Transgressionum* lib. I, serm. 4, cap. 4, duos tantum et viginti pontifices adversus Palamam coivisse testatur. De tempore quo ea syno-

ut et scriptum scripto, et decretum decreto, circumspectisque et legitimis constitutionibus inconsideratas et minime legitimas prorsus rescinderet; si ignorantiæ suæ veniam cum a nobis, tum ab iis omnibus, qui a vera opinione haud recessissent, petere non dubitavit; quid jam causæ est, cur, veritatis lumine omisso, in tenebris erroris palari libeat?»

A καὶ τὸ ἐν τοῖς ψηφίσμασιν ἐκείνοις πολύχουν τῆς ἀτοπίας σαφῶς ξυνεωρακότι, πάσαις ῥοπαῖς τῆς ψυχῆς γράμματι γράμμα, καὶ ψηφίσματι ψήφισμα, περισκεμμένοις τε καὶ νομίμοις τὰ λίαν ἀπερίσκεπτά τε καὶ μηδαμῆ ποτε νόμιμα, τελέως ἀνέτρεπέ τε καὶ ἅμα συγγνώμην τῆς ἀγνοίας ἐξ ἡμῶν τε καὶ ὅσοι τῆς ὀρθῆς οὐκ ἐξέστησαν δόξης ὁμοίως οὐκ ἠμέλει ζητῶν, ποῦ δίκαιον τὸ τῆς ἀληθείας παραβραμόντας φῶς τῷ τῆς κακίας ἐκόντας πλανᾶσθαι σκότῳ; »

XIV. «At mihi priora decreta videntur esse posterioribus **831** firmiora,» excipit imperator, Palamæ hæsitantis defensor acer et fervidus: « Si enim quæ destruxi (inquit Apostolus [1]) iterum hæc ædifico, prævaricatorem me constituo.» Quem ego, antequam ad alias responsiones transiret, sic B contra argumentatus sum. « Si quis eo se prævaricatorem velit judicare, o imperator, quod ipse a semet ipso violatus fuerit, multum mihi vel sic quoque (ausim dicere) probabilis ratio patrocinatur. Solvuntur quippe ab eo una utique ratione, simul cum posterioribus, etiam priora illa decreta, si veritatem contrario flatu haud opprimat mendacium: si fons justitiæ adsit, unde ii, qui hæc æstimare et apte definire cupiunt, æquam sententiam facile hauriant. Ita, brevi tempore magnis negotiis liberati, nova hodie judicia de multis et variis Pa-

ΙΔ'. « Ἀλλ' ἔμοιγε τὰ πρὶν βεβαιότερα τῶν ὑστέρων δοκεῖ γραμμάτων εἶναι, » φησὶν ὁ βασιλεύς, τὸν λόγον διαδεξάμενος καὶ σύμμαχος τῷ Παλαμᾷ θερμὸς ἀποροῦντι γινόμενος. « Εἰ γὰρ ἃ κατέλυσα, φησὶν ὁ Ἀπόστολος, πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι. » Πρὸς ὃν ἐμοὶ τοιάδε, πρὶν εἰς ἑτέρας ἐμβεβλῆκέναι τῶν ἀντιῤῥήσεων, ἀνθιστᾷν τετύχηκε τοῖς λεχθεῖσιν ἐπιχειρήματα· « Εἰ παραβάτην αὐτὸν ἐθέλοι τις κρίνειν, ὦ βασιλεῦ, ἅτε θραυόμενον αὐτὸν ὑφ' αὑτοῦ, πολλὴν ἐμοὶ καὶ οὕτω φημὶ τὸ εἰκὸς παρέχει τὴν συμμαχίαν. Συγκαταλύονται γὰρ αὐτῷ μετὰ τῶν ὕστερον ἑνί γέ τῳ τρόπῳ καὶ τὰ πρὶν ἐκεῖνα ψηφίσματα, εἰ μὴ τυραννοῖη τὴν ἀλήθειαν ἀντιπνέον ἀμηγέπη τὸ ψεῦδος, ἀλλὰ πηγὴ δικαιοσύνης ἐπιχωριάζουσα λαμπρῶς τὸ δέον χορηγοίη ταῖς τὰ τοιαῦτα κρίνειν καὶ ῥυθμίζειν προθυμουμέναις γλώτταις· καὶ μακρῶν

[1] Galat. II, 18.

Variorum notæ.

dus habita sit, non plane constat. Ego habitam puto circiter an. Christi 1345. Certe eam ante illud tempus coactam haud fuisse colligitur ex ipsius Palamæ verbis quæ exstant cod. Reg. 2409, fol. 299, ubi ait se περιεκλεισμένον ἐπὶ δυσὶν ὅλοις ἐνιαυτοῖς ἤδη, tum hæc addit, Πόσοι δὲ ποσάκις πρὸς αὐτὸν (Joannem scilicet patriarcham) εἶπόν τε καὶ γεγράφασι, εἰ μὴ τὰς μεγίστας ἐκείνας συνόδους στέργεις, γενέσθω πάλιν ἑτέρα, μόνον ἐκ τῶν ἱκανῶν τὰ τοιαῦτα συνοράᾳν. Ὃ δὲ καὶ ἐκείνας φησὶ στέργειν, καὶ τὸν ἐπ' ἐκείνας γεγραμμένον τόμον ἀθετεῖν μὴ δύνασθαι· καὶ δι' ἔργων καὶ λόγων ἀκυροῖ τὰ παρ' ἐκείνων ἐγγράφως κεκυρωμένα, καὶ πρὸ τῶν συνόδων ἐκείνων ἐν τῷ ἁγιωρειτικῷ τόμῳ διειλημμένα μηδὲν ἧττον· καὶ πρὸ τούτου πάλιν, ἐν αὐτοῖς τοῖς θεοπαραδότοις λογίοις, κἂν τοῖς ἱεροῖς τῶν θεοφόρων Πατέρων συγγράμμασι. Τούτων οὖν ἁπάντων οὐκ οἶδ' ὅπως οὗτος ἀλογήσας ἀρτίως, εἰς τὴν Ἐκκλησίαν αὖθις εἰσήγαγεν, ἃ ταῖς προϋπηργμέναις ἀπηγόρευται συνόδοις, ἵνα μὴ μόνον ἡ πολιτεία, φεῦ, ἀλλὰ καὶ ἡ Ἐκκλησία τοῦ Θεοῦ, στασιάζῃ τε καὶ ταράττηται, etc. Ex his, inquam, verbis colligitur, illam quam dicimus synodum non coactam fuisse ante annum Christi 1345, quo anno Palamas hæc ipsa scribebat. Etenim epistolam in qua hæc leguntur, anno Christi 1345, datam fuisse perspicuum est ex eo, quod Palamas ibidem dicat, *se duobus jam annis carcere inclusum teneri*, qui anno Christi 1343, Maio mense in custodiam datus fuerat, ut supra ostendimus ad pag. 482, B. Itaque per annos decem habita sunt de iisdem rebus concilia saltem quatuor. Primum an. Chr. 1341, Junii die 15, adversus Barlaamum. Secundum circa an. 1345, adversus Palamam. Tertium an. 1347, adversus Joannem Calecam patriarcham. Quartum denique an. 1351, Maio mense, adversus Gregoram et alios Acindynianos. (Joan. Cyparissiotes meminit τελευταίας συνόδου, quam ait coactam fuisse ab Ephesi metropolita, Palam. Transgress. lib. I, serm. 4, cap. 16, in fine.) Tomi vero promulgati sunt multo plures (*a*): nempe Tomus Hagioriticus, de quo Palamas, cod. Reg. 2409. fol. 287. Tomus synodicus in Barlaamum et in Acindynum, editus mense Augusto anni 1341, de quo Lambecius Biblioth. Cæsar. lib. IV, pag. 30. Tomus Ignatii patriarchæ Antiocheni contra Isidorum, editus an. 1344, Novembri mense; laudatus ab Allatio in Dissert. *De libris Eccles. Græc.*, pag. 188. Tomi contra Palamam varii, variis temporibus Joanne patriarcha editi; id quod ipse Palamas testatur his verbis: Ὥσπερ εἷς ἐστι Χριστὸς ἀληθινὸς ὁ ἐπὶ πάντων Θεός, Ἀντίχριστοι δὲ πολλοὶ γεγόνασιν ..... οὕτω καὶ συνοδικὸς τόμος κατ' εὐσέβειαν ἐφ' ἡμῶν τῆς ἀληθείας συνήγορος εἷς· ἀντίτομοι δὲ καὶ νῦν γεγόνασι πολλοί... Τρίτος οὖν ἐστιν οὗτος τῶν παρὰ τοῦ τῷ Βαρλααμίτῃ συναειν εἶν Ἀκινδύνῳ προειλομένου νῦν ἐξενηνεγμένων, καὶ παρ' ἡμῶν ἐξελήλεγμένων. Cod. Reg. 2409, fol. 287. His addatur Tomus contra Joannem patriarcham editus mense Februario anni 1347, de quo Lambecius Bibl. Cæsar. lib. VI, pag. 28. Item Tomus et Anathematismi in Palamam editi mense Julio ejusdem anni, quorum meminit L. Allatius *Græc. Orthod.* tom. II, pag. 795, et *De Eccl. Occident. et Orient. perp. cons.* pag. 803. Denique Tomus contra Gregoram et ejusdem sectæ propugnatores, editus mense Augusto anni 1341. Qui quidem Tomus exstat in *Auctario novissimo Bibliothecæ Græcorum Patrum*, parte altera, pag. 135. BOIVIN.

(*a*) Tomi duo, prior contra Barlaam et Acindynum; alter, contra Procborum Cydonium, Barlaami discipulum, editi sunt in libro schismatico cui titulus: ΤΟ ΜΟΞ ΑΓΑΙΙΙΙΣ. EDIT.

διὰ ταῦτ' ἐν βραχεῖ πραγμάτων ἀπηλλαγμένοις νέα τήμερον συγχροτείσθω δικαστήρια περὶ τῶν τοῦ Παλαμᾶ παμπόλλων τε καὶ ποικίλων ἐξ ὑπαρχῆς καινοφωνιῶν. Εἰ δὲ πολύτροπον τὸ τῆς λήθης καὶ τῆς ἀγνοίας νόσημα, ταῖς τῶν ἀνθρώπων ἐνδυναστεῦον διανοίαις, παρέλκοι τὸν ἡγεμόνα λογισμὸν ὡς τὰ πολλὰ πρὸς ἀπάτης κρημνούς ἐκ προοιμίων· τοῦ δὲ χρόνου μετὰ τῆς πείρας τὰ πεπραγμένα γυμνάζοντος, τὸ ἀληθείας ἀνακαθαίρεται κράτος καὶ τὰ νέφη τοῦ ψεύδους καὶ τῆς ἀπάτης ἐκ μέσου λαμπρῶς ἐλαύνεται, οὐκ ἂν εἴη τῶν ἀπεικότων τουτὶ καὶ ἅμα τῶν εἰθισμένων ὡς ποῤῥωτάτω βαδίζον τρόπων, εἰ καὶ πατριάρχην [P. 524] τὰληθές ἠγνοηκότα πρότερον, διὰ τὴν τῆς σαφηνείας τῶν γεγραμμένων ἐπίκρυψιν, ἐπιοῦσα μετὰ τῆς ἀρμοττούσης πείρας ἡ τὰ δρώμενα ξὺν χρόνῳ γυμνάζουσα γνῶσις ἐπηνώρθου τε καὶ οἷς ἐμμένειν χρεὼν ἐδίδασκε δόγμασί τε καὶ γράμμασιν. Ἔπειτα εἰ τοῖς προτέροις καθάπαξ τῶν ὅσα πράττεται πᾶσι τὴν τοῦ δικαίου δίδως ῥοπήν, ὅρα μὴ καθ' ἑαυτοῦ τὴν ψῆφον ἐγείρῃς τῶν νόμων τῶν σῶν, καὶ ταῖς ἰδίαις δίκαις γένῃ περιπετὴς ἐν βραχεῖ. Οἱ γὰρ ἐκεῖνα τὰ πρῶτα τοῦ Παλαμᾶ βεβαιώσαντες ἐπισκοποι γράμματα, οὗτοι καὶ κατὰ πάντων Ῥωμαίων ἐγγράφους ἐξήνεγκαν Τόμους καὶ πολύτροπά τινα τὰ ψηφίσματα· δι' ὧν τῷ αἰωνίῳ πυρὶ παρέπεμψαν, εἴ τινες εἶεν, οἷς πρὸς βουλήσεως εἴη τὸν Καντακουζηνόν σε βασιλέα τε δέχεσθαι καὶ Χριστιανὸν ἀποκαλεῖν· ἐν ὑστέροις δ' ἀκόντων αὐτῶν ἐγκρατῆ γεγονότα τῶν βασιλείων σκήπτρων καὶ θρόνων ὅλαις ἀνηγόρευον βασιλέα φωναῖς, μικρὰ τῶν οἰκείων ἐκείνων ἀρῶν φροντίσαντες. Εἰ οὖν τὰ πρότερα, κατὰ τὰς σὰς δίκας, τῶν ἐπισκόπων ψηφίσματα κἀνταῦθα κρατοίη καὶ βεβαιότερα τῶν ὑστέρων εἴη, ἐγὼ μὲν οὐκ ἂν εἴποιμι· σὺ δ' αὐτὸς ἀῤῥιπῶς δίδαξον, ὅπῃ χωρεῖ τὰ τῆς καταδίκης περιφανῶς. Δυοῖν γὰρ ἔποιτ' ἂν θάτερον, εἰ πηγὴ δικαιοσύνης πρυτανεύει τοὺς τῆς δίκης ῥύακας. Ἢ γὰρ κἀνταῦθα προτιμότερ' ἂν θείημεν τὰ πρῶτα, κατὰ τὴν σὴν ἐπ' ἐκείναις κρίσιν· καὶ βεβαιοῦται λοιπὸν ὁ κατὰ Ῥωμαίων ἐκφωνούμενος ἐκεῖθεν ἀναθεματισμὸς διὰ σέ, καὶ ἅμα λύεταί σοι τὰ τῆς βασιλείας ἰσχυρὸν ἐν βραχεῖ σὺν τῇ εὐσεβείᾳ· ἢ τῶν προσφάτων ἀθετουμένων, διὰ τὸ τῆς συναρπαγῆς καὶ τῆς ἀπάτης ἔγκλημα, σοὶ μὲν κυροῦται τὸ τῆς βασιλείας κράτος ἐς τὸ ἀθῷον μετὰ τῆς εὐσεβείας· λύονται δ' αἱ τοῦ Παλαμᾶ καινοφωνίαι, καθάπερ ὁ τῆς Χαλάνης πύργος· συνάπτεται δὲ τὰ διεστῶτα τῆς Ἐκκλησίας μέρη πρὸς ὁμόνοιαν καὶ εἰρήνην. Εἰ δ' αὐθεντικῶς οὕτωσιν ἐκεῖ μὲν τὴν νίκην τοῖς προτέροις δίδως, ἐνταυθοῖ δὲ τοῖς ὑστέροις, τυραννὶς τὸ πρᾶγμα καὶ κανόνας πάντας ὑπερβαῖνον θείους καὶ ἀνθρωπίνους. Καὶ εἰ φοβερόν σοι τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος νομίζεται, ὥρα σοι λοιπὸν ἐκλογίζεσθαι τοὺς ἐντεῦθεν φόβους, ὁποῖοι καὶ ὅσοι, παιδάς τε ἔχοντι καὶ πλείστην συγγένειαν, καὶ πρό γε πάντων ψυχὴν καὶ σῶμα· ὧν τῇ μὲν τὰ ἐκεῖ δεδίττεται κολαστήρια, τῷ δὲ μυρίοις ὑποκεῖσθαι καὶ ποικίλοις συμπίπτει νοσήμασι. »

ΙΕ'. Τῶν δὲ παρακαθημένων κολάκων ἑνός τινος τὴν ἐμὴν τῷ ἀγκῶνι πλευρὰν συμπιλήσαντός τε καὶ ἀντειπόντος, ὡς τὰ ἥδιστα λέγειν χρεὼν βασιλεῦσι,

XV. Cum autem assidentium adulatorum unus cubito meum latus pressisset, et placentia principibus dici oportere monuisset, magno tum zelo

A lamæ commentis de integro constituamus. Sin oblivio et ignorantia, quod morbi genus multiplex est, hominum animis penitus insidentes, moderatricem rationem initio pleramque in erroris præcipitia trahunt, tempore autem ex experientia id quod actum sit corrigentibus, veritatis vis illustratur, mendaciique et erroris nubila plane e medio pelluntur, mirum haud fuerit, nec ab usitato more longissime abeat, si patriarcham, qui initio, quod ea quæ scripta erant obscuriora essent, veritatem non viderat, subsequens experientia et rerum cognitio (quæ ope temporis corrigit ea, quæ acta sunt) lapsum erexerit, et **832** quibus inhærendum esset dogmatis præscriptisque docuerit. Jam vero, si iis prorsus omnibus justitiæ robur tribuis, B quæ prius acta fuerint, cave ne legum tuarum suffragia in te ipsum vertas, et propria sententia statim ipse tenearis. Qui enim episcopi priora illa Palamæ scripta confirmarunt, ii etiam scriptos Tomos et varia in omnes Romanos edidere decreta, per quæ sempiterno igni devovebantur, si qui essent, quibus Cantacuzenum (te ipsum scilicet) et imperatorem agnosci, et Christianum appellari placeret : iidemque te postmodum, cum invitis iis sceptro et solio potitus esses, imperatorem una voce, suis illis exsecrationibus parvi factis, renuntiarunt. Si igitur, ut tu statuisti, priora episcoporum decreta etiam hic valeant, et posterioribus firmiora sint, ego quidem nolim dicere ; tu C vero ipse haud dubius doceto nos, quorsum illa interdicta aperte evadant. Duorum enim alterum sequatur necesse est, si judicium feramus ex ipso justitiæ fonte derivatum. Quippe aut hic quoque potiora habebimus ea quæ priora sunt, secuti tuum de aliis illis judicium ; atque ita confirmabitur demum anathematismus in Romanos tui odio inde pronuntiatus, et simul auctoritatis tuæ robur cum veræ pietatis laude evanescet ; aut iis quæ priora sunt, nihili factis, propter obreptionis et fraudis crimen, tibi quidem imperatoria auctoritas et pietatis laus illibata asseritur ; Palamæ autem commenta, veluti **833** Chalanes turris, evertuntur ; Ecclesiæ vero partes disjunctæ concordia et pace sociantur. Sin adeo imperiosus victoriam tribuis, D illic quidem prioribus decretis, hic autem posterioribus, tyrannicum profecto illud est et legibus omnibus tam divinis quam humanis contrarium. Si igitur terribile esse existimas in manus Dei viventis incidere, jam oportet reputes, quæ et qualia inde pericula impendeant, liberos habenti numerosamque cognationem, et quod præcipuum est, animam et corpus ; ex quibus hæc metuit supplicia sempiterna, illud infinitis variisque morbis obnoxium est. »

XV. Cum autem assidentium adulatorum unus cubito meum latus pressisset, et placentia principibus dici oportere monuisset, magno tum zelo

percitus et effervescens adulationem illi et pusillum animum objeci, et quæcunque his consequentia sunt. Silentio ibi facto Palamas, qui nihil poterat reponere, postulare cœpit, ut permitteretur sibi, ad suarum opinionum confirmationem ex Scripturis testimonia producere. Repudiante me, atque exempla afferente Arii, Sabellii, Nestorii, eorumque omnium, qui suas opiniones ex sacris Scripturis perperam confirmare instituissent, cœtus dimissus est. Cæterum ego, quia errorem grassari et tumultum inde magnum exsistere videbam, tempus autem perficiendi..... opem ipsis efficacem **834** afferre non potuit. Et hæc quidem ita se habuerunt; ac hiems in his exivit.

μακρῷ κινηθεὶς καὶ ὑπερζέσας τῷ ζήλῳ κολακείαν τε ἐνεκάλουν ἐκείνῳ καὶ σμικρολογίαν ψυχῆς, καὶ ὅσα τούτοις ἕποιτ' ἄν. [P. 525] Σιγῆς τοίνυν γενομένης ἐν τούτοις, καὶ μηδὲν ἔχων ὁ Παλαμᾶς ἀντιφθέγγεσθαι, μαρτυρίας ἠξίου συγχωρηθῆναι παράγειν γραφικὰς εἰς ἐκδίκησιν τῶν αὐτοῦ καινοφωνιῶν. Ἐμοῦ δ' ἀποτρεπομένου καὶ τὴν τῆς τοιαύτης ὁμοιότητα πρὸς Ἄρειον καὶ Σαβέλλιον καὶ Νεστόριον, καὶ ὅσοι τὰς οἰκείας αἱρέσεις ἐκ τῶν θείων Γραφῶν κακοτρόπως συνιστᾷν ἐπεχείρουν, ἀνάγοντος, ὁ σύλλογος ἡμῶν διελύετο. Ἐπεὶ δ' ἐκεῖθεν μακρὸν ἐπιπολάζοντα βλέπειν ἐπῆσί μοι τὸν τῆς κακοδοξίας θόρυβον, ὥρων δ' ἀνύειν τὸ "" μὴ τὴν ἔμπρακτόν σφισι παρέχειν ἐδύνατο συμμαχίαν. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον· καὶ ὁ χειμὼν ἐν τούτοις ἐτελεύτα.

CAPUT VI.

Cantacuzenus Cralem officii admonet. Non auditur. Bellum parat. Amurius, cum copiis mare transmissurus, Smyrnæam Latinorum arcem it expugnatum. Missili telo occisus cadit. Cantacuzenum a suscepto bello tres causæ deterrent : nempe mors Amurii; renum morbus; et Galatæorum rebellio.

I. Cum sol æquinoctialem flexum attigisset, et anni portas, ad explicandum latius diem, longis cornibus Aries aperiret, legatos imperator ad Triballum misit, qui fœderum ac pactionum commonefacerent et fidei violatæ arguerent. Verum is, quia continuæ victoriæ maximos illi spiritus attulerant, irritam legationem facessere statim jussit. Itaque imperator Byzantio egressus, medio jam vere, tum ut copias, quæ in Thracia erant, adversus istum cogeret, tum ut amicum Amurium et vires cum eo Persicas ex Asia arcesseret, septimo post die Didymotichum pervenit.

Α'. Ἄρτι δὲ τοῦ ἡλίου περὶ προπὰς γενομένου τὰς ἰσημερινὰς, καὶ τοῦ Κριοῦ τοῖς μακροῖς κέρασι τὰς τοῦ ἐνιαυτοῦ θύρας ἐς τὸ τῆς ἡμέρας εὖρος λαμπρῶς διανοίγοντος, πρέσβεις πρὸς τὸν Τριβαλλὸν ὁ βασιλεὺς ἀπεστάλκει, τοὺς ὅρκους καὶ τὰς συνθήκας ἀναμνήσοντας καὶ τὴν ἐκεῖθεν ἐλέγξοντας παρέκβασιν. Ἐπεὶ δ' ἐκεῖνος φρόνημα μέγιστον ἐκ τῶν συνεχῶν τροπαίων ἀνειληφὼς ἄπρακτον ἀπιέναι εὐθὺς ἐκέλευε τὴν πρεσβείαν, ἅρας ὁ βασιλεὺς ἐξῄει τοῦ Βυζαντίου, μεσοῦντος ἤδη τοῦ ἦρος, στρατολογήσων τε ἐκ τῆς Θρᾴκης τὴν ἐνυπάρχουσαν δύναμιν κατ' ἐκείνου καὶ τὸν φίλον Ἀμοὺρ ἐξ Ἀσίας μεταπεμψόμενος μετὰ δυνάμεων Περσικῶν. Ὁ μὲν οὖν βασιλεὺς ἑβδομαῖος ἐς Διδυμότειχον ἀφικνεῖται.

II. Amurius, maxima peditum equitumque coacta multitudine, constituit, antequam in Thraciam ac Macedoniam transiret, vi expugnare et funditus exscindere, si posset, castellum illud, quod Latini Smyrnæ habebant; ne ii patriam, quæ isto abeunte orba relinquebatur, crebris incursionibus vastantes, gravissima quæque perpetrarent. Latinam enim arrogantiam prævidebat non temperaturam sibi esse, sic ut oblata semel exeundi excurrendique opportunitate, suis se finibus contineret. Admotis itaque copiis, ad pugnam eos provocat. Illi statim arreptis armis pugnantum exeunt, viribus non minus quam **835** splendore armorum freti. Sed Persicorum militum magna undecunque vi ingruente, oculos contra attollere non audent, pedem turpiter referunt, et obstructis castelli portis, missilibus ex muro telis pugnare incipiunt : unde lethali vulnere accepto, Amurius mortuus repente collabitur. Quem necessarii sui exceptum, revocatis a pugna militibus, domum reportant.

Β'. Τῷ δ' Ἀμοὺρ ἠθροικότι πλεῖστον ὅμιλον πεζικῶν τε καὶ ἱππικῶν δυνάμεων ἔδοξε, πρὶν ἐς Θρᾴκην καὶ Μακεδονίαν διαβαίνειν, ἄκοντι διαπράξασθαι καὶ πρόῤῥιζον ἐξελεῖν, εἰ δύναιτο, τὸ ἐν Σμύρνῃ φρούριον τῶν Λατίνων, ὡς μὴ ὀρφανὴν ἀπιόντος αὐτοῦ καταλελειμμένην τὴν πάτριον γῆν συχνὰ κατατρέχοντες οὗτοι λῃζωνταί τε καὶ τὰ ἔσχατα δρῶντες φαίνωνται τῶν δεινῶν. [P. 526] Τὴν γὰρ Λατινικὴν ὀφρὺν οὐδέποτ' ἠρεμήσειν ἤλπισεν ἐν ὅροις μεῖναι, καιρὸν ἐξιέναι καὶ κατατρέχειν ἔχουσαν. Ὅθεν προσελάσας προὐκαλεῖτο πρὸς πόλεμον. Οἱ δὲ παραχρῆμα τὰς πανοπλίας ἀναλαβόντες εἰς μάχην ἐξῄεσαν, οὐχ ἧττον τῇ δυνάμει θαῤῥοῦντες, ἢ τῇ τῶν ὅπλων λαμπρότητι. Ἐπεὶ δὲ πολύς τε καὶ πανταχόθεν ὁ τῶν Περσικῶν δυνάμεων ἔῤῥει πόλεμος, καὶ ἀντιβλέπειν οὐ μάλα ἐδύναντο, ἐπὶ πόδα τε ἀνεχώρουν αἰσχρῶς (84) καὶ τὰς πύλας ἀσφαλισάμενοι τοῦ φρουρίου τοῖς ἐκτιβόλοις ἐκ τῶν τειχῶν ἐμάχοντο βέλεσι· δι' ὧν καιρίαν πληγέντος Ἀμοὺρ (85), ἐκ τοῦ παραχρῆμα νεκρῷ γενέσθαι ξυμπέπτωκεν. Ὃν οἱ προσήκοντες ἀνειληφότες τῆς τε μάχης ἀπέχεσθαι τοῖς στρατιώταις παρεκελεύοντο καὶ αὐτὸν ἐς τὰ οἴκοι φοράδην ἀπῆγον.

Variorum notæ.

(84) Hanc Latinorum ad Smyrnam cladem describit Joannes Villaneus lib. XII, cap. 58. DUCANG.—Non hanc, sed eam quæ triennio præcesserat. BOIVIN.

(85) De cæso Amurio silet Villaneus. DUCANG. — *Joannes* scilicet : nec mirum. Nam hæc gesta sunt A. C. 1348, in cujus initio desinit Joann. Villanei Historia. BOIVIN.

Γ'. Τούτου δ' οὕτω κεχωρηκότος, ἐν λύπαις εἶναι τῷ βασιλεῖ ξυνέβαινε, τῆς τε προσδοκωμένης ἐκεῖθεν Περσικῆς λελειμμένῳ συμμαχίας καὶ ἅμα φίλου μεγίστην αὐτῷ διὰ βίου τηρήσαντος εὔνοιαν ἐστερημένῳ. Ἓν μὲν δὴ τοῦτο τῆς κατὰ Τριβαλλῶν ἐκστρατείας ἐμποδὼν ἐγεγόνει τῷ βασιλεῖ. Δεύτερον δὲ, τὸ κατὰ τῶν νεφρῶν (86) ἐνσκῆψαν αὐτῷ περὶ τὰς θερινὰς τοῦ ἡλίου τροπὰς νόσημα, τάς τε ἀλγηδόνας δριμείας ἐπάγον αὐτῷ καὶ τὴν τοῦ βαδίζειν ὑποκλέπτον ἐλευθερίαν τε καὶ ῥᾳστώνην, καὶ ἅμα τὰς τῶν ἰατρῶν ἐπαγγελίας οὐ μάλα τοι πρὸς τὸ εὔελπι καθαρῶς ἀθροίζεσθαι συγχωροῦν ἐκ τοῦ σύνεγγυς. Καὶ τρίτον ἐπὶ τούτοις, ἡ τῶν ἐν τοῖς Γαλάτου Λατίνων κατὰ Βυζαντίων ἐξ οὐδεμιᾶς προφάσεως ἐπανάστασις (87), ἣ μετὰ τὰς Ὁρίωνος ἐπιτολὰς εὐθὺς πεποίηται τὰς ἀρχάς· περὶ ἧς μικρὸν ὕστερον προϊόντες ἐροῦμεν πλατυτέρᾳ τῇ γλώττῃ. Νῦν δ' ἐκεῖνο ἐπαναλήψομαι.

A III. Is cum fuisset hujus belli exitus, incidit imperator in luctum, ut qui simul et Persicis, quas illinc speraverat, auxiliis destitueretur, et eo, qui singularem erga se benevolentiam tota vita conservaverat, amico orbaretur. Prima ea res fuit, quæ imperatoris in Triballos expeditioni obstiterit. Altera morbus, qui eidem circa solstitium æstivum in renes invasit, dolores acres afferens, et liberam incedendi facultatem supprimens, ita ut ex medicorum promissis spes non admodum læta aut certa continuo colligeretur. Tertium impedimentum accessit, rebellio ab Latinis Galatæis adversus Byzantios nullo prætextu cœpta; quæ ab Orionis ortu statim initium habuit. De ea, paulum progressi, agemus infra fusius. Nunc vero illud resumam.

CAPUT VII.

Persæ prædones in Thraciam ex Asia trajiciunt. Equites circumjecta Bizynæ urbi loca incursant. Pedites ulterius pergunt. Matthæus Cantacuzenus cum parva manu his occurrit. Barbari Romanos conspicati quid egerint. Acris pugna. Matthæi strenuitas. Ejusdem in hostes temere invecti periculum. Barbari internecione deleti. Præclaræ spes ex illustri victoria. Equestre prædonum agmen ab ipso imperatore partim cæsum, partim præda erepta fusum et dispersum.

Α'. Ἅρτι τοῦ ἡλίου τὰς θερινὰς τροπὰς παραλλάττοντος, Περσική τις δύναμις (88), ἐξ αὐτονόμου καὶ λῃστρικῆς ἄλλη ἄλλοθεν ἠθροισμένη τροφῆς καὶ διαίτης, ἐς Θρᾴκην ἐξ Ἀσίας πεποίηται τὴν διάβασιν. Καὶ ἐπειδήπερ ὁπόσα θαλάττης ἐγγὺς ὑπῆρχε χωρία πᾶσι καθάπαξ ἀοίκητον εἶναι συνέβαινεν ἐρημίαν διά γε τὰς συνεχεῖς τῶν ἐχθρῶν ἐφόδους, εἰς δύω σχίζεται μοίρας· καὶ τῶν μὲν ἱππέων ἡ φάλαγξ, εἰς διακοσίους [P. 527] καὶ χιλίους τὸν ἀριθμὸν ἀναφέρουσα, ἐπὶ τὰ ὅσα περὶ Βιζύνην εἰσὶ χωρία τοὺς δρόμους ὅλαις ἥλαυνε ταῖς ἡνίαις· ἡ δὲ πεζικὴ δύναμις, ἐκ δὶς ἑπτακοσίων εὐζώνων ἀνδρῶν συγκειμένη καὶ αὕτη, δυτικωτέραν πεποίηται τὴν ὁρμήν. Συνέβαινε γὰρ αὐτῇ τήν τε Ῥοδόπην τὸ ὄρος, καὶ ὅσαι περὶ Διδυμότειχον οὖσαι τυγχάνουσι πόλεις, ἐξ ὑπερδεξίων ἀφεμένῃ τὴν ἔφοδον ἐφ' ὅσα ἐπέκεινα κεῖται χωρία ποιεῖσθαι· ὧν Ματθαίῳ τῷ τοῦ βασιλέως υἱῷ τὴν ἐπιτροπὴν, ὡς ἀνωτέρω διείληπται, κεκτημένῳ οὐ μάλα τοι ἀνεκτὸν ἐνομίσθη κατ' ἐξουσίαν ἀπονητὶ ποιήσασθαι τὴν τῆς λείας ἐκεῖθεν ἐᾶσαι τοὺς Πέρσας ἀπαγωγήν. Ῥᾴδιον δ' ἥκιστα ὂν ἐκ μόνης τῆς Γρατιανουπόλεως, ἐν ᾗ τουτονὶ τηνικαῦτα παρεῖναι ξυνέβαινε, στρατὸν τοῖς βαρβάροις ἀντίπαλον παραχρῆμα συναγαγεῖν, ἐκ τῶν ἐνόντων τριακοσίους ἱππέας ἀνειλῃφὼς, καὶ πεζικήν τινα φάλαγγα, μεγάλην ἐβράβευσε δι' ἀβάτων χωρίων τῷ δρόμῳ τὴν ταχύτητα, μὴ λάθῃ φυγοῦσα μετὰ τῆς λείας ἡ λῃστρικὴ δύναμις. Τόπου τοιγαροῦν ἐντυχὼν ἐπιτηδειότητι, δι' οὗ τὴν ἀναστροφὴν οἱ βάρβαροι ἐρᾷν ἐνομίζοντο, τήν τε ἐφεδρείαν ἐνταῦθα πεποίηται καὶ τῶν εὐζώνων ἐνίους προὔπεμπεν εἰς κατασκοπήν· ἀφ' ὧν περὶ τὴν λείαν ἀσχολεῖσθαι πόρρω

B I. Statim post æstivum solstitium Persarum manus, qui alii aliunde ex licentia et latrocinio in unum convenerant, trajiciunt ex Asia in Thraciam. **836** Idem, quia loca omnia mari vicina ob continuas hostium irruptiones vasta et habitatoribus vacua occurrebant, bipartito se distribuunt: et equestris quidem cohors, quæ mille et ducentorum equitum erat, in agros Bizynæ urbi circumjectos laxis habenis invehitur; pedestris autem, quæ ex bis septingentis hominibus expeditis constabat, magis occasum versus impressionem facit. Nempe hi, Rhodope monte et oppidis, quæ circa Didymotichum sita sunt, ad dextram relictis, in ulteriorem regionem, id est Chalcidicen, irrumpunt, cui, ut supra dictum est, Matthæus imperatoris filius præerat. Hic Persas omni licentia et nullo labore prædam inde impune avertere non tolerandum ratus, cum facile haud esset ex sola Gratianopoli, ubi ipse tum forte versabatur, cogere exercitum debellandis Barbaris parem, ex iis qui aderant trecentos equites et pedestrem cohortem sumit; ne latronum agmen sese cum præda subito proripiat, magno itineris compendio cursum per invia accelerat. Locum vero opportunum nactus, qua redituri hostes putabantur, suos ibi in insidiis ponit: tum quosdam expeditos speculatum præmittit. Ex quibus cum audivisset, in præda agenda adhuc occupatos esse Barbaros et a castris longe abesse; milites suos modice jubet prandere. At illi, quia C non habebant, unde aquam haurirent ad **837** restinguendam sitim, quam et cursus defatigatio, et illius tempestatis ardor attulerat, armis expedien-

Variorum notæ.

(86) Cantacuz. lib. IV, cap. 10. DUCANG.

(87) De qua copiose Cantacuz lib. IV, cap. 11, 12. DUCANG.

(88) Rem narrat Cantacuzenus lib. IV, cap. 10 extr. DUCANG.

dis operam dare cœperunt, et maximam diei partem jejuni perstiterunt. Matthæus autem, imperatoris officio fungens, cohortem in ordines distribuit; equitibus dextrum et sinistrum cornu assignat, præfectis iis qui virtute præstabant, pedites inter utrumque extremum medios locat, et iis ducibus regendos tradit, qui bellicosissimi sunt. Ipse, cum aliquot equitibus circumvectus, milites jubet considere, et ut fortes se ostendant hortatur.

A που τῆς στρατοπεδείας· ἔτι τοὺς βαρβάρους ἀκούων ἀριστοποιεῖσθαι μετρίως ἐπέτρεπε τοὺς στρατιώτας. Ἐπεὶ δὲ σφισιν οὐκ ἦν εὐμαρὲς ὕδατος εὐπορεῖν, ὅθεν ὑδρευσαμένους τὴν ἀνάγκην ἔστιν παραμυθεῖσθαι τῆς φύσεως, ὅσην ἥ τε τοῦ δρόμου ταλαιπωρία καὶ τὸ φλέγον τῆς ὥρας ἤνεγκεν, αὐτοὶ μὲν περὶ τὴν τῶν ὅπλων ἐγίνοντο χρείαν, τὸ πολὺ τῆς ἡμέρας ἄσιτοι διηκαρτερήσαντες. Ματθαῖος δὲ στρατηγῶν εἰς τάξεις διῄρει τὴν δύναμιν· καὶ τοὺς μὲν ἱππέας ἔς τε τὸ δεξιὸν καὶ λαιὸν διαμεριςάμενος κέρας ὑφ' ἡγεμόσι τοῖς ἀρίστοις ἐς τὰ τῶν ἄκρων τὸ πεζὸν παρενέβαλε μέσα, ταξιάρχοις καὶ αὐτὸ παραδοὺς οἷς τὰ πολέμια κρατίστοις εἶναι τετύχηκεν· αὐτὸς δὲ τῶν ἱππέων ἑνίους ἔχων περιῆει, πρὸς εὐψυχίαν καὶ ῥώμης ἐπίδειξιν διεγείρων τὰς φάλαγγας.

II. Sole jam ultra meridiem progresso, apparent Barbari procul, multum prædæ secum agentes. Mox ubi propius accessere, Romanos milites armorum splendore collucentes conspicati obstupescunt primo; deinde quia animadvertunt non multos esse, despectui habent. Porro optimum iis esse visum est, prædam a tergo non longe relinquere, una autem omnes stare confertos, atque ita Romanorum impressionem fortiter sustinere. Itaque expeditissimis sagittariorum, in extremo agmine primum collocatis, præcipiunt, ut nunc instent, nunc conversi pedem referant ac fugiendo pugnent suo more; tum ut id crebro faciant, atque ita Romanam aciem ludificando perturbent.

B'. Τῆς δ' ἡμέρας ἐς τὸ πλέον ἢ κατὰ μεσημβρίαν εἶναι τὸν ἥλιον γενομένης, οἱ βάρβαροι πολλὴν ἐπαγόμενοι πόρρωθεν παρεδείκνυντο λείαν. Ἐγγύτερον δ' ἤδη γενόμενοι κατεπλάγησαν μὲν τὴν τῶν Ῥωμαίων θεασάμενοι στρατιάν, τῇ τῶν ὅπλων λαμπρότητι διαλάμπουσαν· κατεφρόνησαν δ' αὖ, οὐ πάνυ πολλὴν ξυννενοηκότες οὖσαν αὐτήν. Ἔδοξεν οὖν ἄμεινον, τὴν λείαν ὄπίσω διαλιπόντας μικρὸν, ἀθρόους ὑφ' ἑνὸς ἱσταμένους αὐτοὺς τὴν τῶν Ῥωμαίων εὐρώστως ἔφοδον διαχαρτερεῖν. Διὸ τοὺς ἐλαφροτάτους τοξότας πρότερον σφῶν αὐτῶν ἐς τὴν εὐραγίαν θέντες παραγγέλλουσι νῦν μὲν ἐπικεῖσθαι, νῦν δ' ἀποχωρεῖν ἐκ μεταβολῆς καὶ φυγομαχεῖν, κατὰ τό σφισιν ὡς τὰ πολλὰ εἰωθὸς, καὶ συχνὰ τοῦτο δρῶντας ἐξαπατᾷν [P. 528] καὶ ἐπιταράττειν τὴν τῶν Ῥωμαίων τάξιν.

III. Romanis igitur magno animo invadentibus, ac belli signum dantibus tubis, statim et ipsi Persæ clamorem tollunt, et cum nostris ferocissime confligunt; initio quidem illi densum, ut **838** videbatur, confertis clypeis agmen aciesque accessu difficillima, ita ut primo impetu pedestrem Romanorum phalangem perruperint; cum et sinistræ alæ equites, illis, quos dixi, expeditis sagittariis eminus prementibus, animo perturbarentur. Matthæus vero dux circumeundo suorum animos dictis augebat et confirmabat, ac iis partibus, quæ maxime laborabant, aderat usque subsidio. Majori deinde auxilio exercitum indigere animadvertens projectiorem audaciam induit, et suo cum globo in medios hostes irrumpit, juvenilius certe ille quam cautius. Ita statim proturbat et disjicit totam aciem, iis qui fronte adversa incurrerent viriliter prostratis obtritisque; aliis autem imbelli stupore oppressis. Ea re Romani confirmati acriore jam animo periculis sese offerunt, et obvios quosque strenue disturbant et occidunt. Inter hæc Matthæus, dum multiplici contentoque cursu per pugnam fertur ac plurima ruentium hostium corpora proculcat, equo in terram lapso repente excussus, pedes cum occurrentibus quibusque congredi cogitur. Ibi acriter utrinque certari cœptum, hostibus quidem illum interficere gestientibus, Romanis autem acerrime

Γ'. Τῶν μέντοι Ῥωμαίων σοβαρῶς ἐπιόντων, καὶ τῶν σαλπιγκτῶν ἀναχρουομένων τὸ ἐνυάλιον, ἐπηλάλαξάν τε εὐθὺς οἱ Πέρσαι καὶ μετὰ μακροῦ τινος θράσους αὐτοῖς συνερρήγνυντο, συνασπισμός τις τὰ πρῶτα δόξαντες βαρὺς καὶ παράταξις μάλα δυσπρόσοδος· ὡς εὐθὺς ἐξ ἀρχῆς τὸ μὲν συνεχὲς τῆς πεζικῆς τῶν Ῥωμαίων διακόπτεσθαι φάλαγγος· καὶ ἅμα τὸ εὐώνυμον τῶν ἱππέων, πιεζόμενον ἔξωθεν ὑπὸ τῶν ἐλαφρῶν ἐκείνων τοξοτῶν (89), τὰς ψυχὰς θορυβεῖσθαι. Ματθαῖος δ' ὁ στρατηγὸς περιιὼν λόγοις τε ἀνερρώννυε πρὸς τὸ εὐθαρσέστερον τοὺς οἰκείους καὶ τοῖς θλιβομένοις ἀεὶ προσιὼν παρεβοήθει μέρεσιν. Ἔπειτα μείζονος δεομένην τῆς βοηθείας τὴν στρατιὰν ξυννενοηκὼς ἐς τὸ τῆς τόλμης παραβολώτερον ἑαυτὸν μετεσκεύασε, καὶ πρὸς μέσους ἐμβάλλει τοὺς πολεμίους· ξύν γε τοῖς ἀμφ' αὐτὸν, νεανικώτερον τρόπον μᾶλλον ἢ προμηθέστερον· καὶ ὅλην εὐθὺς ἐκλόνησέ τε καὶ διέσεισε τὴν ἐκείνων φάλαγγα, τοὺς μὲν κατὰ μέτωπον ἁπαντῶντας γενναίως καταβάλλων τε καὶ συμπατῶν· τοὺς δ' ἄλλους πρὸς ἀναδρον καταχλείων ἀμηχανίαν· ὡς ἐντεῦθεν ἀναῤῥωσθέντας Ῥωμαίους εὐτολμώτερον ἐς τοὺς κινδύνους τέως παραβάλλεσθαι, καὶ τοὺς κατὰ πρόσωπον ἅπαντας διωθεῖσθαί τε καὶ φονεύειν εὐρώστους. Ἀλλὰ πολλούς τινας καὶ συνεχεῖς διεξελαύνων ἐν τῇ μάχῃ τοὺς δρόμους ὁ στρατηγὸς Ματθαῖος, καὶ πλεῖστα τῶν πιπτόντων πολεμίων σώματα συμπατῶν, ἔλαβε

Variorum notæ.

(89) Dixit supra τοὺς ἐλαφροτάτους τοξότας [in extremo agmine collocatos. Hinc suspicor legendum esse hoc loco τοξοτῶν. Quod si quis malit legere Τούρκων, haud intercedam. BOIVIN.

τοῦ ἵππου πεσόντος ἐς γῆν ἐκριφεὶς καὶ ἀπὸ γῆς μαχόμενος τοῖς ἐπιοῦσιν. Ἔνθα δὴ πολὺς ὁ ἀγὼν ἐκατέρωθεν συνέστη, τῶν μὲν πολεμίων ἀποκτείνειν ἐπειγομένων, τῶν δὲ Ῥωμαίων ἀντεχομένων μάλα γενναίως καὶ τὰς ἑαυτῶν ὑπὲρ τοῦ στρατηγοῦ προδιδόντων ψυχάς· ἕως ἵππου παρενεχθέντος ἐπιβὰς κατὰ κράτος ἤλαυνε κόπτων τοὺς πολεμίους· ὡς μηδὲ λελεῖφθαι, ὃς γοῦν ἀπαγγελεῖ τῇ Ἀσίᾳ τὸ πάθος.

A propugnantibus, et suas pro salute imperatoris animas ultro projicientibus, donec equus est admotus : quo ille conscenso, hostes effuse persecutus ita cecidit, ut nec relinqueretur, qui cladem illam Asiæ nuntiaret.

Δ'. Τοῦτο Ῥωμαίοις ἔδοξεν ἀγαθὸς οἰωνὸς καὶ μακρῶν ἐλπίδων προοίμιον. Τὸ μὲν γὰρ ἐπιοῦταν δέξασθαι, πρὶν ἢ προδοκῆσαι, καὶ ἀποκρούσασθαι τὴν τῶν πολεμίων ἔφοδον, μακρῷ τινι κραταιότερον, ἢ πολεμίων χώραν αὐτόν τινα καταδραμόντα στήσασθαι τρόπαιον. Οἷς γὰρ ἐς ὑπερορίους ἐκστρατείας παρασκευάζεσθαι μεμελέτηται, τούτοις δὴ καὶ περιττῶς τε μάλα καὶ σοβαρῶς ἁπλίζεσθαι ἀναγκαῖον, καὶ πάντα πρὸς τὸ ἀνενδεὲς καὶ φιλοτιμότερον ἐκ πολλοῦ τοῦ χρόνου τελεῖν, ἅτ' ἐν ἀλλοτρίᾳ γῇ ποιεῖσθαι μέλλουσι τὰς ὑπαίθρους στρατοπεδείας· οἷς καὶ εἰ νικῷεν, μέτριος μέν τις ἔπεται ἔπαινος, θαῦμα δ' οὔ, τῶν παραδόξων οὐδενὸς πεπραγμένου, ἀλλ' ἐνὸς τῶν ὅσα τῶν προσδοκωμένων ἦν. Οἷς δ' οἴκοι καθημένοις ἀπροσδοκήτοις τὸ πολέμιον ἔπεισι πῦρ, θαυμαστὸν, εἰ μὴ ζημιωθεῖεν τὸ ζῆν. [P. 529] Εἰ δὲ γενναίως καὶ εὐθαρσῶς ἀνταγωνισαμένοις μετὰ πάνυ μικρᾶς καὶ τῆς προστυχούσης δυνάμεως γένοιτο ἀποκρούσασθαι, τοῦτο δ' ἤδη καὶ θαυμάζεσθαι ἄξιον. Εἰ δὲ καὶ οὕτω κατατροπώσασθαι γένοιτο, ὡς μηδὲ πυρφόρον (90) λελεῖφται, τὸ δὴ λεγόμενον, τοῦτο δ' ἐκείνων μακρῷ τινι βέλτιον.

IV. Bonum illud Romanis augurium **839** esse visum est, et magnæ spei præludium. Scilicet ingruentem excipere, priusquam prævideris, et repellere hostium impetum, virtus est multo major, quam si quis facta in hostilem agrum excursione tropæum statuat. A quibus enim præmeditatis bellum adversus exteras gentes apparatur, eos cumulate et splendide instructos esse necesse est, et omnia ad plenum longe ante diligenter sibi comparasse ; ut quibus externo in solo sub dio castrametandum sit : et ii quidem, si vincant, mediocrem laudem consequuntur ; nec mirum ; cum nihil præter opinionem, verum id quod prævisum erat, gestum ab iis fuerit. Quibus vero domi sedentibus, nec opinatis, hostilis flamma supervenit, mirum nisi ii vita multentur. Quod si iidem strenue audacterque pugnando, parva admodum et fortuita hominum manus, hostem repulerint, id quidem jam admiratione dignum. At si ita debellaverint, ut nec ignifer, quod aiunt, relictus sit, id vero longe præclarissimum est.

Ε'. Καὶ ἡ μὲν πεζικὴ τῶν Περσῶν ἐκείνη δύναμις ἐς τοῦτο τύχης ἐλήλαται καὶ ἠφάνισται. Τῆς δ' ἱππικῆς κατόπιν ὁ βασιλεὺς ἐξ Ὀρεστιάδος τὴν δίωξιν κατεσπουδασμένην μετὰ χιλίων ἱππέων πεποιηκὼς, ἐπειδήπερ ἀσυντάκτοις ἐκ τῆς λείας ἀναζευγνύουσιν ἐντετύχηκε, τοὺς μὲν τριακοσίους ἀπηντηκότας εὐτόλμως ἔργον ἀπέφηνε ξίφους· οἷς δὲ πόρρωθεν αἰσθέσθαι ξυνηνέχθη τῆς μάχης, τούτοις δὲ φυγῇ τὴν σωτηρίαν δίχα τῆς λείας πορίζεσθαι ἐξεγένετο σποράσι καὶ ἀσυντάκτοις.

V. Ac pedestris quidem illa Persarum manus eum exitum sortita et in hunc modum deleta est. Equitatum autem ipse imperator ab urbe Orestiade cum equitibus mille celeriter persecutus, et ut se a præda recipiebant inordinatos nactus, trecentos qui audacter occurrerant ferro delevit. Ceteri, cum e longinquo pugnam illam sensissent, præda amissa, palantes dispersique fuga saluti consuluerunt.

Variorum notæ.

(90) Qui ignem ante aciem præferebant, ii πυρφόροι ἱερεῖς dicebantur. Vide Scholiastem ad illos versus *Phœnissarum* Euripid. :

Ἔπει δ' ἀφείθη πυρσὸς, ὡς Τυρσηνικῆς
Σάλπιγγος ἠχὴ, σῆμα φοινίου μάχης.

Adde Lucianum, Tzetzem, Zenobium, etc. BOIVIN.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ
ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
ΛΟΓΟΣ ΙΖ'.

NICEPHORI GREGORÆ
BYZANTINÆ HISTORIÆ
LIBER DECIMUS SEPTIMUS.

CAPUT PRIMUM.

De bello a Latinis Galatæis illato. Quibusnam artibus ii opulenti potentesque evaserint. Classem a Cantacuzeno construi cur ægre ferant. Cædes ab iis perpetratæ. Byzantii pacis cupidi, iidemque infirmi injurias patienter ferunt. Salutis publicæ præsidia a pricipibus neglecta. Latini viribus prævalentes. Inita cum imperatoribus fœdera aperte violant. Piscatoriam navim per latrocinium capiunt. Homines occidunt. Bellum clam apparant. Navale muniunt. Portæ Byzantii clauduntur. Orto inter Latinos dissidio, legati de pace ad imperatricem Irenen veniunt. Eorum postulata iniqua et superba. Irenes responsum. Byzantii omnes bellum deposcunt.

841 I. Imperatore in his occupato, Latini Galatæi Byzantiis bellum inferunt; non quod certam aut speciosam ullam conquerendi causam haberent; sed fortasse veriti, ne Byzantiorum res nautica incrementum acciperet, atque inde etiam imminuerentur vectigalia, quæ ipsi privatim ex mercaturis cogebant.

II. Nimirum iis parvas quasdam et viles tabernas construere permissum initio fuerat. Tempore autem procedente ad magnum splendorem magnamque potentiam sensim pervenerant. Nam forte ita incidit, ut principes inter se de imperio certarint; turbataque ob id Romana re et gravissime laborante, isti clam ac dolosis artibus modo hos modo illos subeundo, et auxilium daturos armorumque et militum magnam vim terra et mari submissuros se promittendo, non modo Byzantiorum opes et omnem ferme ex mari proventum, sed et multa publicorum negotiorum genera principum erariis magnam pecuniæ copiam afferentia, sensim ad se transtulerint: sic ut quotannis ipsi ex vectigalibus ducentorum ferme millium colligerent; Byzantii vix atque aegre triginta millia conficerent. Ea propter animis elati et Byzantiorum imbecillis viribus quotidie magis insultantes, ædes duorum et trium tabulatorum exstruunt: tum majori spatio per adversum clivum occupato, turres ædificant arduas et expugnatu difficiles; murosque et vallo-

Α'. Τοῦ μέντοι βασιλέως ἐν τοῖς τοιούτοις ἀσχολουμένου, μάχην κατὰ Βυζαντίου τοῖς ἐν Γαλάτου Λατίνοις (91) πεποιηκέναι συμπέπτωκεν, αἰτίαν μὲν ἐμφανῆ τινα καὶ εὐπρόσωπον ἥκιστα ἔχουσιν ἐγκαλεῖν οὐδεμίαν· δεδιόσι δ' αὔξησιν ἴσως τοῦ τῶν Βυζαντίων ναυτικοῦ κἀντεῦθεν καὶ τῶν κατὰ σφᾶς ἀθροιζομένων ἐξ ἐμπορίας φόρων ὕφεσιν.

Β'. Αὐτοὶ γὰρ ἐξ ἀρχῆς ὀλίγα τινὰ καὶ φαῦλα περὶ τὸν τόπον οἰκήματα συγχωρηθέντες συστήσασθαι, ἔπειτα ἔλαθον τοῦ χρόνου χωροῦντος ἐπὶ μέγα δόξης τε καὶ δυνάμεως ἀναβάντες. Τῶν γὰρ βασιλέων, συμβὰν οὕτωσί πως, στασιαζόντων κατ' ἀλλήλων [P. 530] ὑπὲρ τῆς ἀρχῆς, καὶ τῶν Ῥωμαϊκῶν ἐντεῦθεν πραγμάτων ταραττομένων καὶ σφόδρα πονήρως διατιθεμένων, οὗτοι λάθρα καὶ δολίως ὑπερσχόμενοι νῦν μὲν τοῦσδε, νῦν δὲ τοῦσδε, καὶ ὑπισχνούμενοι συμμαχίαν παρέχειν καὶ ὅπλων καὶ ὁπλιτῶν εὐπορίαν ἔκ τε γῆς καὶ θαλάττης, ἔλαθον μὴ μόνον τὴν τῶν Βυζαντίων εὐπορίαν καὶ μικροῦ πᾶσαν τὴν ἐκ θαλάττης πρόσοδον παρελόμενοι, ἀλλὰ καὶ ὅσα τῶν δημοσίων πολυειδῶς ἔχοντα πραγμάτων ποικίλον πορίζει τοῖς ἀρχικοῖς πρυτανείοις τὸν πλοῦτον· ὡς ἐντεῦθεν τὴν μὲν ἐκείνων ἐκ τῶν φόρων ἐπέτειον γίνεσθαι πρόσοδον διακοσίων ἔγγιστα χιλιάδων, τὴν δὲ Βυζαντίων βίᾳ καὶ μόλις τριάκοντα. Διὰ δὴ ταῦτα μεγαλαυχούμενοί τε καὶ τῆς τῶν Βυζαντίων ἀσθενείας ἡμέραν ἐξ ἡμέρας κατορχούμενοι οἰκίας τε διωρόφους (92) καὶ τριωρόφους ἀνί-

Variorum notæ.

(91) Cantacuz. lib. IV. cap. 11. DUCANG.

(92) Pace cum Cantacuzeno composita obtinuerunt Genuenses Galatini, ut quod supra oppidulum erat regionis ad habitandum sibi concederetur. Cantacuz. DUCANG.

στασαν, καὶ πλείονος αὖ ἐπειλημμένοι πρὸς τὸ ἔναντες τόπου πύργους τε ᾠκοδόμουν δυσανταγώνιστον κεκτημένους τὸ ὕψος, καὶ ἅμα τείχη καὶ περιβόλους μακρὰν τὴν εὐρυχωρίαν ἔχοντας ἄλλους ἐπ' ἄλλοις συχνοὺς περιήλαυνον· καὶ πρός γε ἔτι τάφρους καὶ ὀχυρώματα ἐπ' αὐτοῖς καὶ ὅσα πολεμίοις δυσεπιχείρητον ἀπειλοῦσι τὴν πάροδον ὤρυττον.

A rum septa alia atque alia late circumducunt; fossas præterea et munitiones moliuntur, et quacunque aditum hostibus difficilem minari solent.

Γ'. Ἄρτι δὲ καὶ ναυτικὸν συνίστασθαι βουληθέντος τοῦ βασιλέως Καντακουζηνοῦ διὰ τὰς συχνὰς τῶν Περσικῶν δυνάμεων ἐφόδους κἀκ τῆς Ἀσίας ἐς Θρᾴκην νύκτωρ καὶ μεθ' ἡμέραν διαβάσεις, καὶ ἅμα τοὺς ἐκ θαλάττης οἰκονομικώτερον τρόπων κουφίσαντος φόρους βουλομένοις καταίρειν εἰς τὸν τῶν Βυζαντίων λιμένα, ὃ μάλιστα τοῖς Λατίνοις ἦν ἀεὶ βοηθῶν καὶ κραταιότερον αὐτοῖς τὸ δύνασθαι διηνεκῶς ἐργαζόμενον, ὑπόνοιαν ἔσχον μάλα θρασεῖαν, καὶ ἔδεισαν μὴ θαλαττοκρατησάντων Ῥωμαίων ὑπορρυεῖσα ἡ αὐτῶν δύναμις μετὰ τῆς τοῦ κέρδους εὐπορίας αὔξήσῃ τάχιστα Ῥωμαίους. Ὃ δὲ μάλιστα ἐκ τοῦ παραχρῆμα καὶ σύνεγγυς ἔθραυε τὴν ἐκείνων ψυχήν, ἡ τῆς Χίου πρόφασις ἦν. Ἔδεδίεσαν γὰρ, μὴ πρὸ βραχέος ἔτι τῶν ὁμοφύλων ἐπιβούλως ἀφελομένων καταπλεύσας ὁ τῶν Ῥωμαίων στόλος αὖθις αὐτὴν ἀφέληται, πρὶν εἰληφέναι τὸν εἰς συντήρησιν κρατιστέραν ἀρκέσαντα χρόνον αὐτῇ. Ὅθεν αἰτίας καθ' ἡμέραν μάχης ῥάπτοντες ἦσαν ἄλλας ἐπ' ἄλλαις, οὐδὲν κεκτημένας ἰσχυρὸν καὶ εὐπρόσωπον, φόνους τε Βυζαντίων ἐργαζόμενοι, κρύφα μὲν τὸ πρῶτον, ἐκκεκαλυμμένως δ' ἔπειτα καὶ πλὴν ἀκηνῆς καὶ προσωπείου.

III. Demum cum imperator Cantacuzenus classem instruere decrevisset, ob crebros Persicarum copiarum incursus earumque ex Asia in Thraciam nocturnas diurnasque transvectiones; idemque iis, qui ad Byzantinum portum appellere vellent, tributorum nauticorum onus prudenti ratione minuisset, cujusmodi consilio plurimum semper Latini profecerant et potentiam suam in dies auxerant, suspicionem habuere ii gravissimam, timueruntque, ne Byzantiis maris imperio potitis, suis vero ipsorum viribus cum lucri occasione dilabentibus, res Romana augeretur. Quæ autem præcipua ratio statim et propiore metu eorum animos perculit, ea fuit Chios insula. Verebantur scilicet, ne istam, quam paulo ante populares sui **843** per insidias abstulissent, Romana classis appulsa reciperet, nec satis ipsi temporis haberent ad eam firmioribus præsidiis custodiendam. Belli itaque gerendi causas alias ex aliis quotidie nectebant, nec validas nec speciosas; et Byzantiorum cædes, clam primo, deinde aperte citra scenam et larvam perpetrabant.

Δ'. Τούτων δ' οὕτω δρωμένων, ἐθελοκωφεῖν ἐδόκουν Βυζάντιοι· τοῦτο μὲν καὶ εἰρηνεύειν ἐθέλοντες· τοῦτο δὲ καὶ τὴν σφῶν αὐτῶν ξυννοοῦντες ἀσθένειαν, πολυειδῆ τινα καὶ ποικίλην τοῦ χρόνου τούτοις ἐπενεγκόντος, ἐκ τοῦ περιφρονητικῶς διατίθεσθαι τοὺς κατὰ διαδοχὴν τῶν ἀρχικῶν ἐπειλημμένους ἐκ παλαιοῦ ἐς ὅσα πολιτικήν τε καὶ οἰκονομικὴν ἔχει πρόνοιαν τῶν ὑπηκόων ὁμοῦ καὶ τῶν δημοσίων πραγμάτων· οὐκ οἶδ' ὁντινα [P. 531] τρόπον ἐκείνοις ἥκιστα βουλομένοις εἰδέναι, ὡς τοὺς βεβαίως καὶ ἀσφαλῶς βιοῦν ἐθέλοντας, καὶ φοβεροὺς μὲν εἶναι τοῖς ἐχθροῖς, ποθεινοὺς δὲ τοῖς φίλοις ἀεί, οὐχ ὅταν ἐν ὀφθαλμοῖς ἔρχηται τὰ δεινὰ παρασκευάζεσθαι χρεών, ὅτ' ἔνεστιν οὐδεμίαν ἔχει τὸ σπούδασμα, ἀλλὰ πόρρωθεν ἀεὶ μελετᾷν, τίνα τε χρὴ προορᾶσθαι καὶ τίνα φυλάττεσθαι, καὶ αὖ τίνα προσίεσθαι καὶ οἰκειοῦσθαι πρὸς παρασκευήν, ὧν μήπω μὲν πάρεστιν ἡ χρεία, μέλλει δὲ τοῦ χρόνου ῥέοντος καὶ παντοδαπὰς καὶ παντοίας πλέκοντος τοῖς ἀνθρώποις τὰς τύχας· οὐδὲ συνιέναι παντάπασι, τίνι καὶ ὅσῳ δικαιοσύνη πρὸς ἀδικίαν συγκρινομένη διαφέρει, χρηματικῶν τε αὖ προσόδων προμήθεια καὶ ὅπλων κτῆσις πρὸς ἀμέλειαν τούτων· ἔτι τε πολιτειῶν εὐνομίαι καὶ κανόνες ἀῤῥεπεῖς δικαστηρίων ὁμοῦ καὶ βουλευτηρίων πρὸς ἀστάθμητον καὶ συγκεχυμένον βίον. Ὅμοιον γὰρ ἂν εἴη, ὥσπερ ἂν εἴ τις παραβάλλειν βούλοιτο καὶ θεωρεῖν, ὅσον ἐν πελάγει διαφέρει καλῶς οἰακιζομένη ναῦς τῆς ἄνευ οἰάκων καὶ πόῤῥω παντὸς προμηθοῦς· τοῖς πολλοῖς ἐκείνοις καὶ ἀνημέροις κύμασιν ἐπιπηδώσης· οἷς πολλῷ δήπου βέλτιον ἂν ἦν οἴκοι καθημένους ἀδοξεῖν καὶ μισεῖν παῤῥησίαν ὁμοῦ καὶ πολιτικὴν

IV. Hæc cum ita fierent, Byzantii sponte obsurduisse videbantur, partim quia pacem volebant, partim quia suam infirmitatem perspiciebant; quam eis multiplicem et variam ipse temporis lapsus attulerat, eo quod ii qui principatum ex successione jamdiu tenebant, eas curas neglexissent, quæ privatorum rebus et publicæ utilitati politica providentia œconomicisque rationibus consulunt. Nempe bi nescio quomodo noluerant intelligere, eos qui tranquilli ac securi vivere velint, atque ab hostibus quidem metui, ab amicis autem perpetuo diligi, necesse esse, non quando obversatur oculis periculum instruere se, cum nullam habet utilitatem diligentia; sed longo ante usque secum meditari, ecquænam prævideri, ecquænam præcaveri oporteat; tum etiam quid apparatus causa adsciscendum adquirendumve sit eorum quæ usui nondum quidem sunt, sed procedente tempore, multiplicesque et varios hominibus casus texente, profutura sunt: noluerant, inquam, hæc ii intelligere, nec quid et quantum justitia injustitiæ comparata præstet; quid pecuniæ provisæ armorumque copia earum rerum neglectui; quid denique reipublicæ bene moratæ et constans judiciorum **844** ac deliberationum ordo vitæ incertæ et confusionis plenæ. Perinde enim fuerit, ac si quis comparatione instituta æstimare velit, quantum in mari navis optimo gubernaculo instructa potior sit ea quæ sine clavo, sine ulla rerum provisione, æstuantibus asperisque fluctibus insiliat. Profecto hominibus illis melius multo fuisset domi sedere ingloriis, fiduciamque et

publicæ lucis claritatem odisse, quam tantis periculis objicere se, tam atque temeritate vitam quasi alteram ludere.

V. Quod igitur habere oportebat Romanos, ad quos principatus pertinebat, id Latini illis ademptum et ad se translatum adepti sunt sedula et cauta provisione solertique diligentia. Omnia enim his splendide parata erant, frumentum, arma, pecunia, et navales copiæ, eæque semper validiores quam Byzantinæ.

VI. Hi itaque, cum et hoc tempore nihil sibi obstare crederent, maris imperio potiri et Ponti fauces velut suas insidere ac in iis decimas percipere volentibus, ad apertiorem jam erumpunt violationem contemptionemque juramentorum ac legum, quibus ipsi se Romanis imperatoribus olim obstrinxerant; et unius remorum ordinis cymbam prædonibus armatis implent noctu; tum ad Fanum et ad Ponti fauces provecti Romanam quamdam naviculam comprehendunt, in qua multi piscationis causa retibus utebantur; ac plerosque ferro interimunt.

VII. Sole recens orto et illius noctis indignum facinus **845** Byzantiis declarante, luctu sane dignum illud visum est, pugna tamen et bello minime. Verum ubi Latinos mœnibus clausos continere se animadverterunt, et intermissa illa Byzantium veniendi assidua perpetuaque consuetudine, tres totos circiter quatuorque dies bellum clam apparare, summumque triremibus et maximis navibus obstruere navale, clausis et ipsi urbis portis, in incertum futuri exitum intenti ac suspensi sedebant.

VIII. Interim apud Latinos deliberantes controversia et dissensio exstitit. Nimirum quibus ex mercatura nauticisque negotiis opulentia veniebat, in vendendi emendique cum ea quam pax tribuit licentia, et totum in quæstuosam peram tam amœnæ occupationis studium effundendi finem facere, armisque et bello operam dare nolebant; unde metus esset, ne mala consequerentur supra dictis bonis maxime contraria, egestas nempe et dedecus, et salutis discrimen, et ipse, si verius loquendum esset, totius generis interitus; Deo scilicet, ob apertam illam fœderis violationem et animum in homines bene meritos ingratum, fortasse irato. Idcirco venere inde post aliquot dies legati ad Irenen imperatricem, qui partim suos culpabant, partim vaga quædam et minime solida prætexebant, sese undique purgare laborantes. Imperatore enim, ut diximus, absente et circa Didymotichum versante, ad Irenen imperatricem publicarum in

Ε'. Ὁ μὲν οὖν Ῥωμαίου; ἔχειν, ἄρχοντας ὀφείλοντας εἶναι, ἐχρῆν, τοῦτο Λατίνοις προσγέγονε παρελομένοις καὶ μεταθεῖσιν ἐντεῦθεν ἐκεῖσε διὰ πρόνοιαν οἰκονομικὴν καὶ σεσοφισμένην σπουδήν. Ἅπαντα γὰρ παρεσκεύασταί σφισι λαμπρῶς, σῖτος καὶ ὅπλα καὶ χρήματα καὶ ναυτικὴ δύναμις τῆς τῶν Βυζαντίων διηνεκῶς ὑπερέχουσα.

Ϛ'. Ὅθεν ἐπεὶ καὶ νῦν οὐδὲν αὐτοῖς ἐμποδὼν ἐνομίζετο θαλαττοκρατεῖν βουληθεῖσι (93), καὶ δικαστηρίου ἴδιον ἑαυτοῖς καταστήσασθαι τὸν αὐχένα τοῦ Πόντου, πρὸς φανερωτέραν ἤδη παρασπόνδησιν καὶ ἀθέτησιν τῶν πάλαι γενομένων σφίσιν ἐς τοὺς Ῥωμαίων βασιλεῖς ὅρκων καὶ νόμων ἐξερράγησαν· καί τι μονῆρες ἀκάτιον λῃστρικῶν ὁπλιτῶν ἐμπλήσαντές τε νυκτὸς καὶ πρὸς Ἱερὸν (94) καὶ αὐχένα τὸν διαπόντιον ἀναπλεύσαντες μίαν τινὰ Ῥωμαϊκὴν ἁλιάδα κατέσχον, πολλῶν ἐκεῖ τηνικαῦτα δικτύοις χρωμένων ἐς ἰχθύων ἄγραν, καὶ ξίφους ἔργον τοὺς πλείστους ἐπεποιήκεσαν.

Ζ'. Ἄρτι δ' ἡλίου ἐς ἀνατολὰς ἐληλυθότος, καὶ τὸ τῆς νυκτὸς ἐκείνης ἀνόσιον ἀδίκημα τοῖς Βυζαντίοις ἑρμηνεύσαντος, λύπης μὲν ἄξιον ἐνομίσθη, μάχης δὲ καὶ πολέμων ἥκιστα. Αἰσθόμενοι δ' ὅμως ὡς οἱ Λατῖνοι τειχήρεις γενόμενοι, καὶ τὴν ἐς Βυζάντιον ἐκείνην συνήθη τε καὶ διηνεκῆ διάβασιν κωλύσαντες, ἐφ' ὅλας ἡμέρας τρεῖς που καὶ τέτταρας πρὸς ὅπλα λελῃθότως παρεσκευάζοντο καὶ τριήρεσι καὶ μεγίσταις [P. 532] ναυσὶ τὸ οἰκεῖον τέως περιέφραττον ἐπίνειον, τὰς τοῦ Βυζαντίου πύλας καὶ αὐτοὶ συγκλείσαντες· ἐκάθηντο μετέωροι, πρὸς τὴν ἀδηλίαν τοῦ μέλλοντος ἀποβλέποντες.

Η'. Ἀμφιβολίας δὲ μεταξὺ καὶ διχοστασίας ἐν τῇ τῶν Λατίνων βουλῇ γενομένης, ἅτε οὐκ ἐθελόντων, οἷς ἐξ ἐμπορίας καὶ ναυτικοῦ βίου τὸ πλουτεῖν περιῆν, ἀφεμένους ἐν τῇ τῆς εἰρήνης ἀνέσει πωλεῖν τε καὶ ἀγοράζειν, καὶ τῆς οὕτω τρυφώσης ἀσχολίας ἐς τὴν κερδαίνουσαν πήραν ὁλοσχερῶς ἐκκενοῦν τὸ φιλότιμον, ὅπλοις καὶ μάχαις ἐνδιατρίβειν, ἐξ ὧν τἀναντιώτατα τοῖς ἁρπεπρημένοις ἅπαντα περιέσεσθαι δίος, πενίαν δηλαδὴ καὶ ἀδοξίαν καὶ τὸν περὶ τὸ ζῆν κίνδυνον καὶ, εἰ χρὴ τἀληθέστερον φάναι, τοῦ Θεοῦ μηνίσαντος ἴσως διὰ τὴν οὕτω προφανῆ παρασπόνδησιν καὶ πρὸς τοὺς εὐεργέτας ἀχαριστίαν, τὸν τοῦ γένους ὄλεθρον παντελῆ, ἦκον μετὰ συχνάς τινας ἡμέρας ἐς Εἰρήνην τὴν βασιλίδα πρέσβεις ἐκεῖθεν, τὴ μὲν ἑαυτοὺς μεμφόμενοι, τῇ δὲ πλανωμένας καὶ ἀνιδρύτους αἰτίας προβαλλόμενοι καὶ ζητοῦντες ὅπως παθ' ἑαυτούς ἀθωοῦν. Τοῦ γὰρ βασιλέως ἀποδημοῦντος, ὡς ἔφημεν, καὶ περὶ Διδυμότειχον διατρίβοντος, ἐς

Variorum notæ.

(93) **Cantacuzen.** ἐνεώδουν γὰρ οὐδὲν μικρὸν, ἀλλὰ θαλαττοκρατεῖν ἐβούλοντο. DUCANG.

(94) De quo egimus ad Alexiadem pag. 361 notarum. DUCANG. — *Πρὸς Ἱερόν.* De quo supra ad lib. IX, cap. 5, sect. 6. BOIVIN.

Εἰρήνην τὴν βασιλίδα τὴν τῶν ἐν Βυζαντίῳ δημοσίων πραγμάτων διοίκησιν καὶ φροντίδα προανηνέχθαι ξυμπέπτωκεν. A urbe rerum administratio et cura delapsa erat. 846

Θ'. Ἐπεὶ οὖν ἐς αὐτὴν ἦκον οἱ πρέσβεις, τάχ' ἂν λαβόντες ἀπῆεσαν τὴν συγχώρησιν καὶ ἀνάληψιν καὶ ἀνανέωσιν τοῦ πρὶν φιλικοῦ καθήκοντος, εἰ μὴ καὶ τὰ τῶν νεωτεριζόντων ὄχλων ἐκεῖ προσετίθεσαν ζητήματα. Τὰ δὲ ἦσαν, λῦσαι τὴν τοῦ ναυτικοῦ παρασκευὴν Βυζαντίους, καὶ ὅσα τῆς ὁμοίας ἐξήρτηται ἀπονοίας. Ὧν αὐτήκοος ἡ βασιλὶς Εἰρήνη γεγονυῖα παριμεῖναι ἐκέλευσε, μέχρις ἂν διὰ γραμμάτων δηλώτασα τῷ βασιλεῖ τὰ τῆς ὑποθέσεως, ἐκεῖθεν τὸ κῦρος δέξηται τῶν πραχθησομένων.

IX. Legati, cum ad hanc venissent, impetrata fortassè venia reconciliataque et renovata amicitia, domum redîissent, nisi et multitudinis novarum rerum studiosæ postulata adjecissent. Postulabant autem, ut navalem apparatum Byzantii solverent, et alia similis dementiæ. Quæ cum ipsa per se Irene imperatrix audivisset, legatos jussit exspectare, quoad, ubi per litteras id, de quo agebatur, imperatori significasset, acciperet ab eo responsum, quo ea quæ factura esset confirmarentur.

Ι'. Ὅθεν δὴ καὶ ἐκκλησίαν συνέλεξεν ἐς τὴν ὑστεραίαν. Καὶ ἐπειδὴ παρῆσαν ἅπαντες, ὅσοι τε τῶν συγκλητικῶν καὶ ὅσοι τοῦ Βυζαντίων δήμου συνετώτεροι εἶναι ἐδόκουν, ἐβουλεύετο καὶ τὴν ἑκάστου γνώμην ἐζήτει μαθεῖν, ὁπότερον βούλοιντο, μάχῃ τὴν τῶν πραγμάτων ἐπιτρέπειν κρίσιν, ἢ θεμένους τὰ ὅπλα τὴν προτέραν ἄγειν εἰρήνην. Καὶ ἦν οὐδεὶς, ὃς μὴ σφοδρότερον κατεσπουδασμένην ἔφαινε γνώμης ὁρμὴν ἐς τὸ μάχεσθαι. Ἐκ πολλοῦ γὰρ πολλῶν ἕνεκα τοῖς Λατίνοις ἀχθόμενοι, καὶ ζητοῦντες καιρὸν ἀμύνασθαι, καὶ ἅμα οἰόμενοι ῥᾳδίως ἀφανιεῖν αὐτοὺς καὶ συντρίψειν ὀστράκου δίκην, ἐδόων ἅπαντες ἀπολεγόμενοι τὰς σπονδὰς, καὶ δύσηχός τις καὶ πολύμορφος ἀκοσμία ῥημάτων ἦν.

X. Itaque et concionem postera die convocat: et cum omnes tum viri senatorii, tum quicunque inter cives Byzantinos intelligentissimi esse videbantur, in unum convenissent, consultat et uniuscujusque sententiam sciscitatur, utrum illi velint; armorumne judicio rem permittere, an positis armis pacem ut antea servare. Nullus autem fuit, qui non ad arma promptiorem animi impetum significaret. Latinis quippe multas ob causas jampridem infensi, et ulciscendi occasionem aucupantes; tum simul futurum arbitrati, ut facile eos delerent, ac fictilium instar contererent, clamabant omnes, pacemque repudiabant, sic ut dissona quædam ac multiplex confusio vocum audiretur.

CAPUT II.

Galatæi præmeditati Byzantios imperatos adoriuntur. Oram maritimam incendiis vastant. Aliquot naves, ad fluvii ostia noctu deductæ a Byzantinis navarchis, in tutum evadunt. Reliquæ igni absumptæ. Alteram oram iidem Latini incendunt. Castellum suum amplificant et muniunt. Byzantium et naves elapsas oppugnant. Repelluntur. Frumentarias et onerarias intercipiunt: unde rerum necessariarum inopia apud Byzantios. Irene imperatrix Manueli filio bellum foris administrandum committit. Illic suburbana hostium ædificia incendit. Milites et nuntii a Cantacuzeno missi Byzantiorum animos confirmant.

[P. 533] Α'. Ταῦτα μαθόντες οἱ Λατῖνοι, ἐπεὶ διὰ μελέτης εἶχον ἐκ πλείστου τὸ πρᾶγμα καὶ πρὸς δημόσιον εἶδον ἤδη ῥυεῖσαν τὴν κακίαν φῶς, παραχρῆμα συνεσκευασμένους ἔδειξαν καὶ προητοιμασμένους σφᾶς αὐτοὺς εἰς ἔργα πολέμου. Τριήρεις γὰρ ἐς μάχην εὐθὺς ὀκτὼ καὶ μονήρεις πλεῖστους προὔφαινον, ὅπλα τε καὶ βέλη παντοῖα. Καὶ μέντοι καὶ τεσσάρων ἐντὸς ἡμερῶν καταπλεύσαντες ὅλῃ δυνάμει κατὰ Βυζαντίων, ὄντων ἀπαρασκεύων ἔτι, πᾶσαν ἐμπιπρῶσι τὴν παραλίαν, πάνυ τοι σφόδρα μεστὴν οὖσαν ξύλων παντοίων καὶ οἰκτῶν, ὅσαι τὰς ἐμπορικὰς ὑποδέχονται χρείας. Ἐμπιπρῶσι δὲ καὶ τῶν Βυζαντίων νεῶν ὅσαι κατιοῦσαι νεωστὶ μετὰ τὰς ἐμπορίας ἔτυχον ἔτι ἐπ' ἀγκυρῶν σαλεύουσαι καὶ ὅσαι ἐς γῆν εἰλκυσμέναι ἦσαν· καὶ πρό γε τούτων ὅσαι τῶν τριήρων κελεύσει τοῦ βασιλέως ἄρτι ἐναυπηγοῦντο. Κατεσκευάζοντο μὲν γάρ· οὔπω δ' εἰς θάλασσαν ἔφθασαν καθελκυσθεῖσαι.

I. His Latini intellectis, quia rem longo ante præmeditati fuerant, videbantque publicam in lucem manavisse jam mala consilia, repente se instructos præparatosque ad gerendum bellum ostendunt. Triremes enim octo et moneres quam plurimas in expeditionem educunt, armaque et omnis 847 generis tela expediunt. Et quidem intra dies quatuor totis viribus Byzantios etiamnum imparatos classe adorti totam incendunt maritimam oram, omni lignorum genere et ædificiis refertissimam, iis scilicet, quæ capiendis mercatorum rebus idonea sunt. Incendunt item ex Byzantinis navibus eas omnes, quæ recens advectæ erant, et cum onere adhuc in ancoris stabant fluctuantes; tum illas etiam, quæ in terram tractæ fuerant, et ante has, quotquot triremes jussu imperatoris tum ædificabantur. Nam tum quidem construebantur, nondum autem tractæ erant in mare.

Β'. Πέντε δὲ τῶν μεγίστων οὐσῶν, ὅσαι καιναὶ συγκατασκευάζονται, αἱ μὲν τρεῖς σὺν ἑτέραις μονήρεσιν οὐκ ὀλίγαις, ἐπεὶ ἀπηρτισμέναι ἐς τὸ ἀνενδεὲς ἔτυχον οὖσαι, νύκτωρ καθελκυσθεῖσαι πρὸς τῶν ναυάρχων διὰ τὴν τοῦ πολεμίου πυρὸς ἔννοιαν ἀνήχθησαν περὶ τὰς τοῦ ποταμοῦ ἐκβολὰς (95), ἔνθα

II. At ex quinque maximis, quot novæ erant ædificatæ, tres cum aliis moneribus non paucis, quod ita instructæ essent, ut nihil deesset, noctu a navarchis propter hostilis ignis suspicionem tractæ in mare, ad os fluvii deductæ sunt, ubi et fretum desinit. Illic enim geminorum ostiorum concursu,

Variorum notæ.

(95) *Barbissæ*, qui in sinum Ceratinum effluit. DUCANG.

fluvii et marini sinus, magna arenæ et limi utrinque accumulata vis ostia obstruit, ac vix angustum quemdam et penetratu difficilem aditum reliquit; quantum nempe currens fluvius sibi ipse necessario rumpit: Tota vero utrinque latitudo non modo magnis triremibus impervia remanet, sed et biremes quæcunque, et vacua etiam navigia, propter aquæ supervatantis paucitatem illac (ut opinor) difficulter plerumque transierint. Reliquas vero duas, et eas quæ vetustate laborantes novabantur in melius, hostilis flamma **848** absumpsit illa die cum cæteris omnibus, quæ cremata sunt.

A καὶ τοῦ πορθμοῦ τὸ πέρας ἐστίν. Ἐκεῖ γὰρ ἐξ ἀντιπεριστάσεως τῶν δύο περάτων τοῦ τε ποταμοῦ καὶ τοῦ θαλαττίου κόλπου πολλὴ συσσωρευομένη ψάμμος τε καὶ ἰλὺς ἑκατέρωθεν καὶ ἀποθινοῦσα τὸ στόμα, καὶ μόλις στενήν τινα καὶ δυσέμβολον ἀφιεῖσα διέχειαν βάθους, ὅσην δὴ καταῤῥέων ὁ ποταμὸς ἐξ ἀνάγκης ῥήγνυσιν, ἑκατέρωθεν τὸ πᾶν εὖρος ἄβατον οὐ μόνον μεγάλαις καταλείπει τριήρεσιν, ἀλλὰ καὶ ὅσα δίκροτ' ἂν εἴη καὶ κενὰ τῶν πλοίων, διὰ τὴν τοῦ ἐπιπολάζοντος ὕδατος βραχυτητα, καὶ ταῦτα δυσπόρευτον οἶμαι ἂν τὴν δίοδον ἔχοι ὡς τὰ πολλά. Αἱ δ' ἕτεραι δύο μετὰ καὶ τῶν

ἐγχαινιζομένων ἐκ παλαιότητος ἐπὶ τὸ βέλτιον πολεμίου πυρὸς ἔργον ἐμοῦ τοῖς φλεγομένοις ἅπασιν ἐκείνῃ γέγένηνται τῇ ἡμέρᾳ.

II. Nihil itaque hostes cunctati, quando omni B fruebantur et quantacunque volebant licentia, nullo labore transvehuntur, et totam quoque oppositam oram incendunt. Ac tunc forte violentior ab arcto ingruens ventus cum urbem multo et rapido fumo, tum majori dolore civium corda implevit, quantus videlicet is est, quem dedecus simul et damnum pariunt. Et videre erat una die exteriorem omnem urbis ornatum statim deletum, ita ut hominum saniorum oculis lacrymæ cierentur.

[P. 534] Β'. Μηδὲν δ' οὖν οἱ πολέμιοι μελλήσαντες, ἐπεί γε ἀδείας ἁπάσης, ὁπόσης ἐβούλοντο, σφόδρα ἀπέλαυον, ἀπονητὶ διαβάντες ἐμπιπρῶσι καὶ τὴν πέραν ἅπασαν ὁμοίως παράλιον. Πνεῦμα δὲ κατὰ τύχην ἀπ' ἄρκτου ῥεῦσαν σφοδρότερον πολλοῦ μὲν καὶ ταχέος ἐνέπλησε τὴν τῶν Βυζαντίων πόλιν καπνοῦ, πλείονος δὲ τὴν καρδίαν τῆς λύπης, ὅσην αἰσχύνης θ' ὁμοῦ καὶ ζημίας προΐσχουσιν αὖλακες. Καὶ ἦν ἰδεῖν αὐθημερὸν τὸν ἔξω πάντα κόσμον τῆς πόλεως ἐν βραχεῖ μαραινόμενόν τε καὶ δάκρυα προκαλούμενον συνετῶν ὀφθαλμῶν.

III. Nec vero illi hoc solum; sed et palis quamplurimis et omnis generis asseribus longo ante provisis nunc demum ultra pristinos limites mœnia promovent, et multum spatii per editiora occupant; cumque locum crebris et multiplicibus C palis obvallant, ac triangularem in formam extendunt; tum superne tabulas impingunt, ac propugnaculorum et aeriarum ambulationum instar affigunt. Summa deinde diligentia et multa manu totum circumquaque territorium fossa cingunt, viri simul et feminæ, totis noctibus vigilantes; atque, ut opus accelerent, nullum noctis ac diei discrimen statuunt.

Δ'. Οὐ μόνον δὲ, ἀλλὰ καὶ χαρακώματα πλεῖστα καὶ σανίδας παντοίας προετοιμασάμενοι πόῤῥωθεν, ἐν τούτῳ τοῦ χρόνου τὰ τείχη τῶν προτέρων παρεκβαλόντες ὅρων, πολλοῦ τινος ἐδράξαντο τόπου πρὸς τῶν μετεωροτέρων· ὃν δὴ στύλοις πυκνοῖς καὶ πολυπλόκοις διασταυρώσαντές τε καὶ παρεκτείναντες ἐς τρίγωνον σχῆμα, καὶ ἐπ' αὐτοῖς σανίδας ἐλάσαντές τε καὶ προσηλώσαντες δίκην ἐπάλξεων καὶ αἰθερίων περιπάτων, εἶτα σπουδῇ καὶ πολυχειρίᾳ πᾶσαν τὴν κύκλῳ περιταφρεύουσι χώραν, ἄνδρες ὁμοῦ καὶ γυναῖκες, ὅλας νύκτας ἀῦπνους διατελοῦντες καὶ μηδὲν τῶν ἡμερῶν διαφερούσας δεικνύντες ἐς τὴν κατευσπουδασμένην ἐργασίαν ἐκείνην.

IV. Nec vero illi hoc solum; sed et palis quamplurimis et omnis generis asseribus longo ante provisis nunc demum ultra pristinos limites mœnia promovent, et multum spatii per editiora occupant; cumque locum crebris et multiplicibus palis obvallant, ac triangularem in formam extendunt; tum superne tabulas impingunt, ac propugnaculorum et aeriarum ambulationum instar affigunt. Summa deinde diligentia et multa manu totum circumquaque territorium fossa cingunt, viri simul et feminæ, totis noctibus vigilantes; atque, ut opus accelerent, nullum noctis ac diei discrimen statuunt.

V. Crebris interim oppugnationibus sollicitatæ Byzantii portæ, et præsertim illæ naves, quas a navarchis subductas atque in tutum receptas et præsidio munitas diximus. Sed Byzantiis **849** fortiter propugnantibus, undique illi repellebantur, multisque vulneribus acceptis recedebant. Verum iidem D maris imperio potiti, ita ut volebant et ut pridem machinati fuerant, non modo universas comprehendebant onerarias naves, quæ ab Hellesponto Byzantium advenire festinarent; sed et quæcunque ex Ponto Euxino frumentum adveherent, eas pariter omnes portus accessu arcebant diripiebantque; factumque inde, ut frumenti et aliarum rerum necessariarum inopia in urbe exsisteret.

Ε'. Ἐν τούτῳ συχναὶ προσβολαὶ κατὰ τῶν πυλῶν τῆς πόλεως ἐγίνοντο, καὶ μάλιστα κατὰ τῶν εἰρημένων νεῶν, ἃς, ὡς εἰρήκειμεν, οἱ ναύαρχοι καθελκύσαντες εἰς ἀσφάλειαν ἤγαγόν τε καὶ φρουρὰν περὶ αὐτὰς ἔστησαν. Ἀμυνομένων δ' εὐρώστως τῶν Βυζαντίων, ἐξεκρούοντο πανταχόθεν καὶ ἀπήεσαν τραύματα πλεῖστα λαβόντες· πλὴν ὅτι θαλατοκρατήσαντες, ὡς ἐβούλοντό τε καὶ πάλαι ἐμηχανῶντο, οὐ μόνον πάσας ἐχειροῦντο τὰς ἐξ Ἑλλησπόντου καταίρειν ἐς Βυζάντιον ἐπειγομένας φορτηγοὺς νῆας, ἀλλὰ καὶ ὅσαι τὴν σιτοπομπίαν ἐκόμιζον ἐκ τοῦ Εὐξείνου, πάσας ἐπίσης εἶργον τοῦ πλοῦ καὶ ἐξηνδραποδίζοντο· ὡς ἐντεῦθεν σπάνιν ἐγγενέσθαι τῇ πόλει σίτου καὶ τῶν ἄλλως ἐχόντων ἐπιτηδείων.

VI. Imperatrix autem Irene, cui istud negotium repentinum acciderat, cum ex omni parte commeatus essent interclusi, paucis militibus, qui forte aderant, Manuelis filio urbi tum præfecto traditis, jubet Byzantium circumire, et ad hostem propul-

Ϛ'. Ἡ δὲ βασιλὶς Εἰρήνη, τοῦ πράγματος αἰφνιδίου συμπεπτωκότος αὐτῇ καὶ τῶν προσόδων ἀποκεκλεισμένων πανταχόθεν, στρατιώτας μὲν ὀλίγους ἐκ τῶν παρατυχόντων δοῦσα τῷ υἱῷ Μανουὴλ, ἐπιτρόπῳ τηνικαῦτά γε ὄντι τῶν Βυζαντίων, πε-

ριέναι τὴν πόλιν ἐκέλευε καὶ παροθύνειν ὡς ἔξεστι τὸν ὄχλον εἰς ἄμυναν· πειρᾶσθαι δὲ διαπερωσούμενον καὶ κατὰ τῆς τῶν πολεμίων πόλεως, ἀπροσδοκήτους καὶ αἰφνιδίους ποιούμενον τὰς ἐφόδους. Ὁ δὴ νύκτωρ καὶ μεθ' ἡμέραν ποιῶν ἐκεῖνος ἔκαεν ὅσα τείχους ἐκτὸς ἦσαν αὐτοῖς προάστια καὶ οἰκήματα πρὸς καταγωγὴν τῶν ἐξ ἐμπορίας. Αὕτη δὲ συχνὰ τῶν Βυζαντίων τοὺς προέχοντας μετεπεμπομένη λόγοις ὁμοῦ καὶ χρηταῖς ἐλπίσιν εὐθυμοτέρους καθίστα, καὶ ἐβεβαίου τὸ πρόθυμον

A sandum animos quantum fieri poterit multitudini addere : tum etiam freto trajecto perienlum facere et hostium urbem improviso ac derepente adoriri ; quod ille diu noctuque agitans omnia incendit, quæ illi extra murum suburbia et ædificia habebant, receptandis mercibus destinata. Ipsa vero Byzantiorum primores arcessit, verbis et bona spe recreat animos eorum, et alacriores ad bellum suscipiendum reddit.

σφῶν, καὶ ῥᾴους τὴν ψυχὴν εἰργάζετο πρὸς τὸν πόλεμον.

[P. 535] Ζ'. Ἤδη δὲ κἀκ βασιλέως ἔξωθεν ἦσαν στρατιῶται σποράδες ἄλλοι ἄλλοθεν ἐς Βυζάντιον καὶ λόγοι παραμυθούμενοι Βυζαντίους καὶ παρακελευόμενοι, μὴ πεπτωκὸς ὅλως κτήσασθαι φρόνημα πρὸς τὴν ἀπροσδοκήτως ἐπενεχθεῖσαν ταυτηνὶ συμφοράν· μηδὲ γὰρ ἀνέξεσθαι τὸν τῆς δίκης ἔφορον ὀφθαλμὸν ἐς τέλος καθευδῆσαι, καὶ τοσαύτην σιγῇ παρελθεῖν ἀδικίαν. Καὶ ταῦτα μὲν τῇδέ πῃ σχε· καὶ τὸ θέρος ἐν τούτοις ἐτελεύτα.

VII. Jam autem et foris alii aliunde sparsim milites Byzantium ab imperatore missi veniebant ; nec non ii nuntii, qui Byzantios solarentur, hortarenturque, ne propter improvisam illam cladem sibi illatam animis prorsus concideront : nec enim fieri 850 posse, ut vindex justitiæ oculus perpetuo dormire ac tantam silentio præterire injuriam sustineret. Et hæc quidem ita ferme se habuerunt ; et æstas in his consumpta est.

CAPUT III.

Galatæorum spes deceptæ. Nova consilia. Byzantii urbis ingens circuitus. Militum paucitas. Civium ardor. Galatæi copiis domesticis et aliunde accitis instructissimi. Byzantios facile repellunt. Machinam ingentem navi imponunt. Ea urbis muro admota, acerrimam pugnam committunt. Multis suorum amissis consternati recedunt. Antequam domum redeant, mortuos clam sepeliunt. Pace per legatos petita, nec impetrata, sese ad bellum diuturnius parant.

Α'. Φθινοπώρου δ' ἀρχομένου, ἐπεὶ μὴ κατὰ τὰς ἐλπίδας ἐχώρει Λατίνοις τὸ πρᾶγμα ἐνόμιζον γὰρ, μηδ' εἰς δλην πεντεκαίδεκα ἡμερῶν ἀρκέσειν τοὺς Βυζαντίους περίοδον, γενομένους τειχήρεις καὶ τῶν ἔξωθεν εἰωθότων ἐπιτηδείων παρακομίζεσθαι ἀποκεκλεισμένους, ἀλλὰ ἀπογνώσειν αὐτίκα μάλα, καὶ πρώτους δεήσεσθαι σπονδῶν, καὶ ἀναλαβέσθαι σφᾶς ἐς τὴν πρὶν φιλίαν· ἐπεὶ οὖν αὐτούς τε ἐώρων οὐκ ἐπιστρεφομένους καὶ αὖ τὴν βασιλίδα Εἰρήνην τοῖς Βυζαντίοις ὁμόφρονα γινομένην κατ' ἐκείνων τελέως, καὶ ὁπλίτας συνιστῶσαν, καὶ ἀμυντήρια περὶ τοὺς πύργους ἱστῶσαν, ἔς τε τὰς πετροβόλους μηχανὰς ὅλῃ σπουδῇ διανισταμένην, ὅσαι βάρη πέμπουσι λίθων ἐγγύς τε καὶ πόρρω, δι' ὧν οἵ τε σφῶν πολέμιοι συνετρίβοντο οἶκοι καὶ ὅσαι τῶν μεγίστων ὁλκάδων προτειχίσματος δίκην σφίσι προὐβέβληντο, ἐς τἀναντία τῶν λογισμῶν τὰς αὖλακας ἔτεμνον ἤδη, χρόνιον ἔσεσθαι τὸν πόλεμον οἰηθέντες. Διὸ καὶ πρεσβείας πέμπουσι πανταχῇ, συμμαχίαν αἰτοῦντες, ὅθεν φιλία σφίσι προσεδοκᾶτο καὶ ὁμοφροσύνη πρὸς τοὔργον.

I. Ineunte autumno Latini quia ipsis ex sententia non succedebat (speraverant quippe, ne ad quindecimum quidem diem duraturos esse Byzantios, mœnibus clausos et foris importari solitis commeatibus interclusos ; sed desperaturos statim, primosque ut pax fieret et ut in concordiam rediretur rogaturos), postquam istos viderunt incœpto haud desistere, et adversus se Irenen imperatricem cum Byzantiis omnino conspirare, et milites cogere, et tela ad propulsandum hostem circa turres disponere, et omni studio apparandis machinis incumbere, quæ sive cominus sive eminus saxorum gravia pondera torquerent, quibus et domi hostes et maximæ naves, quas illi propugnaculorum instar sibi obtendissent, contererentur ; diversam plane consiliorum viam inire cœperunt, diuturnum fore bellum illud arbitrati. Itaque et legatos illuc mittunt, undecunque amicitia et societas ad navandum opus sperareturs.

Β'. Ὅ γε μὴν τῶν Βυζαντίων κύκλος καὶ ὁ τοῦ τείχους περίβολος, μέγιστος ὢν καὶ μεγίστης δεόμενος φυλακῆς, ἀνάλογον οὐκ εἶχε στρατόν. Ὅμως πολλῆς γενομένης ἐξ ἁπάντων προθυμίας, ὅπλα πάντα πρὸς ἀγορὰν ἐξεφέροντο καὶ ἵπποι πάντες. Τέκτονές τε αὖ καὶ σκυτοτόμοι καὶ χαλκεῖς καὶ χαλκοτύποι πάντες ἐν ὅπλοις ἦσαν. Ἐῶ λέγειν κυρτέας καὶ σκαπανέας, ὅσοι μισθοῦ στρατεύεσθαι τέως ἀρξάμενοι κώπης ἥπτοντο ἤδη καὶ θαλάττης ἐπειρῶντο. Ἀλλὰ καὶ δοῦλοι πρὸς τῶν δεσποτῶν ὡπλίζοντό τε καὶ τὴν δεξιὰν εἰς τόξων καὶ βελῶν ἐρρυθμίζοντο χρείαν, [P. 536] τῆς ἀπροσδοκήτου

II. At Byzantiis, cum urbis circuitus murique ambitus maximus foret, et maximo præsidio indigeret, non erat ea militum frequentia, quæ loci capacitatem æquaret. Tamen adeo ingens erat omnium ardor, arma universa, equi omnes traducebantur in forum. 851 Omnes item fabri, sutores, æris flatores malleatoresque in armis erant ; ut figulos taceam et fossores, qui tunc mercere cum cœpissent, jam et remos tractabant, et maris periculum faciebant. Sed et servi a dominis armabantur, et eorum manus arcuum sagittarumque usum docebantur. Quippe improvisa temporum

conditio omnes pariter ad conspirandum compelebat.

III. Latini ex altera parte triremem unam Chio arcessiverant, ac numerosam militum manum. Advenerant etiam maximæ eorum naves onerariæ, quæcunque ad mercaturam profectæ fuerant, erantque ipsis magnæ jam et instructissimæ copiæ; denique affluebant rebus necessariis; ut eorum urbs splendida quædam belli officina esse videretur. Animis itaque aucti non modo eos facile repellebant, qui foris ac superiori de loco ipsos telis incesserent: sed et mari, selectis duabus maximis onerariis, missilia ipsi quoque tormenta cum imposuissent, ballistas nostras lapidibus appetebant: in tertia autem, quæ duabus illis major erat, antennæ et magnæ trabes, aliæ erectæ, aliæ transversæ et æquales, a media navi ad proram dispositæ, sensim attollebantur, et maxima sui parte sublimes medio in aere pendebant; ita ut supra Byzantinos muros eveherentur. Has tabulis crebris undique circumplectuntur, et densam clypeorum sepem in orbem prætendunt: tum plurimis lectissimisque militibus intromissis, navim cum novem subsidiariis triremibus muro admovent, ignem et cujusque generis **852** tela, alia cominus alia eminus ferientia, et omnia fere mortis instrumenta secum portantes.

IV. Quamvis porro primus impetus acerrimus fuerit, ut nec sustineri posse videretur, strenue tamen propulsavere Byzantii, tum ex interiori muro, tum ex altioribus ædificiis; uno verbo intrinsecus, extrinsecus, ex ipsis murorum pinnis, quibus mali scalæque Latinorum superne impendebant; adeo ut heroica quædam pugna exsisteret, cum utrinque in os, consertis manibus, et neglecta prorsus salutis cura pugnaretur. Ac videre erat nivibus hibernis parem lapidum telorumque vim ruere in illud Latinorum agmen effusam, et crebros in se invicem cadere, et ex aliis alios vicissim ferri agique identidem pro vivis mortuos, ac pro mortuis vivos: clypeos autem et longiora scuta subinde confringi conterique a Byzantiis, tanquam figuli vasa. Quicunque e Latinis adhuc stabant, eorum alius, postquam lapsum alicunde scutum arripuerat, et paululum de medio traxerat, statim et ipse delapsus eo egebat, a quo traheretur; alius jamjam tractorus tabulato affligebatur, pronusque in eum, quem trahere pararet, corruebat: alius denique, cum restitisset paulisper, nihil quod cuperet, quodve obtinere festinaret, assequebatur; nihil quod præsentem mortem afferret, effugiebat: eratque illius pugnæ varia ac multiplex forma: magna utrinque contentione, magno animo certabatur; non utri salvi evaderent, sed utri pro laude occumberent, **853** pluribus ante hostibus prostratis.

V. Die jam inclinato hostes spe dejecti, quod lectissimos illos milites una cum telis, clypeis, pro-

παρισττάσεως πάντας εἰς μίαν συνελαυνούσης προθυμίαν.

Γ'. Οἱ δὲ Λατῖνοι μετεπέμψαντο μὲν ἐκ Χίου τριήρη μίαν καὶ ὁπλίτας συχνούς. Ἦκον δ' αὐτοῖς καὶ ὅσαι κατ' ἐμπορίαν ἔκδημοι τούτοις τῶν μεγίστων ἦσαν ὁλκάδες. Καὶ ἦν εὐοπλίτατος ὄχλος σφίσι πολὺς ἤδη καὶ ἄφθονα τὰ ἐπιτήδεια, καὶ πολέμου φάναι λαμπρὸν ἐργαστήριον ἡ τούτων ἐδόκει πόλις· ὥστε θαῤῥήσαντες ἤδη μὴ μόνον τοὺς ἔξωθεν ἐκ μετεώρου βάλλειν ἐπιχειροῦντας σφᾶς ἀποκρούεσθαι εὐχερῶς, ἀλλὰ καὶ κατὰ θάλατταν, δύο μὲν τῶν μεγίστων ὁλκάδων ἀπολεξάμενοι, πετροβόλα καὶ αὐτοί σφισιν ἐπέστησαν μηχανήματα, δι' ὧν ἔβαλλον τὰς ἡμετέρας πετροβόλους μηχανάς· ἐς δὲ τὴν τούτων μείζω καὶ τρίτην, κεραίας καὶ δοκοὺς μεγάλους, τοὺς μὲν ὀρθίους, τοὺς δ' ἐγκαρσίους καὶ ἀγχωμάλους, ἀπὸ μέσης τῆς νεὼς ἐς τὴν πρῴραν καταθέμενοι, πρὸς τὸ ὑψηλότερον προῒούσας ὁμαλῶς ἀεὶ καὶ τὸ πλέον ἐχούσας μετέωρον μέχρι πολλοῦ τοῦ ἀέρος, ὥστε καὶ ὑπὲρ τὰ τείχη τῶν Βυζαντίων ἐπαίρεσθαι, σανίσι τε πυκναῖς περισφίγξαντες καὶ κύκλῳ πολὺν τὸν τῶν μεγίστων ἀσπίδων φραγμὸν περιθέμενοι, καὶ πολλοὺς ὁπόσοι τῶν μάλιστα ἐπιλεκτῶν ὁπλιτῶν ἦσαν ἐμβαλόντες, ταύτην ὁμοῦ ταῖς παρασπιζούσαις ἐννέα τριήρεσιν τῷ τείχει προσήγαγον, πῦρ καὶ ξίφη πάντα, ὅσα τε ἀγχέμαχα καὶ ὅσα τῶν ἐκηβόλων, καὶ πάντα φάναι σκεύη θανάτου μεθ' ἑαυτῶν ἄγοντες.

Δ'. Τῆς οὖν προσβολῆς γενομένης μάλα βαρείας καὶ δόξαν ἐχούσης ἀνανταγώνιστον, εὐρώστως ὅμως ἠμύνοντο οἱ Βυζάντιοι ἔκ τε τῶν ἔνδον τειχῶν κἀκ τῶν ὑψηλοτέρων οἰκιῶν· καὶ ἁπλῶς εἰπεῖν, ἔσωθέν τε καὶ ἔξωθεν, καὶ ἐκ τῶν ἐπάλξεων αὐτῶν, ἐφ' ὧν οἵ τε ἱστοὶ καὶ αἱ κλίμακες τῶν Λατίνων ἀπηώρηντο· ὡς γίνεσθαι τὴν μάχην ἡρωϊκήν τινα, κατὰ στόμα καὶ ἐκ χειρῶν ἁπάσης ἀφειδούσην ζωῆς. Καὶ ἦν ἰδεῖν νεφάδεσσι μὲν χειμερίῃσιν ἐοικὸς τῶν τε χερμαδίων λίθων τὸ πλῆθος καὶ τῶν βελῶν φερομένων κατὰ τῆς Λατινικῆς ἐκείνης φάλαγγος, συχνοὺς δ' ἐπὶ συχνοῖς πίπτοντας, καὶ ἄλλους ἐπ' ἄλλοις ἀμοιβαδὸν ἀγομένους καὶ φερομένους συχνά, ἀντὶ μὲν ζώντων νεκροὺς, ἀντὶ δὲ νεκρῶν ζῶντας· τὰς δ' ἀσπίδας ἐκείνας καὶ τοὺς θυρεοὺς ἀρασσομένους τε καὶ συντριβομένους ὑπὸ Βυζαντίων συχνά, καθάπερ σκεύη κεραμέως. Καὶ ὁ μὲν τῶν ἱσταμένων ἔτι Λατίνων, ὅθεν δήποθεν τὸν πεσόντα δραξάμενος καὶ μικρὸν ἀφελκύσας, εὐθὺς καὶ αὐτὸς πεσών ἐδεῖτο τοῦ ἀφελκύσοντος· ὁ δ' ἤδη μέλλων ἑλκύειν ἐπὶ τοῦ καταστρώματος κατερρήγνυτο, καὶ πρηνὴς ἐφ' ὃν εἵλκεν ἔπιπτεν· ὁ δ' ἀνθιστάμενος βραχύν τινα χρόνον ἐπετύγχανε μὲν οὐδενὸς ὧν ἐφίετο καὶ ἐφ' ἅπερ ἔσπευδεν· ἐλείπετο δ' οὐδενὸς τῶν, [P. 537] ὅσα ῥᾷστον ἐπάγουσιν ᾄδην. Καὶ ἦν ὁ ἀγὼν πολυειδὴς καὶ πολύμορφος, καὶ πολλή τις ἐκατέρωθεν ἡ φιλοτιμία καὶ τὸ εὔτολμον, οὐχ ὅστις περισωθείη, ἀλλ' ὅστις ὑπὲρ τοῦ καλοῦ θανεῖται, πλείστους καταβαλὼν πολεμίους.

Ε'. Κἀκ τῆς ἡμέρας κλινούσης ἤδη, καὶ τῶν πολεμίων ἀπεγνωκότων, διὰ τὸ ἐπιλελοιπέναι τοὺς

τε κατ' ἐκλογὴν ἐκείνους ὁπλίτας σχεδὸν ἅπαντας αὐτοῖς βέλεσι καὶ αὐταῖς ἀσπίσι καὶ ὅσα προτειχίσματα ἦσαν αὐτοῖς καὶ ὀραγμοί, καὶ δεισάντων, μὴ καὶ εἰσπηδήσαντες οἱ Βυζάντιοι καὶ αὐτὴν μὲν αὐτανδρον ἕλωσι τὴν ὁλκάδα, τῶν δ' ἐν ταῖς τριήρεσι τραυματίας τοὺς πλείστους ἐργάσωνται, τά τε πρυμνήσια εἵλκυσαν καὶ τὰς τριήρεις εἰς συμμαχίαν τῆς ἀπαγωγῆς συγκαλέσαντες, σφόδρα ἡττημένοι καὶ δεδακρυμένοι ἀπῆεσαν μὲν, ἥκιστά γε μὴν τῷ οἰκείῳ προσέσχον ἐκ τοῦ εὐθέος λιμένι· ἀλλὰ μέχρις ἡλίου δύντος πελάγιοι, τὰς οἰκείας ἀνακωχεύσαντες ναῦς, τοὺς οἰκείους συνέστελλον νεκρούς· καὶ τραυματίας ἀνελάμβανόν τε καὶ ἐθεράπευον. Ἑσπέρας δ', ὅτ' οὐκέτι ῥᾴδιον ἦν τοῖς ἐντὸς φρουρίου παραχρῆμα τὴν τῶν οἰκείων αἰσθέσθαι φθορὰν, καὶ θόρυβόν σφισι γενέσθαι τινὰ, καὶ κραυγὴν μανιώδη παρεισπεσοῦσαν εἰς τὸ φρούριον ταράξαι καὶ δειλίαν ταῖς ψυχαῖς τῶν λειπομένων ἀνδρῶν ἐμποιῆσαι, ἔξω τῶν οἰκείων ὅρων κατήχθησαν· καὶ θάψαντες ἐκεῖ τοὺς νεκροὺς ἡσυχῇ τῷ οἰκείῳ προσέσχον ἤδη λιμένι, δειλίᾳ τε πολλῇ τὰς ψυχὰς τοῦ λοιποῦ γινόμενοι δέηται καὶ πάνυ τοι αφόδρα δι' ἐφέσεως μάλα μακρᾶς τὴν τῆς μάχης ἀπαλλαγὴν τιθέμενοί τε ἅμα καὶ προσδοκῶντες.

A pugnaculis, et omnibus munitionibus, quibus protecti fuerant, amisissent; cum et metus esset, ne Byzantii, facta irruptione, navim onerariam ipsis cum hominibus comprehenderent, ac eorum, qui in triremibus erant, plerosque vulnerarent; funes convellunt, et convocatis triremibus, quæ sibi ad navim abducendam subsidio sint, fracti admodum et lacrymabundi abeunt. Non tamen ad suum statim portum appellunt: sed usque donec sol occidat in alto commorati, jactis ancoris, mortuos colligunt, et receptos vulneratos curant. Vespere, cum eos qui in castello essent, suorum cladem statim persentire, tumultumque inde oriri, furiosumve ullum clamorem in castellum penetrare, ac relictorum ibi hominum animis perturbationem metumque afferre, vix jam facile erat, extra fines suos deferuntur, ac mortuos sepeliunt. Demum animis timore gravi oppressis, ad portum suum applicant, ab armis discedi vehementissime cupientes, discessumque iri sperantes.

B

Γ'. Ἀλλ' ὀψὲ τὰς ἐλπίδας ἀπάτην οὔσας μεμαθηκότες ἔπεμπον μὲν πρεσβείαν ὑπὲρ εἰρήνης ἐς βασιλέα, συνῆγον δ' οὖν καὶ συμμάχους ὁπλίτας ἔκ τε τῶν οἰκείων καὶ τῶν ὅθεν δήποτε φίλων καὶ συγγενῶν· καὶ ἀποτυγχάνοντες τῆς εἰρήνης εἰς χρονιώτερον ἤδη παρεσκευάζοντο πόλεμον, χρήματά τε ἀπαριθμούμενοι καὶ συνεισφέροντες· οὐδὲ λόγους ὅμως συνήθους ὀφρῦς ἀφιέναι ἠμέλουν μεστούς.

VI. Tandem ubi spes suas deceptas vident, legatos ad imperatorem mittunt, qui de pace agant; iidemque nihilominus auxiliares copias cogunt, tum ab suis, tum undecunque ab amicis et cognatis. Pace non impetrata, **854** bellum diuturnius apparant; pecunias dinumerant et contribuunt: neque interim vocibus parcunt solitæ arrogantiæ plenis.

CAPUT IV.

Cantacuzenus (Orestiade) reversus bellum terra et mari apparat. Advocata concione, Byzantios negligentiæ arguit: pecuniam in classem contribui jubet. Pecunia promittitur. Ingens omnium ardor. Exactiones Latini suas naves subducunt. Auxilia et pacis arbitros arcessunt. Rhodiorum legati de pace; legatione irrita domum redeunt. Galataeorum pretiosam supellectilem, quorundam etiam uxores ac liberos, regali secum exportant. Byzantii coactis undique navibus classem instruunt. Obsident et obsidentur.

[P. 538] Α'. Ἄρτι δὲ τοῦ φθινοπώρου μεσοῦντος ἀφικνεῖται καὶ βασιλεὺς ἐς Βυζάντιον, στρατόν τε ἀπαγόμενος ἠπειρώτην καὶ ἅμα ναυπηγήσιμα ξύλα παραγγέλλων, τὰ μὲν ἐξ ὄρους ἤδη τμηθέντα, τὰ δ' ἔτι τεμνόμενα, φέρειν· καὶ ἠθροίζετο ναυπηγῶν (96) καὶ τεκτόνων πλῆθος ἅπαν ἐς τὸ περὶ τὸν τοῦ Βυζαντίου ἱππόδρομον νεώριον (97). Ὀψὲ γὰρ ἔγνωσαν κακῶς βουλευσάμενοι Βυζάντιοι περὶ τὴν ἔξω τειχῶν συσκευὴν τῶν νεῶν· καὶ ἡ τοῦ φθάσαντος πάθους ἀπειλὴ συνετωτέρους ἐπεποιήκει πρὸς τὴν τῶν δρωμένων ἐξῆς ἐπανόρθωσιν.

C

I. Medio statim autumno Byzantium adveniens imperator terrestres copias secum adducit: simul navalia ligna convehi jubet, quæ in monte partim jam erant cæsa, partim adhuc cædebantur: convenitque omnis fabrorum et operariorum turba in illud navale, quod est apud Byzantinum Hippodromum. Sero enim tandem intellexerant Byzantii, fecisse se imprudenter, cum extra muros naves fabricandas censuissent; et accepta clade terrore ad errata corrigenda cautiores in futurum evasserant.

Β'. Τῇ δ' ὑστεραίᾳ τοὺς Βυζαντίου ἐς ἐκκλησίαν καλέσας ἀνεμίμνησκεν, ὅτι « Τῶν ἐνεστώτων δεινῶν τούτων ὑμεῖς πάντως ὑμῖν αὐτοῖς αἴτιοι, καὶ οὐκ ἄλλος τῶν πάντων οὐδείς. Μέμνησθε γάρ, ὅπως τὸν πέρυσι χρόνον ἐνταυθοῖ συνελθόντες ἐπηγγείλασθε πάντες, χρήματά τε καὶ ὅπλα συνεισενεγκεῖν οἰκεῖα

D

II. Postera die, convocatis ad concionem Byzantiis, « Præsentium, inquit, malorum ipsimet prorsus vobis auctores exstitistis, non alius quisquam ex omnibus. Meministis enim, quid anno superiore, hoc eodem loco congregati, promiseritis; nempe ad apparandam constituendamque classem pe-

Variorum notæ.

(96) Ut naves construendæ sint a Græcis, narrat etiam Cantacuzenus pag. 144. DUCANG.

(97) Quod Ἑπτάσκαλον videtur vocare Cantacuzenus. Unde colligere licet, navale Hippodromi et Heptascalum illud unum idemque esse. Nam i Heptascalo constructas naves scribit, quas in Neorio Hippodromi Gregoras. Vide *Constantinop. Christ.* lib. 1, sect. 17. DUCANG.

cuniam vos et arma, propter principalis ærarii penuriam, de domo quemque contributuros, ut et amicis chari et hostibus metuendi essemus. Deinde domum omnes cum abiissetis, nemini vestrum curæ fuit, quidquam facere earum rerum, quas propriæ utilitatis causa facturos vos promisissetis : sed verba vestra in igeotos aeris tractus auræ statim distulerunt. At nunc, cum ob oculos posita intueamini ea, quæ illorum temporum negligentia nobis invexit, in **855** ipso saltem articulo, periculis jam instantibus, et capiti cum violenta quadam et inevitabili necessitate impendentibus, quid vos facere oporteat considerate. Videtis quippe in maritimis civitatibus, atque in hac maxime urbium principe, si quis ex hostibus imperium maris invadat, statim cuique imminere præsens vitæ periculum; nisi quis plane velit liberam vitam ærumnosa et Tantalea quadam permutare, pecuniisque et prædiis, imo uxoribus et liberis ipsis multari. Duorum enim alterum consequatur necesse est; ut aut vita, aut iis rebus vivus spolietur, et copiosum sibi diu noctuque poculum fellis ipse misceat. Agedum, vestrum mihi animum indicare ne pigeat, ut et ipse intelligam, num vos prioris negligentiæ pœniteat. Nam quemadmodum oves, si pastorem sequi detrectent, si ei adversentur et contrariam viam ire velint, non dubium est quin statim perituræ sint, in præcipitia et voragines aut in medios lupos delapsæ; pari ratione si imperatoribus ducibusve subditi haud obsequantur, si repugnent, si obluctentur, ab exitio et ultimis calamitatibus non longe certe abfuerint. »

A θεν, διὰ τὴν τῶν βασιλικῶν πρυτανείων σπάνιν, πρὸς κατασκευὴν (98) καὶ σύστασιν ναυτικῆς δυνάμεως· ἵνα τε τοῖς μὲν φίλοις ὦμεν ποθεινοὶ τοῖς δ' ἐχθροῖς φοβεροί· ἔπειτ' οἴκαδε πᾶσιν ἀναχωρήσασιν οὐκ ἐμέλησεν οὐδενὶ περὶ οὐδενὸς ὧν ἐπηγγείλασθε δρᾷν ἐπὶ τῷ σφῶν αὐτῶν ὠφελίμῳ· ἀλλ' αὖραί τινες τοὺς ὑμετέρους λόγους ἄφρος κόλποις ἀδήλοις ἐξαπίνης διεμερίσαντο. Νῦν οὖν πρὸ ὀφθαλμῶν κείμενα βλέποντες ἃ προὔξένησεν ἡμῖν ἡ τότ' ἀμέλεια σκέψασθε, εἰ δεῖ δρᾷν, ἐπὶ ξυροῦ λοιπὸν τῶν κακῶν ἑστηκόσι καὶ ὑπὲρ κεφαλῆς ἡμῖν αἰωρουμένοις ἐς τὸ βίαιόν τε καὶ ἄφυκτον. Ὁρᾶτε γάρ, ὡς ἐν ταῖς ἐπιθαλαττίοις πόλεσι, καὶ μάλιστα πασῶν τῇ βασιλίδι ταύτῃ τῶν πόλεων, ἂν τὸ θαλαττοκρατεῖν ἀφέληταί τις τῶν πολεμίων, τὸν περὶ τοῦ ζῆν αὐθὶς ἐπεκρέμασε κίνδυνον, ἢν μή τις ἐθέλῃ προφανῶς ἐλευθέρου βίου βαρυθαίμονα καὶ Ταντάλειον οἷον ἀλλάξασθαι, καὶ ζημιωθῆναι μὲν χρημάτων καὶ οἰκιῶν, ζημιωθῆναι δὲ γυναικῶν καὶ παίδων αὐτῶν. Δυοῖν γὰρ ἕψεται θάτερον, ἢ τῆς κεφαλῆς ἢ τῶν τοιούτων στέρεσθαι ζῶντα καὶ πολλαπλοῦν τὸν τῆς πικρίας κρατῆρα κιρνᾷν νύκτωρ ἅμα καὶ μεθ' ἡμέραν αὐτὸς ἑαυτῷ. Φέρε οὖν τὸν ὑμέτερον ἐμοὶ δηλοῦν [P. 539] μὴ κατοκνήσητε τρόπον, ἵνα γνῶ καὶ αὐτὸς, εἰ τῆς προτέρας κατέγνωτε ἀμελείας. Ἀνάλογον γάρ ἐστιν, ὡς καθάπερ ποιμένι παντὶ, εἰ μὴ τὰ πρόβατα ἕπεσθαι βούλοιτο, ἀλλ' ἀντιβαίνοι καὶ τὴν ἐναντίαν ὁδεύειν ἐθέλοι, οὐκ ἄδηλον ἂν εἴη, ὡς ὅσον οὐκ ἤδη τεθνήξεται, κρημνοῖς καὶ φάραγξι καὶ λύκοις περιπεσόντα, οὕτω καὶ βασιλεῦσι καὶ ἡγεμόσιν ἀνδρῶν, ἢν μὴ σύνδρομα ᾖ τὰ τῶν ὑπηκόων, ἀλλ' ἀντιβαίνῃ καὶ ἀντιπράττῃ, οὐ πόρρω γ' ἂν εἶεν ὀλέθρου καὶ δεινῶν τῶν ἐσχάτων. »

III. His Byzantii auditis plura addere imperatorem haud passi consurgunt; pacem cum Latinis una omnes voce repudiant; suam illam priorem negligentiam damnant, pollicenturque se, quidquid habeant, id omne ultro pro virili contributuros, vel si liberos publicæ utilitatis causa mutare pecunia **856** oporteat. Et hæc quidem ita se habuerunt, et ad sua quisque discesserunt. Magna deinde et ambitiosa contentione bellum apparari cœptum : atque in construendis navibus, in missilibus tormentis majoribus minoribusque fabricandis, in legionibus denique seu navalibus seu terrestribus mercenario milite complendis, acre studium exstitit. Pecunia itaque ad hos sumptus deficiente, exigebantur a Byzantiis quædam volentibus, plurima valde invitis. Mittebantur item per urbes et agros Thraciæ, qui pecuniam in communes illos necessariosque usus corrogarent.

Γ'. Τούτων αὐτήκοοι γεγονότες Βυζάντιοι οὐκέτι πλείω συνείρειν εἶων τὸν βασιλέα· ἀλλ' ἀναστάντες μιᾷ φωνῇ πάντες ἀπείπαντο μὲν τὴν τῶν Λατίνων εἰρήνην, κατέγνωσαν δ' ἑαυτοὺς τῆς πρὶν ἀμελείας, ἐπαγγελίας τε ἔδοσαν, ἐθέλοντάς συνεισφέρειν εἰς ἐράνου φορὰν τὰ προσόντα, καὶ παῖδας αὐτοὺς εἰ δέοι χρημάτων ἀλλάττεσθαι κοινῆς ὠφελείας ἕνεκα. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον, καὶ ἀπηλλάττοντο εἰς τὰ ἴδια ἕκαστοι. Πολλὴ δέ τις ἐντεῦθεν ἐφαίνετο περὶ τὴν ὅπλισιν ἡ φιλοτιμία, καὶ ὀξεῖά τις ἦν ἡ σπουδὴ περί τε κατασκευὴν νεῶν καὶ πετροβόλων μηχανημάτων μεγάλων τε καὶ μικρῶν καὶ μισθοφορικοῦ στρατοῦ, ὅσοι τε ἐς τὰς ναυτικὰς δυνάμεις καὶ ὅσοι ἐς τὰς πεζικὰς ἀρκέσουσι φάλαγγας. Ὅθεν χρημάτων οὐκ ὄντων εἰς τὴν δαπάνην, ἐπράττετο πρὸς Βυζαντίων ἔνια μὲν παρ' ἐκόντων, τὰ δὲ πλεῖστα παρὰ σφόδρα ἀκόντων. Ἐξεπέμποντο δὲ καὶ οἱ τὰς Θρᾳκικὰς ἀργυρολογήσοντες πόλεις καὶ χώρας τῆς κοινῆς καὶ ἀναγκαίας ταυτησὶ χρείας εἵνεκα.

IV. Latini vero aliquot onerarias, quæ valli instar portum eorum implebant, postquam Byzantiorum ballistis submergi et confringi viderunt, om-

Δ'. Ἔνιάς γε μὴν οἱ Λατῖνοι τῶν ὅσαι προτειχίσματος δίκην ὁλκάδες τὸν οἰκεῖον ἐπλήρουν λιμένα καταγνυμένας τε καὶ δυομένας ὁρῶντες ὑπὸ τῶν

Variorum notæ.

(98) Vide Cantacuzen. *Histor.* lib. IV, cap. 5 et 6. Bonn.

βυζαντίων πετροβόλων μηχανημάτων τάχιστα πάσας A ἐκεῖθεν ὡς ῥᾳδιστάτω μετήνεγκαν· καὶ ἦν λοιπὸν τὰ ἐν τῷ λιμένι τεῖχη σφῶν βοηθείας καὶ σκέπης παντάπασιν ἔρημα. Ὅθεν ἔπεμπον μὲν ἐν Γενούᾳ, ἔπεμπον δ' ἐν Ῥόδῳ τοὺς ἢ βοήθειαν ἐκεῖθεν ἄξοντας ἢ τοὺς τὴν εἰρήνην πρεσβεύσοντας. Γένουα μὲν οὖν ἰδίους ἔχουσα θορύβους καὶ γείτονας μάχας ἀπείπατο πέμπειν βοήθειαν. Ῥόδιοι δ' ἐκπέμπουσιν εὐθὺς μίαν τριήρη μετὰ τῶν τὴν εἰρήνην πρεσβευσόντων· οἳ πολλὰ μὲν εἰπόντες, ἐπεὶ ἐλήλυθασι, πολλὰ δ' ἀκηκοότες, τῶν σπουδαζομένων ἦνυσαν οὐδέν, ἅτε οὐκ ἐπαγγειλάμενοι μήτε τοῦ ληφθέντος ἐν τῇ μάχῃ τόπου τῶν προτέρων ὁρίων ἐπέκεινα μήτε τῆς γενομένης ἄλλης ὑπὸ σφῶν ζημίας ἀπόδοσιν. Ὅθεν καὶ ἀπῆεσαν αὖθις ἐς Ῥόδον ἄπρακτοι· πλὴν ὅτι πολλὰ τῶν πολυτελῶν κειμηλίων καὶ χρημάτων οἱ ἐν τοῖς Γαλάτου ἐνθέμενοι τῇ Ῥοδίᾳ τριήρει ἐς Ῥόδον δι' αὐτῶν ἔπεμπον, δεδιότες περὶ τοῦ μέλλοντος. Ἦσαν δ' οἳ καὶ γυναῖκας καὶ παῖδας ἐξέθεντο διὰ τὸ τοῦ μέλλοντος ἄδηλον.

[P. 540] Ε'. Ἐπεί γε μὴν αἵ τε ἐν Βυζαντίῳ καὶ ἀλλαχῇ ναυπηγούμεναι τριήρεις συνεσκευάσθησαν ἤδη τῷ βασιλεῖ, μεγάλαι μὲν ἐννέα, μονήρεις δὲ καὶ διήρεις πλείους, πολλοὶ δὲ καὶ τῶν ἐν Βυζαντίῳ πλουσίων φιλοτιμότερον εἰς τοῦργον διατεθέντες λέμβους στρατιώτιδας καὶ ἀκάτια συνεσκευάσαντό τε καὶ ἐξώπλισαν ἐξ οἰκείας δαπάνης, μετάπεμπτοι γίνονται καὶ ὅσαι κατ' ἄλλας τῶν ὑπηκόων ἦσαν πόλεων· ὧν αἱ μὲν καιροῦ λαμβανόμεναι νύκτωρ ἀπῆεσαν ἐς τὸν τῶν Βυζαντίων λιμένα, μόλις λανθάνουσαι τὰς Λατινικὰς τριήρεις, αἳ διηνεκῶς ἐπιτηροῦσαι καὶ παραφυλάττουσαι πόρρωθεν ἐκώλυον τὸν εἴσπλουν ἐκείνων, αἴθριοι διανυκτερεύουσαι τὸν χειμέριον χρόνον ἐκεῖνον. Ἐνταῦθα γὰρ τὸ ναυτικὸν ἐκεῖνο πελάγιον ἀεὶ δειπνοποιεῖσθαί τε καὶ ἀριστοποιεῖσθαι καὶ καθεύδειν οἱ τριηράρχαι ἠνάγκαζον· ὡς συμβαίνειν ἐντεῦθεν, πολιορκεῖσθαι μὲν Βυζαντίους ἐκ θαλάττης ὑπὸ Λατίνων, πολιορκεῖσθαι δ' αὖ ἐξ ἠπείρου Λατίνους ὑπὸ Ῥωμαίων, καὶ εἶναι δεσμίους ἐξ ἑκατέρων ἑκατέρους καὶ ὑπ' ἀλλήλων ἀλλήλους.

I. Cum vero eas triremes, quæ Byzantii et alibi constructæ erant, paratas jam haberet imperator, magnas quidem novem, moneres autem ac biremes plures, et Byzantinorum divitum multi, navata ambitiosius opera, militares lembos et naviculas comparassent ac propriis sumptibus armavissent, arcessitæ etiam eæ omnes quæ in aliis imperii urbibus erant. Harum aliæ, oblata occasione, noctu Byzantinum in portum evasere, postquam Latinas B triremes ægre fefellissent, quæ perpetuo speculantes insidiantesque e longinquo, et hiberno illo tempore sub dio pernoctantes, ab ingressu eas arcebant. Ibi enim nauticas illas copias in alto semper fluctuantes et cœnare, et prandere, et dormire triremium præfecti cogebant. Hinc fiebat, ut mari quidem Byzantii a Latinis, terra autem Latini a Byzantiis obsiderentur; ac sic utrique ab utrisque et a se invicem hi atque illi vincti tenerentur.

CAPUT V.

Byzantii e portu in altum provehuntur; rudes plerique et inexercitati. Hostium navem onerariam incendunt. Latinorum anxia deliberatio. Omnes cedendum esse statuunt. Solus navarchus refragatur. Instructa suorum classe Byzantinam exspectat, consilium ex re capturus.

Α'. Ἅρτι δὲ τοῦ ἔαρος ἐπιλάμποντος, καὶ τῶν τε D ἀγρίων πνευμάτων τὴν χειμερίαν ἐκείνην αὐλητικὴν τρεψαμένων ἐς τὸ καθεύδειν, καὶ μακρὰς ὁμοῦ τῆς γαλήνης ἐπιχωριαζούσης τοῖς κύμασιν, ἐπεὶ πάντα ἦν ἔκ τε γῆς καὶ θαλάττης ἀπηρτισμένα καὶ οὐδὲν τῶν ἐς μάχην ἀνηκόντων ἐπιτηδείων τοῖς Βυζαντίοις ἐλείπετο, παρεσκευάζοντο πρὸς ἀναγωγὴν ἑκατέρωθεν αἱ τριήρεις, ἔκ τε τῶν ἐντὸς Βυζαντίου φημὶ νεωρίων καὶ ἔτι οὔπερ ἔφθημεν εἰρηκότες ναυστάθμου, πρὸς ὃν ἐξ αὐτοσχεδίου βιασθεῖσι τοῖς ναυάρχοις ἐν ἀρχαῖς τῆς μάχης καταπεφευγέναι ξυνέπιπτωκε, παρὰ τὰς τοῦ ποταμοῦ (99), δηλαδὴ ἐκβολάς· ἔνθα καὶ τὸ τοῦ θαλαττίου κέρως ἀνα-

I. Vere statim affulgente, ubi asperiores venti sua illa hiberna sibila sopiverunt et magna in mari tranquillitas exstitit, Byzantii, perfecto omni terrestri navalique apparatu, nulla re ad bellum necessaria deficiente, naves **858** provehere in altum parant ab utroque loco; nempe et ab iis navalibus, quæ intra urbem sunt, et ab illa quam supra memoravimus statione, ad quam coacti ex improviso navarchi sub initium belli confugerant; ab ostiis dico fluminis, et ab ultimo sinus Ceratini recessu. Et eæ quidem naves, quæ Byzantio profectæ sub vesperam in altum delatæ sunt, debebant saltem aliquantulum temporis modicæ sui

Variorum notæ.

(99) *Barbysæ*, seu *Barbyssi*, vulgo *Chartarici*, de quo Gyllius lib. II, cap. 3, *De Bosporo Thrac.* Boivin.

exercitationi dare, ac primum inter se decertare, et remigationis periculum separatim facere. Nec enim mari omnes remisque assueverant, sed lignationem plerique ligoneinque redolebant. At illæ progressæ remos inhibent, non admodum composite aut militari ordine, sed temere maximam partem inæqualiterque remigantes, et a recto cursu aberrantes.

παύεται ἄκρον (1). Αἱ μὲν οὖν ἐκ Βυζαντίου περὶ δείλην ὀψίαν ἐκπλεύσασαι, δέον καιρόν τινα δοῦναι γυμνασίᾳ μικρᾷ γοῦν, καὶ ἀνθαμιλλήσασθαι πρότερον πρὸς ἀλλήλας, καὶ πεῖραν τῆς εἰρεσίας ποιήσασθαι καθ' ἑαυτάς· μηδὲ γὰρ εἶναι πάντας ἐν συνηθείᾳ θαλάττης καὶ κώπης, ἀλλ' ἀπόζοντας τοὺς πλείους δενδροτομίας τε καὶ σκαπάνης· αἱ δὲ μικρὸν προβᾶσαι σχάζουσι τὰς κώπας, οὐ ῥάλα σὺν τάξει καὶ κόσμῳ στρατηγικῷ, ἀλλ' ἐν ἀκοσμίᾳ τὸ πλεῖστον, καὶ ἑτεροζυγοῦσαν τὴν εἰρεσίαν ποιούμεναι, καὶ τοῦ εὐθέος παραγομένην.

II. Cum vero nox jam adesset et hæ juxta littus ante orientales Byzantii muros constitissent, venti tum coorti a terra tumultum apud naves fecerunt ac paululum eas perturbare visi sunt. At secundam circiter noctis vigiliam triremis expedita, quæ paulo ante speculatum missa fuerat, summa festinatione accedit, nuntiatque maximam Latinorum onerariam plenis velis ab Hellesponto profectam advenire. Statim itaque navarchi magna cum ŏducia nautis ac vectoribus, illis ut remigent, his ut capessant arma, inflatis classicis dant signum. Diligentiore **859** itaque navigatione provecti onerariam quam celerrime circumveniunt, et contrahi vela imperant. At illi parere initio nolunt, sed pugnam ac bellum ineunt. Mox iidem densis undique telis obruti, cum liceret militibus facta irruptione eos trucidare, cedunt inviti, et manus tendendo misericordiam exposcunt. Sed eos nihil illa juvit supplicatio : siquidem nautæ aliquot de triremi onerariam incendere occupant, et quidquid hominum intus erat comburunt, ita ut flamma ad multam noctem per mare sursum sublata reluxerit.

[P. 541] Β'. Ἐπεὶ δὲ καὶ νὺξ παρῆν ἤδη καὶ αὖται παρὰ τὸν αἰγιαλὸν ἦσαν ὁρμοῦσαι πρὸ τῶν ἑῴων τοῦ Βυζαντίου τειχῶν, ἔπῃει ἐξ ἀπογείων πνευμάτων θύρυβος ταῖς ναυσὶ καὶ διαταράττειν ἐδόκει μικρόν. Περὶ δὲ δευτέραν φυλακὴν τῆς νυκτὸς ἦκεν ὅλῃ σπουδῇ πρὸς αὐτὰς ἡ πρὸς κατασκοπὴν ἐκπεμφθεῖσα πρὸ βραχέος ταχυναυτοῦσα τριήρης, Λατινικὴν ὁλκάδα μεγίστην ἀγγέλλουσα πλήρεσιν ἱστίοις ἐξ Ἑλλησπόντου ἀναγομένην· καὶ ἅμα οἱ ναύαρχοι πολλῷ τῷ θαῤῥοῦντι τοῖς τε ναύταις καὶ ἐπιβάταις, τοῖς μὲν ἐπὶ τὴν εἰρεσίαν, τοῖς δ' ἐπὶ τὰ ὅπλα χωρεῖν ἐσήμαινον τῇ σάλπιγγι. Σπουδαιότερον μὲν οὖν τὸν ἔκπλουν ποιησάμενοι τάχιστα τὴν ὁλκάδα περιεκύκλουν, καὶ τὴν ὀθόνην καθέλκειν (2) ἐκέλευον. Ἡ δ' οὐχ ὑπήκουε τὰ πρῶτα, ἀλλὰ μάχης ἤπτετο καὶ πολέμου. Ἐπεὶ δὲ τά γε βέλη κατὰ πλῆθος πανταχόθεν ἐπῆσάν σφισι, καὶ περιῆν τοῖς ὁπλίταις εἰσπηδῶσι φανεύειν σφᾶς, ἐνέδοσάν τε ἔκοντες καὶ χεῖρας ὤρεγον εἰς οἶκτον παρακαλοῦντες. Ἀλλ' ὠναντο τῆς παρακλήσεως οὐδέν· ἐπεὶ φθάσαντες ἔνιοι τῶν ναυτῶν ἐκ τῆς τριήρους τήν τε ὁλκάδα ὑφάπτουσι καὶ τοὺς ἔνδον ἅπαντας ἐμπιπρῶσι (3), καὶ ἡ φλὸξ ἤρετο πελάγιος ἐπὶ πολλῇ τῇ νυκτί.

B

C

II. Dum isti in his occupantur, Latini inter se deliberant, magno curarum æstu fluctuantes, et extremum salutis suæ discrimen tantum non ob oculos positum intuentes. Alii itaque omnes tutius esse statuebant mari excedere et castellum tutari : nec enim posse se pro hominum paucitate in duo bella distrahi, terra simul marique infesta : pugnam quippe adversam utramque potius, quam alteram secundam fore. Solus navarchus constanti ac generosa animi præsentia omnium adversatus est sententiis : animadversam enim a se et improlatam fuisse imperitiam Romanæ classis, quæ superiori die nequaquam secundum militarem legem et solvisset et ad portum appulsa esset; eapropter non longe a meliori spe abesse se. Cum igitur virium maxima pars aut omnes potius vires in mari sitæ essent, in eo aiebat oportere, si non omne, at potissimum **860** studium ponere.

Γ'. Τούτων δ' ἀσχολουμένων περὶ ταῦτα, κατὰ σφᾶς αὐτοὺς ἐβουλεύοντο οἱ Λατῖνοι, πολλὴν τρικυμίαν ἔχοντες λογισμῶν καὶ τοὺς ἐσχάτους κινδύνους σφῶν αὐτῶν μονονοὺ πρὸ ὀφθαλμῶν ἱσταμένους ὁρῶντες. Οἱ μὲν οὖν ἄλλοι πάντες ἀσφαλέστερον εἶναι ἐψηφίζοντο, καταλιπόντας τὴν θάλατταν φυλάττειν τὸ φρούριον· μηδὲ γὰρ δύνασθαι δι' ὀλιγανδρίαν πρὸς δύο μερίζεσθαι μάχας, ὁμοῦ κατὰ σφῶν ἐπιούσας ἔκ τε γῆς καὶ θαλάττης· θᾶττον μεντᾶν ἑκατέρων ἀποτυχεῖν, ἢ μιᾶς τινος εὐμενοῦς πειραθῆναι. Μόνος δ' ὁ ναύαρχος μετὰ σταθεροῦ καὶ γενναίου τοῦ τῆς ψυχῆς παραστήματος ταῖς πάντων ἀντέλεγε ψήφοις. Κατασκέψασθαι γὰρ ἔφασκε καὶ καταγνῶναι τοῦ Ῥωμαϊκοῦ στόλου πολλὴν ἀπειρίαν, ἀναγομένου τε καὶ καταίροντος τῇ προτεραίᾳ μὴ κατὰ νόμους στρατηγικούς, καὶ οὐ πόρρω διὰ ταῦτα χρηστῶν εἶναι ἐλπίδων. Τῆς γοῦν πλείονος μοίρας, μᾶλλον δὲ τοῦ παντὸς κράτους, ἐν τῇ θαλάττῃ κειμένου, εἶναι ἔφασκε δεῖν ἐνταῦθα, εἰ μὴ τὴν πᾶσαν, τὴν γοῦν πλείονα θεῖναι σπουδήν.

D

Variorum notæ.

(1) De marino illo *Cornu*, seu *Ceratino sinu*, multa Gyllius ibid., lib. I, cap. 5. BOIVIN.

(2) Quod vulgo dicimus, *baisser le pavillon*. Idem Gregoras lib. V priorис Historiæ, cap. 4, οὔπω διεπέτασε τὰς ὀθόνας, ἀλλ' ἔμενεν ἠρεμοῦσα, ubi interpres, *velis nondum expansis* : mox, τότε καὶ αὐτὴ διαπετάσασα τὰς ὀθόνας, λαμβάνει τὴν πολεμίαν. DUCANG.

(3) Cantacuzenus rem aliter narrat, lib. IV, cap. 11, pag. 744 et 745. BOIVIN.

Δ'. Ὅθεν μεγάλας μὲν ἐννέα τριήρεις, νεὼς δὲ πλείστας, ἐπιλέκτων ἐμπλήσας ὁπλομάχων ναυτῶν, καὶ τριηράρχους ἐπιστήσας τοὺς μάλα ἀρίστους, καὶ μικρὸν τοῦ λιμένος προβὰς, ἵστατο περιμένων ἐν τάξει τὸν τῶν Βυζαντίων ἐπίπλουν, δυοῖν ἔχων ἐν νῷ διαπράξασθαι θάτερον· εἰ μὲν κατὰ νόμους ὁρῴη στρατηγικοὺς ἐπιόντας ἐπ' αὐτὸν, πρύμναν τε κρούσασθαι καὶ τῶν νεῶν ἐκπηδήσαντας ἐντὸς γενέσθαι τοῦ φρουρίου πλησίον ἑστῶτος· εἰ δ' οὖν, ὁμόσε χωρεῖν ἐς τοὺς πολεμίους.

IV. Itaque ille triremes magnas novem, et moneres quamplurimas, nautarum armatorum delectu complet; trierarchos præficit præstantissimos; tum paulo ultra portum progressus, Byzantiorum adventum instructa acie illic stat exspectans, duorum ille alterum facturus: si eos quidem secundum bellicæ artis præcepta procedere adversus se videat, puppim retroacturus, relictisque navibus in castellum proximum introiturus; sin minus, ad pugnam proditurus.

CAPUT VI.

Terra et mari ad pugnam itur. Quid Byzantinæ classi obfuerit. Quo ordine naves processerint. Notatur trierarchorum culpa. Byzantii omnes subito metu perculsi; in mare desiliunt. Clades maxima. Justum Dei judicium. Latinorum navarchus rei miraculo obstupescit. Vacuis navibus potitur. Byzantinæ classis altera pars in eamdem calamitatem incidit. Terrestrium copiarum trepidatio non minor. Latinorum æquitas et clementia.

[P. 542] A'. Ἐπεὶ δ' ἡμέρας γενομένης ὁμιχλώδές τι καταῤῥέον ἐκ πελάγους πνεῦμα τὸ θαῤῥεῖν ἀφῄρει τοὺς Βυζαντίους, ἐνθαρσέστερος ὁ τῶν Λατίνων ἐγίγνετο ναύαρχος. Συνῆσαν δ' ὅμως ἔξωθεν μὲν αἱ πεζικαὶ τῶν Ῥωμαίων φάλαγγες μετὰ πολλῶν καὶ μεγάλων θυρεῶν (4) καὶ παντοδαπῶν φρυγάνων, ὅσα τροφὴ τῷ πυρὶ καθίσταται πρόχειρος· προὐφαίνετο δὲ καὶ ὁ στόλος ἤδη κάμπτων τὴν τοῦ Βυζαντίου βορείαν ἄκραν, ἔνθα πύργοι τε δύο ἀνῳκοδόμηνται λίθων λευκῶν καὶ ἀπεξεσμένων ἐς τὸ τῆς ἁρμονίας εὐφυὲς, καὶ ἅμα Δημητρίου τοῦ μάρτυρος ἵδρυται ἱερόν (5). Ἔδοξε δ' αὐτοῖς ἐπίμοχθος ἡ κάμπη διὰ τὰς ἐκεῖ γινομένας ἀεὶ θαλαττίους ἑλικάς τε καὶ οἷόν τινας λαβυρίνθους, κατὰ τὴν παρ' Ἕλλησιν ᾀδομένην Σκύλλαν καὶ Χάρυβδιν, ἣν ἐκεῖνοι κατὰ τὸν πορθμὸν εἶναί φασιν, ὃς μεταξὺ τοῦ τε Ἰταλικοῦ Ῥηγίου καὶ τῆς Σικελικῆς κεῖται Μεσήνης. Ἔσφηλε δ' αὐτοὺς ἐς τὰ μάλιστα τότε καὶ τὸ μὴ ἀνάλογον ἔχειν ἐν τοῖς τῶν νεῶν κοιλώμασι πάτου τὴν ψάμμον (6)· ὅπερ εἴωθε τοῖς ἐπὶ θάλατταν ἀεὶ ναυστολοῦσιν ἔρεισμα γίνεσθαί τε καὶ εἶναι τοῦ πλοῦ καὶ θεμέλιος κράτιστος.

I. Die exorto nebulosus quidam ventus a mari ingruit. Ea res ut Byzantiis fiduciam ademit, ita Latinorum navarcho animos addidit. Convenerant timen extrinsecus pedestres Romanorum cohortes cum clypeis multis et magnis, item cum omni fomitum genere, quotquot scilicet prompta ignis nutrimenta sunt. Apparebat autem et classis, quæ boreale jam circumvehebatur Byzantii promontorium; ubi turres duæ ædificatæ sunt lapide albo, ad concinnam solidæ structuræ speciem expolito: quo etiam loco templum divo Demetrio positum occurrit. Visus vero ipsis iniquus hic flexus ob eos qui illic semper exsistunt, maris vortices et quosdam quasi labyrinthos, quales illæ a Græcis decantatæ Scylla et Charybdis, quas in illo freto, quod est inter Italicum Rhegium et Siculam Messanam, sitas esse dicunt. Obfuit autem illis tunc plurimum, quod in carinis idoneam saburræ **861** vim non haberent; quæ res iis qui navibus mare quotidie percurrunt, fulcimentum esse solet et firmissimum navigationis fundamentum.

B'. Δέον οὖν κατὰ μέτωπον στήσαντας τοὺς τριηράρχους τὰς ναῦς ἀντιπρώρους ταῖς τῶν πολεμίων ναυσὶ καὶ ἀπὸ μόνης τῆς πρώτης ἐκπλῆξαι θέας αὐτοὺς, οἱ δὲ τῆς προσηκούσης ἐκπεπτωκότας γνώσεως, μίαν παρὰ μίαν κάμπτοντες τὴν ἄκραν ἐκείνην ὑπέφαινον. Πρώτη μὲν οὖν ἡ ναυαρχὶς ἐδείκνυτο, σχολῇ κατιοῦσα καὶ βιαζομένη μάλα πλησίον τὸν πλοῦν ποιεῖσθαι τῆς γῆς· καὶ μετ' ἐκείνην ἀπ' οὐρᾶς ἑτέραν δίκην ὁρμαθοῦ καὶ σειρᾶς ἐχομένας ἀλλήλων ἐς μῆκος· πρύμναν τε πρώρας ἄλλης ἐχομένην καὶ οὕτως ἀμοιβαδὸν ἁπάσας καὶ παραλλὰξ ἑτέραν ἑτέρας ἐξηρτημένας καὶ στοιχηδόν πως πλεούσας, ἕως προσέσχον τῷ αἰγιαλῷ τῷ ἐκ διαμέτρου καὶ κατ' εὐθεῖαν τοῦ Λατινικοῦ κειμένῳ φρουρίου, ἀπέχουσαι τῆς γῆς ἡμιπλέθρου μεῖον (7). Εἰ μὲν οὖν κάνταῦθα γενόμεναι τὰς πρώρας ἐπὶ μέτωπον τοῖς ἐναντίοις ἔστησαν, ἐπιόντες ἂν ἐκεῖνοι ἐκ πλαγίου καὶ τὰ πλευρὰ τῶν νεῶν ἐκκαλύψαντες ἐπὶ τὸ ἔσω, ἐπεσκίρτησαν ἂν ἐς τὰ ἐντὸς τῶν νεῶν, καὶ ἐκράτησαν ἂν ἁπάντων ἐν ὀλίγῳ· εἰ δὲ μὴ, ἀλλ' ἐπὶ μέτωπον ἐπιόντες, ἐκ τῶν ἐμπροσθίων ἐπολέμουν, ἐκ τῶν ἐμπροσθίων ἐμάχοντο, ἐκ τῶν ἐμπροσθίων ἐκινδύνευον, ἐκ τῶν ἐμπροσθίων ἐκράτουν, ἐκ τῶν ἐμπροσθίων ἐνικῶντο.

II. Debebant certe trierarchi ita naves collocare, ut obversis in frontem proris vel primo adspectu hostem perterrerent. At ii, mente alienati, singulas inter flectendum promontorium ostendebant. Prima conspiciebatur navis prætoria, lente se ipsam movens et proxime oram littoris navigare magna vi contendens. Tum altera et altera a tergo subibant; serie quadam et veluti catena cohærentes illæ inter se longum in tractum, singulæ singularum puppim prora contingentes: et sic omnes, invicem alternisque aliæ ex aliis nexæ, continenti quodam ordine navigantes procedebant; donec ad littus illud, quod est e regione Latini castelli eique rectis lineis opponitur, appulsæ sunt, minus semijugeri spatio a terra distantes. Quod si illic saltem proras Latinis in frontem objecissent, atque ita confli-

Variorum notæ.

(4) Nostri *pavesade* vocant. DUCANG.

(5) De qua S. Demetrii æde et illius situ copiose egimus in *Constantinop. Christ.* lib. IV, sect. 6, n. 33. DUCANG.

(6) *Saburram* .... DUCANG.

(7) Cod. ms. ad marginem, Σημείωσαι ὅτι τὸ πλέθρον ἐστὶ πηχέων ρκ'. DUCANG.

gendi tempus exspectassent, bene, opinor, habuisset. Imo si littorali illa navigatione non interrupta processissent simili modo usque ad extremum freti, ubi videlicet et alias naves stetisse diximus, atque illinc cum cæteris reversæ contra hostem servato ordine provectæ essent, bene sic quoque (opinor) habuisset. Sed aliam Deus mentem pavore injecto attulit, et repente vices mutavit vanisque eorum dictis ac minis fortuna exitus contrarios dedit.

τώπου τοῖς Λατίνοις ἵσταντο, περιμένουσαι τὴν ὥραν τῆς προσβολῆς, εὖ ἂν οἶμαι εἶχεν· ἢ τό γε βέλτιον,"[P. 543] εἰ μὴ διακόψασαι τὸν παράλιον ἐκεῖνον πλοῦν προὐχώρουν ὁμοίως ἄχρι τῆς ἐσχατιᾶς τοῦ πορθμοῦ, ὅπη δηλαδὴ καὶ τὰ ἄλλας εἰρήκειμεν ἵστασθαι, κἀκεῖθεν ὁμοῦ ταῖς ἄλλαις ἐπαναστρέψασαι τὸν ἐπίπλουν ἐν τάξει κατὰ τῶν πολεμίων ἐποοῦντο, καὶ οὕτως εὖ ἂν οἶμαι εἶχεν. Νῦν δὲ ἀλλ' ἑτέραν ὁ δαίμων ἔδωκεν ἔννοιαν καὶ βουλίαν· καὶ μετήνεγκεν ἀθρόον καὶ περιέστησεν ἐς τοὐναντίον τὰς τῶν καυχημάτων καὶ ἀπειλῶν ἀποβάσεις ἡ τύχη.

III. Nam **862** quos oportebat heroice, sicut promiserant, pugnare; ii contra trepidi, nemine obsistente, nullo nec stricto gladio nec vibrato in eos telo, versi in fugam omnes ex tabulatis bini statim ternique fœde et confuse subjectum in mare desiliebant. Ac ii quidem, qui nare didicerant, objectis armis ægre in terram evadebant. Plerique autem armorum pondere deprimebantur. Et videre erat (miserum sane spectaculum) in gurgite palpitantes, terribiles illos et arrogantia elatos bellatores, piscium cancrorumque instar sibi invicem tenaciter inhærentes, ut emergere haud possent, sed in posteram diem a fortuna reservarentur, piscibus convivatoribus suis epulum ipsi daturi. Adeo facta injuria auctores injuriæ ex fortibus imbelles reddit: adeo heroici spiritus hoc ipso, quod se adversus Deum contumacius erigunt, infelicia exsistunt fortunæ ludibria.

Γ'. Δέον γὰρ ἡρωϊκῶς κατὰ τὰς ἐπαγγελίας ἀγωνίσασθαι, οἱ δ' ὑπότρομοι γενόμενοι (8), μηδενὸς ἀντιπράττοντος, μήτε ξίφους γυμνωθέντος, μήτε βέλους ἐπ' αὐτοὺς ἀκροβολισθέντος, ἔφευγον ἅπαντες, τῶν καταστρωμάτων ἐξαίφνης σύνδυό τε καὶ σύντρεις ἐκπηδῶντες ξὺν οὐδενὶ κόσμῳ κατὰ τῆς ὑποκαιμένης θαλάττης· ὧν οἱ μὲν διανήχεσθαι εἰδότες, ῥίπτοντες τὰ ὅπλα, μόλις ἐς γῆν ἐξέπιπτον· οἱ δὲ πλείους τῷ βάρει τῶν ὅπλων κατεδύοντο. Καὶ ἦν ἰδεῖν θέαμα ἐλεεινὸν, ἀσπαίροντας ἐν τῷ βυθῷ τοὺς φοβεροὺς καὶ ματεώρους ἐκείνους ὁπλίτας, δίκην ἰχθύων καὶ καρκίνων, καὶ ἀλλήλων ἐχομένους ἀπριξ καὶ ἀναδῦναι μὴ δυναμένους, ἀλλὰ ταμιευομένους ἐς τὴν ὑστεραίαν ὑπὸ τῆς τύχης ἑστιάτορας αὐτοὺς τοῖς ἑαυτῶν δαιτυμόσιν (9) ἔσεσθαι ἰχθύσιν. Οὕτως ἀνάνδρους τὸ ἀδικεῖν ποιεῖ τοὺς ἀνδρείους, καὶ παίγνιον δυστυχὲς τὰ ἡρωϊκὰ δεικνύει φρονήματα τὸ Θεοῦ κατεπαίρεσθαι.

IV. Nimirum ii, quia ante pugnam diu noctuque, lingua contumeliosissimum viduis pupillisque Byzantinis bellum inferentes, quovis hoste pejora perpetraverant, tabularumque et palorum ad classis usum comparandorum nomine totas et domos everterant et opes diripuerant, ac in ejusmodi facinoribus spiritus illos Martios jam tum consumpserant; ideo præter opinionem fluctibus marinisque gurgitibus absorpti præclaras illic spes subito sepeliverunt, atque ex orbe hoc terrestri in humidum et in profundas aquas translati sunt. Delictorum quippe conscientia oppressam mentem habebant, et pupillares illas (ut par est) preces **863** miserabilesque lacrymas reminiscebantur. Quamobrem et manibus ad arma tractanda quasi ebriis, et pedibus ad movendum corpus vacillantibus torpebant. Animo autem fracto ac vulnerato bene sperare haud poterant: ipso tum exitu edocti, cum iis nihil proderat, non oportere in armis bonam spem collocari, nisi æquitas adsit cum recta pietatis ratione conjuncta. Quæ enim juste facta sunt, ea sola animi robur firmum sus-

Δ'. Ἐπεὶ γὰρ πρὸ τῆς μάχης, νύκτωρ καὶ μεθ' ἡμέραν ἀεὶ στρατευόμενοι πολλῷ τῷ τῆς γλώττης ὑβρίζοντι κατὰ τῶν Βυζαντίων χηρῶν καὶ ὀρφανῶν, πάντων πολεμίων ἔβρων οὗτοι τὰ χείριστα, καὶ προφάσει διὰ τὰς ναῦς σανίδων καὶ στυππίων ὅλας ἀνέτρεπον οἰκίας, καὶ ὅλας οὐσίας ἠνδραποδίζοντο, κἀν τοῖς τοιούτοις προανηλώκεσαν τῆς ἀρείκης ἀνδρείας τὸν ὄγκον ἐκεῖνον, ἔλαθον κύμασι καὶ βυθοῖς θαλαττίοις νῦν ἐνταυθοῖ τὰς γενναίας θάψαντες ἐλπίδας ἄθρόον καὶ τοῦ ἠπειρωτικοῦ τὸν ὑγρὸν καὶ ὑποβρύχιον ἀλλαξάμενοι βίον. Τῷ γὰρ ἡμαρτηκότι τοῦ συνειδότος βρίθοντας ἔχοντες λογισμοὺς, καὶ ἀναμιμνησκόμενοι δεήσεων ἐκείνων ὀρφανικῶν, ὡς ἔοικε, καὶ δακρύων ἐλεεινῶν, ὥσπερ μεθυούσας εἶχον τὰς χεῖρας πρὸς ὅπλα καὶ ἀκροσφαλεῖς πρὸς κινήσεις τοὺς πόδας, καὶ ἅμα τεθραυσμένην τὴν διάνοιαν ἐς τὰς πρὸς τὸ κρεῖττον ἐλπίδας, ἔργοις τοῖς τηνικαῦτα μανθάνοντες, ὅτε μηδέν σφισιν ὄφελος ἦν, μὴ εἶναι χρεὼν ἐν τοῖς ὅπλοις τὰς χρηστὰς ἀνέχειν ἐλπίδας. ἦν μὴ παρῇ τὸ δίκαιον μετὰ τῆς τοῦ εὐσεβεῖν εὐθύτητος. Μόνοις γὰρ τοῖς σὺν δίκῃ ὁρωμένοις τὸ δυνάμενον τῆς ψυχῆς ἀσφαλῶς ἔρα δε-

Variorum notæ.

(8) Hanc Græcanicarum navium cladem multis etiam narrat Cantacuzenus d. cap. 11 extr. DUCANG.

(9) Interpretatus sum, *piscibus convivatoribus suis epulum ipsi daturi*; id quod Gregoras ipse, ni fallor, sensit. Homeri Scholiastes, ad hunc *Odysseæ* ō, 621 versum:

Δαιτυμόνες δ' ἐς δῶματ' ἴσαν θείου βασιλῆος. δαιτυμόνας interpretatur ἑστιάτορας: et vim utrumque significandi, *convivam* nempe et *convivatorem*, ei vocabulo competere docent lexicographi. Tamen apud Gregorium Nazianzen. orat. 58 ἑστιάτωρ et δαιτυμὼν opponuntur: imo et apud Gregoram ipsum, *Hist.* lib. XXIII, pag. 582, lin. ult. BOIVIN.

ταί τε καὶ τὸ θάρρος ἐν περιστάσεσιν ἀκλόνητον ἔχει. Καὶ γὰρ εἰ κατὰ τῶν ἀλλοτρίων τὰ τοιαῦτα γινόμενα τῶν ἀδικημάτων εὐθύνεται πρὸς τοῦ κοινοῦ δεσπότου Θεοῦ, πολλῷ [P. 544] μᾶλλον εἰ ὁμόφυλον εἴη τὸ ἀδικούμενον.

A tentant, et fiduciam circumstantibus periculis inconcussam faciunt. Nam si ejusmodi injurias, etiam alienigenis factas, communis omnium dominus Deus ulciscitur, multo magis, si sit ejusdem gentis id, quod injuriam passum est.

Ε'. Τὸ δὲ ξένον ἐκεῖνο θέαμα βλέπων ὁ τῶν Λατίνων ναύαρχος πόρρωθεν τὸ μὲν πρῶτον διηπορεῖτο καθ' ἑαυτὸν, καί τινα ἐνόμιζεν εἶναι ὑπόκρισιν καὶ δραματουργίαν· ἔπειτα ἔγνω θεομηνίαν εἶναι τὸ πρᾶγμα σαφῆ· καὶ ἡσυχῇ παρακελευσάμενος ἐρέττειν τὸ τῆς ἡγεμονίδος πλήρωμα προῆει παραγγείλας ἕπεσθαι καὶ τὰς ἄλλας τριήρεις κατόπιν. Ἐπεὶ δ' ἐλθὼν κενὰς τὰς Ῥωμαϊκὰς τὸ παράπαν εὗρε τριήρεις, ἀναδησάμενος εἷλκέ τε πάσας ἑρέμα καὶ ὑπέστρεφεν ἄγων ἐς τὸ τῶν Λατίνων ἐπίνειον πλὴν ὅσαι διήρεις τε καὶ μονήρεις καὶ λέμβοι πλήθους ἕνεκα διαῤῥᾶσαι τὴν ἅλωσιν ὑπερόριοι τῶν κινδύνων ἐγένοντο.

V. At rei insolentiam e longinquo animadvertens Latinorum navarchus ambigere primo secum, et quamdam esse id simulationem fabulæque actionem putare: deinde agnoscere furorem esse illum evidentem irati Numinis. Tum eos qui prætoriam navim complebant, placide ut remigarent hortatus, progreditur, sequi jussis et aliis a tergo triremibus. Postquam advenit, et penitus vacuas naves Romanas offendit, religatas omnes sensim trahens et ad Latinorum navale adducens revertitur, exceptis iis triremibus, moneribus et lembis, qui præ multitudine antequam caperentur fuga elapsi extra periculum jam erant.

Ϛ'. Τούτων δ' ἐς τοῦτο τύχης κατενεχθεισῶν, ἐφαίνοντο ἐπιπλέουσαι ἤδη καὶ ὅσαι παρὰ τὰς ἐκβολὰς, ὡς εἰρήκειμεν, ἵσταντο πάλαι τροῦ ποταμοῦ τριήρεις μέγισται μὲν τρεῖς, μείους δὲ πλεῖστον. Ἐπεὶ δὲ κατὰ μέσην γενόμεναι τὴν πορείαν ἐρήμους ἀνδρῶν ἑλκομένας εἶδον ὑπὸ τῶν πολεμίων τὰς ὁμοφύλους νῆας, ἔστησαν ὥσπερ τινὶ νάρκῃ πεδηθεῖσαι καὶ μὴ δυνάμεναι μήτε πρόσω μήτ' ὀπίσω ποιεῖσθαι τὸν πλοῦν, ἕως τοῖς ὁμοίοις ταῖς ἄλλαις περιέπιπτον καὶ αὗται κακοῖς. Ἦν γὰρ ἰδεῖν εὐθὺς καὶ τούτων ἅπαν τὸ πλήρωμα, τριηράρχους ὁμοῦ καὶ ναύτας, κατὰ κεφαλῆς ἐς θάλατταν πίπτοντας τὸν ὅμοιον τοῖς προπεπονθόσι τρόπον, πρὶν ἢ γυμνωμένον θεάσασθαι ξίφος καὶ πρὶν πολεμίας αἰσθέσθαι τινὸς ἀπειλούσης βοῆς.

VI. Cum hæ in eam calamitatem incidissent, cernebantur subeuntes jam et eæ triremes, quæ pridem, ut diximus, ad ostia fluvii stabant, maximæ quidem tres, minores autem longe plurimæ. Eæ **864** medio in cursu, vacuas hominibus trahi ab hostibus suorum naves ubi viderunt, stetere quasi torpedine aliqua constrictæ, ut nec progredi ultra possent, nec vela retrorsum dare, donec ipsæ in similia mala inciderunt. Nam et quidquid in illis hominum fuit, eos omnes videre erat confestim, trierarchos pariter et nautas, volvi in caput, ruentes in mare, eodem modo atque eos qui idem ante passi fuerant, antequam nudatum ensem aspicerent, aut clamorem ullum hostium minacem audirent.

Ζ'. Διενείματο δ' ὁμοίως τὸ τῆς δειλίας ἐκείνης δεινὸν καὶ ὅσοι παρὰ τὸν αἰγιαλὸν καὶ τοὺς πύργους ἦσαν ἑστῶτες. Μεστὰ γὰρ ἦν ἅπαντα ὄχλων παντοδαπῶν, οὐ μόνον τά τ' ἔνδον πυλῶν καὶ ὅσα τῶν ἐκτὸς, ἀλλὰ καὶ τὸ κατὰ τὰς ἐπάλξεις πλῆθος ἀνδρῶν ἀριθμὸν πάντα νικῶν ἦν· ὧν οὔτε σαλπιγκτὴς ἦν τις, οὔτε τι κύμβαλον, οὔτ' οὐδὲν ὁπόσα εἴωθεν ἐν πολέμοις εὐθαρσοῦς παραστήματος γίνεσθαι παρακλητικὰ, λήθης μακρᾶς τινος τῶν ἐν τούτοις χρησίμων, οὐκ οἶδ' ὁπόθεν καὶ ὅπως, ἐπιπλαγηθείσης τέως καὶ διανεμηθείσης τὰς Ῥωμαίων ψυχάς. Ἀλλὰ πλὴν τοῦ ἀναπνεῖν ἄντικρυς εἶναι πάντες ἐδόκουν νεκροί· συνωθούμενοί γε μὴν ὑπ' ἀλλήλων ἐν τῇ πρὸς τὰ ἔνδον φυγῇ συνέπιπτόν τε καὶ συνεπάτουν ἀλλήλους, καὶ ταῦτα καὶ αὐτῶν τῶν πολεμίων ἑστηκότων, καὶ θεωμένων ἀτενῶς, καὶ σφόδρα πρὸς τὸ τοῦ δράματος ἐκπεπληγμένων παράδοξον· ὥστε καὶ δέον σκιρτᾶν ἐκείνους ὑπὸ τῆς μεγάλης εὐτυχίας ἐκείνης, τῶν δὲ καὶ ἡλέουν ἔνιοι τοὺς πάσχοντας, καὶ στῆναι παρεκελεύοντο, καὶ σφᾶς αὐτοὺς οἰκτείρειν τῆς δαιμονιώδους ἐδόων ταυτησὶ συμφορᾶς, καὶ μὴ μάτην οὕτω προδιδόναι [P. 545] θανάτῳ, διώκοντος μηδενός. Οὕτως ἀνυπέρβλητον τὸ τῆς συμφορᾶς ἐκείνης πάθος, καὶ μηδὲν καταλελοιπὸς τῶν ἐφ' ὁμοίοις πάλαι παραδειγμάτων, ἁμιλλᾶσθαι ῥᾳδίως τούτῳ παρατιθέμενον.

VII. Pervadebat autem pariter ille terror et eos omnes, qui juxta littus ac turres stabant. Erant enim omnia omni hominum genere plena: nec modo intra portas et extra, sed et summis in mœnibus multitudo erat quovis numero major; in qua nec tubicen quisquam, nec cymbalum ullum erat, neque quidquam eorum quæ solent in bello præsentis animi robur excitare. Scilicet earum rerum, quæ tum utiles fuissent, magna quædam oblivio Romanorum animos, nescio unde et quomodo, invaserat et corruperat; ac respiratione excepta mortui plane omnes esse videbantur, trudentes alius alium, dum in interiora fugiunt, procidebantque et se invicem proterebant; idque cum hostes ipsi starent intentique spectarent, et ad rei miraculum valde obstupescerent; ita ut quos ob magnum illum successum exsultare oportuit, ex iis nonnulli calamitosos illos miserarentur, et stare juberent, obtestarenturque, ut in **865** illa clade a sinistro aliquo genio immissa ipsos sui misereret, neve ita temere vitam proderent, nemine persequente. Adeo malum illud modum omnem excesserat; adeo eorum, quæ unquam in pari causa acciderunt, nihil erat, quod cum isto collatum facile posset contendere.

CAPUT VII.

Latini castelli obsidio soluta. Obsidentium fuga et pavor. Latini victoria moderate usi; pacem petunt. Legati ab urbe Genua missi veniunt. Eorum interventu Galatæi, quanquam victores, iniquas pacis leges subeunt. Imperatoris, in summas angustias adducti, animus fortis et invictus.

I. Cum classem eo compulsam viderent ii, qui ad Latinorum castellum e longinquo ac superiori de loco oppugnandum missi fuerant, Byzantini milites, et quicunque auxilio vocati fuerant Thraces ac Persæ, ad tria hominum millia, eodem et ipsi terrore perculsi, relictis et clypeis et armis et machinis, palantes inordinatique fugerunt, cum nemo esset, qui hostile aut atrox quidquam mutaret: nec prius substitere, quam fluvio celerrime trajecto libere respirare cœperint.

Α'. Ἀλλὰ γὰρ εἰς τοῦτο τύχης τὸν στόλον συνελαθέντα βλέποντες οἱ πόρρωθεν πολιορκεῖν ἀφ' ὑψηλοῦ τὸ τῶν Λατίνων φρούριον ἐκπεμφθέντες στρατιῶται Βυζαντίων τε καὶ ὅσοι κατὰ συμμαχίαν ἐκλήθησαν Θρᾷκες ἅμα καὶ Πέρσαι, χιλιάδες οὐ μείους τῶν τριῶν, τοῖς ὁμοίοις καὶ οὗτοι δεινοῖς περιέπιπτον, καὶ θυρεοὺς ἐκείνους καὶ ὅπλα καὶ μηχανήματα καταλιμπάνοντες ἔφευγον σποράδες τε καὶ ἀσύνταχτοι, μηδενὸς ὄντος τοῦ πολέμιόν τι καὶ ἄγριον γρύζοντος· καὶ οὐ πρότερον ἔστησαν, πρὶν σπουδῇ τὸν ποταμὸν διαβάντες ἐλευθέριόν τι ἀνεπνεύκεσαν ἤδη.

II. Ac illius quidem furoris divini causas alii alias proponebant atque statuebant. Ego vero eas aliis enumerandas relinquam, orationemque ad alia convertam. Unum tamen hoc addo, si forte audaciores Latini tunc exstitissent, et maximo illo improvisoque successu elati fugientes Byzantios, et a se invicem fœdissime proculcatos, ad portas usque persecuti essent, parum abfuturum fuisse quin illic penitus profligaretur variorum et omnis generis hominum multitudo. Sed iram suam Deus continuit Latinosque induxit, ut victoria moderate uterentur, ac non aliorum adversos casus rei a se bene gestæ fructum putarent, qui ad tropæum **866** illud insperatum nihil prorsus nec militaris operæ, nec solertis machinamenti contulissent: sed opus Dei esse statuerent, humanam diligentiam futilem declarantis, et eorum qui se ipsos magnifice efferre non dubitant, arrogantiam merum esse mimum ostendentis. Miserunt itaque statim ad imperatorem, qui pacem itidem ut antea, sed non iisdem conditionibus, denuo exposcerent.

Β'. Τῆς μέντοι θεομηνίας ταυτησὶ τὰς αἰτίας ἄλλοι ἄλλας ἐτίθεντό τε καὶ ἐψηφίζοντο. Ἐγὼ δ' ἑτέροις ταύτας ἀπαριθμεῖν ἀφεὶς τὸν λόγον ἐφ' ἕτερα τρέψομαι· τοῦτο μόνον προσθείς, ὡς εἰ θρασύτερον ἴσως οἱ Λατῖνοι τότε διετίθεντο, καὶ τῷ παρὰ προσδοκίαν πᾶσαν μεγίστῳ ἐπαρθέντες εὐτυχήματι τουτῳὶ Βυζαντίους φεύγοντας καὶ ὑπ' ἀλλήλων ἀκλεῶς καταπατουμένους ἄχρι πυλῶν ἐδίωκον, ὀλίγου ἂν ἐδέησε πλῆθος ἐκεῖ διαφθαρῆναι παντοίων καὶ παντοδαπῶν ἀνθρώπων. Ἀλλ' ἐπέσχε Κύριος τὸν θυμὸν αὐτοῦ, καὶ μέτρια σφᾶς εὐθὺς ἐπαίειν ἐπαίδευε φρονεῖν, καὶ μὴ τὰς ἀλλοτρίας τύχας ἴδια νομίζειν ἑαυτῶν εὐτυχήματα, μηδὲν ἐς τὸ παράλογον τοῦτο τρόπαιον ὅλως ἔνοπλον εἰσενεγκόντων ἔργον ἢ συνετὸν μηχάνημα, ἀλλ' ἄθυρμα σαθρὸν θεοῦ τὴν ἀνθρωπίνην δεικνύντος σπουδὴν καὶ γέλωτα σαφῆ τὴν τῶν μεγαλοφρονεῖν ἐφ' ἑαυτοῖς οὐκ ὀκνούντων ὀφρύν. Διὸ καὶ πέμψαντες εὐθὺς ἐς βασιλέα τὴν προτέραν αὖθις ὁμοίως ἐζήτουν εἰρήνην, εἰ καὶ μὴ ἐφ' ὁμοίαις ταῖς συμφωνίαις.

III. Nondum toti quatuor ex eo dies effluxerant, cum triremis una expedita, ad Galatæum castellum appulsa, legatos ab urbe Genua advexit, qui Byzantiorum voluntati per omnia ultro satisfacerent; ac restituerent quidem quidquid Latini, propriis limitibus propagatis, ex agro Romano occupassent; deinde rependerent ad plenum, quidquid damni Byzantiis intulissent, persolutisque insuper plus quam centum millibus, pacem pristinam impetrarent: jurarent denique horribilissimum jusjurandum, se nunquam ad ejusmodi novas res moliendas abductum iri; sed eorum memores, quæ sibi præter spem evenissent, moderatiores fore in posterum. Cum autem ii legati advenissent, magnosque illos et inopinatos accepissent suorum successus, tum quoque interponere se, et ut pax illa turpis fieret curavere; qualem et Peloponnesios, Antalcida regnante, pridem cum Persis pepigisse accepimus, classem veritos Atheniensium, qui maris tum aperte potiebantur.

Γ'. Ἀλλ' οὔπω τέτταρες ὅλαι παρῆλθον ἐκεῖθεν ἡμέραι, καὶ κατέπλευσεν ἐς τὸ τοῦ Γαλάτου φρούριον ἐκ Γενούας ταχυναυτοῦσα μία τριήρης, πρέσβεις ἄγουσα τοὺς πάντα τελέσοντας ἀσμένως, ἃ πρὸς βουλήσεως εἴη Βυζαντίοις. Καταλῦσαι μὲν, ὅσον δηλαδὴ τοὺς οἰκείους παρεκβαλόντες ὅρους οἱ Λατῖνοι παρακατέσχον τοῦ τῶν Ῥωμαίων τόπου· ἀποδοῦναι δὲ καὶ ἣν ἐπήγαγον Βυζαντίοις ζημίαν ἐς τὸ ἀνενδεές· [P. 546] καὶ ἅμα προσθέντας χρήματα τυχεῖν τῆς προτέρας εἰρήνης ὑπὲρ τὰς ρ' χιλιάδας· καὶ ὅρκους ἔπειτα δοῦναι φρικωδεστάτους ὑπὲρ τοῦ μηκέτι πρὸς τοὺς ὁμοίους ἀπενεχθῆναι νεωτερισμούς· ἀλλὰ μεμνημένους τῶν παρ' ἐλπίδα συμπεπτωκότων σφίσι μετριωτέρους εἶναι τοῦ λοιποῦ. Ἐπεὶ δ' ἐλθοῦσι κἀκείνοις τὸ μέγα τοῦτο καὶ παρὰ πᾶσαν ἔγνωσται προσδοκίαν τῶν ὁμοφύλων εὐτύχημα, μέσοις τε γεγονέναι δυοῖν ξυνεπεπτώκει καὶ τὴν αἰσχρὰν ἐκείνην εἰρήνην παρασκευάσαι ποιήσασθαι, ὁποίαν καὶ Πελοποννησίους ἐπὶ Ἀνταλκίδου πάλαι πρὸς Πέρσας συνθέσθαι ἀκούομεν, δέει τῆς ναυτικῆς τῶν Ἀθηναίων δυνάμεως ἐν τοῖς τότε χρόνοις περιφανῶς θαλαττοκρατούντων.

Δ'. Τούτων δ' οὕτω ξυνηνεγμένων, οὐκ ἔκρινε δεῖν A ὁ βασιλεὺς, ἀναπεπτωκὼς διὰ τύχης ἀγνωμοσύνην, ἀπογνώσει δοῦναι τῶν λογισμῶν τὰς ἡνίας καὶ τὸ τῆς γνώμης κράτος, ἂτ' εἰς ἀπορίων ἐσχατιὰς τῶν πραγμάτων ἐληλαμένων. Ὅ τε γὰρ ναυτικὸς στόλος, χρήματα πάντα μικροῦ συνελὼν, ὑπ' ἐχθροῖς ἐγεγόνει· ἥ τ' ἐλπὶς τῶν ἐτησίων προσόδων, εἰ μὴ τὸ πᾶν, ἀλλ' οὖν τὸ πλεῖστον ἐκκέκοπται μέρος.

IV. Hæc cum ita accidissent, imperator nec fortunæ iniquitati **867** succumbendum, nec ideo desperationi mentis regimen animique robur prodendum esse censuit, quod in summas angustias adductæ res essent. Nam et classis, quæ pecuniam omnem ferme exhauserat, in hostium potestate erat; et spes annuorum reditnum, si non omnino, at maxima ex parte præcisa erat.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ

ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΛΟΓΟΣ ΙΗ'.

—

NICEPHORI GREGORÆ

BYZANTINÆ HISTORIÆ

LIBER DECIMUS OCTAVUS.

—

CAPUT PRIMUM.

Cantacuzenum res adversæ non frangunt. Classem reparat. Vectigalia imposita auget; nova imponit. Isidori patriarchæ falsa prædictio, tristitia, morbus, obitus. De eligendo ejus successore deliberatur. Qualem patriarcham Palamitæ voluerint. Callistus ex Atho monte arcessitur. Gregoras blanditiis, largitionibus, promissis frustra tentatus. Etiam patriarchalem dignitatem oblatam repudiat. Imperatorem et Augustum officii admonet. Callistus cur promotus. Ejus viri inhumanitas, in ipsos mortuos sævientis. Cantacuzeni politica prudentia. Consilium de cogenda synodo. Palamæ tergiversationes. Episcopi novum patriarcham Massalianismi accusant. Variorum criminum ab eo vicissim accusantur. Veniam dant et accipiunt.

[P. 547] Α'. Ἄλλου μὲν ἴσως ἄν τινος ἦν (10), B τοσούτῳ πελάγει συμφορᾶς ἀδοκήτου συνειλημμένου, τὴν ταχίστην ἀπειρηκέναι· βασιλεύοντι δ' ἀπαγορεύειν ἐν τοῖς τοιούτοις οὐ μάλα ἐνῆν. Ἀλλ' ὥσπερ ἐν ταῖς παρατάξεσι τῶν πολέμων ὁ στρατηγὸς τὰ πεπονηκότα καὶ τρεπόμενα μέρη τῆς φάλαγγος τοῖς ἀναλλητικοῖς τῶν σκιπίγγων οὐκ ἐᾷ διαρρήγνυσθαι τε καὶ τελέως ἐκόντας τοῖς πολεμίοις παρασχομένους τὰ κράτη τῆς νίκης ἀπαγορεύειν, οὕτω καὶ οὗτος οὐκ εἰς ἀπογνώσεις ἔβλεψε καὶ ῥᾳστώνην αἰσχύνης μεστήν· ἀλλὰ νῦν μὲν ἕτερα ἐφ' ἑτέροις ἐπινοῶν διετέλει τῶν ἐπιχειρημάτων· νῦν δὲ τάς τε νενευλεχημένας ἐκ παλαιοῦ τῶν νεῶν καθελκύσας ἐπεσκεύαζέ τε καὶ μετεσκεύαζε πρὸς τὴν ἐνεστῶσαν χρείαν· ἄλλας τε καινὰς κατεσκεύαζε πλείους καὶ μείζους τῶν πρὶν, ξύλων ναυπηγησίμων συχνῶν ἐξ ὄρους κομιζομένων ὅλῃ σπουδῇ. Ἐπεὶ δὲ καὶ χρημάτων ἐν C τούτοις ἔδει, οἵ τε συνήθεις φόροι πρὸς αὔξην ἀνή-

869 I. Alius fortasse, tanta calamitate præter opinionem oppressus, animum statim despondisset. At imperator nequaquam inter hæc desperabat; sed quemadmodum dux, in præliis conserendis, laborantes et inclinatas partes exercitus, dato receptui signo, non sinit perrumpi, nec patitur integram hostibus victoriam ultro deferentes animo prorsus concidere; ita hic quoque non desperatione aut turpi ignavia relanguescebat; sed modo consilia alia ex aliis excogitabat, modo eas naves, quæ jampridem in navalibus repositæ **870** erant, in mare trahebat, reficiebatque, et ad urgentem necessitatem accommodabat; item alias novas construebat, easque plures ac majores quam antea, navalibus lignis crebro et omni diligentia ex monte convectis. Quoniam vero pecunia in his opus erat, solitorum vectigalium modus auctus; tum nova quædam subinde instituta, cum ad eas

Variorum notæ.

(10) Gregoras initio hujus libri ea repetit, quæ in fine superioris jam dixit. Itaque aut prima hæc, aut illa ultima recidenda sunt. Boivin.

ses facile excogitandas necessitas ipsa plurimum A vaiere.

II. Is fuit rerum status, cum Isidorus patriarcha gravi morbo corripitur. Erat autem illud ventris profluvium juge ac diuturnum, adversus quod nec manus nec ars medicorum quidquam poterat: tametsi primo accessu non admodum violentus invaserat hic morbus, sed sensim et paulatim atque (ut ita dicam) pedetentim procedere visus fuerat, et hominum exspectationem quasi ludificarat. Enimvero, ut plerique aiebant, natus erat ex tristitia, quam tacitus pudor pepererat. Scilicet vir ille propriis somniis intentus omnia dicta et facta inde auspicabatur, divinum eum afflatum vocans: his perpetuo gloriabatur, et palam mentiri nihil eum pudebat. Quin et imperatori pariter, et aliis quibuslibet, quædam quasi vaticinia et oblatas divinitus visiones referebat; in quibus fuit et Galatiæ Latinorum castelli, in adverso littore positi, excidium; quod illi affirmabat certo et constanter prænuntiatum a Deo fuisse. Itaque his confisus imperator, antequam classem prorsus instructam haberet, pugnam acceleravit. **871** Cum igitur ille funestissimæ cladis auctor præcipuus Romanis fuisse videretur, omnibus exprobrantibus, non audebat fixis oculis aut imperatorem, aut intelligentia præditum quemquam aspectare; sed in profundos verecundiæ suæ recessus semet ipsum abdebat. Quamobrem diuturna inde ægritudine confectus, postquam intima ipsius substantia morbo consumpta est, ex hac vita excessit. B C

III. Mox deliberatione ab aliis instituta, quisnam ejus sedem ac dignitatem excepturus esset, magno et inflammato studio a Palamitis certatum, ne quis promoveretur, nisi qui percussor et temulentus foret, omnisque eruditionis perinde expers, ut illi, qui a ligone et bidente sub vesperam redeuntes iracundum et ferinum quemdam morem domum referunt. Id vero agebant, ut iis facillimum esset quovis persecutore saviorem illum opponere iis qui pie et recte de Deo sentirent, et a communione Palamæ penitus abhorrerent. Aliis itaque alium proponentibus, horum suasu ex monte Atho D arcessitur unus ex Palamæ amicis, nomine Callistus. Huic ob vecordiam ac dementiam ingenium erat omnium immitissimum. Quamobrem eorum, a quibus vocabatur, proposito ac studio omnino conveniebat.

IV. Tamen antequam is advenisset, visum est imperatori et Augustæ privatim ac sæpius me

γοντο καὶ ἅμα καινοί τινες ἐφ' ἑτέροις ἄτεροι ἐπενοοῦντο, τῆς ἀνάγκης τὴν εὐπορίαν τῶν εἰς ταὐτὰ ἐνθυμημάτων ῥᾷστα ἐφευρισκούσης.

Β'. Ἐν τούτοις δ' ὄντων τῶν πραγμάτων νόσῳ βαρείᾳ καὶ ὁ πατριάρχης Ἰσίδωρος ἁλίσκεται. Ἡ δὲ ἦν γαστρὸς κένωσις διηνεκὴς ἅμα καὶ πολυήμερος, πάσης χειρὸς καὶ τέχνης ἰατρικῆς ἀπρακτούσης ἐνταῦθα. Καίτοι τήν γε ἀρχὴν οὐ μᾶλλα θρασυτέραν αὐτὴ τὴν ἔφοδον ἔδειξεν· ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν καὶ βάδην εἰπεῖν ἐπιχωριάζειν ἐδόκει, ὥσπερ παίζουσα τὰς τῶν πολλῶν ἐλπίδας. Ἦν γὰρ ἀπὸ λύπης ἐσχηκυῖα τὰς ἀφορμὰς (ὁ πολὺς τέως ἐκράτει λόγος), ἥτις ἐκ σιωπωμένης αἰσχύνης εἶχε τὴν πρόφασιν. Ἦν γὰρ τοῖς οἰκείοις ὀνείροις προσέχων ὁ ἄνθρωπος (11)· καὶ τοῦτ' ἔργον ἔχων ἁπάντων πρεῖστάμενον καὶ λόγων καὶ πραγμάτων ἐνθουσιασμὸν ὠνόμαζε· καὶ τούτοις διηνεκῶς ἐγκαλλωπιζόμενος ἐψεύδετο μὲν προφανῶς, οὐκ ᾐσχύνετο δέ· ἀλλ' ἦν ὡσαύτως τῷ τε βασιλεῖ καὶ τοῖς ἄλλοις οἱονεὶ προφητείας τινὰς καὶ θεοπτείας ἄνωθεν ἀπαγγέλλων· μεθ' ὧν ἦν καὶ ἡ τοῦ πέραν Γαλατικοῦ φρουρίου καταστροφή, ἣν προδεδεῖχθαι διετείνετο τουτῳὶ πρὸς θεοῦ βεβαίως καὶ ἀσφαλῶς· ὡς θαῤῥήσαντα καὶ τὸν βασιλέα ἐπὶ τὴν μάχην ταχῦναι, πρὶν τελέως τὴν τοῦ στόλου παρασκευὴν ἐξαρτύσαι. Ἐπεὶ οὖν αἴτιος τῷ γε μείζονι μέρει τῆς μεγίστης ἀπωλείας ἐκείνης ἔδοξεν οὗτος γενέσθαι τέως Ῥωμαίοις καὶ ὠνειδίζετο πρὸς ἁπάντων, οὐκ εἶχεν ἑστῶσιν ὀφθαλμοῖς ὁρᾶν οὔτε μὴν αὐτὸν βασιλέα, οὔτε τῶν ἄλλων ὅσοι ξυνέσεως ἦσαν μέτοχοι· ἀλλὰ κατεδύετο πρὸς πυθμένας ἰδίας αἰσχύνης. Καὶ οὕτω λοιπὸν νοσήσας ἐπὶ μακρὸν, καὶ οὕτω δαπανηθείσης τῆς ἔνδον οὐσίας αὐτοῦ, τῆς παρούσης μετέστη ζωῆς (12).

Γ'. Ἔπειτα ψῆφον προτιθεμένων ἄλλων, ὃς ἂν μετ' ἐκεῖνον τοῦ θρόνου διάδοχος γένηται, πολλή τις ἦν σπουδὴ καὶ διάπυρος τοῖς τοῦ Παλαμᾶ θιασώταις, μηδένα ποτὲ προβληθῆναι, ὃς μὴ πλήκτης κἀὶ πάροινος εἴη καὶ πάσης καὶ παντοίας παιδείας ἐ, τοσοῦτον ἄμοιρος, [P. 548] ὅσον οἱ ἀπὸ σκαπάνης ὁμοῦ (13) καὶ δικέλλης ὀψὲ τῆς ὥρας ἀπαλλάττοντες ζάκοτόν τι καὶ θηριῶδες ἦθος οἴκαδε φέρουσιν· ἵν' ἐνταῦθα ῥᾷστον εἴη σφίσι διωκτῶν ἁπάντων αὐτὸν καταστῆσαι βαρύτατον κατὰ τῶν εὐσεβεῖν αἱρουμένων καὶ τῆς τοῦ Παλαμᾶ κοινωνίας ἀπέχεσθαι πᾶσαν σπουδὴν ποιουμένων. Ἄλλων οὖν ἄλλους προβαλλομένων, μεταπέμψασθαι παίθουσιν οὗτοι τῶν τοῦ Παλαμᾶ φίλων ἐξ Ἄθωνος ἕνα, τοὔνομα Κάλλιστον· ᾧ πρὸς ἀπηνείαν ἐξ ἀνοίας ἅμα καὶ ἀπονοίας ἡρμόσθαι τὴν φύσιν πάντων μάλιστα ξυνεβεβήκει, καὶ εἶναι μηδὲν μηδαμῶς τῷ σκοπῷ καὶ τῇ σπουδῇ τῶν προσκεκληκότων ἀπᾴδοντα.

Δ'. Πρίν γε μὴν τοῦτον εἶναι, ἰδίᾳ ἐμὲ καὶ συχνὰ παραλαμβάνουσιν ἐπῄει βασιλεῖ τε καὶ βασιλίδι θω-

Variorum notæ.

(11) Vide adnotata infra ad lib. XXI, cap. 6, sect. 8. Boivin.

(12) Isidorus patriarchatum inivit anno Chr. 1347. Sedit annos duos, menses septem et dies quindecim, ut constat ex codice ms. quo usus est Phil. Labbeus. Vide *Apparatum Histor. Byzant.* pag. 57. Ergo patriarcha esse desiit an. Chr. 1349 exeunte. Boivin.

(13) Sic supra lib. III, cap. 3, sect. 6. Boivin.

πείαις παντοίαις περιΐέναι· καὶ χρημάτων ἐπαγγελίαις καὶ χορηγίαις ἀφθόνοις τῶν γε ἄλλων· καὶ ἃ τῶν ἐν βίῳ καλῶν καὶ τιμίων ψυχαῖς ἂν εἴη φιλοδόξοις κατ' ἔφεσιν πειρᾶσθαί με πείθειν καὶ ἄγειν ἐς τὸ σφίσι βουλόμενον· ὧν τὰ μὲν ἤδη ἐχορηγεῖτο, τὰ δ' ἔμελλεν. Ἔφοντο γὰρ δι' ἐνὸς ἐμοῦ γε εὐθὺς, εἴ τινές ποτ' ἄρ' εἶεν, καὶ ὅπη διαιτῷντο, πάντας ἑτέρους, ὁπόσοι ἀνθίστανται πρὸς ὁπόσα τῷ Παλαμᾷ βλασφημεῖται καινὰ καὶ ἔκφυλα δόγματα, προσάξεσθαι. Ἀλλ' ἦσαν ἄρα πάντως ἄνθρακες οἱ τῶν ἐλπίδων ἐκείνοις θησαυροί. Τὸ γὰρ ἀνενδεὲς ἐμὲ τῶν ἀναγναίων καὶ ἡ τἀληθοῦς ἐκλογὴ λήρους ἔπειθ' ἡγεῖσθαι τὰ λεγόμενα.

A accire, et omni adulationis genere, atque etiam pecuniarum pollicitatione ambire. Ac ii quidem conati **872** sunt flectere me, et ad ea quæ vellent adducere, liberali largitione cum aliarum rerum, tum earum præsertim, quæ, quia pulchræ sunt ac pretiosæ, animis gloriæ cupidis plurimum blandiri possunt. Quarum rerum aliæ jam dabantur, aliæ postea datæ fuissent. Putabant videlicet mea unius opera statim adjunctum iri ipsis reliquos omnes, quicunque ii forent, et ubicunque degerent, qui novam et insolentem blasphemi Palamæ doctrinam impugnarent. Quas autem illi spes conceperant, ea non aurum sed paleæ erant. Nam quod rebus necessariis non carerem, et veritatem ultro profiterer, ideirco mihi facile persuadebam vana esse et frivola quæ illi loquerentur.

Ε'. Ὃ δ' ἁπάντων μάλιστα τὴν ἐλπίζουσαν γνώμην ἐστήριχτο καὶ ἀνακεκρᾶσθαί σφισι δι' αὐτό τινα ἡδονὴν ταῖς ἐλπίσιν ἐποίει, τὸ τῆς πατριαρχείας ἀξίωμα ἦν· ὃ δώσειν αὐτίκα μάλα μοι ἐπηγγέλλοντο, τῆς χρείας διωθουμένης σφοδρότερον καὶ τοῦ καιροῦ προκαλουμένου τὸν προστησόμενον ἀπαραίτητα. Ἤκουόν γε μὴν ἐξ ἐμοῦ τἀναντιώτατα πάντα. Πρῶτον μὲν γὰρ καθηπτόμην ὁμαλῶς πως αὐτῶν περὶ ὧν ἡμῖν ὑπισχνοῦντο, πῶς οὐκ ὀκνοῦσι τοῖς αὐτοῖς ἐγχειροῦντες, ἃ πολλάκις εἰποῦσι καὶ ἀποτυχοῦσιν ἀκριβῶς ἐγνωκέναι ξυμπέπτωκεν, ὡς πηλοῦ καὶ κόνεως οὐδὲν ἐμοὶ διαφέρειν δοκεῖ τὰ τοιαῦτα, καὶ ταῦτα νῦν, ὅτε πίστεως ἄρνησις ἀπαιτεῖται. Ὡς γὰρ ἐν κακοῖς εὐτυχεῖν δυστύχημα μέγιστον, οὕτως ἐν κακοῖς ἀδοξεῖν τῶν εὐτυχημάτων τὸ κράτιστον! Ἔπειτα ἔλεγον, ὡς βασιλεῦσιν οὔτι χρεὼν μὴ τὰ καθήκοντα νόμιμα ἐκόντι παραδιάγειν ὁμοῦ καὶ τῶν ἱερῶν τῆς τοῦ Θεοῦ ἐκκλησίας κιγκλίδων ἐλαύνειν ἤθει τοιούτῳ, ἥκιστά τινος φειδοῦς ἢ κολάσεως μεσιτευούσης καὶ ὑφαιρούσης τὴν τοῦ κράτους ἀσέλγειαν· ἀλλ' ἰατροῖς μᾶλλον γίγνεσθαι πάνυ προθύμως καὶ ἅμα κολασταῖς [P. 549] τῶν ἀθέσμων σάλων καὶ ἐκτροπῶν, εἴ γε βουλομένοις εὐσεβεῖν εἴη. Τὸ μὲν γὰρ ἄξιον ὀρῆνων μακρῶν καὶ ἐς τὸ μέλλον μνήμης ἐκ τῶν ὀφιγόνων πρὸς ἀπέχθειάν τε καὶ ὕβριν ἀνατρεφούσης ὁλοσχερῶς (ἐῶ γὰρ ὡς ἐγνωσμένης ἤδη μεμνῆσθαι τῆς ἀΐδίου φλογὸς ἐκείνης, ἢ τοῖς οὕτω βιοῦσιν ἀπείληται)· τὸ δ' ὑμνούσας γλώσσας ἁπαιτεῖ τῶν τε νῦν ὄντων τῶν τε γενησομένων ἀνθρώπων εὐσεβῶν καὶ ἅμα ψυχῆς ἀκήρατον εὐφροσύνην, ἣν μὴ τελευτῶσιν αἰῶσιν ἀκούομεν ἀπονενεμῆσθαι.

B V. Sed eorum animum exspectatione suspensum una res maxime confirmabat, ac ipsorum spei quadam voluptate admista blandiebatur. Ea erat patriarchalis dignitas, quam mihi statim collaturos se iidem promittebant, cum et necessitas gravior incumberet, et ut aliquis sine ulla cunctatione ei muneri præficeretur, res ipsa flagitaret. Tamen ii ex me contraria plane omnia audiverunt. Ac primum quidem super iis rebus, quas mihi promittebant, eos leniter objurgabam, quod ipsos non pigeret eadem rursus tentare, quæ cum frustra sæpe dixissent, evidentissimum foret, ejusmodi res apud me nihilum luto ac pulvere differre; præsertim hoc tempore, cum exigeretur fidei abjuratio. Enimvero sicut inter improbos felicem esse maxima esset infelicitas, ita apud eosdem honoribus carere maximam esse felicitatem. Aiebam præterea non debere principes, quæ sapienter constituta essent, ea ultro transgredi, et sacrosanctis Ecclesiæ Dei **873** cancellis isto more excludere, ut nec moderatio ulla, nec examinis interpositi severitas potestatem insolentem coerceret. Quin imo oportere eos, si religiosi essent, medicos et castigatores promptissimos existere errorum ac depravationum sacris legibus contrariarum. Nam illud quidem deplorandum, memoriaque apud posteros odiosissima ac probrosissima dignum est (ut sileam flammas sempiternas, quas iis qui sic vivunt destinatas, cogitare licet ut jam decretas); hoc vero laudem et commendationem exigit ab hominibus piis, qui nunc vivunt, quive unquam victuri sunt; et sinceram meretur animi voluptatem, qualem ævo immortali repositam esse credimus.

C

D

Ϛ'. Οὕτω τοίνυν ἡμῶν ἀπογνούς, ἐπὶ τὸν ἤδη ῥηθέντα ἐξ Ἄθωνος ὄρους ἥκοντα ἤδη τεθέαται, εὐθὺς καὶ μὴ πάνυ τοι σφόδρα προθυμουμένων τῶν ἐπισκόπων τῆς τέως σωζομένης ἐπαρχίας (14), εἰς πατριάρχην προβάλλεται, δι' οὐδὲν ἕτερον ἐπισπεύσας τὴν αὐτοῦ προβολὴν, ἢ ὅτι πρὸς διωγμὸν ἄριστα ὁ ἀνὴρ ἐπεφύκει καὶ ὄργανον ἦν πρὸς τιμωρίας ἀπανθρώ-

VI. Sic ille successu desperato a nobis discessit. Deinde hominem supra memoratum, qui jam ex Atho monte advenerat, conspicatus, confestim nec admodum cupientibus episcopis ejus provinciæ, quæ tunc salva restabat, patriarcham eligendum proponit. Eum vero non aliam ob causam promovere festinavit, nisi quia ad exercendam persecu-

Variorum notæ.

(14) Sic infra cap. 3, sect. 3. Κόπτειδὴ Θράκης ἐπέκεινα πλείων οὐκ ἦν ἐπαρχία Ῥωμαίοις, μόνους τοὺς Θρᾳκικοὺς εὐθὺς μεταπέμπεται ἐπισκόπους. Vide et lib. XXI, cap. ult., ubi de imperii finibus illo tempore valde angustis. BOIVIN.

tionem optime a natura comparatus vir ille pœnarum atrocium et immanium instrumentum erat quolibet carnifice inhumanius. Quippe omnis eruditionis expers, propensissimus erat ad supplicia decernenda et ad injuriam absque verecundia inferendam; item ad feriendum manu et baculo, iracundia effreni, sermonibus fœdis et minime convenientibus sive habitui, quem induerat, sive menti et instituto religioso, cujus se alumnum gloriabatur. Quin imo homines pios, quos multabat et persequebatur, quorum misereri **874** eum oportebat fame et siti et omnibus ærumnis enectorum, insepultos projici jubebat. Quod si qui naturæ similitudine commoti operam dedissent, ut illorum corpora humo tegerentur, novum illud crimen simili pœna rursum luebatur. Usque adeo tunc pejor causa adversus religionem invalnerat. Nam qui manere intra terminos traditæ a majoribus disciplinæ obstinassent, ii sine misericordia tectis, urbibus, templis exigebantur, et facile a quolibet comprehensi in vincula rapiebantur. Aliis veritis ne extrema paterentur, atque idcirco civilitatis colore versatili sanam doctrinam occultantibus, minæ intendebantur ipsis supplicüs graviores.

πους καὶ θηριώδεις δημοσίων ἁπάντων ἀπανθρωπότερον. Πάσης γὰρ ὢν παιδείας ἀξύνετος μάλα τι ἐχώρει πρὸς τὸ κολάζειν καὶ ὁρίζειν ἀσέμνως καὶ πρός γε ἔτι χεῖρι καὶ βακτηρίᾳ πλήττειν, ἀσχέτῳ θυμῷ, καὶ λόγοις αἰσχροῖς καὶ σφόδρα ἀπᾴδουσιν ᾧ περιέκειτο σχήματι, καὶ οὗτινος ἤδετο εἶναι τρόφιμος ὄρους, καὶ ἥστινος πνευματικῆς πολιτείας. Οὐ μόνον δὲ, ἀλλὰ καὶ οὓς ἐκόλαζε καὶ οὓς ἐδίωκεν εὐσεβεῖς, δέον ἐλεεῖν λιμῷ καὶ δίψῃ θνήσκοντας καὶ πάσῃ ταλαιπωρίᾳ, ὁ δὲ καὶ ἀτάφους ἐρρίφθαι ἐκέλευε. Καὶ ἦν ἔγκλημα ἕτερον αὖθις τοῦτ' πρὸς τιμωρίας ἔτι λοιπὸν τὰς ὁμοίας, οἷς τῇ γῇ κρύπτειν ἔργον ἦν τοὺς τοιούτους, καμπτομένοις τῇ τῆς φύσεως ὁμοιότητι. Ἐς τοσοῦτον κατὰ τῆς εὐσεβείας ηὐξήθη τότε τὰ χείρω. Ἠλαύνοντο γὰρ ἀφειδῶς, οἱ τοῖς ὅροις ἐμμένειν φιλονεικοῦντες τῆς πατρίου νομοθεσίας, οἰκιῶν, πόλεων, ἱερῶν, ἀγώγιμοι δεσμωτηρίοις ἤγοντο εὐχερῶς· ἀπειλαὶ τοῖς ἄλλοις ἐκηρύττοντο μείζους τῶν ἔργων, ὅσοι δέει τοῦ μὴ τὰ ἀνήκεστα πάσχειν ἤθους χρώμασι πολυτιδέσι δῆθεν κοινωνικοῦ τὴν εὐσέβειαν ἔκρυπτον.

VII. Atque hæc grata subsidia erant imperatori, animum suum dissimulanti. Nam cum duæ res sint, quarum ope plerique principes conantur sibi mancipare quos volunt, earum alteram, quæ benignitatis speciem præfert et in persuadendo posita est, sibi tribuebat; alteram, cui inest nota crudelitatis, patriarchæ et Palamitis, ut ventis vela, permittebat. Plerosque scilicet fallere cupiens, nec ipse prorsus illa factitabat, nec licentia publicis decretis concessa fieri permittebat. At idem, quia facientibus non obsistebat, tacita quasi lege lata, quidlibet impune perpetrandi veniam iis prorsus dabat: ut ii, qui oleribus indigent, aquæ rivum alicunde ex occulto ac superiori de loco deducunt. Sic enim statuebat, quoties voluntas principis et rerum quotidianarum ratio idem suaderent, adesseteque **875** opportunitas accommoda principis voluntati, totiex principem debere ejusmodi rerum cursum concursu suo adjuvare: cum autem alio res vergerent, alio principis voluntas, tunc oportere eumdem, cæteris rebus neglectis, propriæ voluntatis rationem potius quam constitutarum regularum usum sequi. Quippe illud imperii esse, hoc vero servitutis. Absurdum porro esse, penes quem sceptrum imperatorium foret, eum ultro servire. His de causis, parum de aliis sollicitus, quæcunque ipse et Palamas fieri cuperent, ea exsequebatur. Una quippe erat ejus et Palamæ voluntas.

Ζ'. Καὶ ἦν ταῦτα ἐφόδια τῆς τοῦ βασιλέως γνώμης, κρύπτεσθαι βουλομένης, ἁρπτά. Δυοῖν γὰρ ὄντοιν, δι' ὧν οὓς ἂν βούλοιντο προσάγεσθαι ἐγχειροῦσι τῶν ἡγεμόνων οἱ πλείους, ᾧ μὲν ἐπιεικείας εἶχε σημεῖον, ἑαυτῷ ἔνεμε· λέγω δὴ τὸ πείθειν· ὃ δ' ἀπηνείας, τῷ πατριάρχῃ καὶ τοῖς περὶ τὸν Παλαμᾶν ἐνεζεύξου, καθάπερ ἀνέμοις ὁλκάδος ὀθόνην. Λανθάνειν γὰρ τοὺς πλείστους πειρώμενος, οὔτ' αὐτὸς ὁλοσχερῶς ἔδρα ταυτὶ, οὔτε δημοσίοις γραφαῖς παρεῖχε τοὐνδόσιμον. Ὅτι δὲ ὁρῶσιν αὐτοῖς οὐκ ἀνθίστατο, ἀντικρυς ἀνομοθέτητόν [P. 550] τινα νόμον ἐς τὸ ὁρᾷν ἀδεῶς ἐχαρίζετό σφισιν· ὥσπερ καὶ οἱ λαχάνων ἐν χρείᾳ γινόμενοι ῥύακα ἄνωθέν ποθεν ἐπαντλοῦσι ὕδατος ἐξ ἀφανοῦς. Ἔλεγε γὰρ, ὡς ὅτε τὰ ἴσα φθέγγωνται ἥ τε τοῦ ἄρχοντος βούλησις καὶ ἡ τῶν ἐκ τύχης δρωμένων χρεία, μετὰ τοῦ εὖ ξυγκειμένου πρὸς τὴν τοῦ ἄρχοντος βούλησιν, τότε συμφέρεσθαι καὶ τὸν ἄρχοντα χρὴ τοῖς οὕτωσὶ φερομένοις· ὅταν δ' ἕτερον μὲν τὰ πράγματα δρόμον βαδίζῃ, ἕτερον δ' ἡ τοῦ ἡγεμόνος βούλησις, τότε χρὴ τὸν μέσῳ κἀκεῖνον παρατρέχοντα τῇ τῆς αὐθεντικῆς βουλήσεως χρείᾳ μᾶλλον ἢ τῷ τῶν κειμένων κανόνων εἶθι συμφέρεσθαι. Τὸ μὲν γὰρ ἡγεμονίας, τὸ δὲ δουλείας εἶναι σημεῖον· ἄτοπον οὖν δουλεύειν ἐκόντα, ᾧ τὰ τῆς ἡγεμονίας ἀνεῖται σκῆπτρα. Διὰ δὴ ταῦτα, μικρὰ τῶν ἄλλων φροντίσας, ἐπέραινε ὅσα αὐτῷ τε καὶ Παλαμᾷ πρὸς βουλήσεως ἦν, μία γὰρ ἦν αὐτῷ καὶ τοῖς ἀμφὶ τὸν Παλαμᾶν ἡ βούλησις.

VIII. Attamen veritus vulgi convicia, quæ et circum fora liberrime jactabantur, et fidei tyrannicam violentamque oppressionem criminabantur, satius sibi fore credidit, procedente tempore concilium cogi, episcopis qui in Thracia essent convocatis; atque illic palam declarari, novam illam doctrinam, quam Palamas invexisset, non esse

Η'. Δεδιὼς δ' ὅμως καὶ τὰς τῶν πλείστων λοιδορίας, αἳ κἂν ταῖς ἀγοραῖς ἀνέδην ἐκαλινδοῦντο, τὸ τυραννικὸν καὶ βίαιον ἐγκαλοῦσαι τῆς πίστεως, βέλτιον ἐνόμισεν εἶναί οἱ, καὶ σύνοδον συγκροτῆσαι διὰ τῶν ἐπὶ Θρᾴκης ἐπισκόπων προϊόντος τοῦ χρόνου, καὶ δεῖξαι ἐς προῦπτον τὰ καινοφανῆ τοῦ Παλαμᾶ μὴ αἰσχρῶς ἔχειν δόγματα· ὡς ἂν εἰς πολλοὺς χεο-

μένης καὶ διασκιδναμένης τῆς τῶν τοιούτων ἐγκλημάτων λοιδορίας, ἢ ἀπιστῆται παντάπασι ἡ καινοτομία τῆς πίστεως, ἢ τό γε δεύτερον ἧττον λυπῇ, μὴ πρὸς ἕνα αὐτὸν ἀεὶ κινουμένων τῶν ὅλων γλωσσῶν, ἀλλ' ἐς πλείστους ἤδη μεριζομένων. Ἀλλὰ τοῦτό γε ἦν ἃ τὸν Παλαμᾶν, ἥκιστα παῤῥησιάζεσθαι τοὺς τῆς αὐτοῦ κακίας ἐλέγχους βουλόμενον, ἀλλ' ἐπιβουλαῖς ἀεὶ καὶ διαβολαῖς ἀφθόγγοις τὰ τῶν διωγμῶν ἐκείνων εἴδη δι' ἄλλων, καὶ μάλιστα τῶν ἐν ἐξουσίαις, κρύφα ἐπιτελεῖν. Διὸ καὶ προφασισάμενος ἄλλα ἐπ' ἄλλοις ᾤχετο φεύγων, νῦν μὲν εἰς Λῆμνον, νῦν δ' ἐκεῖθεν εἰς Θεσσαλονίκην· περὶ ὧν πλατύτερον εἰρήσεται προϊοῦσιν. Τέως δ' ἐκεῖνο ἐπαναλήψομαι.

Θ'. Πρὶν γὰρ ὅλους μετὰ τὴν χειροτονίαν τρεῖς παριέναι μῆνας, τῶν ἐπισκόπων συνέβη ῥαγῆναι τοὺς πλείστους τῆς πατριαρχικῆς κοινωνίας, ὅσοι διομνύμενοι εἰσήγγελον εἶναι σαφῆ Μασσαλιανὸν αὐτὸν καὶ τῶν ἐν Ἄθωνι ὄρει πρὸ ἐτῶν οὐ μάλα συχνῶν φανερῶς ἁλόντων ἕνα· περὶ ὧν ἀνωτέρω (15) πού τῆς ἱστορίας καὶ ἡμεῖς εἰρηκότες ἐσμέν. Ἐπεὶ δὲ καὶ αὐτὸς ἀνθιστάμενος εἰσῆγεν, ἐξ ἀντιπάλου ῥέων, διωμοσίαν καὶ ἀντεγκλήματα κατὰ τούτων ἑκάστου, τὸν μὲν τυμβωρυχίας διώκων, τὸν δὲ πορνείας, τὸν δὲ Βογομίλων αἱρέσεως, τὸν δὲ τοῦ τὴν ἱερωσύνην ὠνίων διδόναι [P. 551] καὶ ἀπεμπολεῖν εἰς ἄνδρας μάλα τοι σφόδρα αἰσχίστους, καὶ ἄλλους ἄλλων, καὶ γέγονε σχίσμα μέχρι καὶ ἐς πολύν τινα χρόνον, μέσος ὁ βασιλεὺς καταστὰς ἔπεισεν ἀλλήλοις ἀφεῖναι τἀγκλήματα, λάθρα καθυφέντας ἃς κατ' ἀλλήλων γραφὰς καὶ λοιδορίας ἐξήνεγκαν φανερῶς, ἵνα μὴ προσθήκη καὶ τοῦτο γένηται τοῖς κατ' αὐτῶν ἐπανηνεγμένοις περὶ πίστεως παρ' ἡμῶν ἐγκλήμασιν. Οὕτω τοίνυν ἐν κακοῖς κακῶς καὶ αἰσχρῶς ἀλλήλοις σπεισάμενοι ξυνῆσαν ἀλλήλοις λοιπόν, ἡμέραν ἐξ ἡμέρας ἐπιβουλὰς καθ' ἡμῶν ἄλλας ἐπ' ἄλλαις συῤῥάπτοντές τε καὶ ξυντιθέμενοι.

μάτων λοιδορίας, ἢ ἀπιστῆται παντάπασι ἡ καινοτομία τῆς πίστεως, ἢ τό γε δεύτερον ἧττον λυπῇ, μὴ πρὸς ἕνα αὐτὸν ἀεὶ κινουμένων τῶν ὅλων γλωσσῶν, ἀλλ' ἐς πλείστους ἤδη μεριζομένων. Ἀλλὰ τοῦτό γε ἦν ἃ τὸν Παλαμᾶν, ἥκιστα παῤῥησιάζεσθαι τοὺς τῆς αὐτοῦ κακίας ἐλέγχους βουλόμενον, ἀλλ' ἐπιβουλαῖς ἀεὶ καὶ διαβολαῖς ἀφθόγγοις τὰ τῶν διωγμῶν ἐκείνων εἴδη δι' ἄλλων, καὶ μάλιστα τῶν ἐν ἐξουσίαις, κρύφα ἐπιτελεῖν. Διὸ καὶ προφασισάμενος ἄλλα ἐπ' ἄλλοις ᾤχετο φεύγων, νῦν μὲν εἰς Λῆμνον, νῦν δ' ἐκεῖθεν εἰς Θεσσαλονίκην· περὶ ὧν πλατύτερον εἰρήσεται προϊοῦσιν. Τέως δ' ἐκεῖνο ἐπαναλήψομαι.

A pravam ac foedam; ut objectorum criminum calumniosa refutatione latius diffusa ac divulgata, vel prorsus haud crederetur innovatam fuisse fidei doctrinam, vel saltem minus isti dolendum esset, cum omnium linguæ non unum eum perpetuo petituræ, sed deinceps se adversus plurimos exserturæ essent. Verum id quidem Palamam augebat, utpote qui malitiam suam palam redargui minime vellet, sed insidiis et surdis obtrectationibus cum per alios, tum per principes, varia suppliciorum genera clanculum decernere cuperet. Quamobrem alia ex aliis prætexendo **876** aufugiebat, modo in insulam Lemnum, modo illinc Thessalonicam. Sed de his rebus fusius infra dicturi sumus. Nunc autem illud resumam.

IX. Nondum tres toti post patriarchæ electionem menses efluxerant, cum plerique episcoporum ab ejus communione evulsi secesserunt, quotquot scilicet jurato denuntiaverant Massalianum eum re ipsa esse, ac unum exstitisse ex illis, qui ante annos non ita multos in monte Atho manifeste deprehensi fuissent; de quibus et nos supra in hac historia disseruimus. At ille repugnabat, et juramenta juramentis opponebat, atque illis singulis crimina vicissim objectabat, hunc de effossis sepulcris, illum stupri, alium de Bogomiliana hæresi, alium quod sacerdotium vendidisset et hominibus turpissimis nundinasset, alium denique alio crimine accusans. Cum autem schisma ob eam causam excitatum longo tempore durasset, imperator medium se interposuit, eisque persuasit, ut sibi invicem crimina objecta condonarent, desertis clanculum litibus et accusationibus, quas aperte suscepissent, ne ad crimina, quæ illis de fide a nobis objiciebantur, isthæc quoque accederent. Sic itaque concordia, ut inter malos, male et turpiter deinceps inita, reconciliati sunt, novasque ex eo quotidie insidias adversus nos struere et componere cæperunt.

CAPUT II.

Cantacuzenus Thessalonicam abit, Palæologum generum ei urbi præfecturus. Classis Veneta Genuitis infesta Byzantium advenit. Genuitarum arrogantia. Pontus Euxinus Byzantiis et Venetis per illos clausus. Quænam causæ Venetos coegerint Galatæ obsidionem cito deserere. Cantacuzenus admodum lætus Byzantium redit. Concilium convocare cogitat. Palamæ fiducia. Junioris Andronici et Isidori patriarchæ commemoratio in sacris per errorem omissa. Hominum sermones de ea re. Error postmodum correctus. Triremes Venetæ quatuordecim Ponti Euxini fauces obsideat. Bellum Latinorum internecinum. Catalani socios se Venetis adjungunt.

Α'. Ἄρτι δὲ τῶν φθινοπωρίνων τοῦ ἡλίου τροπῶν ἐν προθύροις αὐλιζομένων τοῦ ἔτους (16), τριήρεσι καὶ μονήρεσιν ἄρας ἐκ Βυζαντίου ὁ βασιλεὺς Καντακουζηνὸς ὁμοῦ τῷ ἐπὶ θυγατρὶ γαμβρῷ Παλαιολόγῳ τῷ βασιλεῖ ἀπῄει ἐς Θεσσαλονίκην, ἄρχειν ἐκεῖ καταστήσων αὐτόν. Καὶ τηνικαῦτα κατέπλευσαν ἐς Βυζάντιον (17) Βενετικαὶ τριήρεις τρεῖς καὶ τριάκοντα κατὰ τοῦ Γαλατικοῦ φρουρίου τῶν Γενουϊτῶν, μάχης τε ἀρξάντων αὐτῶν ἐκ πολλοῦ καὶ ἀπει-

I. Jam converso ad autumnale æquinoctium cursu, in ipso anni ingressu sol versabatur, cum imperator Cantacuzenus, triremibus ac moneribus **877** conscensis, solvit Byzantio, Palæologum imperatorem eumdemque generum secum Thessalonicam ducens, atque ejus urbis principem eum constituturus. Eo tempore Byzantium advenerunt triremes Venetæ tres et triginta, ut Genuitarum, qui primi bellum indixerant et Venetis exitium

Variorum notæ.

(15) Lib. XIV, cap. 7. BOIVIN.

(16) Mense Septembri, anno mundi 6853 ineunte. BOIVIN.

(17) Bizar. *De bello Veneto*, lib. II. BOIVIN.

minabantur, Galaticum castellum oppugnarent. Quippe isti Genuitæ, elati frivolo illo successu navalis pugnæ, quam cum Byzantiis parum memorabilem gesserant, jam animo suo minime moderabantur, sed totius maris imperium somniabant. Ac primo Pontum Euxinum, ut quæstuosum, sibi vindicantes, non solum Byzantiis imperioso fastu maximaque audacia interdicebant, ne circum Mæotidem et Tanain Chersonemve navigantes, aut reliquam Scytharum maritimam oram, quæ esset ultra Istrum, circumvecti negotiarentur, nisi ubi licentiam a se accepissent; sed et Venetos ipsos eorumdem locorum commercio arcebant; et jam fere meditabantur, plurimis triremibus Ponti fauces obsidere, atque in Sarapidis fano tyrannicum violentumque portorium imponere iis, qui intra vel extra Euxinum commeaturi essent.

II. Ea res irritavit ac perturbavit animos cum aliorum omnium, quorum vita omnis maritima esset, tum maxime Venetorum, qui pecuniis et navibus longe superiores erant. Igitur hi, cum et imperatorem habituros se socium adjutoremque incepti sui sperarent, utpote ob acceptam **878** eladem et ignominiam cladi conjunctam iisdem nuper, armis (ut dixi) et triremibus instructi, oppugnatum illos venerunt. Quoniam autem nec imperator aderat, nec tempus opportunum erat, sic ut ipsis adjumento esse posset (nam hæc sub Arcturi ortum gesta sunt, cum et plurimi imbres nubibus effunduntur, et frigus immodicum jam ingruens affligit eos qui in armis sub dio, idque in mari, pernoctant), visum est ipsis pauculos dies permanere, ac postquam levibus pugnis vires ultro citroque tentatæ fuissent, domum retro navigare: eoque maxime, quod audierant novas triremes ab Genua proficisci jam in Eubœam et in Cretam atque in cæteras insulas, quæ Venetis tunc parebant. Etenim ex navibus quatuordecim Genuiticis, quas Venetæ triremes, cum huc venirent, duobus sinubus Aulidé et Oreo juxta Eubœam concluserant, decem cum ipsis hominibus captæ fuerant; reliquæ quatuor furtim elapsæ periculum effugerant. Atque hæ quatuor, per absentiam Venetarum alio bello occupatarum, insulas Venetorum impune infestabant. Itaque hi magna diligentia et alacritate ad ulciscendum propulsandumque hostem redierunt. Et hæc quidem ita se habuere.

III. Cum autem sol, ab hiberno tropico conversus, antarctici poli vicinium desbruisset, Thessalonica redijit imperator, gaudio quasi lymphatus. Putabat videlicet jam se arcanis terroribus libera-

λούντων σφίσιν ἀπώλειαν. Τοῖς γάρ τοι Γενουΐταις τουτοισὶν, ἐπαρθεῖσι τῷ κατὰ Βυζαντίων ἐκείνῳ σαθρῷ προτερήματι τῆς ἀδόξου ναυμαχίας ἐκείνης, οὐκέτι καθεκτοῖς εἶναι τὴν γνώμην ἐνῆν· ἀλλ' ὀνειροπολεῖν ἐπῆει τὴν τῆς ὅλης θαλάσσης ἡγεμονίαν. Καὶ διασφετεριζόμενοι πρῶτον τὸν Εὔξεινον πόντον, διὰ τὰ ἐκεῖθεν κέρδη, οὐ μόνον Βυζαντίοις ἐπέταττον ἡγεμονικῶς ἤδη καὶ πολλῷ τῷ θράσει ῥέοντες, ἀπέχεσθαι τῆς Μαιώτιδος καὶ Τανάϊδος, ὅτι τε Χερσῶνος (18) καὶ ὅσα τῶν Σκυθῶν ὑπὲρ τὸν Ἴστρον παραλίας ἐστὶ χωρία περιπλέοντας ἐμπορεύεσθαι, πλὴν ἢ ὅπη ἂν ἐξ αὐτῶν τὸ ἐνδάσιμον εἴη· ἀλλὰ καὶ Βενετικοὺς αὐτοὺς τῆς ἐκεῖθεν ἀπήλαυνον ἐμπορίας, μελέτην ἔχοντες ὅσον οὐδέπω καὶ τριήρεσι συχναῖς [P. 552] τὸν αὐχένα τοῦ Πόντου συγκλεισθέντες κατὰ τὸ τοῦ Σαράπιδος (19) ἱερὸν καταστῆσαι δεκαδεύτηριον τυραννικὸν καὶ βίαιον, εἴ τινες εἶεν βουλόμενοι τὸν Εὔξεινον πόντον εἰσπλεῖν τε καὶ ἐκπλεῖν.

Β'. Τοῦτο καὶ πάντας μὲν ἠρέθισε πρὸς ταραχὴν λογισμῶν, οἷς θαλάττιος ἅπας ἐστὶν ὁ βίος· πάντων δὲ μάλιστα Βενετικοὺς, χρήμασί τε καὶ νανσὶ μακροῖς τισι μέτροις πλεονεκτοῦντας. Ἐλπίσαντες οὖν καὶ βασιλέα σύμμαχον ἕξειν καὶ κοινωνὸν εἰς τοῦργον, ἅτε διὰ τὴν ἧτταν ἐκείνην καὶ τὴν ἐκ τῆς ἥττης αἰσχύνην ἠρεθισμένον καὶ αὐτὸν πρὸς ὀργὴν κατ' αὐτῶν, ἦκον (ὡς ἔφημεν) ὅπλα καὶ τριήρεις ἄγοντες κατὰ σφῶν. Ἐπεὶ δ' οὔθ' ὁ βασιλεὺς παρῆν, οὔτε τῷ καιρῷ συμμάχῳ χρῆσθαι ἐνῆν (εἶναι γὰρ περὶ τὰς τοῦ Ἀρκτούρου συνέβαινε τοῦτον ἐπιτολὰς, δθ' ὑετοί τε καταῤῥήγνυνται μάλιστα πλεῖστοι καὶ ψύχος ἀταμίευτον ἤδη προσῆχον λυπεῖ τοὺς ἐν τοῖς ὑπαίθροις διανυκτερεύοντας ἐν θαλάττῃ καὶ ὅπλοις), ἡμέραις βραχέσι διεγνωσταί σφισιν ἐγκαρτερήσασι, πεῖραν ἀκροβολισμῶν πολεμικῶν δόντας καὶ λαβόντας, οἴκαδε ἀποπλεῖν· καὶ μάλιστα ὅτι καὶ τριήρεις ἑτέρας ἐπύθοντο ἀναχθείσας ἤδη ἐκ Γενούας κατά τε Εὔβοιαν καὶ Κρήτης καὶ ὅσαι Βενετικοῖς ὑπήκουον τότε. Τεσσαρεσκαίδεκα γὰρ οὐσῶν τῶν Γενουϊτικῶν, ἃς ἀνιοῦσαι τῶν Βενετικῶν αἱ τριήρεις συνέκλεισαν ἐν Αὐλίδι καὶ Ὠρεῷ τοῖς κόλποις τοῖς ἐγγὺς Εὐβοίας, αἱ μὲν δέκα ἑάλωσαν αὐτανδροι· αἱ δὲ τέτταρες λαθοῦσαι τὸν κίνδυνον ἔφυγον. Αὗται τοίνυν αἱ τέτταρες, ἀβλαβεῖς λαβόμεναι διὰ τὴν τῶν Βενετικῶν ἐκστρατείαν, πολλὴν ἐνεποίουν ταῖς Βενετικαῖς νήσοις τὴν βλάβην. Διὸ δὴ σπουδῇ πολλῇ καὶ προθυμίᾳ ἀπέπλευσαν πρὸς ἐκδίκησίν τε καὶ ἄμυναν. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

Γ'. Ἅρτι δὲ τοῦ ἡλίου μετὰ τροπὰς ὄντος χειμερινὰς καὶ τῶν ἀνταρκτικῶν ἀπηλλαγμένου γειτονημάτων, ἐπανῆκεν ὁ βασιλεὺς ἐκ Θεσσαλονίκης, ἔνθου, ὅλος ὑφ' ἡδονῆς. Ἀπηλλάχθαι γὰρ ἤδη νενόμιστο αἱ

Variorum notæ.

(18) Ejus nominis urbs in Chersoneso Taurica a geographis ponitur, eaque episcopalis sedes fuit. Vide adnotata ad pag. 509. E. Boivin.

(19) Interpretatus sum, *et jam fere meditabantur plurimis triremibus Ponti fauces obsidere, atque in Sarapidis fano tyrannicum violentumque portorium imponere iis qui*, etc. Videat lector an malit, *et jam fere meditabantur, magno triremium numero obsessis Ponti faucibus et Serapidis fano, tyrannicum violentumque portorium imponere iis qui*, etc. De Sarapidis fano vide Gyllium lib. 1, cap. 2, *de Bosporo Thracio*. Boivin.

φόβων ἀπορρήτων, καὶ ἀπηρτῆσθαι καθάπαξ ἤδη πάση· ὑποψίας, ἐκ ποδῶν γενομένου τοῦ τὴν διαδοχὴν τῆς βασιλείας τοῖς υἱέσιν ἀδεῶς αὐτὸν παραπέμπειν κωλύοντος. Καὶ τοῖς πράγμασιν εἶναι νομίσας εἰρήνην τε καὶ ἀσφάλειαν, τοῦ λοιποῦ πρὸς ἣν ἐπὶ νοῦν εἶχε τῶν ἐπισκόπων συστήσασθαι σύνοδον, ὑπὲρ τῶν τοῦ Παλαμᾶ δογμάτων, ὅλος ἠσχολῆτο. Ἦκε γὰρ ἤδη καὶ ὁ Παλαμᾶς ἐκ Θεσσαλονίκης ἐς Βυζάντιον, παντοίαις ἀναπτερωμένος ἐλπίσι, ῥᾷστα καὶ ξὺν οὐδενὶ πόνῳ τὰ κατὰ βούλησιν αὐτῷ ἐπαγγειλαμένου ἐπιτελεῖν, καὶ εἰ μυρία τῶν δημοσίων εἴη πραγμάτων ἀνθέλκοντα κύματα.

Δ'. Ἤδη δὲ τῆς ἡμέρας ἐνεστηκυίας, ἐν ᾗ ἔδει τῶν τῇ μεγάλῃ τοῦ Θεοῦ ἐκκλησίᾳ ὑπηρετουμένων ἕνα, ἐπ' ἄμβωνος ἀναβάντα, τῶν μὲν εὐσεβῶν βασιλέων καὶ πατριαρχῶν [P. 555] ἀνακηρύττειν τὰς μνήμας, τῶν δ' ἀσεβῶν ἀναθέματι παραπέμπειν καὶ ἀραῖς αἰωνίοις, γέγονέ τι τεράστιον ἀπροσδόκητον. Σεσίγηται γὰρ κατὰ λήθην παρασυρὲν οὕτωσί πως τοῦ τε νέου βασιλέως Ἀνδρονίκου τοὔνομα καὶ ἅμα τὸ τοῦ πατριάρχου Ἰσιδώρου. Ὅ καὶ σαφῶς οἰωνὸς ἔδοξεν εἶναι τοῖς ξυνετῶς στοχαζομένοις τῶν γενομένων καὶ φερομένων ἄλλοτ' ἄλλως πραγμάτων. Μηδὲ γὰρ εἶναι θεῷ (φασὶ) δεδογμένον, ὡς ἔοικεν, ἐπ' ἐκκλησίας ὑμνεῖσθαι μήτε τὸν βασιλέα, πρῶτον τὴν τοῦ Παλαμᾶ πολύθεον πλάνην μετεωρίσαντα πρὸς ὑπερθέσεις καὶ ἀνεξέταστον λελοιπότα καὶ ἀδιόρθωτον, μήτε τὸν Ἰσίδωρον, πρῶτον εἰσενεγκόντα τοῖς πατριαρχικοῖς θώκοις αὐτὴν καὶ δημοσίᾳ ἀνακηρύξαντα λόγοις ἅμα καὶ πράγμασιν· ὥς γε καὶ ἡμῖν ἀνωτέρω που τῆς ἱστορίας ἐν τοῖς καθήκουσι διείληπται τόποις. Ἐπεὶ δ' ἐς τὴν ὑστεραίαν ἀκουσθὲν Ἄννῃ τῇ βασιλίδι καὶ συζύγῳ ἐκείνου, πρὸς λύπην ἀφόρητόν τε ἔδοξε καὶ οὐ μάλα ἀνύποπτον, δίκαιον εἶναι τῷ βασιλεῖ νενόμισται Καντακουζηνῷ, τὴν ἐφεξῆς κυριακὴν ἡμέραν ἀθροισθῆναί τε τὸν λαὸν αὖθις καὶ μόνην τὴν τοῦ ὀνόματος ἐκείνου γενέσθαι ἀνάῤῥησιν. Καὶ ταῦτα μὲν τῇδέ πη ἔσχε· καὶ ὁ χειμὼν ἐν τούτοις ἐτελεύτα.

Ε'. Ἄρτι δὲ τοῦ ἡλίου τοὺς ἠρινοὺς ἀμείβοντος κύκλους, καὶ τῇ γῇ ἐκ τῆς νέας χλόης εὐανθῆ καὶ ποικίλον τοῖς χρώμασι ἱστουργοῦντος χιτῶνα, καὶ δένδρα πάντα πρὸς ἀναβίωσίν τε καὶ παντοίων γένεσιν καρπῶν ἀφθόγγοις σάλπιγξι προσκαλουμένου, κατέπλευσαν ἐς τοὺς τοῦ Βυζαντίου λιμένας Βενετικαὶ τριήρεις τέσσαρες καὶ δέκα. Αἳ δὴ τὸν τοῦ Εὐξείνου πόντου διαζώσαντες αὐχένα τὰς ἐκ Μαιώτιδός τε καὶ Χερσῶνος καὶ τῶν ἐκεῖθεν κατιούσας χωρίων ἐξ ἐμπορίας Γαλατικὰς τριήρεις τῶν Γενουϊτῶν ξυνελάμβανον. Ἄσπονδον γὰρ ἐπ' ἀλλήλους τέως τὴν μάχην θεμένους οὐκ ἦν ἠρεμεῖν, οὐ νύκτωρ, οὐ μὲθ' ἡμέραν, οὐδ' ἐπὶ βραχὺ τῆς ὥρας· ἀλλὰ πάντας τόπους καὶ λιμένας διερευνᾷν, καὶ πᾶσι τρόποις ἐπιχειρεῖν, ὅθεν ἂν εἴη τὴν ἀλλήλων δρῶντας φθορὰν ὑπερτέρους τοῦ λοιποῦ καθίστασθαι. Εἰληφόσι (20) δὲ καὶ συμμαχίας ἐκ Καταλάνων καὶ Βυζαντίων, ἐγ-

tum solutumque **879** omni suspicione, postquam a conspectu removisset eum virum, qui ne imperii successionem liberis suis tuto transmitteret obstabat. Itaque pacata ac secura omnia arbitratus, in eo deinceps totus fuit, ut quod animo meditabatur, coacto episcoporum concilio, doctrinam Palamæ tueretur. Quippe et ipse Palamas Thessalonica Byzantium jam venerat, summa spe inflatus. Nam quæ is vellet, ea se Cantacuzenus facillime et nullo labore, quantumvis infinitis publicorum negotiorum fluctibus distractum, exseculurum esse promiserat.

IV. Ac jam dies aderat, in qua oportebat unum ex magnæ Ecclesiæ ministris, conscenso ambone, piorum imperatorum et patriarcharum memoriam publico præconio commendare, impios autem exsecrari ac diris devovere, cum improvisum quiddam et prodigii simile accidit. Nam silentio et oblivione nescio quomodo præteritum est imperatoris Andronici junioris nomen, item Isidori patriarchæ; quod manifestum omen esse visum est iis qui fortuita et alias aliter contingentia acute interpretantur. Etenim apparet, inquiebant, non placuisse Deo celebrari in ecclesia nec eum imperatorem, qui Palamæ, deos multos statuentis, errorem primus dilationibus sustentasset, ac neque examinandum neque corrigendum curavisset; nec illum Isidorum, qui primus eum ipsum errorem, in patriarchalem sedem illatum, dictis pariter et factis publice promulgasset: quemadmodum suo loco a nobis in hac historia **880** supra expositum est. Cum autem postridie imperatrix Anna, principis defuncti uxor, dolorem intolerabilem audita ea re concepisset, et suspicioni locus esse videretur, censuit Cantacuzenus imperator, die Dominica proxime secutura congregandum rursus populum, et unius Andronici nomen proclamandum. Atque hæc ita ferme se habuerunt. Et in his hiems desiit.

V. Vere ineunte, cum sol æquinoctium prætervectus novo gramine, velut florida et versicolori veste, terram obtexeret, omnesque arbores suscitaret, et ad omnigenos fructus producendos mutis vocibus provocaret, in Byzantinos portus Venetæ triremes quatuordecim delatæ sunt. Atque hæ, Ponti Euxini faucibus circumclusis, Galaticas Genuitarum triremes, ab mercatu redeuntes ex Mæotide et Chersone, aliisque illius tractus locis, comprehendebant. Nimirum internecino bello sibi invicem indicto, nec noctu nec interdiu, ne horæ quidem momento, quiescere poterant: sed omnem locum, omnes portus perscrutabantur, tentabantque omnia, ut conflato sibi invicem exitio superiores in posterum evaderent. Cum autem et Catelanos socios sibi Veneti adjunxissent, et Byzantios, ipsos quoque Genuitis ob superiores clades infensos,

Variorum notæ.

(20) Pro εἰληφότες. Boiv.

facilius ex eo illis fuit pugnam et bellum inire, in omnem et locum et portum et civitatem, et quacunque Genuitica natio resideret, effuse irruentibus.

κοτούντων σφίσι καὶ αὐτῶν διὰ τὰ φθάσαντα πταίσματα, εὐπετέστερον τῆς μάχης ἥπτοντο καὶ τοῦ πολέμου, κατὰ πάντων ἅμα χωρίων καὶ λιμένων καὶ πόλεων, καὶ ὁπόσπερ ἂν εἶεν Γεννουΐτῶν γένος, ἀσχέτως ὁρμώμενοι.

CAPUT III.

Historiæ dogmaticæ exordium. Generalis concilii convocatio diu promissa. Palamæ auctoritas. Ejusdem malæ artes, publicum judicium metuentis. Quale tandem concilium haberi placuerit. Quot et cujus notæ episcopi adesse jussi.

881 I. Nunc quoniam ipse armorum apparatus bellum hoc magnum ac diuturnum fore pollicetur, laudem vero aut reprehensionem non inceptæ res merentur; sed censuræ auctoritas tum demum firma est, cum res ad exitum perductæ sunt; age, orationis cursum, hoc loco paulisper abruptum, ad alias res convertamus; quas quia nos ipsi in primis ea qua par erat, diligentia usque assecuti sumus et accurata cognitione percepimus, idcirco earum veram ac certam narrationem facile ad posteros transmittemus. Etenim si aliud quidquam, illud omnium maxime scio, atque ipso quotidianarum rerum usu edoctus sum, ita omnes sibi persuadere ac statuere, veritatis potissimam rationem esse debere in historia; quæ jam inde antiquitus robur et auctoritatem nacta futuris subinde hominibus facilem disciplinam proponit, ut ab iis qui antecesserunt, veluti quibusdam archetypis, utilia mutuentur; quæ autem sinistra et infausta, iis se omnino abstineant, si velint bene ac beate vivere. Sunt autem eæ res (de quibus dicturum me profiteor) ecclesiasticæ tempestates ac procellæ, quas miseris Romanis intulere principes incauti et imperandi rudes, novis Palamæ opinionibus et impia doctrina abrepti; perinde ac vasa levicula, quæ flumineis vorticibus correpta, et ad quaslibet oras temere et fortuito devoluta, vadis et rupibus modo his modo illis allisa frangantur. Qua quidem **882** de re viri multi, virtute, sapientia, vitæ integritate et orthodoxæ fidei sinceritate illustres, sæpius me convenerunt, et ut religioni periclitanti cætera omnia posthaberem, enixe hortati sunt. Quippe in aliis rebus, si quando scriptores aliquid dissimulent, ac nonnulla, ut amicis gratificentur, silentio prætereant, id quidem fortasse invidia cariturum condonatumque iri ab iis, qui istiusmodi amicitiis obnoxii et ad conviciandum minime natura sua proclives futuri sint: ubi autem periculum ad Deum pertineat, tum nos debere, cæteris rebus neglectis, hunc unum respicere; atque illud esse dogma et præceptum a parentibus traditum.

[P. 554] Α'. Ἐπεὶ δ' ἡ παρασκευὴ τῶν ὅπλων (21) μέγαν τε ἔσεσθαι τὸν πόλεμον ἐπαγγέλλεται, καὶ ἐς πλείονα διαρκέσονται χρόνον, τοὺς δ' ἐπαίνους, ἢ τοὐναντίον, οὐχ ἁρχόμενα καρποῦται τὰ πράγματα· τελευτῶσι δ' ἐς τὰ μάλιστα τὸ κράτος ἔπεται τῆς κρίσεως, φέρε μικρὸν ἐπισχόντες ἐνταῦθα τοῦ λόγου τὸν δρόμον ἐφ' ἕτερα τρέψωμεν, οἷς τὰ μάλιστα παρηκολουθηκότες ἐς τέλος, ξύν γε ταῖς προσηκούσαις ἐπιστασίαις, ἀκριβῆ τὴν πεῖραν εἰλήφαμεν, ὥστ' ἔχειν ἀφιγόνοις ἀσφαλῆ καὶ βέβαια τὰ τῆς διηγήσεως παραπέμπειν. Εἴπερ γάρ τι τῶν ἁπάντων ἕτερον, καὶ τοῦτο δ' ἐς τὰ μάλιστα πάντων εἰδέναι τετύχηκέ μοι, τῆς χρονικῆς ἀεὶ διδασκούσης με τῶν ἐν βίῳ περιόδου πραγμάτων πεπεισμένον ἅμα καὶ δεδογμένον εἶναι τοῖς ἅπασιν, ἀληθείας ἔχεσθαι δεῖν πρό γε πάντων τὴν ἱστορίαν, ἡγεμονικόν τι κράτος εἰληφυῖαν ἀρχῆθεν, ἄπονον διδασκαλίαν ἀνοίγειν τοῖς ἀεὶ ἐπιοῦσιν ἀνδράσιν, ὥσπερ ἐξ ἀρχετύπων τῶν φθασάντων, τά τ' ὠφέλιμα καρποῦσθαι περιφανῶς καὶ ὅσα φαυλιζομένας ἐκληρώσατο κῆρας καὶ τύχας ἁπάντων ἀλοσχερῶς ἀπέχεσθαι, οἷς ἂν πρὸς βουλήσεως ἢ βίων αἱρεῖσθαι τοὺς χρείττους· εἶναι δὲ τοὺς τῆς ἐκκλησίας χειμῶνας καὶ κλύδωνας, οὓς ἡ τῶν ἀρχόντων ἁπλότης καὶ ἡ τοῦ ἄρχειν ἀπειρία τοῖς ἀθλίοις προὐξέντησε Ῥωμαίοις, ξυναπαχθέντων ταῖς τοῦ Παλαμᾶ καινοφωνίαις καὶ ἀσεβέσι δόγμασι· καθάπερ τὰ κοῦφα τῶν σκευῶν, ἐπειδὰν ποταμίοις ξυναπαχθέντα ῥοθίοις πρὸς ἀδήλου; καὶ ἀτεκμάρτους ἐσχατιὰς καταφέρηται, ῥαχίαις καὶ πέτραις ἄλλοτ' ἄλλαις ῥηγνύμενα. Περὶ ὧν πολλοί μοι πολλάκις προσεληλυθότες τῶν ἀρετῇ καὶ συνέσει καὶ καθαρότητι βίου καὶ πίστεως ὀρθοδόξου διαλαμπόντων δεύτερα τίθεσθαι τἄλλα με ξυνώθησαν ἅπαντα κινδυνευούσης τῆς εὐσεβείας· ἐχεμυθεῖν γὰρ ἴσως (22) ἐνίοτε πρὸς τἄλλα, διὰ φιλίαν χαριζομένους; ἐνίους τοὺς γράφοντας ἄφθογγον γλώττης πάροδον, ἀνεπίφθονον εἶναι δοθήσεσθαι ἂν ἴσως πρὸς ἐνίων, ὅσοι φιλίαις τοιαύταις ἡττῶνται καὶ ἄλλως ἀστόργως ἔχειν πεφύκασι πρὸς λοιδορίαν· οὗ δὲ θεὸς τὸ κινδυνευόμενον, τἄλλα παρατρέχοντας πρὸς αὐτὸν μόνον βλέπειν, πάτριον εἶναί δόγμα τε καὶ παράγγελμα.

II. Cum imperator quartum jam annum eos,

[P. 555] Β. Τοῦ γάρ τοι βασιλέως τεττάρων ἤδη

Variorum notæ.

(21) Hoc loco Gregoras innuit se ad synodi Palamiticæ historiam scribendam accessisse circiter illud tempus, quo triremes Venetæ quatuordecim in Byzantinos portus delatæ sunt, nempe anno Christi 1351, vere incunte. Aliunde tamen constat hunc librum, et novem deinceps continuos, ab eo scriptos fuisse an. Chr. 1352 mensibus Julio et Augusto, ut in Vita ejus observavimus. Boivin.

(22) Tota constructio perplexa et salebrosa est. Ἄφθογγον γλώττης πάροδον χαρίζεσθαι dithyrambum sapit. Boivin.

ἐτῶν ἐπαγγελίαις μετεωρίζοντος, οἷς ἐνετύγχανε ὁμιλῶν, ὡς βούλοιτο καθολικὴν σύνοδον συγκροτῆσαι, ἐν ᾗ, κατὰ τὸ κρατῆσαν πάτριον ἔθος, παρεῖναι δεῖ καὶ τοὺς ἑκάστοθεν τῆς οἰκουμένης πατριάρχας καὶ ἐπισκόπους, μετέωρον ἦν τὸ πλῆθος ἐλπίσι χρησταῖς αἰωρούμενον. Ἄρτι δ' ἐπιδημήσας ἐκ Θεσσαλονίκης ὁ Παλαμᾶς, ὡς εἴρηται, ἕτερα ἀνθ' ἑτέρων ξυνετίθετο καὶ ξυνέῤῥαπτε σκίμματα. Ὡς γὰρ ἔριον, καί εἴ τι τῶν κουφοτέρων, ἀστατεῖ καὶ ῥᾳδίως ἀνέμῳ παντὶ συμφέρεται, οὕτω καὶ οὗτος καθάπαξ ἁλόντα τῇ δυσσεβείᾳ ἦγέ τε καὶ ἔφερε μάλα ῥᾳδίως τὸν βασιλέα πρὸς τὸ βουλόμενον. Εἰδὼς οὖν, ὡς καθάπερ νυκτερίσι καὶ γλαυξὶ βλαβερὰν τὴν τοῦ ἡλίου λαμπάδα συμβαίνει γίγνεσθαι, καὶ τῆς τῶν ὀφθαλμῶν ἀσθενείας αὐτῶν ἀταλαίπωρον ἔλεγχον, οὕτω καὶ τὴν τῶν δογμάτων αὐτοῦ σαθρότητα μᾶλλον ἂν βλάψειεν ἢ ὠφελήσειε κρίσις δημοτελὴς καὶ θεατρικὴ πανήγυρις, συνεβούλευε βέλτιον εἶναι διωγμοῖς καὶ κολάσεσιν ἄλλαις ἐξαναλῶσαι τοὺς ἀντιπαρατταττομένους, προφάσεσί τισι χρησάμενον, οἷαις πάλαι καὶ Ἰουλιανὸς καὶ ὅσοι κατ' ἐκεῖνον. Πᾶς γὰρ ὁ τὰ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ φανερωθῇ τὰ τῆς κακίας ἔργα αὐτοῦ.

Γ'. Τῷ δὲ, τὸ μὲν ἄντικρυς οὕτωσὶ καὶ ἀπαρακαλύπτως τῶν μακρῶν ἐκείνων ἐπαγγελιῶν καταψεύσασθαι, οὐκ ἀνεύθυνον εἶναι ταῖς τῶν πλείστων ἐδόκει γνώμαις, οὐδὲ λοιδορεῖν εἰωθυίαις γλώσσαις ἀνάλωτον· τὸ δὲ σκιάν τινα σχεδιάσαντας συνόδου πρότερον, προφάσεσιν ἔπειτα παντοδαπαῖς, ὁποῖαι τοῖς δυναστεύουσι ῥᾷστα καὶ κατὰ βούλησιν φέρονται, κολάζειν, ταῦτο δὲ τὴν ὕβρεως ἀκόλαστον κίνησιν θραύειν, οἶμαι, καὶ ἀμβλυτέραν ποιεῖν. Ἐκ δὴ τοιούτων ἀρχῶν καὶ σπερμάτων πονηρῶν ἀρξαμένοις πονηρὰ ξυνηνέχθη γίγνεσθαι κατὰ τὸ εἰκὸς τὰ γεώργια, καὶ ὠδίνουσιν ὄρος, κατὰ τὴν παροιμίαν, τεκεῖν ἐξεγένετο μῦν (23). Κἀπειδὴ Θρᾴκης ἐπέκεινα πλείων οὐκ ἦν ἐπαρχία Ῥωμαίοις, μόνους τοὺς Θρᾳκικοὺς εὐθὺς μεταπέμπεται ἐπισκόπους, καὶ τούτων οὐχ ἅπαντας, ἀλλ' ὅσους καὶ οἵους συλλήπτορας τῆς βουλήσεως ἤλπισεν ἕξειν, οὐ πλείους ἀριθμῷ τῶν δύο καὶ εἴκοσιν ὄντας (24)· καὶ τούτων δὲ τοὺς πλείους ἀντὶ τῶν ἐξωσθέντων ἀδίκως ὁσίων ἐκείνων ἀνδρῶν ξυνέβαινεν εἶναι, καὶ τὰ χειρόγραφα τῆς ἀσεβείας δόντας τῷ Παλαμᾷ· ὧν οἱ μὲν τῶν ἐξ ἀρότρου καὶ σκαπάνης (25) ὑπῆρχον ἀπαλλαττόντων ἀφὲ τῆς ἡμέ-

A quorum consuetudine utebatur, promissis suspenderet, velle se dictitans generale concilium convocare, cui totius orbis patriarchæ et episcopi singuli more majorum interessent, pendebat vulgus exspectatione, et in spem bonam erigebatur. Palamas vero, qui (ut diximus) Thessalonica novissime advenerat, alia ex aliis excogitabat et machinabatur. Nam quemadmodum lana, vel si qua res levior, instabilis est et quolibet vento facile abripitur, ita hic quoque imperatorem, semel errore implicatum, agebat ferebatque ad arbitrium suum. Atque ut vespertilionibus et noctuis solis lumen noxium est, et quam debiles sint earum avium oculi facile arguit, ita hic, quoniam sciebat dogmatum suorum pravitati adversaturum magis, quam B adjumento futurum esse publicum **883** judicium et magnam spectatorum frequentiam, idcirco exsiliis aliisque animadversionibus oppressi eos, qui contra obsisterent, melius esse dicebat, quibusdam usus rationibus, quales olim Juliano et cæteris Juliani similibus suppetebant. Etenim omnis qui male agit odit lucem, et non venit ad lucem, ut ne manifestentur mala opera ejus [1].

III. Cæterum si ita palam et aperte magnifica illa promissa fallerentur, plurimorum hominum judiciis obnoxium id et obtrectationi expositum videbatur. Quod si imaginem aliquam concilii fortuitam primum adumbrarent, deinde quibuslibet rationibus allatis, quales principibus in promptu sunt C et ad libitum occurrunt, pœnas adversariis irrogarent, id videlicet effrenem insolentiæ impetum posse frangere ac retundere. Ab his principiis exorsi, atque his malis seminibus jactis, malos quoque, ut par erat, laboris sui fructus percepere, et ut fertur proverbio, montem parturientes murem pepererunt. Quoniam itaque præter Thraciam, nulla amplius Romanis provincia supererat, solos Thraciæ episcopos statim arcessit Cantacuzenus; nec eos quidem omnes, sed quot et quales consilii sui adjutores habiturum sese sperabat. Erant autem non plures quam duo et viginti: atque eorum plerosque constabat intrusos esse in locum hominum sanctissimorum, per injuriam expulsorum; eosdemque Palamæ erroribus propria manu subscripsisse; quorum alii plane agrestes erant, ut qui D

[1] Joan. III, 20.

Variorum notæ.

(23) Apud Gregorium Cyprium sic proverbium effertur, Ὤδινεν ὄρος, εἶτα μῦν ἀπέτεκεν: quod est ambiguum. Gregoras ambiguo casu deceptus, ex nominativo accusativum fecit, et ὤδινεν ὄρος interpretatus est *montem parturiebat*, pro *mons parturiebat*. Apud Phædrum nulla ἀμφιβολία,

Mons parturibat, gemitus immanes ciens, etc.

apud Horatium nonnulla, *Parturient montes*, etc. *Montes* casus est ambiguus. Boivin.

(24) Subscripserunt tamen metropolitæ viginti septem; propria quidem manu, viginti quinque; duo autem διὰ γνωμῶν, seu per vicarios. Item episcopi septem. Vide pseudosynodum Palamiticam, editam a Combefisio in *Auctario noviss. Biblioth. Patrum Grac.* Boivin.

(25) Philotheus patriarcha *Antirrhet.* I (cod. Reg. 1996 fol. 11 v.), pro episcopis, quos Gregoras ut agrestes et imperitos notaverat, sic respondet: Ἀλλὰ καὶ τὴν ἰδιωτείαν καὶ τὴν ἀγροικίαν ἐγκαλεῖς τῷ χορῷ τῶν τῆς ἐκκλησίας ποιμένων καὶ διδασκάλων τουτωνὶ, καὶ μηδαμῶς ἐνεῖναι τῷ καταλόγῳ φῂς ἕνα μηδένα τὸν εἰδότα γράφειν τε καὶ λογογραφεῖν σὺν ἐπιστήμῃ, καὶ διὰ τοῦτο καὶ τὸν τόμον τὸν ἱερὸν ἀμαθῶς, ὡς ἂν αὐτὸς φαίης, καὶ μὴ κατὰ νόμους τῆς ὑπὸ σοῦ προσκυνουμένης ῥητορικῆς συντετάχθαι, μᾶλλον δ' οὐ κατὰ τὰς σὰς δόξας, καὶ τὰς καινὰς καὶ προσφάτους θεολογίας, ἢ γλωσσαλ-

ab aratro et ligone sub 884 vesperam redire soliti essent, ac vix prima litterarum elementa articulate enuntiare didicissent; alii non ita pridem sacrilegia admiserant, et se in lupanaribus identidem volutaverant; nec, ut ad eum dignitatis gradum eveherentur, aliud quidquam contulerant, nisi professionem ejus hæreseos, quam impius Palamas instituisset.

ρας καὶ μόλις συλλαβίζειν εἰδότων τὰ τῶν γραμμάτων στοιχεῖα· οἱ δὲ τῶν χθὲς καὶ πρώην ἱεροσύλων, κἀν χαμαιτυπείοις καλινδουμένων ὡς τὰ πολλὰ, καὶ μηδὲν πλέον προεισενεγκόντων εἰς τὸν βαθμὸν, πλὴν τοῦ αἱρεσιώτας εἶναι συντίθεσθαι τῷ δυσσεβεῖ Παλαμᾷ.

CAPUT IV.

Gregoræ apud Cantacuzenum oratio. Orationis capita : Expostulatio et acris reprehensio. Synodus dici non debet, quæ fit præter ecclesiasticas regulas. Palamæ doctrina quas clades importaverit iis qui primi eam defenderunt, nempe Cantacuzeno et ejus matri. Quas Annæ Augustæ. Quas Cantacuzeno rursus; cui mors filii prænuntiata erat a Gregora. Vanæ hujus adhortationes. Hæretici difficillime corriguntur. Justum Dei judicium. Paterna bonitas. Anxius oratoris affectus. Amica obtestatio. Cantacuzenus ambigue respondet. Gregoræ verbis exacerbatur. Coacta synodo ulcisci eum statuit. Gregoras pro religione pugnaturus habitum monasticum induit. Vitæ aulicæ renuntiat.

I. Hæc cum ita se haberent, ego imperatorem privatim conveni; amicitiam nostram veterem in ipso orationis exordio commemoravi; quanta sollicitudine dignitati et animæ ejus, et diuturnæ cum ipsius tum liberorum conservationi providerem, commonefeci: deinde ad coarguendum solito more descendi, pro communi ecclesiarum pace et pro orthodoxa fide propugnans; eumque hortatus sum, ut maneret intra terminos a patribus constitutos, atque ut ne præfixam metam transiliret, neu hominibus adeo imperitis et inverecundis theologiæ mysteria proderet, sancta canibus, et porcis margaritas.

II. Itaque sacras Scripturas cum mea ipsius oratione connectens: «Quid agis (inquiebam)? Ubi mens tua? Quid crabrones istos adversus religionem suscitas? Cur de Deo disputare eos permittis, qui ne vulgatissima quidem et passim obvia intelligunt? Quid Chalanæ turrim moliris, destitutus rebus ad eam absolvendam necessariis? Quid volare in cœlum cupis, pedes viator? Cur intra unius diei spatium theologos instituis, qui animas simplices pervertant, et indoctis doctoribus accitis concilia cogis tyrannica? Quid imbecillos illaqueare aranearum retibus 885 studes, ac si istud magnum et imperatore dignum facinus sit? Cur simiarum dialecticarum uberem proventum repente effundis, ut fabulæ olim Gigantas? Cur ipse supplicii tui flammam accendis? Cur suspiriorum et lamentorum messem liberis tuis coacervas? Cur eos volens instituis hæredes maledictionis prolatæ adversus

[P. 556] Α'. Τούτων δ' οὕτως ἐχόντων, προσελθὼν ἰδίᾳ τῷ βασιλεῖ τήν τε οὖσαν ἡμῖν ἐκ παλαιοῦ φιλίαν ἐκ προοιμίων διῆειν ἐγὼ, καὶ ὅσην τὴν πρόνοιαν ὑπὲρ τῆς αὐτοῦ ποιοῦμαι τιμῆς καὶ ψυχῆς, καὶ εἴ τι πρὸς διαμονὴν καὶ σύστασιν εἴη βίου καὶ παίδων αὐτοῦ. Ἔπειτα πρὸς ἐλέγχους ἐχώρησα τοὺς συνήθεις, ὑπέρ τε τῆς κοινῆς τῶν ἐκκλησιῶν εἰρήνης καὶ εὐσεβείας ἀγωνιζόμενος, ἐν ὅροις μένειν τοῖς πατρίοις αὐτὸν, καὶ μὴ πηδᾷν ὑπὲρ τὰ ἐσκαμμένα, μηδ' οὕτως ἀμαθέσι καὶ ἀσέμνοις ἀνδράσι τὰ τῆς θεολογίας προδιδόναι μυστήρια, τὰ ἅγια τοῖς κυσὶ, καὶ τοὺς μαργαρίτας τοῖς χοίροις.

Β'. Τά τε οὖν ἐκ τῆς θείας Γραφῆς καὶ τὰ ἡμέτερα συναίρων, « Τί δρᾷς, » ἔφασκον, « πῇ φρενῶν εἶ; τί σφηκίας ἐγείρεις κατὰ τῆς πίστεως; Τί τοὺς μηδὲ τὰ ἐν ποσὶν εἰδότας θεολογεῖν παρασκευάζεις; τί τὸν Χαλάνης οἰκοδομεῖν ἐπείγῃ, τὰ πρὸς ἀπαρτισμὸν οὐκ ἔχων; Τί πρὸς οὐρανὸν ἀνίπτασθαι, πεζὸς ὤν; Τί χειροτονεῖς κατὰ τῶν ἁπλουστέρων ψυχῶν θεολόγους ἀὐθημερὸν, καὶ ποιεῖς λογίων ἀμαθῶν τυραννικὰ συνέδρια; Τί τοῖς ἀραχνίοις ἐνδεσμεῖν προθυμεῖς τοὺς ἀσθενεστέρους, ὡς δή τι μέγα καὶ βασιλικὸν ἔργον δρῶν; Τί σχεδιάζεις διαλεκτικῶν πιθήκων ἀνάδοσιν, καθάπερ οἱ μῦθοι πάλαι τοὺς γίγαντας; Τί τῆς σῆς κολάσεως ἐκπυρσεύεις τὴν φλόγα; Τί τοῖς παισὶ γεωργεῖς στεναγμῶν καὶ πένθους ἀστάχυας; Τί κλῆρον ἐκὼν αὐτοῖς καταλείπεις τὴν τοῦ προπάτορος ἀράν; Τί τριβόλους καὶ κακίας ἔκανθαν βιάζῃ τὴν γῆν αὐτοῖς ἀνατέλλειν, καὶ δακρύων ἅλμην τηλικαύτην; Τί δυστυχίας καὶ λύπας, ἐξὸν εὐθυμίαν

Variorum notæ.

γίας, καὶ τὸ τῆς γνώμης αὐθέκαστον. Ἐγὼ δ' εἰ μὲν πολύν τινα λόγον ἤδειν τουτουσὶ τοὺς μακαρίους ποιουμένους τοῦ πράγματος, καὶ προῦργου τιθεμένους ταυτὶ, πολλοὺς ἂν σοι καὶ ταυτηνὶ τὴν σοφίαν σοφοὺς καὶ ῥήτορας καὶ λογογράφους τῶν προὐχόντων ἱερέων τούτων ὑπέδειξα, καὶ οὐ τούτων μόνον, ἀλλὰ καὶ τῶν αὐτοῖς ἑπομένων, Λουκᾶς τινας ἄλλους, καὶ Τιμοθέους, καὶ Ἀπολλῶς, εἰ δὲ βούλει, Διονυσίους καὶ Κλήμεντας, ὅσον τὰ ἐς λόγους φημὶ, καὶ τὴν ὑπὸ σοῦ θαυμαζομένην σοφίαν, ὑπὲρ τοὺς σοὺς δηλαδὴ μυσταγωγοὺς, Δημοσθένην τε καὶ Ἀριστείδην, καὶ τὸν παρ' ὑμῖν θρυλλούμενον Πλάτωνα· ἐπειδὴ τούτους αὐτὸς παρατρέχεις δι' ἐκούσιον ἄγνοιαν· καὶ ἔμαθες ἄν, ὡς οὐκ ἀπὸ σκαπάνης καὶ λατομίας, οὐδ' ἀπὸ κώπης ἐπὶ βῆμα, κατὰ τὰς σὰς λογογραφίας ἢ λοιδορίας, ἀλλ' ἀπὸ σοφίας ἐπὶ σοφίαν ἦλθον, τῆς καταργουμένης, τὴν ὑπὸ τοῦ θείου Πνεύματος ἐνεργουμένην, τὴν πρώτην, τὴν ἄνωθεν, τὴν ἁγνὴν, τὴν εἰρηνικὴν, τὴν μεστὴν ἐλέους καὶ καρπῶν ἀγαθῶν κατὰ τοὺς ἐμοὺς θεολόγους, καὶ ἀπὸ τῶν θύραθεν μουσείων τε καὶ τοῦ βήματος, ἐπὶ τὴν ἱερὰν ταύτην σχολὴν, καὶ τὸ θεῖον βῆμα, καὶ τὰ ἄδυτα, καὶ τὸ μέγα καὶ ὑπερουράνιον ὄντως θυσιαστήριον. Νῦν δ' ὀλίγος αὐτοῖς τῶν λόγων τῆς ἔξω σοφίας ὁ λόγος. Ἴσασι καὶ γὰρ ὄντες ἁλιέων τε καὶ ἀγροίκων μαθηταὶ, ἐκείνων φημὶ τῶν ὑπὸ Χριστοῦ τῆς αὐτοσοφίας πρώτων κληθέντων εἰς ἀποστόλους, etc. Boivin.

καὶ δόξαν; Μνήσθητι ὅτι θνητὸς εἶ καὶ θνητὴν ἔλαχες φύσιν. Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. [P. 557] Εἰπὲ πῶς ἄλλαι μὲν αἱ τεττάρων ἤδη ἐτῶν ἐπαγγελίαι (26) ἕτερα δ' αὖ τὰ τέλη; Καθολικὴν μὲν γὰρ πεποιηκέναι σύνοδον τὰ τῆς σῆς ἐπαγγελίας ἦν, πατριαρχῶν ἁπάντων καὶ ἐπισκόπων κληθέντων· νῦν δ' οὐδὲ μερικοῦ τινος ἴχνη διασώζουσαν σχεδιάζεις βουλευτηρίου. Καὶ πρὶν μὲν ἐλπίδων ἴχνη διορθώσεως τῶν τοῦ Παλαμᾶ καινοφωνιῶν ἔβοσκαν τὰς ἐκείνων ψυχάς· νῦν δὲ τυραννικὸν ὁρῶ σε βῆμα παρασκευάζοντα σὸν ἐν γωνίᾳ καθάπερ ἐν σπηλαίῳ λῃστῶν. Πῶς γὰρ εἴη ἂν σύνοδος, τῶν θείων τῆς Ἐκκλησίας κανόνων καὶ θεσμῶν ὑπερόριος οὖσα; Κανόνας γὰρ ἐκ μεταφορᾶς καλεῖσθαι ξυμπέπτωκε τοῦ τεκτονικοῦ καὶ κοινοῦ κανόνος. Ὥσπερ οὖν τῷ τεκτονικῷ κανόνι πλατυτέραν ἔχειν τὴν χρείαν ἀνάγκη, κατὰ πᾶσαν γῆν τε καὶ θάλασσαν, καὶ ὅπηπερ ἂν εἶεν ἐνοικοῦντες ἄνθρωποι· ταῖς δὲ τῶν ἀνθρώπων ἡγεμονίαις μερικάς τινας καὶ οἷον σπερματικὰς καὶ διαφόρους εἶπεῖν· οὕτω καὶ τοῖς τῆς ἐκκλησίας κανόσι καὶ τοῖς πολιτικοῖς νόμοις καθολικωτέραν ἔχειν ἀνάγκη τὴν χρείαν, καὶ ἄρχειν τῶν ἀρχόντων, καὶ ἡγεῖσθαι τῶν ἡγεμόνων. Σὲ δὲ τοὐναντίον ὁρᾷν ἐθέλοντα βλέπων δέδια μὴ ἐναντιούμενά σοι τὰ δρώμενα γένηται, καὶ τοῦ σκοποῦ παντάπασιν ἀντίπαλα. Ἐπεὶ καὶ οἰκοδόμος καὶ τέκτων, ἂν μὴ καθέτῳ καὶ στάθμῃ καὶ τοῖς τοιούτοις χρῶντες κανόσιν, οὐκ εἰς μακρὰν τὴν καθαίρεσιν ἴδοι ἂν τῶν δρωμένων, τοῦ τῆς ἁρμονίας κράτους οὐδαμῇ τὴν ἐπίστασιν τῶν ἔργων ἰθύναντος. Ἐπεὶ τοίνυν καὶ σὺ τοῖς τῆς ἐκκλησίας κανόσιν οὐχ ἕπῃ, ἴσθι καταλυθησόμενος ὑπὸ τῆς ἐκκλησίας, ἢ μᾶλλον ὑπὸ τοῦ τῆς Ἐκκλησίας ἡγουμένου Θεοῦ, καὶ εἰ μὴ αὐτίκα μάλα, ἀλλ' οὖν οὐδ' εἰς μάλα μακράν. Οἶσθα γὰρ ὡς σὺ πρῶτος ἄνωθεν προστάτης γενόμενος τῆς τοῦ Παλαμᾶ δυσσεβείας ὁμοῦ τῇ μητρὶ τοῦ τοσούτου θορύβου τῇ ἐκκλησίᾳ κατέστης αἴτιος. Διὸ καὶ μηνίσαντος τοῦ Θεοῦ, τῆς εὐδαιμονίας καὶ δόξης ἐκείνης γυμνὸς κατελείφθης αἰφνίδιον, καὶ γέγονας εὐθὺς ὑπερόριος πατρίδος ἅμα καὶ γένους. Καὶ ἡ μὲν σὴ μήτηρ αἰσχίστην ἔτισε τοῦ βίου τελευτήν, λιμῷ καὶ ψύχει δαπανηθεῖσα καί σου τοῦ φιλτάτου τὴν στέρησιν πικρὸν ἐντάφιον ἐναγκαμένη· σὺ δὲ πολλοὺς καὶ ποικίλους ἀναμετρήσας βίου πλάνους κατά τε Θρᾴκην καὶ Μακεδονίαν καὶ Τριβαλλούς, Περσικοῖς ἔπειτα καὶ σατραπικοῖς ὑπ' ἀνάγκης ἔθεσί τε καὶ δόγμασι κεκοινώνηκας, ὡς καὶ τοσοῦτον περὶ τὸ γένος ἀγνώμονα καταστῆναι καὶ οἴκτου παντὸς ἀλλότριον, ἐγκαταλειφθέντα σε πρὸς Θεοῦ, ὥστε καὶ τοὺς τῶν αἰχμαλώτων Ῥωμαίων νεκροὺς καὶ τῶν ἔτι κλαυθμυριζόντων βρεφῶν τὰ σώματα συμπατεῖν, καὶ ἀναλγήτως ἐπιβατεύειν, καὶ μηδὲ τὴν τὰ πάντα βόσκουσαν ἡλίου [P. 558] φλόγα αἰδεῖσθαι, μηδὲ τοὺς αἰθερίους τοῦ Θεοῦ κερουνοβόλους πρηστῆρας, ὡς τὸ εἰκός, δεδιέναι. Ἐπιλείψει με διηγούμενον τὸ τῆς χρο-

A primum hominem? Cur cogis terram eis tribulos et ærumnarum spinas germinare, et tantam lacrymarum amaritiem parturire? Cur infortunia et dolores, cum lætitiam et splendorem facile sit? Memento mortalem te esse et obnoxiam morti naturam sortitum. «Terribile est in manus Dei viventis incidere[1].» Jam illud velim dicas, quid sit quod per annos totos quatuor alia promiseris, alia ipso exitu præstes? Etenim tuum illud promissum fuit, coactum iri generalem synodum, in quam convocarentur omnes patriarchæ et episcopi. Quam vero nunc extemporariam cogis, ea ne minoris quidem alicujus curiæ imaginem repræsentat. Antehac spes saltem adumbratæ, de futura novarum Palamæ opinionum correctione, illorum animos alebant; at nunc, ut video, tyrannicum tribunal tute ipse in angulo, et veluti in spelunca latronum, tibi constituis. Nam quæ a sacris Ecclesiæ regulis ac legibus longissime abest, an ea synodus esse ullo modo possit? Certe ecclesiasticas regulas metaphorice dictas constat a fabrili vulgarique regula. Quemadmodum igitur necesse est, ut regula fabrilis usum latiorem habeat, omni terræ et mari, omnibus habitatis regionibus accommodatum, item usus singulares, atque ut ita dicam minutos et multiplices, pro variis hominum ditionibus; **886** ita etiam necesse est ecclesiasticarum regularum et legum civilium usum ad universos pertinere, ut et imperatoribus imperent, et præpositis præsint. Tu vero, quia contrarium videris velle facere, vereor ne ea, quæ futura sunt, contraria tibi accidant et scopo tuo plane opposita. Quippe architectus et faber, nisi perpendiculo et amussi aliisque similibus regulis utantur, ruere ea, quæ fecerint, videbunt non longo post, propterea quod operum structura ad solidæ coagmentationis legem non exacta sit. Quoniam igitur ipse quoque ecclesiasticas regulas non sequeris, scias te ab Ecclesia, vel potius a Deo, qui Ecclesiæ præest, subversum iri, si non statim, at nec post longissimas moras. Etenim (ut scis) primus tu, tua cum matre, Palamæ impietati patrocinatus, hujus tantæ, qua Ecclesia agitatur, perturbationis causa exstitisti. Itaque Deo irato, fortunis et honoribus illis tuis amissis, nudus repente relictus es; statimque patria et cognatione procul exsulasti. Ac mater quidem, fame et frigore absumpta, et tuam charissimi filii absentiam passa, quæ morienti peracerba esse debuit, fœdissimo vitæ exitu pœnas dedit. Tu vero multos et varios viarum errores per Thraciam, per Macedoniam, per Triballos emensus, Persarum deinde satraparumque instituta et dogmata coactus participare, sic demum generis tui oblitus es, sic te, cum esses a Deo derelictus, ab omni **887** misericordia alienum exhibuisti, ut et Romanorum

[1] Hebr. x, 31.

Variorum notæ.

(26) Nempe Cantacuzenus, statim fere atque imperii sede potitus est, promisit se coacturum esse ejusmodi synodum. Bonn.

captivorum cadavera et infantium adhuc vagientium corpora calcares, et sine ullo doloris sensu pedibus subjecta protereres, nec solis reveritus lucem omnium rerum altricem, nec fulminis metu, ut par erat, deterritus. Deficient me breves temporis angustiæ, omnia et singula narrantem, quæ te subegit necessitas facere et pati gravia et exsecrationi proxima; eo quod tua et matris tuæ opera in procellis ac fluctibus Ecclesia Dei objecta esset. Jam vero ecqua præter hanc causa alia exstitit, cur Anna Augusta principatu excideret? Qua die errores Palamæ confirmavit, eadem illam omnes sciunt auctoritate sua spoliatam. Nempe eo casu divina justitia patientiam ac dilationem nullam admisit. Deinde imperatoria potestate etiam ad te sero translata, divinæ castigationis ipse quoque oblitus, et illa Palamæ dogmata rursum amplexus, licentiam ei integram dedisti, alios injuste et nulla ratione episcopalibus sedibus et quocunque dignitatis gradu exturbandi, alios in illorum locum introducendi, qui doctrinam impiam propria manu semel rogati consignassent. Scis me, amici officio functum, prædixisse tibi ac semper denuntiavisse, non abiturum te impune Deo offenso, sed afflictum iri in iis rebus, quæ charissimæ essent: unum videlicet ex **888** liberis amissurum. Neque vero mirum esse, si futuras res ex iis, quæ antecessissent, acute conjicerem, cum et impietatis magnitudo penitus mihi perspecta esset. Tempus ex eo breve effluxerat, et exitum prædicta habuerunt. Etenim liberorum tuorum natu minimus, cum aliquantulum ægrotasset, decessit. Atque ut ea quæ intercesserunt, ad eamdem veritatem pertinentia, omittam, scis rursus nunquam me destitisse privatim ac publice hortari te, ut ab ejusmodi impietate abstineres, ne pejorem quotidie vitæ conditionem experireris. Adeo bene eram erga te affectus, adeo tu mihi curæ eras. Te vero haud pigebat contraria omnia facere, et alia ex aliis moliri adversus religionem; ac si flagella et pœnæ, quas Deus tibi præsentes infligebat, ultra Gades et ultra Atlanticum mare demersæ evanuissent. Scilicet hoc quoque genus divinæ providentiæ est: peccatores infinitis plagis coercere, antequam sempiterno supplicio addicti destinatam sibi hæreditatem accipiant. Quæ enim sacrilegiis stupris, et homicidiis inest atrocitas, ea ab iis qui vel agunt vel patiuntur, et ab aliis omnibus, qui rem audiunt, diffamari solet; nec iis qui perpetrarint, conscientiam stimulis vacuam habere datum est. Ipsa quippe eam flagitia ut plurimum instar gladii fodiunt, subeunte verecundia, quæ hominum aspectum et pervigiles Dei oculos ferre non potest. Et multos quidem scimus ex pœnitentia meliores evasisse iis ipsis, qui semper frugi ac modesti fuissent. At hæretici erroris crimen, cum omnium gravissimum sit, **889** sceleris colorem occultum involvit quodammodo, ut oculos vulgi plerumque fugiat, et tam cognitu quam curatu difficile sit; propterea quod Scripturæ sacræ

νικῆς περιόδου τάχος πάντα καθ' ἕνα, ὅσα δι' ἀνάγκην τε πεπραχέναι καὶ ὅσα πεπονθέναι ξυνέβη σε, δεινὰ καὶ κατάρας ὁμόσιμα, διὰ τοὺς μυρίους χειμῶνας καὶ κλύδωνας, ὧν πρόξενος αὐτὸς ξύν γε τῇ μητρὶ κατέστης τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ. Ἄννῃ δὲ τῇ βασιλίδι τί τῶν πάντων ἕτερον ἢ τὰ τοιαῦτα τῆς βασιλείας καθέστηκεν αἴτια ἐκπεσεῖν; Ἴσασι γὰρ ἅπαντες, ὡς ὁμοῦ τε τὴν τοῦ Παλαμᾶ δυσσέβειαν ἐστήριξε καὶ αὐθημερὸν τὴν αὐθεντίαν ἀπολώλεκε, τῆς δίκης μὴ ἀνασχομένης ἐνταῦθα μακροθυμεῖν καὶ ὑπερτίθεσθαι παντάπασιν. Ἔπειτα τῆς βασιλικῆς ἐξουσίας καὶ πρὸς σὲ μετενεχθείσης ὀψὲ, ἐπειδὴ τῆς τοῦ Θεοῦ παιδείας ἐκλαθόμενος καὶ αὐτὸς, καὶ τῶν Παλαμικῶν ἐκείνων αὖθις ἀντεχόμενος δογμάτων, πᾶσαν ἄδειαν ἐδίδους αὐτῷ τοὺς μὲν ἐξωθεῖν τῶν ἐπισκοπικῶν καὶ πάσης ἐξουσίας θρόνων ἀδίκως καὶ ξύν γε οὐδενὶ λόγῳ, τοὺς δ' ἀντεισάγειν, τὰ χειρόγραφα τῆς ἀσεβείας ἀπαιτουμένους ὁμοῦ καὶ διδόντας πρότερον· οἶσθα ὡς φίλος ὢν ἔγωγε προέλεγόν σοι καὶ διεμαρτυρόμην ἀεὶ, ὡς οὐκ ἀτιμώρητος ἀπηλλάξεις Θεοῦ ἀχθομένου, ἀλλὰ λυπηθήσῃ περὶ τὰ φίλτατα, ζημιωθεὶς τῶν παίδων ἕνα τῶν σῶν; Οὐδὲ γὰρ ἀπεικὸς ἐκ τῶν φθασάντων ἀκριβῆ με τῶν ἔμπροσθεν γίνεσθαι εἰκαστὴν, ἅτε καὶ ἀκριβῶς, ὅσον τῆς ἀσεβείας τὸ μέγεθός ἐστιν, εἰδότα. Βραχὺς παρελήλυθε χρόνος καὶ πεῖραν τὰ προειρημένα εἰλήφει· καὶ ὁ νεώτερός σοι τῶν παίδων μικρὰ νοσήσας ἀπῆλθε. Καὶ ἵνα τἄλλ' ἐν μέσῳ παρέλθω, τῆς ὁμοίας ἐχόμενα ἀληθείας, οἶσθα πάλιν, ὡς ἰδίᾳ καὶ δημοσίᾳ σοι παραινῶν οὐκ ἠρέμησα, τῆς τοιαύτης ἀπέχεσθαι δυσσεβείας. Ἵνα μὴ χείρων ὁ βίος ἀεί σοι γένηται. Οὕτω πρὸς σὲ φιλικῶς διεκείμην, καὶ οὕτω κηδόμενος διετέλουν. Σὺ δὲ οὐχ ἥμελεις τἀναντιώτατα δρῶν καὶ μελέτας ἄλλας ἐπ' ἄλλαις συντιθεὶς; κατὰ τῆς εὐσεβείας, ὡς ἔξω Γαδείρων καὶ Ἀτλαντικοῦ πελάγους βεβυθισμένων τῶν ἔξ Θεοῦ σοι κατὰ πόδας γινομένων μαστίγων τε καὶ ἀνταποδόσεων. Τρόπος γὰρ καὶ τοῦτο προνοίας ἐστὶ Θεοῦ, κωλύειν τοὺς ἁμαρτάνοντας μυρίαις ἐνταῦθα πληγαῖς, πρὶν κυρωθῆναι τὸν τῆς μελλούσης ἀϊδίου κολάσεως κλῆρον ἐκεῖνον. [P. 559] Ἱεροσυλία γὰρ καὶ πορνεία καὶ ἀνδροφόνων ἔργα διαβόητον πρὸς ἁπάντων τὴν ὄβριν εἰλήφει, τῶν τε δρώντων ἅμα καὶ πασχόντων, καὶ πᾶσιν ἄλλοις, οἷς ἀκουστὸν ἐξεῖη ἂν γενέσθαι· καὶ οὐκ ἀκλαστον ἔχειν τοῖς δρῶσιν ἔπεται παντάπασι τὸ συνειδός. Πλήττει γὰρ ὡς τὰ πολλὰ ξίφους δίκην αὐτὸ τὰ τῶν ἔργων αἰσχρὰ, αἰδοῖ τῶν ἀνθρωπίνων ὄψεων καὶ τῶν ἀκοιμήτων τοῦ Θεοῦ ὀφθαλμῶν· καὶ ἴσμεν πολλοὺς ἐκ μεταμελείας βελτίους τῶν ἀεὶ σωφρονούντων φανέντας· τὰ δὲ τῶν δυσσεβῶν αἱρέσεων ἐγκλήματα, μέγιστα πάντων ἁμαρτημάτων ὄντα, κεκαλυμμένον ἔσχε πως τὸ τῆς κακίας χρῶμα, καὶ ἄδηλον ὡς τὰ πολλὰ τοῖς πολλοῖς καὶ δυστέκμαρτον, καὶ δυσθεράπευτον, ἅτε γραφικῶν προφερομένων ῥήσεων κἀκεῖθεν, ἐκ τῆς ἐναντίας δηλαδὴ μερίδος, εἰ καὶ μὴ ὁμοίως οἷς τὸ εὐσεβεῖν ἕδραιον μεμένηκεν ἐπὶ ταῖς τῶν πατρίων θεμελίων κρηπίσι. Διὸ τῶν ἁλισκομένων ἐνίους ἀφίησιν ὁ θεὸς τῇ κακίᾳ συμφθείρειν, εἴτε διὰ παιδείαν ἄλλων, εἴτε καὶ διὰ τὸ ἀσύγκριτον ἔχειν καρδίαν καὶ ἥκιστα διορ-

θοῦσθαι δύνασθαι, εἴτε καὶ δι' ἀμφότερα. Οὐ γὰρ ἴσμεν τὰ τοῦ Θεοῦ κρίνειν ἀνεξερεύνητα κρίματα. Οἷς δ' εὐμενῶς ἔχει διὰ παλαιοτέρων χρηστότητα πράξεων, ἢ δι' ἕτερά τινα ὁπόσα τῇ ἐκείνου σοφῇ προνοίᾳ ἀνήρτηται, τούτους δ' ἐμποδίοις παντοδαποῖς καὶ ποικίλοις ἀφιστᾷν ἐπείγεται, ὡς εἰρήκειμεν, τῆς σφαλλομένης ἐκείνης ὁρμῆς, μεῖζον ἢ κατὰ πατέρα φιλότεκνον πρᾶγμα ποιῶν. Ὅ δὴ κἀπὶ σοῦ ξυννενόηκα δρῶντα μὲν ἐκεῖνον, σὲ δὲ παιδείας ἐκείνης τὸ παράπαν οὐκ αἰσθανόμενον. Ὅ δὴ καὶ μέσην μοι τέμνει τὴν καρδίαν, ἀφόρητον τὴν ὀδύνην ἐπάγον, δεδιότι μὴ κρατῆρες ὀργῆς ἐκεῖθεν ἀκαθέκτου, κατὰ σοῦ καὶ παίδων τῶν σῶν κενωθέντες, ὅλεθρον ἐξαπίνης δράσωσι παντελῆ. Μὴ δὴ τοὺς τῶν κολάκων λόγους, ὅτι τῷ τῆς γλώττης μέλιτι καταγοητεύουσι τὰ τῆς ἀκοῆς πρόθυρα, τῶν ἐμῶν προτιμᾷν βούλου. Οἱ μὲν γὰρ ὠδίνουσι πόνον καὶ λύπας μακράς· οἱ δ' ἐμοὶ κύουσιν ἰάληθευούσης εὐφροσύνης καρπούς. Λόγοι μὲν γὰρ σοφῶν ὡς βούκεντρα, φησί τις τῶν πάλαι σοφῶν· ἀλλ' οὗτοι σαφῶς εἰσιν, οἳ τὰς εὐδαίμονας γεωργοῦσι τύχας. »

A testimonia ab illis quoque proferuntur, qui sanam doctrinam oppugnant; tametsi non eodem modo ab iis accipiuntur, atque ab orthodoxis, quorum religio firma et inconcussa patriæ fidei fundamentis innititur. Ideirco Deus nonnullos errores implicatos mori in errore permittit; seu ut alii erudiantur, seu quia illi cor habent intellectu destitutum, adeoque corrigi non possunt: seu ob utrumque. Etenim Dei judicia inscrutabilia non nostrum est dijudicare. Quibus autem Deus propitius est ob vetera ipsorum recte facta, aut ob alias causas, prout ejus sapienti providentiæ visum fuerit, eos (ut diximus) multis variisque incommodis oblatis, ab illo errore, quem sequuntur, studet avertere plusquam paterna bonitate. Atque illum quidem tecum B sic agere, te ipsum vero ejus disciplinæ nullum sensum accipere animadverti. Quæ res mihi medium cor veluti scindit, doloremque affert intolerabilem, metuenti, ne inde in tuum et in liberorum tuorum caput effusis exhaustisque implacabilis iræ calicibus, funditus statim omnes pereatis. At tu ne adulatorum verba ideo meis præferas, quod ii linguæ suæ melle aurium tuarum limen fascinant. Illa enim laborem et dolores longos parturiunt: mea autem veræ delectationis fructibus exuberant. Scilicet sapientum sermones (ut aliquis veterum sapientum dixit) **890** similes stimulis, quibus boves urgentur [1]. (Nam et illi pungunt quidem:) at re ipsa beatæ vitæ fundum excolunt. »

Γ'. Ἐμοὶ μὲν οὖν ταῦτα εἰπόντι ὑγιὲς οὐδὲν ἐξ ἐκείνου πυθέσθαι γεγένηταί τι ξύνδρομον τοῖς ῥηθεῖσιν, ἀλλὰ σκολιά τινα ῥήματα, διανοίας κεκθάπερ ἀρνησαμένης θεσμοὺς καὶ νόμους δικαιοσύνης καὶ ἀληθείας. Ἐπεὶ οὖν εἰς πῦρ τε ἔδοξε ξαίνειν καὶ δικτύῳ θηρεύειν ἀνέμους, τάχιστα ἐκεῖθεν ἀπήλλαγμαι, μηδὲν πλέον ἀνύσας, ἢ τοὺς ἐκείνου θυμοὺς παροξύνας κατὰ τοῦ τὰ ὑγιαίνοντα τούτῳ φάρμακα προσάγοντος ἐμοῦ. Ἰδοὺ γὰρ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκε διδύμους καὶ τριπλᾶς τὰς κατ' ἐμοῦ μελέτας. Εἶτα δεδιὼς, μὴ οὐκ ἔχων ὅπως καὶ ὅθεν ἀρξάμενος ἀμύνεσθαί με τὸν αὐτοῦ Προμηθέα δόξῃ τὸν ἑαυτοῦ θεραπεύειν θυμὸν (οὔτε γὰρ χωρίοις καὶ ἀμπέλῳσι [P. 560] καὶ ὕλαις πολυειδέσι προσηλῶσθαι βεβούλημαι πώποτε, οὔθ' ὅσας τε καὶ οἵας βασιλεῖς χορηγοῦσι τιμάς τε καὶ δόξας τῆς ἐμῆς ἐλευθερίας ἀλλάξασθαι ἠνεσχόμην, οὐ μὴν οὐδὲ πλούτου δή τινος τὴν ἀρετὴν ἀμείψασθαι τῶν λόγων ταῦτα γάρ εἰσι δι' ὧν ἀμύνονται βασιλεῖς τῶν ὑπηκόων οἷς ἔχθονται, ζημιοῦντες ἐκ τοῦ ῥᾴστου), ἐς τὴν αὐτῷ μελετωμένην λοιπὸν ἀνήρτησε τὰ ἡμέτερα σύνοδον λῃστρικήν.

III. Hæc cum dixissem, nullum ex eo responsum accepi viro sapiente dignum, aut iis quæ dixissem consentaneum: sed ambiguas quasdam voces, ejus mentis indices, quæ veritate repudiata jus fasque omne quodammodo abdicasset. Quoniam igitur C mihi visus sum inanem operam sumere, celerrime inde abii, nihil aliud consecutus, nisi quod ejus animum exacerbavi in me ipsum, qui remedia ei salutaria obtulissem. Ecce enim parturiit injustitiam, concepit laborem, et consilia in meam perniciem alia atque alia peperit [2]. Deinde veritus, ne iræ suæ ideo temperare videretur, quia non haberet, unde et quibus modis suum me Prometheum, id est tutelarem Genium, ulcisci inciperet (quippe ego nunquam adduci potui, ut aut agris, aut vineis, aut variis rerum generibus, animum haberem affixum; neque unquam dignitatibus aut splendidis fortunis, quascunque principes largiuntur, libertatem meam vendere, ullove pretio ingenuum dicendi morem permutare sustinui: atqui hæ res sunt, quibus ademptis princeps quisque facillime ulciscitur eos, quos odit homines privatos), deinceps ad arbitrium illius synodi, quam D similem latrocinio meditabatur, nostra omnia referre statuit.

Δ'. Καὶ ἐπειδήπερ εἰς τελείαν ὁ ἀνὴρ ἐξερράγη κακίαν, καὶ μάταια τὰ τῶν ἀγαθῶν ἡμῖν ἐλπίδων ἤδη ἐδόκει, ἀπράκτῳ μοι λοιπὸν ἐς τὰ οἴκοι περιειστήκει γίγνεσθαι, τῶν λόγων ἀπεγνωκότι. Γενομένοις δ' ἐπ' ἐμαυτοῦ συχνοῖς καὶ ἀλλεπαλλήλοις περιαντλεῖσθαί με κύμασι λογισμῶν ξυνερρύηκεν, οἷα κατὰ τῶν θερμοτέρων ψυχῶν τὰ τῆς Ἐκκλησίας τίκτει ναυάγια, ἅτε φάρμακον ἐξ ἀνθρώπων, ταχεῖαν

IV. Cum itaque ad summum scelus illius viri improbitas erumperet, et quod bonæ spei nobis fuerat, id jam omne inane esse videretur, restabat, ut domi deinceps, abjecto disputandi studio, otiosus manerem. Tum autem me crebri et alterni cogitationum fluctus obruere cœperunt, quales animis zelo inflammatis **891** naufragia Ecclesiæ solent inducere. Nullum quippe ab hominibus re-

[1] Eccle. XII, 11. [2] Psal. VII, 15.

medium animo meo ocurrebat, quod salutis expediendæ viam mihi celerem sponderet. Decrevi itaque memet morti pro religione defendenda offerre, ipsa temporum conditione in eas me angustias compellente : ut cum alii præterea complures essent, quibus magnum et ardentem zelum intimo corde conceptum foventibus nondum se occasio obtulisset prodeundi in lucem et profitendæ palam veritatis, ii nunc saltem veluti conspicuum publicumque exemplum me intuentes se ipsos confirmarent, et in idem veræ fidei curriculum ipsi quoque descenderent. Ac initio statim virum quemdam, sacerdotem et religiosum, eumdemque amicum, arcesso ; meum cum eo consilium communico : simulque vestem muto, et habitum monasticum, ut moris est, ab eo accipio : profiteorque me in posterum, nisi hæc ipsa occasio ex hac vita me eximeret, etiam mutato vivendi genere inanem aulæ frequentationem et licentiam omnino abdicaturum. Et hæc quidem hactenus.

A τὴν λύσιν ἐπαγγελλόμενον, ἥκιστα δυναμένῳ λαθεῖν ἐπὶ νοῦν. Ὅθεν ὁμόσαι χωρεῖν ἐς τὸν δι' ἀθλήσεως ἔγνωκα θάνατον, τῆς τοῦ καιροῦ περιστάσεως εἰς τοῦτ' ἀνάγκης ἡμᾶς περιελαυνούσης· ἵνα καὶ πλείους ὑπάρχοντες ἕτεροι, οἷς μακρὸν καὶ διάπυρον ζῆλον ἐν σπλάγχνων κυοφορούμενον ἔτι μυχῷ περιθάλπουσιν, οὔπω καιρὸν πρὸς ἐπίδειξιν ἐξηγένετο σχοῦσι παρρησιάσασθαι τὴν ἀλήθειαν, νῦν γοῦν ὥσπερ ἐμφανεῖ καὶ δημοσίῳ ἐμοὶ χρησάμενοι παραδείγματι, πρὸς ἴσον καὶ αὐτοὶ τῆς εὐσεβείας σφᾶς αὐτοὺς ἐπιῤῥώσαντες σταδιοδρομήσωσι δίαυλον. Κἀκ δὴ προοιμίων λοιπὸν, τῶν ἱερῶν καὶ μοναδικῶν ἀνδρῶν καὶ συνήθων μεταπαμψάμενος, τὸ σκέμμα τούτῳ κοινοῦμαι· καὶ ἅμα τήν τε στολὴν ὑπ' αὐτοῦ πρὸς τὸ μοναδικὸν καὶ αὐτὸς, ὡς εἴωθε γίνεσθαι, τέως ἠμειψα σχῆμα· καὶ τοῦ λοιποῦ γε ἐπηγγειλάμην, ἢν μὴ ὁ παρὼν ἡμᾶς ἀπαγάγῃ τοῦ βίου καιρὸς, καὶ τὴν δίαιταν ὡς εἰκὸς μεταθεῖναι, τὴν τῶν βασιλείων ματαίαν διατριβήν τε ἅμα καὶ παῤῥησίαν ὁλοσχερῶς ἀποτιναξάμενον. Καὶ ταῦτα μὲν ἐς τόδε ἐκεχωρήκει.

CAPUT V.

Mane diei, habendo concilio indicti, frequentes orthodoxi ad Gregoram conveniunt. Illustriorum elogia; ac primum metropolitarum Ephesi et Cani. Cur præter hos unus tantum episcopus affuerit, nempe Tyrius. Quæ ejus partes fuerint. Laus Dexii. Laus Athanasii. Laus discipulorum Gregoræ. Cæterorum sociorum commendatio. Gregoras circumstantes alloquitur. Suorum vires verbis extenuat. Principis iniquitatem amplificat. Leonidæ Spartani apophthegma ad præsens institutum accommodat. Orthodoxis in aulam cum Gregora euntibus passim acclamatur. Multi se ad illos adjungunt.

I. Aderat dies, qua nos oportebat inire apertum certamen pro fide orthodoxa. Mane ejus diei, antequam terra solis luce circumfunderetur, capite extra cellulam paululum exserto, video ad me frequentes adventare viros lectissimos, plerosque monasticæ vitæ disciplina illustres ; qui suis **892** sedibus jampridem pulsi, et alius alio dispersi, inopem et omnis solatii expertem vitam trahebant, nec eam quidem metu liberam. Imo vero quidam ex iis animo circumferebant imaginem eorum malorum, quæ vel jam pertulerant, vel promissa tantum et denuntiata nondum re ipsa experti fuerant. Quorumdam aures circumsonabant conviciis et minis quotidie jactatis. Erant etiam, qui in austera exercitatione annis plus triginta exactis, angustis cellularum parietibus penitus inclusi, postquam majori vitæ suæ parte mortui fuissent, reliqua jam parte morituri, et glorioso fine, nempe martyrio, totam retro vitam ornaturi aderant ; quorum nonnullos, longo senio debiles, aliorum manibus subnixos ac gestatos conspicatus, illacrymavi equidem, et vehementem eorum zelum admiratus sum.

[P. 561] Α'. Ἄρτι δὲ καὶ τῆς ἡμέρας ἐνεστηκυίας, ἐν ᾗ πρὸς τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας ἐχρῆν ἡμᾶς καθαρῶς ἀποδύεσθαι, πρωΐας ἔτι οὔσης, πρὶν τὰς τῶν ἡλιακῶν εἰς γῆν ἐκχυθῆναι λαμπάδων αὐγὰς, μικρὸν τοῦ δωματίου προκύψας ὁρῶ κατὰ πλῆθος ἰόντας ἡμῖν ἄνδρας λογάδας (27), καὶ τούτων τοὺς πλείους ἀσκήσει μοναδικῇ διαλάμποντας· οἳ τῶν οἰκείων ἐκ πολλοῦ διωχθέντες, καὶ ἄλλος ἄλλοθι διασπαρέντες, στενὸν καὶ ἀπαράκλητον ἔβοσκον βίον, καὶ τοῦτον ἥκιστα φόβων ἀπηλλαγμένον· ἀλλ' οἱ μὲν τὰ ἴχνη ὧν τε ἐπεπόνθεισαν δεινῶν καὶ ὧν ἐν ἐπαγγελίαις ἡ πεῖρα τέως ἐτίθετο περιφέροντες ἦσαν ἐν τῇ ψυχῇ· οἱ δὲ καὶ τὴν ἀκοὴν ἔναυλον ἔχοντες τῶν καθ' ἡμέραν λοιδοριῶν τε καὶ ἀπειλῶν. Ἦσαν δ' οἳ καὶ μᾶλλον ἢ τριακοντούτῃ διηνυκότες ἄσκησιν, ἐν οἰκίσκοις βραχέσιν ἐγκεκλεισμένοι παντάπασι, τεθνήκασι μὲν τῷ πλείονι μέρει τοῦ βίου, ἦκον δ' ὅμως ἦδη καὶ τὸ λεῖπον τεθνηξόμενοι καὶ τέλει μαρτυρικῷ τὸν ὅλον κοσμήσοντες βίον. Ὧν ἐνίους φοράδην ἐσκομιζομένους ὑφ' ἑτέρων ἰδὼν διὰ γῆρας βαθὺ ἐξάκρυσά τε καὶ τοῦ ζήλου τεθαύμακα τὸ σφοδρόν.

II. Eminebat præterea Ephesiorum antistes : grandævus quidem ille ; nam octogesimum ætatis annum jam excedebat : animi autem et omnium sensuum vigore plusquam juvenili præditus. Fulgebant quoque in eo honesta vultus species, lingua tum volubilis, tum plane vocalis ; ad hæc philosophia profana pariter et sacra, cum qua is adoleverat.

Β'. Ἐπὶ τούτοις καὶ ὁ τῶν Ἐφεσίων διέπρεπεν ἀρχιθύτης· ἀνὴρ πρεσβύτης μὲν, ὀγδοηκοστὸν γὰρ ἤδη παρήλαττεν ἔτος τῆς ἡλικίας, ἐῤῥωμένος δὲ τὰς φρένας καὶ τὰ αἰσθητήρια πάντα, καὶ μάλα μᾶλλον ἢ κατὰ νεανίσκον. Ἐπήνθει δ' αὐτῷ καὶ κόσμιον εἶδος καὶ γλώττης εὔστροφος ἦχώ καὶ φιλοσοφία συναυξηθεῖσα αὐτῷ, ὅση τε καθ' Ἕλληνας καὶ ὅση τῆς θείας αὐλῆς.

Variorum notæ.

(27) De quibus longe aliter patriarcha Philotheus. *Antirrhet.* 1, cod. Reg. 1996, fol. 14. Boivin.

Γ'. Καὶ ἅμα παρῆν, ᾧ τὰ περὶ τὸ ὄρος τὸ Γάνος A χωρία ἐπιτέτραπται διέπειν πνευματικῶς καὶ τὸν ἐκεῖ ποιμαίνειν ἀρχιερατικῶς κλῆρον καὶ λαὸν τοῦ Θεοῦ, πολιὰν μὲν ἐπαγόμενος τρίχα, πολιὸν δὲ φρόνημα· καὶ ὅσον τὸν ἔξω φαινόμενον ἄνθρωπον εἶχε ξυντετηκότα, τοσοῦτον ἀνθοῦντα τὸν μὴ φαινόμενον. Ὑπερόριος γὰρ τῆς ἐπισκοπῆς, διὰ τὸ μισεῖν πονηρῶν ἐκκλησίας καὶ λοιμῶν ξυναυλίας, ἐκ πολλοῦ μεγανῶς, πάσῃ τῶν ἀναγκαίων αὐθαιρέτῳ στενοχωρίᾳ δαπανῶν διετέλει τὴν ἑαυτοῦ ζωήν.

III. Aderat simul is, cui spiritualis administratio locorum Gano monti circumjectorum, clericique et populi Christiani cura pastoralis cum pontificali auctoritate commissa fuit: vir, ut senili canitie, ita et senili prudentia; in quo quantum homo exterior et oculis subjectus se ipsum maceraverat, tantum interior et latens vigescebat. Quippe episcopatu jampridem ejectus ob eam **893** causam, quia malorum concilia et pestilentium cathedras odisset, omni rerum necessariarum penuria afflictus vitam suam sensim consumebat.

Δ'. Τῶν γε μὴν ἑτέρων ἐπισκόπων ὅσοι τὸν ἴσον ἦσαν ζῆλον καὶ τρόπον [P. 562] οὐδενί γε ἐς τόδε ξυμπέπτωκεν ἐλλελεῖφθαι. Ταῖς γὰρ σφῶν ἐκκλησίαις παρεισρυέντων, ὁπόσοι ἀγύρται καὶ βαναυσώδεις καὶ ἄνδρες ἄντικρυς αἱμάτων, ἔξω στῆναι πέπραχται σφᾶς προμηθείας ἁπάσης ὡς πορρωτάτω. Ὧν δή που τὰ σώματα, μὴ ἐγκαρτερῆσαι τῇ σπάνει τῶν ἀναγκαίων δεδυνημένα, καὶ ὅσαι ταύτῃ δυσπραγίαι καθάπερ ὁμοφυεῖς τινες τύχαι καὶ κῆρες ἕπονται, πάσης σκληρότητος ἐφόδια λαμπρῶς ἐφελκόμεναι, καὶ ἄλλ' ἐπ' ἄλλοις ἀντλοῦσαι κακίας πολυειδῆ καὶ πολύτροπα ῥόθια, πρὸς τὰς αἰωνίους ἐκείνας καὶ μακαρίας σκηνὰς μετῳκίσθησαν. Παρῆν δ' οὖν ἀντὶ πολλῶν κἀκ τῆς Ἀντιοχείας ἐπαρχίας ὁ Τύρου ἐπίσκοπος· ἀνὴρ συνετὸς καὶ πολὺν ἐκ φύσεως τρέφων τὸν ἐς τὰ δίκαια ζῆλον, κἀπὶ τῶν τῆς εὐσεβείας κρηπίδων μάλα ἀκλινὴς αὐτός τε ἱστάμενος καὶ ἄλλους ἐπιῤῥωννύων ὧν ἱκανός. Οὗτος ἐν χεροῖν ἔχων τὰ πάλαι τῷ τὴν Ἀντιόχειαν πατριαρχικῶς διέποντι γεγονότα ψηφίσματα καὶ γράμματα κατὰ τῆς τοῦ Παλαμᾶ δυσσεβείας, καὶ ἅμα ἀπὸ στόματος ἤδη τὴν ἐκείνου κηρύττων γνώμην καὶ θέλησιν, αὐθαιρέτῳ καὶ αὐτὸς ἠκολούθει προθέσει ψυχῆς τοῖς θείοις ἀνδράσιν, οὓς ἐξ ἑωθινῆς πρὸς τὴν ἡμετέραν οἰκίαν ἔφθημεν εἰρηκότες ἀθροίζεσθαι.

IV. Quod ad cæteros episcopos attinet, qui eumdem zelum et morem sequi instituerant, eorum nullus superstes ad hoc usque tempus mansit. Nam cum in eorum ecclesias circumforaneum et B illiberale hominum genus ac re ipsa viri sanguinum irrepsissent, hinc factum est, ut illi longissime ab omni humanæ providentiæ ope ablegarentur. Quorum corpora, cum tolerare non possent rerum necessariarum inopiam ac cæteras miserias, quæ eam velut cognata quædam fata et infortunia comitantes, omne austeritatis instrumentum secum trahunt, et alios ex aliis malorum omnigenum fluctus superingerunt, ad sempiternas illas et beatas sedes migravere. Aderat tamen unus pro multis ex Antiochena provincia, episcopus Tyri, vir intelligens, qui insitum a natura amorem justi ardentissimum animo aleret, ac in veræ fidei fundamentis cum ipse immotus perstaret, tum alios posset confirmare. Hic præ manibus habens vetera patriarchæ Antiocheni decreta, et litteras ab eo adversus Palamæ impietatem scriptas, nec non ejusdem sententiam ac voluntatem viva voce annuntians, ipse quoque ultro sequebatur viros illos sanctissimos, quos mane ad nostram domum confluxisse diximus.

Ε'. Συνῆσαν δὲ καὶ τῶν ἐλλογίμων ἀνδρῶν καὶ σοφῶν οὐκ ὀλίγοι, πεφραγμένοι καλῶς τοῖς ἐκ τῶν θείων ὅπλοις Γραφῶν κἀκ τῶν φαινομένων ἠθῶν εὐθὺς οὐδαμῇ τοὺς ὑπὲρ εὐσεβείας καπηλεύσειν ἐοικότες ἀγῶνας· Δεξιός τε, ὃς λόγῳ καὶ ἀρετῇ τὸν βίον ἀεὶ κοσμῶν ἔδειξε καὶ νῦν ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν οὐδαμῇ ψευδομένην ἔχων τὴν κλῆσιν, καὶ ἅμα Ἀθανάσιος, ἀθανασίας πλήρεις ἔχων τοὺς λογισμούς.

V. Convenere etiam homines doctrina et eruditione insignes non pauci, sacris Scripturis velut armatura quadam egregia instructi, **894** qui ipso statim habitu minime videbantur in fidei orthodoxæ defensione ullam fraudem admissuri; nempe Dexius, qui litterarum et virtutis laude antea quidem semper illustris fuit; at in hisce religionis certaminibus verum esse suum nomen ostendit. Item Athanasius, totus re ipsa in meditatione immortalitatis.

Ϛ'. Ἐπὶ τούτοις καὶ ὁ τῶν ἐμῶν εἰσῆει χορὸς μαθητῶν, καὶ οἵτινες ἔτι σφίσιν ἐφοίτησαν, τὸν αὐτὸν ἀγωνιάμενοι τῷ διδασκάλῳ δρόμον. Ὧν τὸ πρὸς τοὺς ὑπὲρ εὐσεβείας κινδύνους προθυμόν τε καὶ εὐγενὲς καὶ τὴν ἔμπρακτον εὐδοκίμησιν ἱκανῶς δεδειχέναι δοκῶ μοι τοὺς ἐν ἐκείνῳ τῷ μαρτυρικῷ σταδίῳ περιφανεῖς ἀγῶνας καὶ τὰ ἐπιπαῤῥησιασμένα τῆς γλώττης σεμνὰ παλαίσματα.

VI. Subibat deinde chorus discipulorum meorum, et quotquot præterea istorum discipuli erant, idem cum magistro stadium decursuri. Quorum animum in subeundis pro religione periculis promptum ac generosum, et efficacem vere virtutem, satis (ut mihi videtur) declararunt præclaræ illæ luctationes, quibus se in martyrii palæstra exercuerunt, et honesta linguæ certamina ab iis ingenue et audacter suscepta.

Ζ'. Καὶ ἵνα τοὺς ἄλλους ἐάσω, οὓς οὔπω καὶ τήμερον ἐς ὄψιν ἦναι περιεστήκει μοι, παμπόλλους τε ὄντας καὶ πάντας ἀλλήλοις ἁμιλλωμένους τὴν ἀρετὴν καὶ τὸν βίον, καὶ τῆς ἔνδον κατὰ Θεὸν ἀγαλ-

VII. Omitto alios quam plurimos, quos usque ad hanc diem ne videre quidem mihi contigit: omnes ejusdem virtutis ejusdemque instituti æmulos: omnes impressam animo piam sententiam morum

honestate exprimentes, suique ipsius quodammodo indicem præ se ferentes, ut facile a viris prudentibus perspicerentur. Tandem cum instaret hora, qua nos in palatium ire oportebat, ii qui virtute et intelligentia præstabant, dato veluti militibus signo, alios ciere ad pugnam coeperunt.

A ματοφορουμένης προθέσεως [P. 563] αὐτάγγελον κήρυκα τὴν τοῦ ἤθους εὐσχημοσύνην αὐτομάτως φάναι προβαλλομένους τοῖς ὅσοι ξύν γε συνέσει καὶ παρινοίᾳ σοφῇ θεωροῦσιν· ἐπεὶ τὰ τῆς ὥρας ἤδη ἐνειστήκει, ἐν ᾗ καὶ τὴν ἐς τὰ βασίλεια ἐνδημίαν ἡμῶν γίγνεσθαι ἔδει, οἱ μὲν προὔχοντες ἀρετῇ καὶ συνέσει τοῖς ἄλλοις τὰ παραχλητικὰ τοῦ ἀγῶνος περιεσάλπιζον, ὥσπερ ἐν στρατοπέδῳ.

VIII. Ego vero universos circumspiciens, «Eorum (inquam) qui huc convenerunt ardor sane haud ignavus; sed vires ad incundam pugnam infirmæ. Etenim principis potentiam simul et voluntatem adversissimam habituræ sunt. Nihil autem, **895** meo quidem judicio, gravius accidere subditis potest, quam si hostem habeant principem suum, summa potestate armatum. Porro hic, ut videtis, non modo se ipsum, sed et illos, quos gravissimorum errorum debemus accusare, judices nobis constituit: idemque, terroribus aliunde injectis, conatur labefactare constantiam nostram, et generosum animi impetum mature reprimere. At si strenuis ducibus, si rei nauticæ usu peritis gubernatoribus, nec temporis opportunitas, nec venti obsecundent, sed eorum artibus aperte adversentur, inanis erit utrorumque diligentia. Mihi quidem libet usurpare illud Leonidæ Spartani dictum, quo illos qui cum eo adversus Persas militabant allocutus est, quando Thessalica Tempe ingressus, occupatis eorum locorum angustiis et latebris, hosti insidiabatur, manebatque illic obstiturus Persarum armis, et Xerxem aditu Græciæ prohibiturus. Nimirum ubi hostiles copias vidit torrentium fluminum more ingruere, statim socios suos, ut ad certam mortem ruerent, hortari cœpit et confirmare, dixitque: « O socii, hic prandeamus, ut eamus cœnatum apud inferos. » Eaque ipsa die, innumeris hostibus cæsis, viri illi numero trecenti gloriosam mortem oppetiverunt. Id ipsum quoque ego paululum mutata oratione, o fratres, inquam astantibus, extremum nobis vale invicem dicamus, ut eamus cœnatum apud inferos; imo ut Deo juvante defunctum **896** labore athletico pedem in paradiso figamus, ubi mel voluptatis incorruptum et perenne esse didicimus. Neque enim nos puto usque ad crastinum diem fore superstites. »

Η'. Ἐγὼ δὲ περιβλεψάμενος ἅπαντας « Ἡ μὲν προθυμία τῶν συνεληλυθότων », ἔφην, « οὐκ ἀγεννής, ἡ δὲ παράταξις ἀσθενής, τὴν τοῦ βασιλέως καὶ χεῖρα καὶ γνώμην μάλα ἀντίπαλον ἔχουσα. Βαρύτερον δ' οἶμαι τῶν πάντων ἕτερον εἶναι οὐδὲν τοῖς ὑπηκόοις, ἢ πολέμιον κεκτῆσθαι σφίσιν αὐτοῖς τὸν τὴν αὐτοκράτορα περιζωννύμενον δύναμιν βασιλέα. Ἴστε γὰρ ὡς μὴ μόνον αὐτὸς ἑαυτὸν, ὅτι μὴ καὶ οἷς τὰς παλαμναιοτάτας ἐγκαλεῖν ὀφείλομεν ἡμεῖς δυσσεβείας, ἡμῖν χειροτονεῖ δικαστάς· καὶ ἅμα ταῖς ἔξωθεν ἀπειλαῖς ἡμῶν κατασείειν πειρᾶται τὸ φρόνημα καὶ τὸ εὐγενὲς προαναστέλλειν παράστημα τῆς ψυχῆς. Καὶ στρατηγοῖς γὰρ ἀγαθοῖς καὶ κυβερνήταις εὖ τὰ θαλάττια ἠσκημένοις, ἢν μήτε ξύμμαχος ὁ καιρὸς καὶ τὰ πνεύματα ᾖ καὶ ἅμα τοῖς σφῶν ἐναργῶς ἀντιπράττῃ σοφίσμασι, μάταιος ἀμφοῖν ἡ σπουδή. Καί μοι ἐπὶ γλώττης εἴη τὸ Λεωνίδῃ πάλαι τῷ Σπαρτιάτῃ ῥηθὲν πρὸς τοὺς ξύν γε αὐτῷ στρατευσαμένους κατὰ Περσῶν· ὁπότε δηλαδὴ ἐς τὰ περὶ Θετταλίαν Τέμπη γενόμενος, καὶ τὰς ἐκεῖ δυσχωρίας καὶ τὰ ἐνεδρα προειληφὼς, ἐκάθητο ἐνεδρεύων τε ἅμα καὶ παριμένων κωλύειν τὰ Περσῶν ὅπλα καὶ τὴν Ξέρξου πρὸς Ἑλλάδα διάβασιν. Ἐπειδὴ γὰρ κατὰ ποταμοὺς τὰ τῶν πολεμίων ἐκεῖνος εἶδε στρατόπεδα ἐπιῤῥέοντα, ἐς προὔπτον προὐτρέπετό τε καὶ ἀνερρώννυε θάνατον τοὺς οἰκείους· » καὶ, « Δεῦτε ἀριστήσωμεν ἄνδρες », ἔλεγεν, « ἵνα ἐν ᾅδου δειπνήσωμεν· » ὅτε δὴ καὶ τριακόσιοι ὄντες αὐτοὶ, μυρίους ἀνελόντες, αὐθήμερον εὐκλεῶς καὶ αὐτοὶ κατεκόπησαν. Τοῦτ' οὖν ἐκεῖνο καὶ αὐτὸς ὑπαλλάξας μικρὸν, Δεῦτε, πρὸς τοὺς παρόντας ἔφασκον, ἀδελφοὶ, τὸν ἔσχατον ἀσπασμὸν ἀποδῶμεν ἀλλήλοις, ἵνα ἐν ᾅδου δειπνήσωμεν· ἢ μᾶλλον ἐν παραδείσου ξύν γε Θεῷ τὸν ἀθλητικὸν ἐρείσωμεν πόδα, ὅπῃ τὸ μέλι τῆς ἡδονῆς ἀκήρατον εἶναι καὶ ἀδιάδοχον δεδιδάγμεθα· Οὐδὲ γὰρ οὐδὲ ἀπαθὲς ἡμῖν ἀπαλλάξειν οἶμαι τὸ ζῆν ἄχρι καὶ ἐς τὴν ὑστεραίαν. »

VIII. Cum autem abiremus, passim viri et mulieres domibus suis prosiliebant, et nos faustis acclamationibus prosequebantur. Erant etiam, qui omni metu excusso audacter comitarentur, hinc atque hinc crebro circumcursantes, bini et terni; imo alicubi denso agmine confluentes, ut nostrorum numerus subinde augeretur; itidem fere ut maximus fluvius, qui ex altissimo monte erumpens non ab ipsis quidem fontibus tantus repente existit, sed per pronum lapsus cum aliis torrentibus et rivis undas communicat, ac tandem in eum modum excrescit, ut et plerisque in locis navigabilis fiat. Adeo dogmatis nefandi impietas omnibus promiscue, juvenibus, senibus, viris, feminis, evidens erat.

Θ'. Ἀπιόντας γε μὴν συχνοὶ τῶν οἰκιῶν ἐκπηδῶντες, ἄνδρες ὁμοῦ καὶ γυναῖκες, εὐφήμοις προὔπεμπον ἡμᾶς ταῖς φωναῖς. Ἦσαν δ' οἳ καὶ πάντας φόβους ἀποσεισάμενοι, θαῤῥοῦντες εἵποντο, θαμὰ περιτρέχοντες ἔνθεν καὶ ἔνθεν, σύνδυο καὶ σύντρεις· ἔστι δ' οὗ καὶ κατὰ πλῆθος, καὶ πλείους ἀεὶ ποιοῦντες ἡμῶν· παραπλήσιον ὥσπερ ἂν εἴ τις ποταμῶν [P. 564] τῶν μεγίστων, ἐξ ὄρους ὑψίστου ῥηγνύμενος, οὐ τοιοῦτος μὲν ὑπάρχων ἐκ πηγῶν εὐθὺς, ἐς δὲ τὸ κάταντες ἰὼν, καὶ ἄλλοις ἔτι χειμάῤῥοις καὶ ῥύαξι τὸ ῥεῦμα κοινούμενος, ἐπὶ τοσοῦτον αὔξει μεγέθους, ὡς καὶ ναυσίπορον ὡς τὰ πολλὰ καθίστασθαι. Οὕτω κατάδηλος ἅπασιν ἀναμὶξ καὶ νέοις καὶ γέρουσι, καὶ ἀνδράσι καὶ γυναιξὶν, ἡ τοῦ παλαμναίου δόγματος ὑπῆρξε κακία.

CAPUT VI.

Palamitis in interiore aula epulantibus, Gregoras et socii excludantur. Per atrium dispersi diu expectant. Palamitæ post epulas in Alexii triclinium transeunt. Illic inter se primum consultant; deinde et orthodoxi introducuntur. Concilii auspicandi ratio ab his præscripta. Cantacuzenus perplexis et ambiguis verbis jurat. Ejus adversus orthodoxos iniquitas manifesta.

hil scire profitentur, ii sunt omnium sapientissimi.» Enimvero tempus me prorsus deficiat, si et hujus quoque magni Ecclesiæ luminis testimonia velim afferre, quæcunque a theologicis disputationibus deterrent, dogmatumque et fidei simplicitatem solam amplectuntur. Sed ecce magnus quoque Ecclesiæ pugil et doctor Athanasius negat se eos ferre posse, qui novum aliquid contra fidem inceptant, etsi ii sumptas ex Scripturis dictiones pronuntient. «Illi enim ea verba non recto sensu, sed velut ovium vestimentum induunt; intus autem eum Ario semiunt : quemadmodum hærescon princeps diabolus. Quippe et hic Scripturarum verba loquebatur; at eum Servator coegit obmutescere.» Hunccine audis eadem docentem, ac illa quæ jam dicta sunt? Sed nec Isaacum, præstantissimum Asceten, omittamus : «Desine, inquit, de Deo disputare, non solum cum iis, qui alieni sunt a Fide, sed et cum Fidei cultoribus :» nec illum, qui Scalam asceticam fundavit, celeberrimum Joannem. Hic velut continenti oratione eorum quæ ab illo dicta sunt causam reddit : «Nec enim, inquit, in exitu animæ eo arguemur, quod de Deo haud disputaverimus, sed quod jugiter non luxerimus.» Et quid necesse est libris sanctorum plena vobis plaustra afferre, quibus leonem ex ungue cognoscere est? Ad alia progredior. Hæc sancti doctores non modo dixerunt, sed et idoneis vectibus repagulisque firmarunt; nec firmarunt modo, verum etiam inevitabilibus diris et anathematis, **963** quasi quibusdam turribus et propugnaculis cincta, constrinxerunt. Nam D. Apostolus postquam eos qui alia evangelizaverint, gravi anathemati subjecit, ut firmius sit testimonium, vetera cum novis componens, «Scriptum est, inquit, Maledictus omnis, qui non permanserit in omnibus quæ scripta sunt in libro legis ut faciat ea[1]. Sacrosanctarum synodorum œcumenica acta his addere supersedeo; quæ sigillatim eos, qui ejusmodi sint, anathemate percellunt. Tamen, ut paucis et summatim veluti complectar : «Quælibet, inquiunt, præter ecclesiasticam traditionem et præscriptam a sanctis formulam de novo introducta, vel acta vel agenda, anathema sunto.»

A θίας ταύτης σοφώτερόν ἐστιν· ἐν οἷς οἱ μὲν ἐπαγγελλόμενοι μηδὲν εἰδέναι σοφώτατοι πάντων εἰσίν.» Ἀλλὰ γὰρ ἐπιλείψει χρόνος ὅλος, κομίζειν θελήσαντα καὶ τοῦ μεγάλου τούτου φωστῆρος τῆς Ἐκκλησίας, ὁπόσα θεολογεῖν τε ἀποτρέπει καὶ μόνην ἀσπάζεσθαι τῶν δογμάτων ὁμοῦ καὶ τῆς πίστεως ἁπλότητα. Ἀλλ' ὅρα δή μοι καὶ τὸν μέγαν τῆς Ἐκκλησίας ἀθλητὴν καὶ διδάσκαλον Ἀθανάσιον, μὴ ἀνέχεσθαι φάσκοντα τῶν κατὰ τῆς πίστεως ἐπιχειρούντων καινοτομεῖν, κἂν τὰς ἀπὸ τῶν Γραφῶν λέξεις φθέγγωνται. «Οὐ γὰρ ὀρθῇ διανοίᾳ, ἀλλ' ὡς ἔνδυμα προβάτων τὰ ῥήματα περιβαλλόμενοι, ἔνδον τὰ Ἀρείου φρονοῦσιν, ὡς τῶν αἱρέσεων ἡγεμὼν διάβολος. Καὶ γὰρ κἀκεῖνος ἐλάλει μὲν τὰ ἐκ τῶν Γραφῶν, ἐφιμώθη δὲ παρὰ τοῦ Σωτῆρος.» Ἀκούεις καὶ τούτου ταυτὰ τοῖς προειλημμένοις διδάσκοντος; Ἀλλὰ μηδὲ τὸν ἀσκητικώτατον παραδράμωμεν Ἰσαάκ, παῦσαι λέγοντα θεολογεῖν, οὐ μόνον μετ' ἀλλοτρίων τῆς πίστεως, ἀλλὰ καὶ μετὰ τῶν οἰκείων αὐτῆς· μηδὲ τὸν πολὺν Ἰωάννην, τὸν τῆς ἀσκητικῆς ὑποστάτην κλίμακος· ὃς τὸ αἴτιον ἐφεξῆς οἱονεὶ τῆς ἐκείνου ῥήσεως ἀποδίδωσι οὕτωσιν· «Οὐ γὰρ ἐγκληθησόμεθα, φησὶν, ἐν ἐξόδῳ ψυχῆς, ὅτι οὐ τεθεολογήκαμεν, ἀλλ' ὅτι ἀδιαλείπτως οὐ πεπενθήκαμεν.» Καὶ τί δεῖ βίβλων ἁμάξας ὅλας ἁγίων κομίζειν ὑμῖν, οἷς ἐξ ὀνύχων ἔστι γινώσκειν τὸν λέοντα; Βδιοῦμαι δ' ἐφ' ἕτερα. Οὐ γὰρ εἶπον μὲν οἱ διδάσκαλοι τοῦτο, οὐχ ἡσφαλίσαντο δὲ τοῖς προσήκουσι μοχλοῖς καὶ κλείθροις· οὐδ' ἡσφαλίσαντο μὲν, οὐ περιήλασαν δ' ἐπ' ἐκείνοις ἔτι πύργους φάναι καὶ ἡμιπύργια, καὶ ἀφύκτοις συνέσφιγξαν ἀραῖς καὶ ἀναθέμασι. Μετὰ γὰρ τό γε τοὺς εὐαγγελιζομένους ἕτερα μακρῷ καθυποβαλεῖν ὁ θεῖος Ἀπόστολος ἀναθέματι καὶ τάδε φησὶν, εἰς μαρτύριον βεβαιότερον συμβιβάζων τὰ πάλαι τοῖς νῦν. «Γέγραπται γάρ,» φησὶ, «Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά.» Ἐῶ γὰρ τὰς τῶν θείων καταλέγειν τούτοις συνόδων οἰκουμενικὰς πράξεις, ὅσοις καθ' ἕκαστον ἀναθέμασι τοὺς ἐκείνως ἔχοντας βάλλουσιν. Ἀλλ' ἵν' ὡς ἐν κεφαλαίῳ συνελὼν εἴπω· «Πάντα,» φασὶ, «τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσίν τε καὶ ὑποτύπωσιν τῶν ἁγίων Πατέρων καινοτομηθέντα τε καὶ πραχθέντα ἢ πραχθησόμενα, ἀνάθεμα ἔστω.»

CAPUT II.

Cantacuzenus, pauca loculus, respondendi munus Palamæ concedit. Hujus imparati, et nihil tale præmeditati, anxietas. Judicium de Palamæ doctrina, stylo, ingenio. Ejus auctoritas apud Cantacuzenum nimia. In maximas angustias adductus orationem a lumine Thaborio orditur. Operationem et substantiam in Deo differre ait. Qui operationes participent, eos affirmat increatos fieri. Plura increata statuit. Substantiam divinam negat posse participari. Adversarios contemnit. Acta concilii generalis sexti perperam interpretatur; item verba S. Basilii.

1. Hæc cum dixissem, orationis meæ cursum imperator abrupit, ac loqui ipse gestiens duplici triplicique sententia in partes varias trahebatur. Volebat nempe ea quæ Palamæ promisisset, sic perficere, ut is quidem cum aliis quietus sederet; ipse autem et verbis et re ipsa personam ejus per-

D [P. 605] Α'. Ἐπὶ τούτοις ἀνέκοψά μοι τοῦ λόγου τὸν δρόμον ὁ βασιλεύς· καὶ λέγειν αὐτὸς ἐθέλων διχῇ καὶ τριχῇ τὴν γνώμην ἐσχίζετο. Ἐβούλετο μὲν γὰρ τὰ τῷ Παλαμᾷ περαίνειν ἐπηγγελμένα, καθ' ἡσυχίαν δηλαδὴ καθημένῳ τοῖς ἄλλοις ὁμοῦ, καὶ πρόσωπεῖον αὐτοῦ παρ' ὅλον αὐτὸς καθίστασθαι τὸν ἀγῶνα λό-

[1] Galat. III, 10; Deut., XXVII, 26.

τοις ἅμα καὶ πράγμασιν· ἐβούλετο δ' αὖ καὶ φιλοτιμίας ἐπίδειξίν τινα τῷ συλλόγῳ παρέχειν ποικίλον, μνημόσυνον ἑαυτῷ μηχανώμενος ὅτι θεν αἰώνιον καὶ γέμων καυχήματος ἐμβριθοῦς. Ἔπειτα τὴν τοῦ ἀγῶνος διάθεσιν βλέπων οὐ κατὰ γνώμην ἐκβεβηκυῖαν αὐτῷ (οὐ γὰρ εἶχεν ἐκ πείρας ἰσχὺν ἁπάντων εἰς τὰς προτεθείσας τῶν θείων Πατέρων χρήσεις· οὔτ' αὖ λογισμῶν αὐτοχθόνων καρπός τις ὑπῆρχεν αὐτῷ, ἵν' ὅλην ἐκ περιουσίας ἑαυτῷ τὴν τοῦ συνειδότος πιστεύων ἡγεμονίαν μὴ ῥᾴστα ταῖς τῶν ἔξωθεν αἰφνιδίως ἐπεισρεόντων ἀπροσδοκήτων παρέχῃ παθῶν ἐμβολαῖς τὸ τῶν λογισμῶν περιτρέπεσθαι βουλευτήριον) ἐπὶ πόδα τε ἀνεχώρει καὶ συνεστέλλετο παραχρῆμα. Πολλῶν οὖν ἀνελίξας ἐν βραχεῖ λογισμῶν λαβυρίνθους, καὶ πολλῶν ἠθῶν ἐπιπλανηθῆναι χρώματα δοὺς τῷ προσώπῳ κατὰ τὸ συμβεβηκός, καὶ μικράττα φθεγξάμενος, ὅσα τοῖς τοῦ λόγου προοιμίοις ἀρκέσειν εἰς κεφαλὴν ἐδόκει, τῷ Παλαμᾷ λοιπὸν τὴν τῶν ἐμοὶ προτεθέντων ἀπάντησιν παρεχώρει.

A totum illud certamen ageret. Volebat rursus ambitiosa et multiplici ostentatione se ipsum in concilio venditare, atque ita memoriam sempiternam et magnificæ jactantiæ plenam aucupari. Deinde ubi vidit certamen eo deductum esse, ut sibi ex sententia non succederet (nam neque ille usu sic valebat, ut ad opposita sanctorum Patrum testimonia posset respondere; nec ea prudentia propria et domestica fruebatur, ut **964** omni animi imperio plene per se ipsum potitus, repentinis atque improvisis supervenientium extrinsecus affectuum impressionibus judicium suum subverti haud facile pateretur), cœpit statim pedem referre et contrahere se. Multis itaque brevi temporis spatio velut labyrinthis cogitationum evolutis, multorum affectuum coloribus incertis et temere obortis vultu suffuso, pauca demum locutus, quantum satis esse videbatur ad proludendum, et ad quaddam veluti caput orationi impendendum, ad ea, quæ proposueram, respondendi munus Palamæ concessit.

Β'. Τῷ δὲ καὶ αὐτῷ (89) παρὰ προσδοκίαν τοῖς τοιούτοις ἐμπεπτωκότι (οὐ γὰρ ἦν ἐν μελέταις δεήσεσθαι λόγων οὐδὲ μικρῶν εἰς ἀπάντησιν· κατορθώσειν γὰρ ᾤετο πάντ' ἐν βραχεῖ βασιλικῆς δυνάμει χειρὸς καὶ χείλεσιν ἀφθόγγοις, ὡς μηδὲν εἰς τὴν ὑστεραίαν ὑπολειφθῆναι φροντίδος λείψανον ἡμετέρας) διηπορεῖτο καθ' ἑαυτὸν, αἰσχυνόμενος γλώσσῃ κωφῇ παραθέσθαι τὸ πρᾶγμα, καὶ φωραθῆναι γυμνὸς τῶν τῷ καιρῷ προσφυῶν νοημάτων.

II. Hic vero in eam necessitatem præter opinionem ipse quoque adductus, qui sibi ad respondendum ne minima quidem oratione opus fore prævidisset (omnia quippe se, imperatoris manu et potestate, silentio ipso feliciter statim confecturum putarat, sic ut nullam postridie reliquam nostri curam habiturum se speraret), secum anxie deliberabat. Pudebat nempe eum taciturnitati rem omnem permittere, ac rationum pro tempore excogitandarum inopem sese deprehendi.

Γ'. Ὀλιγομαθὴς γὰρ οὗτος ὢν, ὅταν ἰδίᾳ τοῖς [P. 606] προτυχοῦσιν ὁμιλῇ, ἢ δι' ἀμαθίαν οὐκ ἔχουσιν ἀντιφθέγγεσθαι, ἢ διὰ φιλίαν ἐλέγχειν συστελλομένοις, ἢ τό γε μεῖζον δεδιόσι μὴ τῆς αὐτοῦ πρὸς βασιλέα διαβολῆς ἀγώνισμα γένοιντο (ταυτὸν γάρ ἐστι Παλαμᾷ τε ἀντειπεῖν καὶ τοῦ προφανοῦς διαλοιδορεῖσθαι καὶ βασιλεῖ), ἐπαινεῖσθαι ἔδοξεν ἐνίοις ἐνιαχοῦ. Ἐς δ' ὑπαίθρους ἀντιλογίας καὶ ἀντιθέσεις, κατ' ἔνστασιν ἀντιπαράστασιν ἐχούσας, εἰσαγόμενον πρόσωπον, ἀθαρσέστατός ἐστιν ἐπιεικῶς ὁ ἀνὴρ καὶ κομιδῇ ψοφοδεής· καὶ τὸ συνεχὲς ἀεὶ τῶν αὐτῷ λεγομένων καὶ γραφομένων συγχέων καὶ φθείρων ἐξ ἀμαθίας ἡμιτελῆ τινα καὶ ἡμίεργα φαίνεται κῶλα καὶ κόμματα συνυφαίνειν ταῖς τῶν λόγων ἐννοίαις· ὡς αἰνιγματώδεις εἶναι δοκεῖν αὐτοὺς καὶ ἀμφιβόλους καὶ ἀμφιῤῥέπεις καὶ οἷα τὰ βουγενῆ ἀνδρόπρωρα τοῖς θύραθεν λέλεκται φιλοσόφοις. Οὐ μόνον δ' ἐκ τοῦ γε τὴν τῶν λόγων ἀλληλουχίαν αὐτὸν διατιτρᾶν ἀσαφῆ καὶ ἀδιανόητον τοῖς ἀκούουσι τίθησι τὴν διάνοιαν, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον καὶ τοῦθ' ἁλίσκεται δρῶν ἐξεπίτηδες, ταῖς τῶν λέξεων ὁμωνύμοις καὶ διλήμμασιν νοῦν καλυπτούσαις χρώμενος· ἵνα κλέπτης ὢν ἀνασοβῇ τὴν σαγήνην τῆς ἀληθείας, ἐντεῦθεν ἐκεῖσε μετάγων τὸν νοῦν,

III. Etenim parum ille eruditus, ubi ii, cum quibus privatim forte collocutus est, vel præ ignorantia nihil contradixere, vel ob amicitiam refellere veriti sunt, vel quod gravius est, timuerunt ne ejus calumniis apud imperatorem oppugnarentur (scilicet Palamæ contradicere, et imperatori palam conviciari, una et eadem res est), alicubi et a quibusdam visus est laudari. At in apertis dicendi certaminibus, **965** ubi acri contentione et coram disputatur, in publicum et quasi in scenam productus, minime hic homo audax est, sed strepitu vel minimo facile terretur. Eorum autem, quæ sive dicit sive scribit, ordinem sic semper ex insciti confundit et pervertit, ut semifactis et dimidiatis fere periodorum membris et communis orationis suæ sententias contexere videatur. Ideirco ejus dicta ænigmatum similia sunt et ambigua, et sensu incerto suspensa, qualia illa, quæ profanis philosophis βουγενῆ et ἀνδρόπρωρα appellata sunt. Atque ille non modo continuam orationis seriem interrumpendo obscurum et iis qui audiunt intellectu difficilem reddit verborum sensum; sed plerumque id de industria facere deprehenditur homonymas et ancipitem sensum celantes dictiones

Variorum notæ.

(89) Vitiosa constructio, pro ὁ δὲ καὶ αὐτὸς παρὰ προσδοκίαν τοῖς τοιούτοις ἐμπεπτωκώς, etc. Ejusmodi antiptoses non paucas apud Gregoram observare est. Boivin.

usurpando. ut sententia hinc et inde in hanc vel illam partem translata, veritatis laqueos fuit callidus evadat. Itaque, ut de Platonis dialogis aliquis dixit, eos puerorum amoribus passim dedecorari, ita et hujus orationes vocum absurde ambiguarum multitudine fœdantur, nunc ipso invito, per insciitiam malæ menti admistam, nunc ejus voluntate, ut auditores in errorem inducantur ea fraude, quæ verborum malignitatem occultat, atque eo magis propter ambiguitatem et duplicem quodammodo dictionum frontem illis nocet, qui eas cum scientia legere haud possunt. Nempe hi vocum affinitate decepti hamum sibi erroris facillime infligunt, pro significatione propria impropriam amplexi per ignorantiam; velut passerculi et pisces, **966** qui insidiantium laqueis facile irretiuntur, et cum escam videant, latentem intus hamum non vident, adeoque, esca apprehensa, hamo subjecto attinentur. Quamobrem iste, cum irridetur, vultu quidem ipse quoque subridet: at secum tacite indignatur, et quavis morte pejus id ducit, et veritate ipsa victus præ ira disrumpitur; tum ulcisci cupit, nec potest; ideoque insolentem et maledicam linguam secum afferens ad principem, tanquam ad clypeum aut ad propugnaculum, confugit. Sic imperatoria auctoritate velut quadam armatura abtendo putat se conversa vice victorem ex victo exsistere: itidem ut infantes, qui parentum manibus sublevati, et in obvios quosque per jocum jactitati, gaudent et velut victoria exsultant et manus complodunt. Nam et iste eodem modo, velut omnium confessione victor declaratus, exsultat, nec erubescit puerilis gloriolæ ornamenta ambitiose affectare, qualia vel adolescentulum pudeat drachma aut obolo ex orchestra mercari. Litterarum quippe omnino fere rudem nactus tum alias calumnias confingit, tum illum facillime territat ea ratione, quod periclitari imperium dicat, si adversariorum argumenta ullo modo prævaleant. Ita dum ejus aures sine fine incantat et decipit, eum quocunque vult, facillime obsequentem trahit. Ferox deinde et superbus incedens, animisque elatus, totam se arbitratur ferre supercilio **967** Pieriam.

IV. Hic igitur tam frequenti spectantium cœtu ab imperatore paulisper nunc emissus et pro se ipso jussus respondere, in eas angustias adductus est, ut illa statim oblitus sit, quæ in vicis et plateis magnifice sæpe jactaverat: ac linguam titubantem et impeditam cœpit exserere. Quoniam autem orationi suæ exordium magis promptum et paratum accommodare haud poterat facillime, idcireo ei

κάκεῖθεν ἐνταῦθα. Καὶ ὥσπερ τοὺς τοῦ Πλάτωνος διαλόγους (ὡς ἔφη τις) ἄνω καὶ κάτω παιδικοὶ καθυβρίζουσιν ἔρωτες, οὕτω καὶ τούτου τοὺς λόγους ὁμωνυμίας ἐκτόπου καθυβρίζουσι σμήνη, νῦν μὲν ἄκοντος, ἀμαθίας ἀναχιρναμένης τῇ κακονοίᾳ· νῦν δ' ἑκόντος, πλάνης εἵνεκα τῶν ἀκουόντων, κρυπτούσης μὲν τὴν τῶν λόγων κακίαν, βλαπτούσης δ' ἔτι μᾶλλον, διὰ τὴν ἀμφιῤῥοπὲς τῶν λέξεων καὶ διπρόσωπον, οἷς ἂν μὴ σὺν ἐπιστήμῃ διεξιέναι ἐξῇ. Τῷ γὰρ τῆς λέξεως οὗτοι παραπλησίῳ συναρπαζόμενοι ῥᾷστα τῷ τῆς πλάνης ἀγκίστρῳ περιπείρονται, ἀντὶ τοῦ προσήκοντος τῷ μὴ προσήκοντι τοῦ σημαινομένου προστρέχοντες ἐξ ἀγνοίας, καθάπερ καὶ στρουθοὶ καὶ ἰχθύες ῥᾷστα ταῖς τῶν θηρευτῶν ἁλίσκονται παγίσιν, ὁρῶντες μὲν τὸν δόλον, οὐ συνορῶντες δὲ τὴν ἔνδον μηχανήν, καὶ τῷ μὲν δόλῳ προσφύονται, τῇ ὑποκειμένῃ δὲ συνέχονται μηχανῇ. Διὰ δὴ ταῦτα καὶ γέλωτα ὀφλισκάνων μειδιᾷν μὲν τῷ προσώπῳ δοκεῖ καὶ αὐτὸς, δεινὸν δ' ἐν καρδίᾳ καὶ παντὸς ἡγεῖται θανάτου μεῖζον· καὶ τὴν ἧτταν ἐξ ἀληθείας καρπούμενος διαπρίεται· ὑπ' ὀργῆς· καὶ ἀμύνεσθαι βουλόμενος μὲν, οὐ δυνάμενος δὲ, καθάπερ εἰς ἀσπίδα καὶ τεῖχος καταφεύγει τὸν βασιλέα, μάλα θρασεῖαν καὶ διαβάλλουσαν ἐπαγόμενος γλῶτταν· καὶ οὕτωσί πως, οἱονεί τινι πανοπλίᾳ, τῇ βασιλικῇ καταχρώμενος αὐθεντίᾳ, τοῖς νικῶσιν ἀντιπεριστᾷν τὴν [P. 607] ἧτταν δοκεῖ· καθάπερ τὰ βρέφη, ἅπερ ὁπότε ταῖς τῶν γονέων χερσὶν ἀνεχόμενα τοῖς αἰσθήτισιν ἀστείου χάριν ἀνδράσιν ἐπιῤῥίπτεῖται, χαίρει τε καὶ οἷον ἐπαγάλλεται τῇ νίκῃ, καὶ τὰς χεῖρας ἐπικροτεῖ. Τὸν γὰρ αὐτὸν καὶ οὗτος τρόπον ποιῶν ὡς ἐφ' ὁμολογουμέναις ταῖς νίκαις σκιρτᾷ, καὶ οὐκ αἰδεῖται νηπιώδη μνηθτευόμενος ἑαυτῷ καυχήματα, καὶ οἷα κἂν παῖς δραχμῆς ἐκ τῆς ὀρχήστρας ἢ ὀβολοῦ πρίασθαι (90) αἰσχυνθείη. Γράμμασι γὰρ σχεδὸν παντάπασιν ἀνομίλητον εὑρίσκων αὐτὸν (91) ἄλλας τε τίθησι συσκευάζων διαβολὰς, καὶ ῥᾷστα δεδίττεται, βασιλείας προφασιζόμενος κίνδυνον, εἰ ἐπικρατέστερά πως τὰ τῶν ἀντιθέτων λογικὰ προβλήματα γένοιτο· καὶ οὕτω κατεπᾴδων καὶ παρεξάγων τὰ ὦτα διηνεκῶς ῥᾷστα πρὸς τὸ βουλόμενον ἔχει συνεφελκόμενον· κἄπειτα μετὰ γαύρου καὶ μετεώρου περιιὼν τοῦ ἤθους καὶ τοῦ φρονήματος ὅλην ἐπὶ τῆς ὀφρύος οἴεται φέρειν τὴν Πιερίαν.

Δ'. Νῦν οὖν ἐπὶ τοσούτου θεάτρου πρὸς βασιλέως μικρὸν εἰς τὴν καθ' ἑαυτὸν ἀπάντησιν ἀφεθεὶς παρὰ τοσοῦτον ἦκε στενοχωρίας, ὥστε καὶ ἃ πολλάκις κἂν ταῖς ἀγυιαῖς κἂν ταῖς πλατείαις ἦν μεγαληγορῶν, λήθης τέως αὐτὸν, καὶ ἀκροσφαλῆ τινα καὶ παραπεποδισμένην προβτεῖνε γλῶτταν. Οὐκ ἔχων γὰρ ἐκ τοῦ ῥᾴστου προχειροτέραν τοῖς λόγοις ἀρχὴν παρασχεῖν τὸν εἰωθότα καὶ νῦν ἐβόκει βαδίζειν δρόμον,

Variorum notæ.

(90) Ὀρχήστρα proprie est *locus in quo saltatur*. Probabile autem est in quibus locis saltatores se exercebant, in iisdem venundari solitas merces frivolas, qualia sunt ludicra instrumenta, et quæ vocantur crepundia. Boivin.

(91) Atqui Cantacuzenum constat minime illitteratum fuisse, idque ipsius Gregoræ testimonio, qui supra lib. XIX, cap. I, sect. 4, *eum* dixit *jam inde ab initio humanioribus litteris operam ultro dare instituisse, multosque et omnis generis libros ambitiose conquisivisse, atque in dies noctem aliquid cum dicere tum audire impensissime studuisse*. Boivin.

κἀκεῖνον αὖθις τῆς ἀπορίας ποιεῖσθαι προκάλυμμα, καθάπερ οἱ κοχλίαι τὰ ὄστρακα καὶ τοὺς εἰωθότας καὶ ἀεὶ φερομένους οἰκίσκους. Ὃ δὲ ἦν τὸ Θαβώριον ὄρος, ᾧ καὶ πάσας πανταχοῦ τῶν οἰκείων λόγων παρεκβάσεις ἐξεπίτηδες καὶ τὴν πλείστην ὡς ἐπὶ τὸ πλεῖστον τούτῳ δίδωσι τῷ μέρει τὴν διατριβήν.

Ε'. « Ἐγὼ γὰρ (φησὶ) τῶν Πατέρων ἀκούων, τὸ ἐν ὄρει τῷ Θαβωρίῳ φῶς τοῦ Σωτῆρος λεγόντων ἄκτιστόν τε καὶ, παρὰ τὴν τοῦ Θεοῦ οὐσίαν, ἄλλην θεότητα καὶ ἐνέργειαν, οὐκ ἄν ποτε φαίην ταυτὸν ἐνέργειαν καὶ οὐσίαν Θεοῦ, οὐδὲ τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, σοφίαν καὶ δύναμιν καὶ ἁγιασμὸν καὶ ζωὴν καὶ ἀλήθειαν καὶ βουλήν. Ταυτὸν γὰρ ἂν εἴη λέγειν Θεὸν ἀνενέργητον καὶ ἄσοφον καὶ ἀδύναμον καὶ ἀβούλητον καὶ ἄζων καὶ ἁπλῶς πάντων ἐστερημένον. Εἰ γὰρ μὴ τὴν ἐνέργειαν φαίημεν διαφέρειν τῆς οὐσίας ἐκεῖ τοῦ Θεοῦ, καὶ ἄλλην τινὰ καθ' ἑαυτὴν εἶναι θεότητα ταύτην, ἥτις ἐστὶ σοφία καὶ φῶς καὶ ζωὴ καὶ δύναμις καὶ ἁγιασμὸς καὶ ὅσα ἡ θεία Γραφὴ τὸν Θεὸν ὀνομάζει, λείπεται θεὸν ἀνενέργητον οἴεσθαι σέβειν ἡμᾶς, καὶ ὅσα γε εἰρηκότες ἐφθέγμεθα. Ἢ πῶς ἂν εἴη κοινὴ τῶν τριῶν ὑποστάσεων, μὴ καθ' αὑτὴν ἀνυπόστατος οὖσα, θεότης ἑτέρα φύσεως καὶ ὑποστάσεων ἐκείνων; Ἢ [P. 608] πῶς ἄλλως ἂν εἴη κοινὴ Θεοῦ καὶ ἀνθρώπων ἐνέργεια, ἄκτιστός τε καὶ οὐσιώδης καὶ φυσική; Οὐ γὰρ θέμις τὴν οὐσίαν οἴεσθαι τοῦ Θεοῦ πρὸς τὰ γήϊνα κατιέναι καὶ σοφίζειν καὶ ἁγιάζειν καὶ ζωοποιεῖν (ἄπαγε· βλάσφημον γὰρ καὶ δαιμόνων εὕρεμα σκοτεινόν), ἀλλ' ἀφ' ἑκάστης ἕκαστα γίνεσθαι τῶν ἀκτίστων τούτων ἐνεργειῶν· ὧν οἱ μετέχοντες ἄκτιστοί τε γίνονται καὶ ἄκτιστα πράγματα, ὅσα τε νῦν καὶ ὅσα τοῖς προφήταις ἐφάνη θαυμάσια· ὧν καὶ βάτος, ἡ καιομένη μὲν, οὐ δαπανωμένη δέ· καὶ τὸ πύρινον ἅρμα τοῦ Ἠλίου, καὶ ὁ τὸν Ἰσραὴλ ὁδηγῶν πύρινος στῦλος ἐκεῖνος· καὶ ὁ τὰς ρπ' χιλιάδας τῶν Ἀσσυρίων ἐν ῥιπῇ θανατώσας ἄγγελος· προσθήσω δ' ἔτι καὶ τὴν ἀνθρώπινον ἀφεῖσαν φθέγμα τοῦ Βαλαὰμ ὄνον, καὶ ὅσα τοιαῦτα κατὰ καιροὺς ἐγεγόνει θαύματα. Οὐ γὰρ μετέχει τῆς οὐσίας οὐδαμῇ τῶν ἐν κόσμῳ κτισμάτων οὐδὲν τοῦ Θεοῦ. Τάχιστα γὰρ ἂν φθαρείη τὰ πάντα, πρὶν ἢ φθῆναι μετασχεῖν. Φθαρτικὴ γὰρ ἐκείνη καὶ ἀναλωτικὴ τοῖς ἐγγίζειν ἐπειγομένοις ἐστί. Σύμφωνα τοιγαροῦν τοῖς Πατράσι λέγοντί μοι καὶ γράφοντι μικρὰ φροντίζειν ἐπεισὶ τῶν ἐγκαλούντων. ἅπαξ θεσμοθετηθὲν καὶ ἐπιψηφισθὲν, τῇ τοῦ Βαρλαὰμ καταλέγεσθαι μοίρᾳ, καὶ ἀπολεψηφίζεσθαι σφᾶς κατ' ἐκεῖνον, ὁπόσοι μου κατηγορεῖν οὐκ ὀκνοῦσιν ἀεὶ, καὶ πολυθεΐαν καταψηφίζεσθαι, καὶ τἄλλα ὅσα σφίσιν ἠρίθμηταί τε καὶ συλλελόγισται κατ' ἐμοῦ. Ἢ οὐκ ἴσασι, ὡς ὅτε ἐμοῦ πολυθεΐαν οὗτοι καταψηφίζονται, μονοθεΐαν ἐγὼ καταψηφίζομαι σφῶν καὶ γίνεταί σφισιν ἡ κατηγορία τοῦ ἐγκλήματος μείζων; Οὐ γὰρ Ἰουδαίων καὶ Περσῶν εἰμι παῖς, ἵνα καὶ μονοθεΐτης ἀκούω, καθάπερ οἱ τάλανες οὗτοι. Εἰ δέ που ταῖς λέξεσι οὗτοι μόναις προσαχόντες ἥκιστα ταῖς διανοίαις συμβιβάζειν ἴσασιν αὐτὰς, τί τοῦτο τῇ ἀληθείᾳ λυμαίνεται, τῆς τῶν λόγων ἐννοίας ὑγιαινούσης;

visum est solitam viam ingredi, et illud rursus inopiæ suæ velamen obtendere, ut cochleæ testas et quas perpetuo gestant domos exiguas. Erat porro illud mons Thabor, ad quem iste de industria passim et semper in orationibus suis digreditur, etiu qua parte diutissime plerumque immoratur.

V. « Ego, inquit, cum Patres audiam, lumen illud, quod in monte Thabor exstitit, increatum, et aliam a Dei substantia divinitatem operationemque esse dictitantes, nunquam certe unum et idem dixerim operationem et substantiam Dei, nec Filium et Verbum Dei, sapientiam, et potentiam, et sanctificationem, et vitam, et veritatem, et consilium (vocaverim). Item quippe esset, ac si diceremu Deum expertem operationis, insipientem, impotentem, voluntate, vita, omnibus denique (attributis) carentem. Nisi enim dicamus operationem illic a substantia Dei distingui, et aliam quamdam per se divinitatem esse eam, quæ est sapientia, et lumen, et vita, et potentia, et sanctificatio, et quæcunque Deo nomina tribuit sacra Scriptura, superest ut Deum operationis expertem, et talem prorsus, qualem **988** supra diximus, colere nos arbitremur. Alioqui quomodo trium hypostaseon communis esse possit divinitas, a natura et ab illis ipsis hypostasibus diversa, nisi per se ipsam caret subsistentia? Aut quanam alia ratione communis Deo et hominibus fuerit increata et substantialis et naturalis operatio? Neque enim fas est credere substantiam Dei ad terrestria descendis e, eamdemque et sapientes facere, et sanctificare et vivificare (apage: quippe hæc blasphemia est, et dæmonum inventio tenebrosa), sed singula ex singulis hisce increatis operationibus oriri: quas qui participant, ii increati exsistunt. Item increata sunt tum ea quæ hoc tempore, tum quæcunque olim prophetis mira apparuerunt: in quibus rubus ardens et inconsumptus; igneus Eliæ currus, columna illa ignea, quæ Israelitis præivit, et is qui rapido impetu centum octoginta millia Assyriorum interfecit angelus. Quin etiam addo asinam Balaami, quæ humanam vocem emisit, et quotquot his similia miracula variis temporibus exstiterunt. Etenim ex iis, quæ in mundo sunt, rebus creatis nulla prorsus est, quæ Dei substantiam participet. Quippe omnia statim pereant prius quam hujus participes fiant; quoniam ea est vis ipsius, ut eos perdat et consumat, qui ad eam accedere cupiant. Mihi itaque cum sanctorum Patrum dictis congrua dicenti scribentique eos, a quibus accusor, parvi facere animus est: cum illud semel sanctum decretumque sit, eos omnes cum Barlaamo ponendos, et ut illum explodendos, qui haud dubitent me **989** accusare et reum agere erroris deos multos statuentis, aliorumque criminum, quæ iidem enumerarunt, et argumentando in me collegerunt. An ignorant cum ii me ut multas divinitates statuentem damnant, tam me eosdem ut unam divinitatem statuentes damnare? Hoc illis crimen gravius objicitur,

quam quo ipse accusor. Ego enim nec Judæorum nec Persarum sum filius, ut quemadmodum miseri isti unius divinitatis cultor audiam. Quod si iidem, ad solas voces attendendo, minime eas cum sententiis possunt conciliare, hoc quidem veritati quid nocet, cum sanus sit verborum sensus? »

VI. Hæc ille dixit; tum quæ constituit nunquam approbare, quibus re ipsa et bellum indicit et passim in orationibus suis vehementer adversatur, eorum partem excerptam profert. Nam sacrosancti et generalis concilii sexti acta in primis studet oppugnare et infringere, ut infra ostendetur. Hoc in sententiam, quam ob insitas labes, malignitatem dico et ignorantiam, nullo modo potest intelligere, depravat. Quod quidem more Epicureorum facit. Nam ut illi solem, quatenus apparet, pro suo captu metientes, pedalis moduli esse dicebant, sic iste mentis suæ stuporem scriptis sanctorum affingit: et quemadmodum ipse orationes suas verbis componit minime cum sententia congruentibus, ejusmodi quoque esse sanctorum scripta existimat, eaque sic male interpretatur. Quod autem unum ex sancta sexta synodo excerptum proferebat, illud fuit: per increatam **970** operationem increatam substantiam certo charactere signari; item illud ex D. Basilii scriptis: Deum ex operationibus cognoscimus; quoniam ejus substantia imparticipabilis manet.

Ϛ'. Ταῦτ' ἔλεγε· καὶ ἅμα, οἷς ἀεὶ μὴ στέργειν προῦθετο καὶ οἷς τὴν ἔργῳ παρέχεται μάχην καὶ ἀνθίσταται κωμῳδῇ τῶν λόγων αὐτοῦ πανταχῇ, τούτων μέρος ἀπειλήφως προεκόμιζε. Ταῖς γὰρ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου πράξεσι προδρόμου ποιούμενος μάχεσθαί τε καὶ ἀντιπράττειν, ὡς προλοῦσι δεδιχθήσεται, διαφθείρας τὸν νοῦν, ἐκ τοῦ μηδαμῇ συνιέναι δύνασθαι, διὰ τὰς ἐμφύτους κῆρας τῆς τε κακοηθείας καὶ ἀμαθίας, ὅμοιον ποιῶν τοῖς Ἐπικουρείοις· ὡς γὰρ ἐκεῖνοι, τῇ σφετέρᾳ δυνάμει τὸ τοῦ ἡλίου παραμετροῦντες φαινόμενον, ποδιαῖον τὸν ἥλιον ἀπεφαίνοντο εἶναι, οὕτω καὶ οὗτος τὴν ἀμβλύτητα τῆς ἑαυτοῦ διανοίας ταῖς τῶν ἁγίων προσνέμει [P. 609] Γραφαῖς· καὶ ὥσπερ ἀσυμφώνους τῇ διανοίᾳ τὰς λέξεις τοῖς οἰκείοις συντίθησι λόγοις αὐτὸς, οὕτω καὶ τῶν ἁγίων οἴεται τὰς γραφὰς, καὶ οὕτω ταύτας παρεξηγεῖται. Ἦν δ', ὃ τῆς ἁγίας ἕκτης συνόδου μόνον ἀπειλήφως προὔτεινε, τὸ τὴν ἄκτιστον ἐνέργειαν ἄκτιστον οὐσίαν χαρακτηρίζειν· κἀκ τῶν τοῦ θείου Βασιλείου τό, Ἐκ τῶν ἐνεργειῶν γνωρίζομεν τὸν Θεόν· ἡ γὰρ οὐσία αὐτοῦ μένει ἀμέθεκτος.

CAPUT III.

Quo consilio Palamas D. Basilii et concilii œcumenici sexti verba protulerit. Sanctos Patres laudat, nec nominat. Operationem et substantiam idem esse in Deo constat ex illis ipsis testimoniis ab eo allatis. Item ex verbis sanctorum Athanasii et Cyrilli. In divinis notiones nominibus minime respondent. Quæ ex duabus rebus (substantia et operatione) constant, ea non sunt simplicia, sed duplicia. D. Maximus de binario numero. Conclusio.

I. Porro hæc ille non ideo dicebat, quod verborum mentem assequi posset, ut postea ostendemus. Etenim quascunque ejus blasphemias audivistis, illas ne arbitremini sic prætermissuros esse nos, ut non redarguamus. Ac earum quidem aliæ paulo supra nostris disputationibus et Scripturæ testimoniis refutatæ jam fuerunt; alias, Deo juvante, ut aranearum telas, ulterius progressi resolvemus. Illa itaque, non quia intelligeret, proferebat; sed ubi nos vidit sacris Scripturis armatos et cumulatissime instructos, veritus ne ab ipsis (ut aiunt) carceribus infelicem exitum sortiretur, expedire sibi credidit antequam ventum esset ad majus perfectiusque examen, vulgi auribus arrectis ac suspensis, ostendere se ipsum quoque sacras synodos et sanctos Patres habere suis blasphemiis patrocinantes, et hanc veluti escam errori suo tanquam hamo circumjectam simpliciori cuique porrigere.

II. Enimvero cum hanc formulam, « ut sancti Patres loquuntur, » subinde repetit, obscuram scilicet et incertam, non declarans quinam ii sint, nec quæ dicant, eum puto non alios Patres in animo habere, nisi semetipsum, et quotquot jampridem in eosdem quibus ipse errores prolapsi sunt. Quippe, eo excepto, nunquam alius quisquam **971** ex omnibus ad hanc diem usque ab eo aut a nobis repertus est, qui sic vel scripserit vel senserit. Alioquin hic protulisset et se ipso loquacior, om-

Α'. Ταῦτα δ' οὐχ ὅτι τὸν νοῦν εἰδέναι δυνάμενος ἔλεγεν, ὡς δειχθήσεται προῖοῦσιν ἡμῖν (μηδὲ γὰρ ἀνελέγκτους ἡμῖν οἴεσθε παραδραμεῖσθαι κἀκείνας ὁπόσας ἠκηκόειτε βλασφημίας αὐτοῦ. Αἱ μὲν γὰρ καὶ προκαταλέλυνται μικρὸν ἀνωτέρω, λόγοις θ' ἡμετέροις καὶ γραφικαῖς μαρτυρίαις· αἱ δὲ προῖοῦσιν ἡμῖν ἴστὸς ἀράχνης σύν γε Θεῷ φανήσονται), οὐχ ὅτι τοίνυν οἶδεν ἐκεῖνα προὔτεινεν· ἀλλ' ὁρῶν ὡπλισμένους ἡμᾶς καὶ σφόδρα τοι πεφραγμένους ἀφθόνοις ταῖς θείαις Γραφαῖς, δεδιὼς μὴ ἀπὸ πρώτης, ἃ φασι, γραμμῆς κληροῦχος τῆς ἥττης γένηται, πρὶν εἰς ἐξέτασιν μείζω καὶ τελειοτέραν ἐληλυθέναι, συμφέρειν ἔδοξεν αὐτῷ, μετεωρίσαντι τὰς τῶν πολλῶν ἀκοὰς, δεῖξαι καὶ ἑαυτὸν τὰς θείας συνόδους ὁμοῦ τοῖς ἁγίοις Πατράσι συναιρόμενας ταῖς βλασφημίαις αὐτοῦ κεκτημένον, δέλεαρ τοῦτο τοῖς ἁπλουστέροις προτείνων, τῷ χαλκῷ τῆς ἀσεβείας αὐτοῦ περικείμενον.

Β. Ἐκεῖ καὶ ὅταν συχνὰ ἐπιφέρῃ, κατὰ τοὺς θείους λέγειν Πατέρας, τυφλὸν καὶ ἀσαφὲς τοῦτ' ἐπιφέρων μήθ' οἵτινές εἰσιν οἱ λέγοντες, μήθ' ἃ λέγουσιν ἀποσαφῶν, οὐκ ἄλλους ἐν νῷ ἔχειν οἶμαι Πατέρας αὐτὸν, ἢ ἑαυτὸν καὶ ὅσοι κατ' αὐτὸν κακόδοξοι πάλαι γεγένηνται. Πλὴν γὰρ αὐτοῦ οὐθ' εὕρηταί ποθ' οὕτω γραφόμενά τε καὶ νοούμενά τῳ τῶν ἁπάντων ἑτέρῳ μέχρι καὶ ἐς τὴν τήμερον οὐδενὶ οὔτε πρὸς αὐτοῦ, οὔτε πρὸς ἡμῶν, οὔτε πρὸς ἑτέρου τῶν ἁπάντων οὐδενός. Ἢ γὰρ ἂν ἐτίθει τε καὶ τὰς ἀ-

παντων ἀκοὰς περιηύλει, [P. 610] λαλίστερος ἑαυτοῦ γιγνόμενος, καὶ περιεκρότει πλέον ἢ θαλάττης ὑβριζούσης φλοίσβοι παραλίους πέτρας.

nium aures circumsonando et perstrependo, fremitum maris vicisset, circum saxa maritima debacchantis.

Γ'. Ὅτι γὰρ ἀνωτέρω (92) μικρὸν πρὸς τοῦ σοφωτάτου δέδεικται Πατρὸς ἐκείνου τοῦ Γραπτοῦ Θεοδώρου, ὅτε τὰς τοῦ μεγάλου φωστῆρος τῆς Ἐκκλησίας Βασιλείου ῥήσεις διερμηνεύων προσεκόμισταί μοι, ἐπὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου λέγων φύσεως τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον τὴν ἐνέργειαν τῇ οὐσίᾳ· (πρᾶγμα γὰρ αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, ὁπότερον ἂν ἐθέλοι τις, ἀπεφήνατο) δῆλον παντί που. Ὅτι δὲ καὶ τοῦτ' ἐκείνῳ (93) κατὰ ταυτὸν κομιδῇ λαμπρῶς συναποδείκνυται, δῆλον ἂν εἴη καὶ τοῦτο τοῖς βουλομένοις. Τὸ γὰρ ἄκτιστον ἐνέργειαν ἄκτιστον οὐσίαν χαρακτηρίζειν, εἰπόντα, μήτε μὴν διαφορὰν ἀκτίστου πρὸς ἄκτιστον, (πῶς γὰρ, ὅ τοῖς πᾶσιν ὁμοῦ Πατράσιν ἀπείρηται, μηδὲν τῆς θείας καὶ τρισυποστάτου φύσεως ἕτερον ἄκτιστον εἶναι διαῤῥήδην ὁμολογοῦσι;) μήθ' ὅτι ἕτερον θατέρου θάτερον, τὴν πρὸς ἐκεῖνα δεικνύντος ἐστὶ συμφυΐαν τε καὶ ταυτότητα. Μηδὲ γὰρ ἄν ποτε φύσιν ἔχειν, ἐν τοῖς οὕτως ἀναγκαίοις διαφωνεῖν τοὺς ἁγίους. Ὡς γὰρ ἐκεῖ λόγων ταυτότης, οὕτως ἐνταῦθα τὸ χαρακτηρίζειν εἰς ἕνωσιν ἄγει τὰ τῇ λέξει δύο δοκοῦντα. Τὸ γὰρ χαρακτηρίζειν τῷ δηλοῦν ταυτόν ἐστιν, ὡς ἂν εἰ ἔλεγεν· Ἡ ἄκτιστος ἐνέργεια, ἐπεὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου λέγεται φύσεως, αὐτὴν τὴν ἄκτιστον οὐσίαν χαρακτηρίζει, καὶ δηλοῖ, καὶ παρίστησι. Καὶ ἅμα βεβαιοῖ μοι τὸν λόγον ὁ χαρακτὴρ καὶ ἡ ἀπαράλλακτος τοῦ Πατρὸς εἰκὼν, ὁ Υἱός.

III. Idem quippe esse substantiam et operationes divinas paulo supra demonstratum esse, cuilibet patet; illic scilicet, ubi sapientissimum Patrem Theodorum Graptum, magni Ecclesiæ luminis D. Basilii verba interpretantem, atque in simplici et incorporea natura definitionem eamdem operationi ac substantiæ convenire dicentem, produximus. Quippe utramlibet definiendam esse dixit, rem per se subsistentem, nec ad consistendum alia re indigentem. Sed et luculentissime hoc ipsum illo concilii generalis sexti testimonio pariter demonstrari, evidens cuivis futurum est. Nam qui per increatam operationem substantiam increatam certo charactere signari dicit, ac neque aliquam increati ab increato differentiam indicat, (quomodo autem indicaret, contra omnium simul Patrum auctoritatem, qui nullum aliud, præter divinam in tribus hypostasibus naturam, increatum esse diserte confitentur?) neque alterum ab altero diversum esse ait, is certe illarum rerum naturalem conjunctionem et identitatem declarat. Nec enim in iis quæ adeo necessaria sunt, sanctos dissentire ratio patitur. Nempe ut illic definitiones eædem, ita hic ipsum χαρακτηρίζειν, quod est certo charactere signare, unum efficit **972** ea, quæ si nomen species, videntur duo esse. Nam χαρακτηρίζειν idem est ac denotare. Perinde est igitur ac si dixisset, increata operatio, quoniam simplicis et incorporeæ naturæ esse dicitur, substantiam ipsam increatam denotat, designat, et repræsentat. Atque id, quod dico, eo confirmatur, quod Filius sit Patris character et indiscreta imago.

Δ'. Εἰ δὲ βούλεσθε, καὶ μαρτυρίας ἐγὼ προσενεγκεῖν οὐκ ὀκνήσω μυρίας διαφόρων Πατέρων, ἃς κατὰ τῶν ὁμοίων τῇ δόξῃ τἀνδρὶ τουτωὶ καλῶς ποιοῦντες ἐκεῖνοι πάλαι γεγράφασιν. Αὐτίκα τοίνυν ὁ μέγας φησὶν Ἀθανάσιος· « Οὐκ ἀμφίβολον, ὅτι αὐτός ἐστιν ἡ τοῦ Πατρὸς ζῶσα βουλὴ καὶ ἐνούσιος ἐνέργεια, καὶ Λόγος ἀληθινός. » Καὶ πάλιν· « Ἑνὸς ὄντος Υἱοῦ, τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωὴν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεὰν, ἥτις ἐκ Πατρὸς ἐκπορεύεται. » Καὶ πάλιν· « Ἀλλ' οἱ ἀσεβεῖς οὐ θέλουσι Λόγον καὶ βουλὴν ζῶσαν εἶναι τὸν Υἱὸν, περὶ δὲ τὸν Θεὸν βούλησιν καὶ φρόνησιν καὶ σοφίαν, ὡς ἕξιν συμβαίνουσαν καὶ ἀποσυμβαίνουσαν. »

IV. Ego autem libenter testimonia infinita, quæ Patres varii adversus homines huic similes et idem sentientes olim scripserunt (et ii quidem recte) vobis, si vultis, producam. Statim igitur magnus Athanasius: « Non dubium est, ait, quin ipse sit vivum Patris consilium, et operatio substantialis, et Verbum verum. » Ac rursus: « Cum unus sit Filius, Verbum vivum, unam esse oportet perfectam et plenam, sanctificam et illuminatricem vitam, ejus operationem et donum, quæ ex Patre procedit. » Rursus: « At impii nolunt Filium esse Verbum et consilium vivum, sed voluntatem, et prudentiam, et sapientiam, quæ sit apud Deum, tanquam habitus accedens et recedens. »

Ε'. Καὶ ὁμοίως ὁ θεῖός φησι Κύριλλος· « Εἰ ὁ Υἱός ἐστιν ἡ ζῶσα καὶ οὐσιώδης ἐνέργεια καὶ δύναμις καὶ σοφία τοῦ Πατρὸς, ἐνέργεια πάντως καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ [P. 611] ἅγιον. » Καὶ πάλιν· « Οὐκ ἀλλότριόν ἐστι τῆς θείας οὐσίας τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐνέργεια φυσική τε καὶ οὐσιώδης καὶ ἀνυπόστατος. »

V. Pariter D. Cyrillus: « Si, inquit, Filius est viva et substantialis operatio, et potentia, et sapientia Patris; plane etiam Spiritus sanctus operatio est Filii. » Rursus: « Spiritus sanctus non est a substantia divina alienus, sed est operatio naturalis, substantialis, et per se subsistens. »

Ϛ'. Ὁρᾷς μαρτυρίας κομιδῇ σαφεστάτας, καὶ

VI. Vides testimonia prorsus clara et perspicua,

Variorum notæ

(92) Lib. XIX, cap. 4, sect. 7. Boivin.
(93) Quod Palamas ipse attulit superiori cap. sect. 6. Boivin

quæ quivis statim intelligit, quæ nihil ænigmati A simile, nihil obscurum habent, sed aperte et diserte **973** nobis declarant, in simplici et divina natura eamdem esse operationem et substantiam, et hanc quasi αὐτοενέργειαν esse, ut fusius supra demonstratum est. Vides ut eos qui hæc non sentiunt, palam impios vocent sancti Patres, et quæ præterea addant. Jam vero iidem sancti, cum et Filium et Spiritum operationem Patris esse dicunt, quid aliud innuunt, nisi idem esse substantiam et operationem?

VII. Quod si demus, ut in compositis, ita et in Deo notiones dictionibus, prout hæc sonant, respondere; non duplex modo, ex substantia scilicet et operatione conflatum, sed et valde multiplex erit id, quod simplex est. Quid enim putet is, qui sanctos audiat dicentes: Unum Deum, unum principium æternum, increatum, non factum, unam substantiam, unam divinitatem, unam virtutem, unam voluntatem, unam operationem, unam potentiam, unam dominationem, unum imperium, in tribus hypostasibus perfectis una adoratione adorandum? Numquid illi Deum multiplicem et varium et ex multis rebus compositum dicunt? Apage. Nam id quomodo dicant, qui horis omnibus, omni tempore curaverunt, ut secum ipsi semper et inter se invicem consonarent, ac ut nihil prorsus de his unquam pronuntiarent, quod plus minusve dissonum furet? Deum quippe aiunt simplicem esse et compositionis expertem: quod autem ex pluribus et variis rebus constet, id esse compositum. Etenim, inquiunt, si increatum, et careas principio, et incorporeum, **974** et immortale, et æternum, et bonum, et creandi vim habens, et alia ejusmodi, in Deo substantiales differentias esse dixerimus, quod ex tot rebus constabit, id non simplex erit, sed compositum; quod est extremæ impietatis. Vides?

VIII. At si in his ita se res habet, quidni et in iis, quæ duo sunt, pariter duplicitas aliqua et differentia intelligatur, substantiæ videlicet subjectæ, et operationis, quæ illic secundum Palamam diversa res est? Nam quæ est duplex, ea nec una, nec simplex, nec principio carens, nec infinita res est, sed composita et finita.

IX. Ac præter alios divus Maximus hac de re sic loquitur: « Quod est duplex, id nec infinitum est, nec principio carens, nec immobile, neque etiam principium ullius rei esse poterit. » Rursus: « Nemo autem, rationis utcunque particeps, infinitum esse illud dixerit, cui aliquid substantia diversum coexsistens vel inexsistens intelligitur. » Et paulo post: « Etenim si qua ratione, aut si ullo modo aliud quid substantia diversum posse ei comparari dicemus, hoc ipso totius infinitatis totam rationem simul ab eo tolleremus. Quod si infinitum esse illud non potest, cui ab æterno coexsistit aliquid substantia diversum, nullo unquam modo

Β πᾶσι γνωρίμους αὐτόθεν, καὶ μηδὲν μήτε αἰνιγματῶδες μήτε γρῖφον ἐχούσας, ἀλλ' ἐμφανῶς καὶ διαρρήδην ἀπαγγελλούσας ἡμῖν, ἐπὶ τῆς ἁπλῆς καὶ θείας φύσεως τῇ οὐσίᾳ ταυτὴν τὴν ἐνέργειαν εἶναι, καὶ οἷον αὐτοενέργειαν τὴν οὐσίαν, ὡς ἀνωτέρω (94) που δέδεικται διαρκέστερον. Ὁρᾷς δ' ὡς καὶ ἀσεβεῖς προφανῶς τοὺς μὴ ταῦτα βουλομένους ἀποκαλοῦσι οἱ θεῖοι Πατέρες, καὶ ὅσα ἐπὶ τούτοις ἔτι φασίν. Ἄλλως τε καὶ τὸ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς ἐνέργειαν φάσκειν τοὺς ἁγίους, τί δηλούντων ἐστὶν ἕτερον, ἢ τὸ τῆς οὐσίας καὶ ἐνεργείας ταυτόν;

Γ'. Εἰ γὰρ τῇ τῶν λέξεων δοίημεν προφορᾷ καθάπαξ ἕπεσθαι τὰς ἐννοίας, καθάπερ ἐπὶ τῶν συνθέτων, οὕτω καὶ ἐπὶ Θεοῦ, οὐ διπλοῦν ἔσται μόνον τὸ ἁπλοῦν, ἐξ οὐσίας δηλαδὴ καὶ ἐνεργείας συγκείμενον, ἀλλὰ καὶ σφόδρα γέ τοι πολλαπλοῦν. Τί γὰρ ἂν φαίη τις, τῶν ἁγίων ἀκούων λεγόντων, ἕνα Θεὸν, μίαν ἀρχὴν αἰώνιον, ἄκτιστον, ἀγένητον, μίαν οὐσίαν, μίαν θεότητα, μίαν δύναμιν, μίαν θέλησιν, μίαν ἐνέργειαν, μίαν ἐξουσίαν, μίαν κυριότητα, μίαν βασιλείαν, ἐν τρισὶ τελείαις ὑποστάσεσι γνωριζομένην μιᾷ προσκυνήσει; Μὴ πολλαπλοῦν καὶ ποικίλον καὶ πολυσύνθετον λέγουσι τὸν Θεόν; Ἄπαγε· πῶς γὰρ, οἷς καὶ πᾶσαν ὥραν καὶ καιρὸν ἐμέλησε, σφίσι τε αὐτοῖς καὶ ἅμα ἀλλήλοις ὁμόφωνα λέγειν ἀεὶ, καὶ μὴ μᾶλλον μηδ' ἧττον ἀντίφωνον περὶ τῶν τοιούτων μηδὲν μηδαμῇ μηδεπώποτε φθέγξασθαι; Ἁπλοῦν γάρ φασιν εἶναι τὸ Θεῖον καὶ ἀσύνθετον· τὸ δ' ἐκ πολλῶν καὶ διαφόρων συγκείμενον, σύνθετον. Εἰ γὰρ τὸ ἄκτιστον, φασὶ, καὶ ἄναρχον καὶ ἀσώματον καὶ ἀθάνατον καὶ αἰώνιον καὶ ἀγαθὸν καὶ δημιουργικὸν καὶ τὰ τοιαῦτα οὐσιώδεις διαφορὰς εἴποιμεν ἐπὶ Θεοῦ, τὸ ἐκ τοσούτων συγκείμενον οὐχ ἁπλοῦν ἔσται, ἀλλὰ σύνθετον· ὅπερ ἐσχάτης ἀσεβείας ἐστίν. Ὁρᾷς; quod ex tot rebus constabit, id non simplex erit, Vides?

Δ'. Εἰ δ' οὕτως ἐπὶ τούτων, πῶς δ' οὐκ ἂν καὶ ἐπὶ δυάδος ὁμοίως νοηθείη διπλόη τις καὶ διαφορὰ τῆς ὑποκειμένης οὐσίας πρὸς τὴν ἐνέργειαν; ἐκεῖ διάφορον κατὰ τὸν Παλαμᾶν οὖσαν; ἡ γὰρ δυὰς οὐχ ἕν, οὐδ' ἁπλοῦν, οὐδ' ἄναρχον, οὐδ' ἄπειρον, ἀλλὰ σύνθετον ἐκπεπερασμένον.

Θ'. Πρὸς γὰρ τοῖς ἄλλοις καὶ ὁ θεῖος τάδε περὶ τῶν τοιούτων διέξεισι Μάξιμος. « Ἡ δυὰς οὔτ' ἄπειρος, οὔτ' ἄναρχος, οὔτ' ἀκίνητος, οὔτε μὴν ἀρχή τινος εἶναι δυνήσεται. » Καὶ πάλιν· « Οὐδείς δέ, [P. 612] μεμοιραμένος ὁπωσοῦν τοῦ λογίζεσθαι, εἴποι ἂν ἄπειρον εἶναι, ᾧ ἐξ ἀϊδίου συνθεωρεῖταί τι ἢ συνεπιθεωρεῖται κατ' οὐσίαν διάφορον. » Καὶ μετ' ὀλίγον· « Καθ' ὃν γὰρ εἴποιμεν λόγον ἢ τρόπον δύνασθαί τι ἕτερον αὐτῷ κατ' οὐσίαν διάφορον παραβάλλεσθαι, τὸν ὅλον τῆς ὅλης ἀπειρίας αὐτῷ συναφαιρούμεθα λόγον. Εἰ δ' ἄπειρον εἶναι οὐ δύναται, ᾧ ἐξ ἀϊδίου συνυπάρχει ἕτερόν τι κατ' οὐσίαν διάφορον, ἄπειρον εἶναι οὐδαμῶς ἐνδέχεται

Variorum notæ.

(94) Libro superiore cap. 4, sect 7. Bonn.

δυάδα. » Καὶ ἀλλαχοῦ· » Οὐδὲν τῶν ὄντων ἄναρχον, ᾧ ἕτερον συνεπινοεῖται, οὐδ' ἀπερίγραπτον, οὗ τι ἕτερον προεπινοεῖσθαι δύναται. » Εἰ δέ τις μὴ ῥᾳθυμοτέραν πως ἔσχε τάξιν περὶ γε τὰ τοιαῦτα, ἀναγνώτω καὶ τῆς περὶ θεολογίας ἑκατοντάδος τουτουὶ τοῦ ἀνδρὸς κεφάλαια γ', δ', ε', ς', πολλὴν τοῖς ῥηθεῖσι διασώζοντα τὴν συμφωνίαν.

A contingel, ut quod duplex est, id sit infinitum. » Et alibi : « Nullum ens est principii expers, cui aliud inexsistens cointelligitur ; nec incircumscriptum, quo quid prius intelligi potest. » Quod si quis ad ea inquirenda segnior haud fuerit, legat ex centum capitibus, quæ hic vir de theologia scripsit, tertium, quartum, quintum **975** et sextum, quæ cum supradictis valde consonant.

Ι'. Εἰ οὖν μήτε προεπινοεῖσθαι μήτε συνεπινοεῖσθαι τῇ θείᾳ δύναταί τι ἕτερον οὐσίᾳ, πῶς ἕτερον καὶ διάφορον οὖσα κατὰ τὸν Παλαμᾶν ἡ ἐνέργεια θεότης ἄκτιστος ἂν εἴη, πάντος τοῦ μετὰ τὴν οὐσίαν ἐκείνην συναριθμουμένου τοῖς κτίσμασιν ;

X. Si igitur divinæ substantiæ nihil diversum nec præintelligi potest nec cointelligi, eoquomodo operatio, quam Palamas aliud diversumque esse dicit, divinitas increata fuerit ; cum quidquid posterius est illa substantia, in creaturarum numero sit ?

B

CAPUT IV.

Gregoras æger et jejunus disputandi munus sociis tradit, qui et ipsi commentarios scripsere de suis cum Palama certaminibus. Vetera in Barlaamum decreta rursus leguntur. Palamitæ ad lumen Thaboricum perpetuo recurrunt. De gloria divina impium dogma apud synodum explicant. Orthodoxorum unus indignabundus exclamat. Minis terretur et obmutescit. Concilium dimittitur. Populus in Palamitas sævit. Orthodoxis favet et gratulatur. Hi, quanquam superiores, tamen suam sententiam adversariis approbare non potuerunt. Animus principi aversus et durus. Quinam vere injuriam patiantur.

Α'. Ὅτι δὲ μὲ, καὶ πλείω προθυμούμενον λέγειν, ἧκιστα συνεχώρουν αἱ συνήθεις τῆς κεφαλῆς ἀλγηδόνες (ἡ γὰρ τῶν σπλάγχνων δριμύτης, αὔξην εἰληφυῖα μακρὰν ἐκ τῶν λογισμῶν ἀγώνων ἐκείνων, καὶ ἅμα τοῦ τῆς ὥρας καύματος, καὶ πρός γε τῆς πανημερίου νηστείας, καὶ ἄκοντα μάλα συνώθει σιγᾷν. Οὐ γὰρ ἐξ ἐωθινοῦ ταῖς Συβαριτικαῖς ἐκείναις τραπέζαις καὶ ἡμεῖς κατὰ τοὺς παλαμναίους ἐνηχολήμεθα, οὐδ' ὅσα Διονύσου περιχορεύουσι θίασοι διατριβὴν παρέχειν ἐγνώκειμεν, ἀλλὰ πανύχιοί τε καὶ πανημέριοι φροντίδες καὶ θείων κινδυνευόντων μελέται δογμάτων τὴν ἡμῶν ἀπησχόλουν τότε ψυχήν). Διὸ καὶ τὸν λόγον οἱ σὺν ἐμοὶ λογάδες ἄνδρες ἐκεῖνοι διαδεξάμενοι, ὧν τὸν βίον ἔφθημεν εἰρηκότες ἀρετὴν ὁμοῦ καὶ σοφίαν κοσμεῖν, [P. 613] ἄριστά τε καὶ τελεώτατα διειλέχθησαν, καὶ μάλα γενναίαν τὴν ὑπὲρ τῆς ἀληθείας ἐνδειξιν ἐνεδείξαντο. Ῥᾴδιον δ' ἔσται κἀκεῖνα μανθάνειν τοῖς βουλομένοις ἐξ ὧν κἀκεῖνοι γεγένηται ὑπομνήματα (95). Οὐδὲ γὰρ σιγῇ κρύψαντες οὐδ' αὐτοὶ λήθης ἀφῆκαν κληροῦσθαι βυθούς· ἀλλ' ὅσον ὁ τοῦ διωγμοῦ καιρὸς καὶ αὐτοῖς ὁμοίως ἡμῖν συγχεχώρηκε, γραφῇ τὰ τοιαῦτα παρέπεμψαν, καὶ, ὅσον ἐφικτὸν, τὰ τῆς Ἐκκλησίας ἐξετραγῴδησαν ἕκαστος πάθη, μήπου καὶ τοῖς ὀψιγόνοις αἱ τῶν ἀντιθέτων πλεονεκτήσασαί πως διαβολαὶ τὰς ἀπειροκάλους λυμήνωνται διανοίας, οὐ σιδήρῳ καὶ πυρὶ καὶ ὅπλοις βαρβαρικοῖς, ἀλλὰ τῇ τῆς πολυμιγοῦς αἱρέσεως ἐκείνης κακίᾳ, θάνατον ἀθάνατον τῇ ἀθανάτῳ ψυχῇ προξενήσασαι.

I. Plura me dicere cupientem solitus capitis dolor non sivit. Quippe et viscerum acrimonia, quam illorum certaminum curæ, et illius tempestatis calor nimius, simulque inedia toto die tolerata, valde auxerant, quantumvis nolentem me ad silendum compulit. Non enim, ut impii Palamitæ, Sybariticis illis mensis mane operati ipsi quoque fueramus ; nec in iis, quæ Bacchi chorus frequentat, tempus conterendum esse censueramus : sed animum nostrum per illud tempus occupaverant perpetuæ diu noctuque sollicitudines, et sacrorum dogmatum in discrimen adductorum commentationes. Itaque illi, quos virtute simul et doctrina ornatos supra diximus, lectissimi viri, qui mecum aderant, dicendi munere suscepto, optime et copiosissime disputarunt, ac veritatis fortiter defendendæ nobile exemplum ediderunt. Facile autem erit volenti cuique illa discere ex commentariis, quos ii etiam fecerunt. Nam nec ipsi ea silentio pressere, nec obruenda oblivioni tradidere : sed quatenus persecutionis tempus iis quoque permisit, litteris mandaverunt, et Ecclesiæ mala singuli, quantum licuit, **976** tragice lamentati sunt, ne forte apud posteros calumniæ adversariorum, postquam superiores quodammodo evasissent, rudis vulgi mentes inficerent, animæque immortali non ferro, aut igne, aut barbaricis telis, sed illius miscellaneæ hæreseos labe, mortem immortalem afferrent.

C

D

Β'. Ἄρτι δὲ καὶ νὺξ ἐπιοῦσα ἠρέμα καὶ κατὰ βραχὺ τὰς ἡλιακὰς αὐγὰς ἐπεβάστευτο, καὶ τὰ τῆς ἡμέρας συνέστελλε κράσπεδα, καὶ τῶν ἀνθρωπίνων ὀφθαλμῶν τὸ καθαρῶς ἐν οἴκοις βλέπειν ἀφῃρεῖτο, καὶ λαμπάδες (96) πυρὸς εἰσεφέροντο, φῶτα κτιστὰ κομίζουσαι· καὶ ἅμα ἀνεγινώσκοντο πάλιν, ἃ κατὰ

II. Jam autem et nox adveniens sensim et paulatim solis lumen absumebat, et extremas diei oras sic condebat, ut in domibus non clare hominum oculi cernerent ; jam igniferæ lampades allatæ creata lumina apportabant, cum rursus lecta sunt ea quæ multo ante tempore adversus Barlaamum illum

Variorum notæ.

(95) Vide Joan. Cyparissiot. *Palamicarum transgressionum* lib. I, serm. 4, cap. 10 in fine. Boivin.

(96) Alludit ad opinionem Palamæ de lumine increato Boivin.

Calabrum de divino lumine decreta fuerant. Hic scilicet illis perpetuus mos est. Nullum usquam aliud diverticulum, nullum nisi hoc cladi suæ obtendendum velum habent; adeoque circa illum montem coguntur semper versari, et subinde illuc per fraudem sese recipere, ne forte ea quæ iidem usque in sinu fovent et nutriunt iconomachiæ orgia, velut in maris fluctus delata, silentio alto sensim mergantur.

τοῦ Βαρλαὰμ ἐκείνου τοῦ Καλαβροῦ περὶ τοῦ θείου φωτὸς ἐψήφισται πάλαι πολύν τινα χρόνον, κατὰ τὴν σφετέραν ἀεὶ συνήθειαν. Μηδὲ γὰρ ἄλλην ἔχοντες ἀποστροφὴν οὐδαμῆ, μηδὲ προκάλυμμα τῆς σφετέρας ἥττης οὐδέν, περὶ τὸ ὄρος ἐκεῖνο διηνεκῶς ἐξ ἀνάγκης εἱλοῦνται, καὶ συχνὴν παρ' ἐκεῖνο κακούργως ποιοῦνται τὴν ἀναχώρησιν, μὴ λάθῃ ῥοθίοις ἴσως παρενεχθέντα σιγῆς τὰ σφίσιν ἀεὶ τιθηνούμενά τε καὶ γαλακτοφορούμενα τῆς εἰκονομαχίας ὄργια.

III. Cum itaque nos damnati silentio essemus, et eorum quæ illic dicta fuerant pleraque hi pro sua voluntate interpretarentur; et quam Joannes Damascenus ὑπερτελῆ et προτέλειον gloriam vocat, isti divinitatem inferiorem, aliam ab substantia divina, ac per se quidem increatam, infinities autem infinite ab illa diversam et omnino alienam, denique substantiæ expertem esse dictitarent; **977** quidam ex nostris, animo vehementius commoto, exclamare ausus est: « O cœlum! ecquid igitur de incarnato Verbo Deo dicendum erit? Quando enim hæc nihil potest supra se habere (quomodo autem possit, quæ super omnia et præ omnibus perfecta est? nam quæ est summe perfecta, ea nihil est perfectius), apparet eum majori subesse, inferiorisque esse divinitatis, et creaturam unam de multis exsistere. Atque ita statim tollitur magnum incarnationis mysterium; tolluntur omnia, simul quasi collecta, Ecclesiæ dogmata; nec jam hujusce rerum universitatis conditorem alium agnoscere est, præter istam, novis decretis nova doctrina constitutam, substantiæ expertem, et alteri subjectam divinitatem. Proinde inanis est ea, quæ hactenus viguit, orthodoxorum religio: deletur ipse quodammodo exercitus sanctorum, qui ea quæ Palamas prædicat non intellexerunt. Proh tuam, Christe, patientiam! » His dictis, gravissime correptus est, exterritusque obmutuit. Nimirum hæc illi vox reddita: non licere ei, qui solem postera die incolumis vellet aspicere, principum voluntati decretisque in mediis palatiis refragari. Cum autem et alia multa ibidem ab illis, prout principi libebat, dicta essent, concilium dimissum est ea lege, ut triduo post ad similem concionem rursus convocati adessemus. Sed illud pene me præteriit.

Γ'. Σιγῆς οὖν ἡμῶν καταψηφισθείσης, καὶ τῶν ἐκεῖ ῥηθέντων (97) τὰ πλείω κατὰ τὸ σφίσι βουλόμενον ἐξηγουμένων αὐτῶν, καὶ ἦν ὁ ἐκ Δαμάσκου φησὶ Ἰωάννης ὑπερτελῆ καὶ προτέλειον δόξαν, ἐκείνων ὑφειμένην ἀποδεικνύντων εἶναι θεότητα, τῆς θείας ἑτέρων οὐσίας, καὶ ἄκτιστον μὲν καθ' ἑαυτήν, διαφέρουσαν δ' ἀπειράκις ἀπείρως, καὶ ἠλλοτριωμένην ἐκείνης παντάπασι, καὶ ἀνούσιον, ἐτόλμησέ τις τῶν ἡμετέρων, « Ὦ ἥλιε, » περιπαθῶς ἀναβοῆσαι καὶ, « Τί ἄν τις (φάναι) φαίη περὶ τοῦ σαρκωθέντος Λόγου Θεοῦ; ἐπεὶ γὰρ ὑπὲρ ταύτην οὐ δύναταί τι ὑπάρχειν (πῶς γάρ, ὑπερτελῆ καὶ προτέλειον οὖσαν; τῆς γὰρ ὑπερτελοῦς οὐδὲν τελεώτερον), ἔοικεν αὐτὸν ὑποβεβηκότα καὶ τῆς ὑφειμένης ταύτης εἶναι καὶ τῶν κτισμάτων πολλῶν. Καὶ λύεται μὲν εὐθὺς τὸ μέγα τῆς ἐνσάρκου οἰκονομίας μυστήριον, καὶ ἅμα πάντα συλλήβδην εἰπεῖν Ἐκκλησίας δόγματα· καὶ οὐδὲ ποιητὴν τοῦ παντὸς ἔχει τις ἂν ἔτι δοξάζειν ἕτερον, πλὴν τῆς νεωστὶ ψηφισθείσης καὶ δογματισθείσης ταύτης ἀνουσίου καὶ ὑφειμένης θεότητος. Καὶ ματαία λοιπὸν ἡ μέχρι νῦν [P. 614] ὀρθοδόξων εὐσέβεια, καὶ δῆμος ἁγίων ἔφθαρταί πως, μὴ συνέντων ἃ κηρύττει Παλαμᾶς. Τῆς ἀνοχῆς σου, Χριστέ! » Ταῦτ' εἶπε· καὶ πάνυ σφοδρῶς ἐπιτιμηθεὶς ἔπτηξέ τε καὶ σεσιώπηκεν. Ἦκουσε γάρ, μὴ θεμιτὸν ἐν βασιλείοις εἶναι, βασιλικοῖς βουλήμασί τε καὶ δόγμασιν ἀντιλέγειν, ὃς τὸν ἐς τὴν ὑστεραίαν ἥλιον ἀπαθὴς θεάσασθαι βούλοιτο. Καὶ πολλῶν δ' ἄλλων ἐπὶ τούτοις ἐκεῖ λαληθέντων ἐκείνοις κατ' ἔφεσιν ἡγεμονικὴν, ὁ σύλλογος διελύετο, τριταίους αὖθις προσταχθὲν ἐς τὴν ὁμοίαν ἐκκλησίαν δεῖν ἀθροισθῆναι ἡμᾶς. Ἀλλ' ἐκεῖνο μικροῦ με παρέδραμε.

IV. Ante solis occasum sensim et paulatim plebeii, tum post eos et simul cum ipsis viri totius civitatis spectatissimi, bini terniique clam elapsi, domum se receperunt. Illi transeundo ac circumeundo, **978** quæ viderant et quæ audierant, clara voce nuntiabant. Sic brevi tempore aures totius urbis pervasit, et spectaculum publicum fuit, victi Palamæ et sectatorum ejus ignominia: tum quas ob causas victus ac pudore confusus fuisset, divulgatum est. Itaque domibus exsilientes, ut fors tulit, singuli confuso ordine, viri, mulieres, pueri, vicos et compita frequentes, rari, promiscui, inter se

Δ'. Πρὶν γὰρ δεδυκέναι τὸν ἥλιον, ῥῆμα καὶ κατ' ὀλίγους ὁ δῆμός τε ὑπεξῆσαν καὶ ἅμα ἐπὶ τούτοις καὶ σὺν τούτοις, ὅσον τῆς πόλεως ὄψις ὑπῆρχε, σύνδυο καὶ σύντρεις λεληθότως ὑπεξιόντες, ἀνεχώρουν οἴκαδε· οἱ δὴ καὶ τρανῇ τῇ φωνῇ, διιόντες τε καὶ περιιόντες, ἐκήρυττον ἃ τ' εἶδον ἃ τ' ἤκουσαν· ὡς ἀκουστὴν ἐν βραχεῖ καὶ θεατρικὴν γενέσθαι πάσῃ τῇ πόλει τὴν μετ' αἰσχύνης ἧτταν τοῦ Παλαμᾶ, καὶ οἵτινες εἶεν ὁμόδοξοι τουτωΐ, καὶ ἅμα τὰς αἰτίας, δι' ἃς ἡττήθη τε καὶ ἠσχύνθη. Ὅθεν τῶν οἰκιῶν ἐκθέοντες, ὡς ἔτυχον ἕκαστοι, φύρδην εἰπεῖν, ἄνδρες, γυναῖκες, ὁμοῦ καὶ παισὶ, τάς τε παρόδους καὶ τὰς

Variorum notæ.

(97) In concilio contra Barlaamum habito. Boivin.

τριόδους συχνοὶ καὶ σποράδην καὶ ἀναμὶξ διελάγχανον, ἄλλοι κατ' ἄλλα μέρη τῶν ὁδῶν συνιστάμενοι, καὶ ἐποπτεύοντες καὶ ἀνερευνῶντες ὅστις εἴη ὁ Παλαμᾶς,' ἐφιέμενοι τοὺς ὀδόντας ἐμπῆξαι τῷ ταλαιπώρῳ (98), ὅτι τὰ πάτρια τῆς τοῦ Θεοῦ Ἐκκλησίας καταλύειν τολμήσῃ δόγματα· καὶ ἅμα συχνοῖς ἀναθέμασι καθυπέβαλλον, ὥσπερ ἀπὸ συνθήματος ἅπαντες· ὡς ἐκεῖνον, δείσαντα μὴ διασπαραχθῇ περιφανῶς οὕτωσι, συσταλῆναί τε τὴν ταχίστην καὶ ἀποκρύψασθαι. Τῶν δ' ἄλλων, ὅστις ἔγνωσται σαφῶς τῆς ἐκείνου φατρίας ὤν, χωρὶς πληγῶν οὐδεὶς ἀπηλλάττετο, πλὴν ὅστις ὑπόκρισιν ἑτέρου προσώπου λαμβάνων ὁμοίως τοῖς ἄλλοις ἀναθέματι καὶ ἀραῖς Παλαμᾶν καὶ αὐτὸς καθυπέβαλλε. Καὶ μὲν δὴ κατόπιν ἡμᾶς ἐπιόντας τοῖς ὕμνοις ἐγέραιρόν τε καὶ ἐστεφάνουν, ὡς τῆς πατρίου δόξης καὶ εὐσεβείας ἀθλητὰς καὶ προβόλους· καὶ ῥᾷστα δὴ τὸ ζῆν ἑτοίμους προΐεσθαι λαμπρῶς ὑπὲρ τῶν κειμένων ἄνωθεν τῆς τοῦ Θεοῦ Ἐκκλησίας δογμάτων.

Ε'. Καὶ ὁ μὲν τῆς πρώτης ἡμῖν ἡμέρας ἐκείνης πλοῦς οὕτω καλῶς καὶ σὺν ἀσφαλείᾳ διήνυσται, τῆς τοῦ Θεοῦ δεξιᾶς οἰακιζούσης τὴν τῶν ἡμετέρων ἀγώνων ὁλκάδα καὶ κῦμα πᾶν ἀντιβαῖνον ἰσχυρῶς ἀποτρεπομένης. Πολλαῖς γὰρ χειμώνων ἀντιπνοίαις περιτυχόντες, ἀρχοντικῶν τε καὶ ἡγεμονικῶν, πολλαῖς δ' ἐμπεπτωκότες πειρατῶν [P. 615] εἰπεῖν ἐφεδρείαις, πρεσβυτέρων, ἐπισκόπων τε καὶ τῶν τοιούτων (ἐῶ γὰρ τῶν γε παραβομβούντων κολάκων τὸ πλῆθος) ὑπερέσχομεν ξὺν γε Θεῷ, κινδύνου παντὸς καταπεπλευκότες ὑπέρτεροι. Εἰ δὲ μὴ καὶ τοὺς ἀνθισταμένους αἰσθέσθαι πεπείκαμεν, καὶ ἀνανῆψαι, καθάπερ ἐκ μέθης μεγάλης, τῆς πλάνης, καινὸν οὐδέν. Κύριοι γὰρ ἡμεῖς (99) οὐ τῆς τῶν ἀλλοτρίων γνώμης, ἀλλὰ τῆς πρὸς τὸ τοῦ ζήλου καλὸν ὁρμῆς καὶ τῶν ὑπὲρ τῆς ἀληθείας λόγων· τῶν δ' ἐντεῦθεν ἀποβαινόντων, μόνη καθάπαξ ἡ δυναστεύουσα κρίσις ἅμα καὶ χείρ. Ταύτην δ' εἰς ἀντίπαλον τῆς ἀληθείας μοῖραν ἀποῤῥαγεῖσαν ὁλοσχερῶς, καὶ τῷ χρόνῳ βεβαιωθεῖσαν, σιδηρᾶν τινα καταστῆναι ξυμπέπτωκε καὶ ἀνεπίστροφον ὅλως εἰς τὴν τοῦ κρείττονος φύσιν. Οὐ γὰρ δικαιοσύνης ἄσκησις, οὐδ' ἐπιστήμης κανόνες, ἀνεχάλκευσάν τε καὶ οὕτως ἐσφυρηλάτησαν, ἀλλ' ἐριννύες κακοδαίμονες καὶ πονηρῶν δαιμόνων θίασος. Τὰ μὲν γὰρ ἀπὸ δικαίας ἀρχόμενα ῥίζης καὶ εὐπαγοῦς μονιμώτερον καὶ τὸ ἄνθος φυλάττει, καὶ οὐ ῥᾷστα θορυβούμενον ὑφ' ἡλιακοῦ τινος καύσωνος· τὰ δ' ἀσθενῆ καὶ ἀδόκιμον ἔχοντα τοῦ καλοῦ τὴν ὀρχὴν ἐν μέσῃ τῇ ἀναδρομῇ μαρανομένην ὥς τι πολλὰ τὴν τῆς ἀρετῆς ἀκμὴν καταλείπει. Διότι ἐκεῖ μὲν αὐτοφυεῖς τινες καὶ αὐτόχθονες τοῦ καλοῦ συνοικοῦντες τρόποι πρόδρομον κήρυκα τὴν τοῦ ἄνθους αὐτάρκη παρέχονται βλάστην, ἐκ τῆς προφανοῦς οἱονεὶ μαντικῆς τἀφανοῦς τὴν εὐγένειαν ἐμφανίζοντες. Ἐνταῦθα δ' ἀχορήγητον ἔχουσαι ῥίζαν ἀγαθῶν πηγῶν ἀφθονίας, αἱ τοῦ ψεύδους αὐλακες, βραχὺ φα-

partiebantur, et alii alius vicorum partibus insessis, quisnam esset ille Palamas explorabant et curiose investigabant, atque illi infelici, quod sanctæ Dei Ecclesiæ patria dogmata rescindere auderet, dentem infestum infigere cupiebant : eumdemque omnes, velut de compacto, exsecrabantur, multoque et crebro anathemate percellebant. Unde ille, veritus ne sic palam discerperetur, celerrime se subduxit et occeluit. Caterorum, quos de ejus sodalitio esse constitit, plagarum expers nullus effugit, nisi qui, persona alia per simulationem induta, Palamam ipse quoque aliorum exemplo devovisset et anathema esse jussisset. At nos, qui pone sequebamur, tanquam patrii dogmatis fideique athletas ac propugnatores, atque ut vitam pro antiqua Ecclesiæ Dei doctrina effundere paratissimos, laudibus remunerabantur et coronabant.

V. Ita primi illius diei cursum prosperum et inoffensum peregimus, nostram in iis certaminibus navim Dei manu gubernante, et fluctus quoscunque **979** oppositos fortiter depellente. Tametsi enim multæ nobis procellæ a principibus et ab imperatore, ventis quasi reflantibus, objectæ sunt, atque in multas, ut ita dicam, prædonum insidias incurrimus, presbyterorum dico, et episcoporum, aliorumque ejusmodi (omitto astrepentium adulatorum turbam); tamen, Deo juvante, ex omnibus periculis emersimus, et appulsa ad portum navi superiores evasimus. Quod si adversariis non persuasimus, sic ut sensum acciperent, et ex errore, tanquam ex magna ebrietate, ad bonam frugem se recipereut, nihil mirum. Quippe penes nos est non voluntas hominum dissidentium, sed ejus quæ zelo inest laudis studium et veritatem defensura oratio : eventus autem ex judicio et manu principis prapotente omnino pendent. Porro a veritatis partibus avulsus ille, et adversæ factioni addictus, sic tempore obfirmatus est, ut ferreus quodammodo evaserit, et ad melius institutum convertere se haudquaquam curet. Neque enim eum æquitatis ratio explorata, aut aliqua scientiæ regula, sed Furiæ infelices, et malorum geniorum thiasus, talem reconflarunt, et velut malleatum indurarunt. Quæ videlicet ex radice oriuntur bona et solida, eorum flos diuturnior, æstivi solis ardore haud facile affligitur. Quæ autem infirmam et minus generosam habent pulchri bonique originem, ea pleramque in medio progressu marcescentem virtutis florem deserunt. Itaque illa quidem ingenuas et indigetes quasi virtutes socias habent, quæ evidentibus præsagiis latentem generositatem declarantes, **980** florem exuberantem, velut præcurrentem nuntium, præmittunt : hæc vero, quia fundus mendax bono-

Variorum notæ.

(98) Vide Philothei patriarchæ *Antirrheticum* 1, cod. Reg. 1996, fol. 14 v. et seq. Bonn.
(99) Sic supra lib. xv, cap. 7, sect. 7 Bonn.

rum fontium ubertm copiam radici non sufficit, aliquantisper visa assurgere omnino demum evanescunt. Enimvero quod ex animo bene affecto et ex zeli justitia tanquam fonte profluit, id si successu legitimo careat, ipsum quidem injuria minime afficitur : sed qui lances justitiæ moderandas sortitus, vera ratione excussus est, nec in iis quas probaverat perseveravit, is vere injuriam patitur.

A νεῖσαι, λοιπὸν ἀπεκρύψαντο. Τὸ γὰρ ἐπ' εὐνοίας καὶ δικαίου πηγαζόμενον ζήλου, εἰ μὴ προσηκόντων ἐπιτυχὲς κατασταίη, ἀδικεῖται μὲν οὐχ αὐτό· ἀλλ' ὃς τὰς τῆς δίκης μὲν λαχὼν διευθύνειν πλάστιγγας, ἔπειτα τῆς τοῦ προσήκοντος ἀπορράγεις φαντασίας, οὐκ ἐνέμεινεν οἷς ἔστερξεν.

CAPUT V.

Palamas Cantacuzenum adit. In Gregoram et in cæteros orthodoxos acri oratione invehitur. Ut Palamæ jussa imperator exsecutus sit. Orthodoxorum diversi affectus, fiducia, trepidatio, mœror.

I. Cæterum Palamas, totam illam noctem maximo metu et gravissimis curis anxiam cum traduxisset, orto statim die in palatium abit, indignabundus et furoris plenus, ad imperatorem accedit, animum B furentem impudentibus verbis prodit, quæ heri sibi acciderint dolentissime narrat ; atque ut Aquilo violentus et insanus irruens agitat faciem æquoris, ita hic omnes iras afflando animum illius ventilat, ob eam scilicet causam, quod Byzantii nostro instinctu illam in se irruptionem fecerint.

Α'. Ὁ μέντοι Παλαμᾶς [P. 616] περίφοβον ὅλην ἐκείνην τὴν νύκτα διεξιγκὼν (1), καὶ μάλιστα περαντισμένην. ἅμα ἕῳ (2) ἀπῆει ἐς τὰ βασίλεια, ὀδριοπαθῶν καὶ μανίας μεστός· καὶ τῷ βασιλεῖ παρατὰς γλώττης ἀσελγείᾳ τὸ μαινόμενον ἐδημοσίευε τῆς ψυχῆς, τά τε χθὲς αὐτῷ συμπεσόντα περιπαθῶς ἀφηγούμενος καὶ πρὸς πάντας θυμοὺς ἐκριπίζων αὐτοῦ καθ' ἡμῶν τὴν ψυχήν· καθάπερ θαλάττης πρόσωπον, ὁπότε βαρὺς καὶ μαινόμενος ἀπαρκτίας ἐνσκήψειεν ἐπ' αὐτήν, αἰτίους ἡμᾶς ὁμόσε προπαζόμενος γεγενῆσθαι τῆς τῶν Βυζαντίων ἐκείνης φορᾶς κατ' αὐτοῦ.

II. Ac, « Nisi te, inquit, erigas et ad ultionem accingas, in ipsam statim imperatoriam majestatem periculum invasurum esse exspecta. Scis quippe, scis profecto, quæ de fide et dogmatis opinio mea est, eamdem prorsus tuam quoque esse. Nam convicia et plenas ludibrii cavillationes silentio prætereo, quibus multis et variis per ipsas vias et C plateas intemperanter adversarii indulgent, magnam nobis impietatem et fidei totius apertam violationem **981** exprobrantes. Neque vero fieri potest, ut qui mecum pugnant, ii tibi bene velint, nec qui meis dogmatis contradicunt, socios ii se tibi adjungant. At tu, si non antehac, saltem nunc demum mea illa consilia recte recordaberis. Nonne ego illud te præmonueram, ne pauca quidem dicendi liberiusve proloquendi copiam iis fieri oportere? Undenam vero, nisi inde, quamplurimi in nos consurrexerunt, aut quo instigante tot talesque furias celerrime conceperunt non solum plebeii, sed et quotquot dignitate ac generis gloria conspectiores sunt? Nulla certe alia re impulsi, nisi illa Gregoræ oratione perlonga, quæ nihil lene aut æquabile habuit; sed quæ multiplex et varium et velut salebrosum exhibuit, quidquid subtilius cogitatum sub ipsis verbis latebat et quasi subrepebat; alioqui tamen ad vulgus deliniendum et ad captandum populi favorem accommodata, atque ad omnium voluntatem, præterquam ad nostram, sensim conformata. Quidni autem ille aperta audacia elatus fuisset, qui te nihil contrarii, nihil duri seu dicere seu facere videbat adversus illam dicendi libertatem, illasque refutationes, et quæcunque falsa dicta intermiscuit,

Β'. Καὶ, « Εἰ μὴ διαναστῆναι βούλοιο πρὸς ἐκδίκησιν, » φησί, « κατὰ τῆς βασιλείας αὐτῆς· αὐτίκα μάλα τὸν κίνδυνον ἥξειν προσδόκα. Οἶσθα γάρ, εἶσθα σαφῶς, ὡς ἅπερ ἐμοὶ νενόμισται περὶ πίστεως καὶ δογμάτων, ταῦτα πάντως καὶ σοί. Ἐῶ γὰρ λέγειν λοιδοριῶν καὶ χλευασμῶν, εἰρωνείας μεστῶν, ὁπόσοι πολλοὶ καὶ ποικίλοι παρὰ τὰς ἀγυιὰς καὶ πλατείας ἀκρατῶς καλινδοῦνται, μακρὰν ἡμῖν τὴν ἀσέβειαν ἐγκαλοῦντες, καὶ τῆς ὅλης πίστεως ἐμφανῆ περασπόνδησιν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ἐμοὶ μαχομένους σοί γ' εὐνοεῖν· οὐδ' αὖ τοῖς ἐμοῖς ἀντιλέγοντας δόγμασιν ἅμα συναίρεσθαι σοί. Σὺ δ' εἰ μὴ πρίν, ἀλλὰ νῦν ὀψέ γοῦν ὀρθῶς τῶν ἐμῶν βουλευμάτων ἐκείνων μεμνήσῃ. Ἦ οὐδὲ λόγων ἐγώ σοι προὔλεγον οὐδὲ μικρῶν γοῦν μεταδιδόναι χρὴ σφισι καὶ παῤῥησίας; ἢ πόθεν ἀλλοθεν πανπληθὲς κεκίνηται καθ' ἡμῶν, καὶ τίς εἰς τοσαύτην καὶ τοιαύτην κακίαν ἐξέμηνε τὴν ταχίστην, μὴ μόνον ὁπόσον τοῦ δήμου, ἀλλ' ἤδη καὶ ὅσον ὄψιν ἔχει τιμῆς τε καὶ γένους εὐκλεεστέρου; οὐδαμόθεν ἄλλοθεν, ἢ τῆς τοῦ Γρηγορίου μακρηγορίας ἐκείνης, οὐδὲν γαληνὸν οὐδὲ λεῖον ἐχούσης, ἀλλὰ πολὺ μὲν καὶ ποικίλον, καὶ οἷον εἰπεῖν D ἀκανθῶδες ὅλον, τῆς περινοίας τὸ ὑφέρπον ἀπεμφαινούσης· δημοτερποῦς δ' ἄλλως, καὶ πρός γε τὸ δημαγωγικώτερον εὖ συγκειμένης, καὶ συναναχρωννυμένης ῥᾴδιον πρὸς τὴν πόλιν ἡμῶν τῶν ἄλλων θέλησιν. Ἢ πῶς οὐκ ἂν εἰς θάρσος ἐπῆρτο περιφανῶς, οὐδὲν ἀντιβαῖνον καὶ βίαιον φάσκοντα σε θεωμένου, οὐδὲ δρῶντα [P. 617] μηδὲν κατὰ τῆς παῤῥησίας καὶ τῶν ἐλέγχων ἐκείνων, καὶ ὅσα μεταξὺ χαρακτήματα προβάλοιτο, κοινῇ κατειρωνευόμενος ἅπαντας καὶ σκώπτων εἰς ἀμαθίαν, καὶ μηδὲν ἐκ τοῦ ἥττονος

Variorum notæ.

(1) Cum his confer ea quæ apud Philotheum leguntur loco indicato. Boivin.
(2) Die 28 mensis Maii. Boivin.

φάσκων, ἀλλ' ὅλον τὸν λόγον κατατείνων δόλιχον ἀδεῶς καὶ γλώττης συχνὰ παρεισκυκλῶν ἐκ τοῦ μείζονος τὸ πάτριον σέβας τῆς πίστεως, καὶ τὸ μὴ χρῆναι κινεῖν πατέρων ὅρια, μηδ' εὐαγγελίζεσθαι τῶν κυρωθέντων καὶ παραληφθέντων ἕτερα, ἀλλ' ἐκείνοις μόνοις ἐμμένειν καὶ στέργειν τὸν ἅπαντα χρόνον, οἷς τι ἔμαθέ τις καὶ ἐπιστώθη πρὸς τῶν ἀποστολικῶν κανόνων καὶ θεσμῶν. Καὶ τί δεῖ πάντ' ἐκεῖνα λέγειν καθ' ἕκαστα; ἴσασι γὰρ ἅπαντες, ὁπόσοι τοῦ θεάτρου γεγόνασιν ἐκείνου μεστοί, πῶς ἐκείνην σχεδὸν ἀνάλωσε τὴν ἡμέραν, ἐν ἁπλότητι λόγων ὑποκαθημένην τε καὶ ὑφέρπουσαν οἱονεὶ προλοχίζων καὶ παραμιγνὺς περίνοιαν, καὶ τὰ μὲν οἰκεῖα ἐξαίρων, τῶν κειμένων ὅρων δῆθεν ἐξιόντα οὐδαμῇ, πασῶν δὲ καὶ παντοίων γεμούσας ἐκτόπων ἐπιεικῶς ἀποφαίνων βλασφημιῶν τὰς ἐμὰς συγγραφάς· ὡς πάνθ' ὁμοῦ λαμπρῶς ἐκδημαγωγηθῆναι τὰ πλήθη· παροξυνθῆναι δ' ἅπαντας καθ' ἡμῶν, ὅσοι τε τῶν εὐπατριδῶν καὶ ὅσοι τῶν ἄλλως ἐχόντων. Ἀλλ' ἄγε δή, μεταπεμψάμενος πάντας ἀγορανόμους ὁμοῦ καὶ δημάρχους, κέλευε μαστιγίας ἐκείνους ἅπαντας ἀποδεῖξαι ταχέως, καὶ τῶν ἱματίων γυμνοὺς, καὶ ἅμα πάσαις καὶ παντοδαπαῖς ἐγκεκλεισμένους εἱρκταῖς, ὅσοι τοῦ σύρφακος ὄχλου τυχόντες οὐκ αἰδοῦνται τοῖς ὑπὲρ δύναμιν ἐγχειροῦντες, ἵνα μονότροπός τις ἅπασι γένηται φόβος· ὥστε τῆς ἀγοραίου καὶ θεατρικῆς παῤῥησίας τὴν ταχίστην ἀποσχομένους πρὸς τὴν ὡρισμένην ἕκαστον ἐπείγεσθαι τοῦ βίου τελευτὴν οὕτωσί. Κἄπειτά σοι δεδογμένον ἔστω, καὶ προὐργιαίτατον ἁπάντων μάλιστα, συνέδριον ἅμα τῷ πατριάρχῃ τῆμερον πάντων ἐνταῦθα γενέσθαι τῶν ἐπισκόπων. Ἅπασι γὰρ ἐπὶ ξυροῦ τὰ τῆς καταδίκης ἐπίσης ἕστηται, συλλειτουργοῖς καὶ ὁμόφροσιν ἅπασιν οὖσιν ἡμῖν· καὶ χρὴ πᾶσιν ἐξ ἴσης φροντίζειν ὑπὲρ σφῶν αὐτῶν. Εἰ δέ τινες, εὐλαβείας προφάσει, τῆς ἡμῶν ὁμονοίας ἀποῤῥήγνυσθαι πάνυ τολμῷεν, τάχιστ' ἂν σοῦ βουλομένου τῆς σφετέρας αἰσθοιντο κακοβουλίας. Οὔτε γὰρ ἐκείνους ἕξουσιν οὓς εἵλοντο φίλους, καὶ ἅμα οὓς ἔχουσιν, ἀπολωλεκέναι σφίσι δείσει· μᾶλλον δ' ὧν ἔχουσιν ἐπισκοπῶν στερήσονται, καὶ ἅμα τῶν προσδοκωμένων ἀπὸ σοῦ λημμάτων ἥκιστα ἐπιτεύξονται· καὶ πρός γε ὧν ἀποτυγχάνουσιν οὗτοι βλέποντες ἀντιλαμβανομένου; ἑτέρου, ἀποπνιγήσονται ῥᾷστα τοῖς ἐκτόποις νέφεσι τῶν λογισμῶν· καὶ ἢ μεταμεληθέντες ἐμπειρίας τοῖς ἄλλοις ὑπόδειγμα πρὸς τὸ βέλτιον ἔσονται· ἢ τῇ κακοβουλίᾳ στοιχήσαντες, ἣνπερ εἵλοντο, ταύτῃ καὶ συμφθαρήσονται, [P. 618] γεγονότες εἰς ἀδάτους ἐρημίας ἐξόριστοι. Ταύτην ἔγωγε μόνην ὁρῶ τὴν ὁδὸν, ἐπιῤῥῶσαι μὲν ἱκανὴν τὰ ἡμέτερα, τὰ δὲ τῶν ἀντιθέτων ῥᾳδίως κατενεγκεῖν. Εἰ γὰρ ἀνίσχυροι τῆμερον ὑφ' ἡμῶν οὕτωσὶ καθιστάμενοι παρανόμων γράφονται ἡμᾶς, εἰ χώραν ἕξουσι τοῖς προβαλλομένοις ἐγκλήμασι καὶ θρόνων καὶ τιμῶν ἀπελαύνειν ἡμᾶς, πῶ οὐκ ἂν αἰσχύνης ἐλάσειε τὰ ἡμέτερα, ποῦ δ' οὐκ ἂν ὀῤῥύος καὶ τύφου τὰ σφέτερα αὐτῶν; ἡ πολλὴ μενοῦν εἴη ῥᾳθυμία, καὶ θανάτου φαῦλαι γείτων κομιδῇ, περιορᾶν καθημένους ἡμᾶς οὕτωσὶ ὀργούς, καὶ τὰ μέγιστα περὶ ἐλαχίστου τιθέντας, μὴ πρὶν ἢ

A cum omnes simul cavillando jocandoque ut indoctos irrideret, ac nihil sic loqueretur ut inferior, sed absque ullo metu totam orationem longius produceret, et patriam fidei reverentiam, tanquam superior, in ore haberet et subinde iteraret, auctorque esset, ne termini a patribus constituti moverentur, aut præter illa, quæ sancita et recepta essent, alia evangelizarentur; sed ut ea **982** sola perpetuo observarentur et approbarentur, quæ quisque didicisset, et quorum fidem ex canonibus et constitutionibus apostolorum firmam accepisset. Quid vero necesse est omnia et singula recensere? Quicunque illo spectaculo se expleverunt, ii sciunt quomodo ille diem fere consumpserit; occultam et clam subrepentem solertiam in simplicitate sermonis quasi

B insidiatricem collocans et interserens; ac sua quidem verbis extollens, utpote extra constitutos fines nequaquam evagata; mea autem scripta quibuslibet, et cujusquemodi absurdis blasphemiis plena utique affirmans. Sic totam multitudinem facile sibi mancipavit; et quoscunque patricios ac diversæ conditionis homines in nos irritavit. Agedum ædiles et tribunos plebis omnes arcesse, tum quotquot de infima plebe non verentur capiti suo altiora affectare, quamprimum vestibus exutos, et quolibet passim carcere inclusos, verberibus cædi jube. Ita omnes unus et simplex metus continebit. Ita publica et aperta audacia statim abjecta, præscripta quis-

C que vitæ munia studebit implere. Deinde sic statuito, et ante omnia operam dato, ut omnes hodie episcopi cum patriarcha huc conveniant. Periculum quippe evidens et præsens omnibus pariter impendet, ne condemnentur, quoniam ii omnes nobiscum faciunt et sentiunt: adeoque omnes oportet sibi ipsis æquali sollicitudine consulere. Quod si qui per speciem **983** metus, rupto concordiæ vinculo, plane a nobis conentur discedere, ii, si velis, imprudentiam suam cito agnoscent, qui nec illos, quos amicos delegerint, habituri sunt, et iis, quos nunc habent, amissis necessario carebunt. Imo et episcopatibus, quos possident, spoliabuntur, et sperata ex te emolumenta minime consequentur: et cum alios videbunt ea percipere, quorum ipsi possessione exciderint, dolore oppressi disrumpen-

D tur; atque aut pœnitentiam agentes, exemplo aliis præibunt, ut quid sit melius cognoscant: aut si in eo, quod amplexi fuerint, malo consilio perseveraverint, in invias solitudines relegati, cum suo illo malo consilio male peribunt. Hanc ego viam solam reperio corroborandis rebus nostris, adversariorum autem partibus deprimendis parem. Nimirum hi, si hodie, viribus per nos ita imminutis, reos nos agunt; quid si objectis criminibus facultatem habituri sint nos sedibus et dignitatibus expellendi? quanta quæso ignominia nostra futura est, quantum illis supercilii et arrogantiæ accedet! Gravis certe torpor et proximus morti fuerit, si sic ignavi desidendo, et quæ maxima sunt minimi faciendo, res nostras despiciamus, ac non, priusquam quidvis

ipsi patiamur, crimina et imminentia inde pericula in eos totis viribus adnixi retorqueamus : ut eorum judices et præsides sedeamus, eaque illis lex sit, illud placitum, quod a nobis decretum fuerit : denique ut **984** quidquid nobis fatum ac fortuna præfinierint, id ii rerum suarum fundamentum firmum et totius vitæ præsidium immotum ducant. »

A πᾶν τι παθεῖν, ἀντιπεριάγειν ἐκείνοις ὅλῃ δυνάμει τἀγκλήματα καὶ τοὺς ἐντεῦθεν κινδύνους, ἡμᾶς δὲ καθῆσθαι κριτὰς ἐκείνων καὶ ἄρχοντας, καὶ ὅπερ ἂν ἡμῖν δόξειε, τοῦτ' εἶναι σφίσι νόμον καὶ δόγμα, καὶ πᾶν ὅτιπερ ἂν ἡμῖν αὐτοῖς ἐπικλώσεις πεπρωμένη καὶ τύχη, τοῦτ' εἶναι στερρὰν τῶν σφίσι πραγμάτων κρηπῖδα καὶ ἀμετάκλωστον βίου παντὸς ἐφόδιον. »

III. Atque hæc quidem in hunc modum dicta sunt ab inclyto illo Palama : neque vero sic dicta sunt, ut non statim perfecta sint; neque perfecta quidem statim, sed aliter quam convenerat : enimvero et ea ipsa die, et cumulatius quam quidquid convenerat, peracta fuerunt. Adeo imperatorem, quoties Palamam cupit ornare, ea ipsa cupiditas ad res agendas promptum efficit : adeo quidquid Palamas animo decreverit, id ille rebus omnibus agendis antevertendum putat. Quædam enim statim exsecutus est, quædam exsecuturum se statim promisit.

Γ'. Καὶ ταῦτα μὲν οὕτως εἴρηται τῷ θαυμαστῷ Παλαμᾷ· καὶ οὐκ εἴρηται μὲν, οὐ πέπρακται δ' εὐθύς· οὐδὲ πέπρακται μὲν εὐθὺς, οὐχ ὡς συντέτακται δέ· ἀλλὰ καὶ πέπρακται μὲν αὐθημερὸν, τελεώτερον δ' ἢ καθ' ἅπαν τὸ σύνθημα. Οὕτως ὀξύρροπον δείκνυσιν εἰς ἔργα τὸν βασιλέα τῆς τοῦ Παλαμᾶ τιμῆς ὁ πόθος, καὶ πάντων ἔργων ἔμπροσθεν τὰ τῆς ἐκείνου γνώμης τίθεται δόγματα. Τὰ μὲν γὰρ ἔπραττε παραχρῆμα, τὰ δ' ἐπηγγείλατο παραχρῆμα.

IV. Ac tum videre erat, homines omnis generis scindi in diversos affectus; aliis tum maxime confidentibus, et firmiorem in Deo spem cum firmiori fide conjunctam collocantibus, animumque ad certamina athletica et ad martyrii luctas armantibus; aliis persecutorum immanitatem mussando accusantibus; aliis consternatis metu et formidine malorum, cum præsentium et oculis obversantium, tum eorum, quorum exspectatio, etsi incerta, majorem tamen anxietatem animo denuntiabat, quam quæ ob oculos posita essent; ac modo quidem abdentibus se et latitantibus; modo emergentibus, tanquam ex inferorum portis, et in eorum, quibus fiderent, conspectum prodeuntibus, occultumque animi dolorem per suspiria muta et per lacrymas furtivas significantibus. Esto.

Δ'. Ἦν τότε ἰδεῖν παντοδαπῶν ἀνθρώπων μεριζομένας τὰς γνώμας, καὶ τῶν μὲν θαρσαλεωτέρων μάλιστα νῦν γινομένων, καὶ πλείονα πῆξιν τῇ πρὸς Θεὸν ἐλπίδι καὶ πίστει παρεχομένων, καὶ πρὸς ἀθλητικοὺς ὁπλιζομένων τὴν γνώμην ἀγῶνας καὶ μαρτυρικὰ παλαίσματα· τοὺς δ' ὑπ' ὀδόντα τῇ θηριωδίᾳ λοιδορουμένους τῶν διωκτῶν· τοὺς δ' ὑπεπτηχότας ὑπὸ φρίκης καὶ δέους τῶν τε παρόντων καὶ φαινομένων δεινῶν, τῶν θ' ὑποπτευομένων μὲν, μείζω δ' ἢ κατὰ τὰ φαινόμενα τὸν θόρυβον τῇ ψυχῇ προαναφωνούντων· καὶ νῦν μὲν καταδυομένους καὶ κρυπτομένους, νῦν δ' ἀναδυομένους, ὡς ἐξ ᾅδου πυλῶν, καὶ φαινομένους οἷς ἐθάρρουν, καὶ στεναγμοῖς ἀφθόγγοις ὑμοῦ καὶ δάκρυσι κλεπτομένοις ὑποδηλοῦντας τὴν ἄδηλον κάμινον τῆς ψυχῆς. Εἶεν.

CAPUT VI.

Gregoras sese in concilio iterum sistere recusat. Socios hortatur ad veritatem fortiter defendendam. Illi ut secum veniat, egre tandem persuadent. Ab imperatore seorsum seductus promissis et aliis artibus tentatur. Proponitur ei quæstio de substantia et operationibus divinis. Testimonium D. Basilii. Respondet Gregoras. Cantacuzenus de nova disputandi ratione ineunda deliberat cum Palama. Episcopum Tyri excludere statuunt. Item contumeliis et calumniis orthodoxos terrere. Palamas socios suos advocatum avit.

I. Hæc cum ita fierent, et ovantis persecutionis theatrum tota civitas **985** exstitisset, advenit præfiniti temporis dies tertius, quo nos oportebat rursum convenire, et alteram concionem celebrare. Atque in meam domum rursus, ut prima illa die, eodem quo dixi modo, confluxere ii, qui nostrarum partium erant. At ego, qui ob eas, quas declaravi, causas spem omnem bonam abjeceram, ac mihi nihil jam reliquum esse certo sciebam, quod ei quæ tanta ex adverso erupisset improbitati sustinendæ par foret, simulque eos dolores, qui in caput meum grassari solerent, majorem in modum certaminibus et curis præsentibus aggravari videbam, satius duxi, conciliis et liberrimis illis sermonibus valere jussis, domi sedere, et si quid perferendum esset, id domi perferre; ut me domus mea, si minus per-

[P. 619] Α'. Οὕτω γε μὴν τούτων γιγνομένων, καὶ οὕτω πανηγυρίζοντος διωγμοῦ τῆς πόλεως θέατρον γενομένης ἁπάσης, ἦκεν ἡ τρίτη τῆς προθεσμίας ἡμέρα, καθ' ἣν ἐχρῆν τὴν δευτέραν συνιόντας αὖθις ἡμᾶς ἐκτελεῖν ἐκκλησίαν· καὶ πάλιν εἰς τὴν ἐμὴν οἰκίαν τὸ καθ' ἡμᾶς ἠθροίζετο μέρος, κατὰ τὴν ἤδη ῥηθεῖσαν εἰκόνα τῆς πρώτης ἐκείνης ἡμέρας. Ἐμοὶ μὲν οὖν ἅπαν ἀπηγορευκότι τὸ εὐέλπι, ὃ δ' ἄμοι δεδῄλωται, καὶ μηκέτι μηδὲν τὸ ἀμιλλώμενον λείπεσθαι πρὸς τοσαύτην ἐξ ἀντιπάλου ῥαγεῖσάν κακίαν σαφῶς ἐγνωκότι, καὶ ἅμα ῥοπὴν εἰληφυίας ἐκ τῶν παρόντων ἀγώνων καὶ λογισμῶν ἐπιπονώτερον ἤδη πολλῷ τῆς ἐμῆς συνορῶντι κατορχουμένας κεφαλῆς τὰς συνήθεις ὁδύνας αὐτῇ, βέλτιον ἔδοξεν, ἐῤῥῶσθαι φράσαντα συνόδους καὶ παῤῥησίας τοιαύτας οἴκοι καθῆσθαι, κἄν τι δέῃ παθεῖν (3), οἴκοι

Variorum notæ.

(3) *Etsi mori oporteat.* Sic apud Theocritum, Οὐδ' εἴ τι πάθοις τὺ γ' ἀείδων, *ne si quidem cantando moriaris.* BONIN.

τοῦτο παθεῖν· ἵν' εἰ μή τι τὸν ἅπαντα βίον οὐ μὴ τεθέαται οἶκος πρὸς ἀρετὴν διακείμενον εὖ, ἀλλ' οὖν τοῖς ἐμοῖς τελευταίοις βαπτόμενος αἵμασιν ὄψε γοῦν μίαν ταύτην γνοίη με κεκτημένον ἀρετὴν πολλοῦ τινος ἀξίαν, τὸ μὴ πολλοῦ τινος ἄξιον νομίζειν τὸ ζῆν.

A tolam vitam ad virtutem recte institutum vidisset, saltem cruore meo ad extremum tincta, quantumvis sero agnosceret instructum ea virtute, quæ, cum vitam haud magni faceret, magni ipsa fieri deberet.

Β'. Διὸ τοῖς ἄλλοις ἀνάγκην προσῆγον μὴ βραδύνειν, ἀλλὰ τοῖς ἐμοῖς βοηθοῦντας νοσήμασιν ἁπιέναι προθύμως, οὐκ εἰς ἐλέγχους καὶ διαλέξεις ἀληθείας ζητουμένης· ἀπειρηκέναι γὰρ καὶ αὐτὴν ἤδη καὶ πρὸς αἰθερίους ἀποπτῆναι θαλάμους, ἀφανείᾳ κεκαλυμμένην μακρᾷ· ἀλλ' εἰς σφαγὴν καὶ μαρτυρικὰ παλαίσματα καὶ θανάτου μακροῦ δεινότερα δεσμωτήρια. Τοιαύτην γὰρ καθ' ἡμῶν ἐξενηνέχθαι χθὲς καὶ πρότριτα, δεσμοῖς ἀδαμαντίνοις τισὶ καὶ ἀῤῥήκτοις κεκυρωμένην, ψῆφον πρὸς τῶν ἀντιπάλων καὶ τῆς ἐξουσίας ἀρχόντων. Τῶν γὰρ μετριωτέρων, ἃ τοῖς ἐξωτερικοῖς (4) καὶ τὸ πλεῖστον δημοτικοῖς κατεψήφισται, τὰ μὲν ἤδη πέπρακται, τὰ δ' ἔτι πράττεται, τὰ δὲ καὶ πραχθήσεται. Καὶ τούτων οὐδὲν οὐδένα πάντων ὑμῶν ἀγνοεῖν οἶομαι, [P.620] θορύβου τοσούτου τὴν πόλιν περιηχήσαντος ἅπασαν. Χρεὼν οὖν, μὴ φιλοψυχοῦντας, ἀλλ' ἐῤῥωμένους, ὁμόσε πρὸς τοὺς τοιούτους χωρεῖν ἀγῶνας. Θνητῆς γὰρ λαχοῦσι φύσεως ἦν μὴ νῦν θανεῖν ἐξῇ, διὰ γοῦν τὸ τῆς φύσεως ὄφλημα τεθνήξεσθαι πάντως ἔψεται προϊοῦσι· καὶ δεῖ μὴ τὸν ἀκλεᾶ πρὸ τοῦ μετ' εὐκλείας περιμεῖναι θάνατον.

B

II. Quamobrem ab aliis vehementer cœpi contendere, ne cunctarentur, sed ut mihi ægro succurrentes abirent alacriter, non ad veritatem per argumenta et disputationes investigandam; jam quippe et ipsam cessisse, et densa caligine involutam in cœlum avolasse; sed ad cædem, ad martyrii luctamina, ad vincula denique omni morte graviora. Nempe eam in nos ab adversariis, et ab iis, penes quos potestas esset, heri et nudiustertius latam esse sententiam, adamantinis quibusdam et irruptis nodis munitam. Nam mitiores **986** pœnæ, quæ in laicos, eosque maximam partem plebeios, decretæ fuerunt, eæ partim vel jam sumptæ sunt, vel nunc quoque sumuntur, vel postea exigentur. Neminem autem ex vobis puto quidquam horum ignorare, tantus tumultus totam urbem personuit. Oportet itaque vos, non conservandæ vitæ cupidos, sed animo forti instructos, istis certaminibus vosmet objicere. Mortalem naturam sortiti estis. Proinde etsi licet nunc vobis mortem effugere, tamen naturæ debitum ejusmodi est, ut ætate longius provectis omnino mori necesse futurum sit. Nec vos decet, gloriosa morte posthabita, eam exspectare, quæ laude caritura est.

Γ'. Μιᾷ δ' ἀπειρηκότων φωνῇ, μὴ ἐθέλειν χωρεῖν ἐς βασιλείους προκλήσεις καὶ οὕτω βαρβαρικὰ συνέδρια πλὴν ἐμοῦ, δείσας ἐγὼ μὴ πρόφασιν τοῦτ' εἰληφόσιν ἐκείνοις, οἷς πάντα λίθον κινεῖν καθ' ἡμῶν περίεστιν, ἐρήμην καθ' ἡμῶν εὐχερῶς καταδιαιτᾷν ἐπιγένηται, μάλα μόλις τῆς καθέδρας ἐξαναστὰς ἅμα πᾶσιν ἐκείνοις ἀπῆειν ἐκεῖσε ἀποθανούμενος, καὶ τῇ ἐκεῖ τελευτῇ συμπαραπέμψων τὰ πολυετῆ μου τῆς κεφαλῆς νοσήματα.

C

III. Illi vero una voce renuntiant, nolle se imperatoris vocatu tam barbara concilia sine me adire. Quamobrem veritus, ne illi qui omnem in nos lapidem movent, hac occasione arrepta, sententiam in nos, velut deserti vadimonii reos, facile pronuntiarent, ægre tandem e sede excitatus, cum iis omnibus moriturus, et inveteratos capitis morbos simul cum vita dimissurus, illuc me contuli.

Δ'. Ἄρτι δὲ περί που τὰ μέσα γενομένοις τῆς βασιλείου αὐλῆς ἀπήντησέ τις ἡμῖν τῶν πάνυ τῷ βασιλεῖ προσῳκειωμένων, καὶ μόνον ἁπάντων ἔμεγε ἀπειληφὼς προσῆγε τῷ βασιλεῖ. Κοινολογήσασθαι γὰρ ἔλεγε βούλεσθαί μοι τῶν αὐτῷ γε ἀποῤῥήτων ἔστιν ἃ. Προσεληλυθότι μοι γοῦν τυχεῖν προσγεγένηται μὲν, παρὰ δόξαν μὲν ἐμοὶ, σφίσι δ' ἐξεπίτηδες σφόδρα, τινὸς τῶν πάνυ μοι φίλων ἐκ παλαιοῦ, διὰ βασιλικῆς κἀκείνου προκλήσεως ἐκεῖσε τηνικαῦτα παρόντος ἐμοῦ γε εἵνεκα. Ὧν μεταξὺ καθεσθέντι μοι λέγειν ἦρξαντο κατὰ συνεκδοχὴν καὶ ἀμοιβαδὸν, παρὰ θατέρου ἄτερος τὰς τῶν λόγων ἀφορμὰς ποριζόντές τε καὶ ποριζόμενοι, καὶ πείθειν ἐπιχειροῦντες, πρῶτον μὲν χρημάτων ἐπαγγελίαις ἀφθόνοις, καὶ ὅ μοι πρὸς βουλήσεως εἴη ἂν ἕτερον ἅπαν. Ἐπεὶ δ' ἐντεῦθεν τῶν σκοπουμένων ἠλαύνοντο, μηδὲ

D

IV. Jam nos fere in media palatii aula versabamur, cum ex intimis imperatoris quidam accurrit. Is unum me ex omnibus assumptum ad imperatorem deducit. Eum scilicet nonnulla mecum velle communicare aiebat, quæ arcana sibi essent. Ubi propius accessi, quemdam veteri amicitia mihi conjunctissimum offendo, qui et ipse imperatoris vocatu illic tum aderat mei gratia. Id ut mihi nec opinanti, ita illis omnino **987** præmeditatis accidit. Ego vero inter illos consedi. Tum autem ii coperunt vicissim et alternis me alloqui, alter alteri mutua suppeditantes dicendi argumenta. Ac magna primum pecuniæ vi et omni alia re, quamcunque optavissem, promissa, inflectere conati sunt. Deinde, quia hac non succedebat, propterea quod nec prima quidem dicta auribus vel mini-

Variorum notæ.

(4) Nempe Palamas auctor Cantacuzeno fuerat, ut *quotquot de infima plebe non verentur capiti suo altiora affectare, ii vestibus exuti virgis cædentur, et in carcerem detruderentur*, pag. 617, D. supra. BOIVIN.

mum admitterem, altero demum et velut subsidiario conatu, ad disputandum mecum aggressi sunt.

τὴν πρώτην ἀκοὴν ἐμοῦ γε προσιεμένου μηδὲ μικρὸν γοῦν, τὸν δεύτερον πλοῦν διαλέγεσθαι ἐπεχείρησαν.

V. Disputationem hinc ordiri visum est, quod nomen θεότητος inferius esset substantia divina, et magis proprie operationibus increatis conveniret : item quod operationes hæ increatæ magno et infinito discrimine a divina substantia distarent ; quodque ex operationibus Deum cognosceremus, dicente magno Basilio : « Deum ex operationibus quidem cognoscere nos dicimus; ai appropinquaturos esse ad ejus substantiam non promittimus : quoniam ejus operationes ad nos descendunt; substantia vero ejusdem inaccessibilis manet. » Hæc et similia cum dictitarent, perversas de suo interpretationes, argumentationesque absurdas, impias, et insanas subjungebant : quoniam nempe operationes ad nos descenderent, atque ex iis nos Deum cognoscceremus, oportere eas increatas esse divinitates ; et quorum dicta cum suis non consentirent, eos palam blasphemiæ reos sese constituere.

Ε'. Καὶ ἦν ἡ τῆς διαλέξεως εἰσαγωγή· ὅτι τε τῆς θεότητος ὄνομα δεύτερόν ἐστι τῆς θείας οὐσίας καὶ ταῖς ἀκτίστοις ἐνεργείαις κυρίως μᾶλλον ἁρμόττει· καὶ ὅτι τῶν τοιούτων ἀκτίστων ἐνεργειῶν πολλὴ καὶ ἄπειρος ἐκ τῆς θείας οὐσίας ἐστὶν ἡ διαφορὰ, κἀκ τῶν ἐνεργειῶν γινώσκομεν τὸν Θεόν· καὶ ὡς ὁ μέγας φησὶ Βασίλειος (51), « Ἐκ μὲν τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν Θεὸν ἡμῶν, τῇ δ' οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα. Αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν· ἡ δ' οὐσία αὐτοῦ μένει ἀπρόσιτος. » Ταῦτα καὶ τὰ παραπλήσια λέγοντες ἐπῆγον οἰκείας παρεξηγήσεις καὶ συλλογισμοὺς ἐκτόπους καὶ ἀνοσίους καὶ μαινομένους· ὡς ἐπειδὴ πρὸς ἡμᾶς αἱ ἐνέργειαι καταβαίνουσι, κἀκ τούτων γνωρίζομεν τὸν Θεὸν, ἄκτιστοι ἄρα εἰσὶ θεότητες· καὶ ὅσοι μὴ συμφωνοῦσιν ἡμῖν, βλασφήμους ἑαυτοὺς [P. 621] καθιστῶσι περιφανῶς.

VI. Ego vero, qui et ægrotabam, et cæteris sociis exclusis unus præter spem insidiosis retibus intercèptus 988 hærebam, quid aliud facere debui, nisi ut me, si possem, brevi oratione quamprimum inde expedirem ? Pugnam certe detrectare statim haud oportuit, tametsi declinandi idonea ratio erat morbus ipse cum solitudine conjunctus. Illi enim a tergo instantes crimen mihi timiditatis objecturi, et quod locum deseruissem, reum acturi fuissent. Ad argumentum igitur ex eo ductum, quod nomen θεότητος proprie et primario non magis substantiæ quam operationibus conveniret, primum respondi ; eique refellendo suffecit statim illud divi doctoris, quod tum mihi præsto in ore exstitit : « Cum Dei dico, Patris dico et Filii et Spiritus sancti. Divinitas nec ultra hæc diffunditur, ne deorum turbam inducamus ; nec citra hos fines consistit, ne de inopia divinitatis damnemur. » Et rursus : « Dei autem cum dico, uno lumine et tribus circumfusi irradiemini : uno quidem, secundum rationem substantiæ seu divinitatis; tribus autem, secundum proprietates seu hypostases (si quis malit ita vocare) seu personas. Nam de nominibus nulla nobis rixa futura est, quandiu syllabæ ad eamdem notionem ferent. Quippe et indivisim dividitur, ut ita dicam, et divisim connectitur : quoniam divinitas unum est in tribus, et tria illa, in quibus est divinitas, seu quæ, ut accuratius loquar, divinitas est, unum sunt. Excessus autem ac defectus omittamus. » Pariter et Gregorius Nyssenus ait : « Si hoc nomen, *Deus*, substantiam significat, unam divinæ Trinitatis substantiam 989 confitendo, unum Deum statuere nos apparet, quoniam unius sub-

Ϛ'. Ἐμοὶ δὲ καὶ ἀσθενῶς ἔχοντι, καὶ μόνῳ τῶν ἄλλων ἀπειλημμένῳ συμμάχων ἁπάσα ὀκήτως ἐνεδρευόντων δικτύων ἐντὸς, τί ἔδει ποιεῖν ἕτερον, ἢ βραχυλογίᾳ χρησαμένῳ, εἰ δυναίμην, ἀπαλλάττεσθαι τὴν ταχίστην; Οὐ γὰρ φυγομαχεῖν εὐθὺς ἐχρῆν, καὶ ταῦτα πρόφασιν ἱκανὴν κεκτημένους ἀποφυγῆς τήν τε νόσον καὶ ἅμα τὴν μόνωσιν. Ἦ γὰρ ἂν κατὰ νώτου κεῖσεσθαι ἔμελλον, δειλίας γραφόμενοι καὶ λειποταξίου δίκην ἐπάγοντες. Πρὸς μὲν οὖν τὸ τῆς θεότητος ὄνομα, μὴ τῇ οὐσίᾳ μᾶλλον ἢ ταῖς ἐνεργείαις ἁρμόττειν κυρίως καὶ πρώτως, πρώτην ποιουμένῳ καὶ τὴν ἀπάντησιν, ἦρκεσε παραχρῆμα πρὸς λύσιν τὸ τοῦ θείου Πατρὸς ἐκεῖνο γεγονὸς ἀνὰ στόμα· « Θεοῦ δὲ ὅταν εἴπω, λέγω Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος, οὔτε ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν, οὔτε ἐντὸς τούτων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος κατακριθῶμεν. » Καὶ πάλιν· « Θεοῦ δὲ ὅταν εἴπω, ἑνὶ φωτὶ περιαστράφθητε καὶ τρισίν· ἑνὶ μὲν κατὰ τὸν τῆς οὐσίας λόγον, εἴτ' οὖν θεότητος· τρισὶ κατὰ τὰς ἰδιότητας, εἴτ' οὖν ὑποστάσεις, εἴ τινι φίλον καλεῖν, ἢ πρόσωπα. Οὐδὲν γὰρ περὶ τῶν ὀνομάτων ζυγομαχήσομεν, ἕως ἂν πρὸς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσι. Διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵνα οὕτως εἴπω, καὶ συνάπτεται διηρημένως. Ἓν γὰρ ἐν τρισὶν ἡ θεότης, καὶ τὰ τρία ἕν, τὰ ἐν οἷς ἡ θεότης, ἢ τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης· τὰς δὲ ὑπερβολὰς καὶ ἐλλείψεις ἐλλείψωμεν. » Καὶ ὁ Νυσσαέων δ' ὁμοίως φάσκει Γρηγόριος· « Εἰ τὸ Θεὸς ὄνομα οὐσίας σημαντικόν ἐστι, μίαν οὐσίαν ὁμολογοῦντες τῆς ἁγίας Τριάδος ἕνα Θεὸν εἰκότως δογματίζομεν, ἐπειδὴ μιᾶς οὐσίας ἓν ὄνομα τὸ Θεός ἐστι. » Καὶ πάλιν· « Ἔστι τοίνυν ἰδίωμα τῆς ἀϊδίου οὐσίας, ἥς ἐστι Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα, τὸ πάντα ἐπ-

Variorum notæ.

(5) Citatur D. Basilii Epistola, quæ in eo codice, quo Gregoras usus est, 257. numerabatur; in libris editis aut omnino deest, aut alium numerum præfert. Boivin.

τεύειν καὶ θεωρεῖν καὶ γινώσκειν, οὐ μόνον τὰ ἔργῳ γινόμενα, ἀλλὰ καὶ τὰ τῷ νῷ λαμβανόμενα· ὅπερ μόνης ἐστὶν ἐκείνης τῆς οὐσίας. Ἐντεῦθεν εἰλημμένον τὸ Θεὸς ὄνομα, κυρίως λεγόμενον, σημαίνει τὴν οὐσίαν ἐκείνην, ἣ δεσπόζει πάντων ὡς ἀληθῶς.» Καὶ πάλιν· «Μιᾶς τοιγαροῦν ὑπαρχούσης τῆς οὐσίας, ἧς ἐστι Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα, καὶ ἑνὸς τοῦ παραδηλοῦντος αὐτὴν ὀνόματος, φημὶ δὴ τοῦ Θεὸς, εἷς Θεὸς ἔσται κυρίως καὶ ἀκολουθότερον τῷ λόγῳ τῆς οὐσίας.»

et Spiritus sanctus, et unum nomen eam denotet, ipsius substantiæ rationi magis consentaneum est.»

Ζ'. Ταῦτα μὲν δὴ οὖν, καὶ ὅσα ἄλλα τῶν θείων Πατέρων ἐκ τοῦ προχείρου τέως ἐπῆει τῇ μνήμῃ, τὴν ὁμοίαν ἀκολουθίαν ἀεὶ διασώζοντα, [P. 622] καθόσον ἐφικτὸν, προενεγκόντες ἐκείνῃ τῇ διαλέξει περὶ τοῦ τῆς θεότητος ὀνόματος ἐξ αὐτοσχεδίου ἐδώκαμεν. Καὶ ἅμα ὠνείδιζον ἔγωγε σφίσιν, ὅτι τῶν θείων Πατέρων τῇ θείᾳ οὐσίᾳ τὸ τῆς θεότητος ὄνομα διαῤῥήδην διδόντων, αὐτοὶ παρεξηγούμενοι προδήλως ἐκείνους συκοφαντοῦσιν. Ὄνομα γὰρ κύριον ἢ μὴ ὑπάρχειν ὅλως τῇ θείᾳ φασὶν οὐσίᾳ, ἢ ἡμῖν γε μὴ ὑπάρχειν· ὃ δ' οὖν σφίσι δογματισθὲν ἐκ τῶν τιμιωτέρων ἡμῖν ἐκδέδοται, στέργειν καὶ ἡμᾶς εἶναι ἀνάγκην, καὶ μηδαμῇ περαιτέρω προβαίνειν, μηδὲ πολυπραγμονεῖν. Εἰ δέ που καὶ δι' οἰκονομίαν τινὰ ἐνίοις ἐνίοτε καὶ ἐνταυθοῖ παρέφθεγκταί τι, δόξαν ἴσως ἐναντιολογίας παρέχον, μὴ νόμον εἶναι τὸ σπάνιόν τι καὶ δυσδιάγνωστον.

alicubi dissonum quid pronuntiassent, **990** quod contrarie dictum videri posset, id quidem, utpote rarum et obscurum, legem non esse.

Η'. Περὶ δ' ὧν αὖθις τὸν μέγαν εἰσῆγον ἐκεῖνοι Βασίλειον, λέγοντα γινώσκειν ἐκ τῶν ἐνεργειῶν ἡμᾶς τὸν Θεόν· ἀλλὰ μὴν ἀκτίστους ἐκεῖνος ἥκιστά φάσκει θεότητας εἶναι τὰς τοιαύτας ἐνεργείας, ἔγωγε ἔφασκον. Ἢ γοῦν μὴ δι' ἑαυτῶν ἀναγινώσκειν ὅλως ἀπεφαινόμην αὐτοὺς, ἢ ἀναγινώσκοντας μὴ γινώσκειν ὅλως ἃ ἀναγινώσκουσιν. Εἰπὼν γὰρ ὁ θεῖος Πατὴρ, ἐκ τῶν ἐνεργειῶν γινώσκειν ἡμᾶς τὸν Θεὸν, ἐν τῇ αὐτῇ παρακατιὼν ἐπιστολῇ ἑαυτὸν αὐτὸς ἐξηγεῖται, φάσκων· «Οἱ μαθηταὶ πότε αὐτὸν προσεκύνησαν; οὐχ ὅτε τὴν κτίσιν αὐτῷ εἶδον ὑποτεταγμένην; Ἀπὸ γὰρ θαλάσσης καὶ ἀνέμων ὑπακουσάντων αὐτῷ ἐγνώρισαν αὐτοῦ τὴν θεότητα. Οὐκοῦν ἀπὸ μὲν τῶν ἐνεργειῶν ἡ γνῶσις· ἀπὸ δὲ τῆς γνώσεως ἡ προσκύνησις.» «Καὶ ἅμα ὁρᾶτε, ἔφασκον, ἐνεργείας τὰ θαύματα λέγοντα τὸν θεῖον διδάσκαλον. Πῶς οὖν θάλασσαν καὶ ἀνέμους καὶ τὰ τοιαῦτα θεότητας ἀκτίστους φατὲ, καὶ τοὺς θείους πρηστῆρας οὐ φοίττετε; Ἔπειτα οὐδέ τοι τὸν τῶν ὄντων γινώσκομεν αἴτιον· κἀκ τῆς διαφορᾶς τῶν ὄντων τὴν τοῦ ὄντος διδασκόμεθα σοφίαν, τὸν Υἱόν· καὶ ἐκ τῆς τῶν ὄντων φυσικῆς κινήσεως τὴν ἐνυπόστατον τοῦ ὄντος μανθάνομεν ζωὴν, τὴν τῶν ὄντων ζωοποιὸν δύναμιν, τὸ Πνεῦμα τὸ ἅγιον.»

VII. Hæc nos, et quæcunque alia sanctorum Patrum dicta in promptu tum fuerunt atque in mentem venerunt, similem usque consecutionem quoad fieri potuit conservantia, produximus, et ad illam de divinitatis nomine disputationem ex tempore adhibuimus. Tum hoc illis simul exprobravi, quod cum sancti Patres nomen θεότητος diserte tribuerent divinæ substantiæ, hi perperam interpretando aperte illos calumniarentur. Etenim aiunt ii, divinæ substantiæ nomen proprium vel non exsistere, vel nobis haud exsistere. Quod itaque iidem, ab excellentioribus attributis ductum, in rebus dogmaticis usurparunt, et nobis tradiderunt, eo nos contentos esse necessario oportere, non autem ultra progredi et curiosius inquirere. Quod si qui singulari aliqua ratione aliquando et

Θ'. Ὁ βασιλεὺς δ' εὐθὺς ἀνίσταται, γέμων ὀργῆς καὶ θυμοῦ καὶ βραχὺ προβὰς τοῦ θαλάμου τὸ ποιητέον ἐκοινολογεῖτο κρύφα τῷ τε Παλαμᾷ καὶ τοῖς ἐπισκόποις· εἶναι γὰρ ἀνίσχυρον ἐνταυθοῖ τὴν ἐκ λόγων πειθώ. Καὶ ῥᾴονα πάντων ἄλλων εὕρισκε

VIII. Quatenus autem Basilium Magnum inducebant, dicentem cognosci a nobis Deum ex operationibus; at eas operationes, inquam, minime ille increatas divinitates esse ait. Omnino ergo, aut ipsos per se non legere, aut legendo non intelligere ea quæ legerent, affirmabam. Nam sanctus hic Pater, postquam dixit, Deum ex operationibus cognosci a nobis, suam ipse mentem infra in eadem epistola interpretatur his verbis: «Discipuli quando eum adorarunt? Non cum creaturam ei submissam viderunt? Nempe ii divinitatem ejus ex eo cognoverunt, quod et mare et venti obedirent ei. Itaque ex operationibus nata cognitio, ex cognitione adoratio.» «Ac videte, inquam, simul sanctum hunc doctorem operationes vocantem ea, quæ sunt miracula. Quomodo itaque vos mare et ventos et similia increatas vocatis divinitates; tum iidem igneos Dei turbines haud exhorrescitis? Jam vero nec ipsum entium auctorem cognoscimus, sed ex varietate entium sapientiam ejus qui est, nempe Filium, cognoscimus; et ex motu entium naturali vitam ejus, qui est, per se subsistentem intelligimus, nempe entium vivificam virtutem, Spiritum sanctum.»

IX. Ibi imperator iræ et indignationis plenus surrexit, et paulo extra cubiculum progressus cœpit clam cum Palama et episcopis quid agendum esset consultare; verba quippe in præsenti negotio vim persuadendi **991** minimam habere. Atque

ut nos quamprimum amoliretur, nullam planc aliam rationem reperit faciliorem ea, quam et Palamas præceptis suis designatam ei proposuisset, et ipse jam usu probatam penitus cognovisset. Id autem erat, omnino jam abrogandam esse ejusmodi disputationem, quæ ex Scripturis argumenta repeteret : inde scilicet consequi eos exitus, qui haudquaquam sibi expedirent : quæ enim illi in nos exsequi meditarentur, ea ipsos a nobis passuros citius, quam exsecuturos ea, quæ nos pati voluissent. Iidem concilio expellere constituunt episcopum Tyri, qui patriarchæ Antiocheni jura tuebatur : quod si is persisteret et instaret, illius patriarchæ sententiam allegando, qua Palamas depositus damnatusque esset, tum ipsum quoque statim cum patriarcha exauctorare, et ab Ecclesiæ nostræ communione abscindere.

A τρόπον οὐδένα, τὴν ταχίστην ἀποσκευάσασθαι πάντας ἡμᾶς, ἢ καὶ ἃ; ὁ Παλαμᾶς τε αὐτῷ προεζωγράφησεν ὑποθήκας καὶ αὐτὸς ἤδη πεῖρᾳ μεμάθηκεν ἀκριβῶς. Αἱ δὲ ἦσαν ἀποψηφίζεσθαι κομιδῇ τὴν διὰ γραφικῶν ἀποδείξεων ἤδη διάλεξιν · [P. 623] ἧκιστα γὰρ εἶναί σφισιν ἐντεῦθεν τὰς ἀποβάσεις λυσιτελούσας · θᾶττον γὰρ ἂν παθεῖν ὑφ' ἡμῶν αὐτούς, ἃ δρᾷν καθ' ἡμῶν ἐμελέτησαν, ἢ δρᾷν ἃ παθεῖν ἡμᾶς ἐμελέτησαν. Συνέθεντο δ' ἐξῶσαι τοῦ συνεδρίου καὶ τὸν Τύρου ἐπίσκοπον (6), τοῦ τῶν Ἀντιοχέων πατριάρχου τὰ δίκαια φέροντα · εἰ δ' ἐπιμένων ἐνίσταιτο, προβαλλόμενος τὴν ἐκείνου κατὰ τοῦ Παλαμᾶ καθαίρεσίν τε καὶ ἀποχήρυξιν, κἀκεῖνον αὐτῷ συγκαθελεῖν εὐθὺς καὶ τῆς ἡμῶν ἐκτεμεῖν Ἐκκλησίας.

X. Prius itaque nos, contumeliis et calumniis atrocioribus perculsos, amovere statuunt ; quo deinde illa omnia ad libitum tranquille decernant, et pro dogmatis haberi jubeant, ubi jam nemo futurus sit qui adversetur. Plerumque enim et sæpius efficaciora esse aiebant ea quæ audacius, quam quæ segnius agerentur. Id episcoporum animis magnam instillavit libidinem incessendi nos convitiis palam ac petulanter, velut de plaustro. Ecquid porro deterioribus ingeniis, in quibus coalita inest boni omnis ignorantia, magis proclive, quam ad insanos affectus labi et impelli? Nempe ii veriti, ne ex sacris Scripturis impii arguerentur, magna pompa, magno apparatu velut in theatro expositam **992** impietatem suam re declarant : perinde illi facientes, ac si quis in mari natans, stillis demum et levibus pluviæ præludiis conspectis, profundo mari sese immergat, ne aeriis illis roribus perfundatur.

B Ι'. Ὅθεν ἔδοξεν, ὕβρεσι καὶ διαβολαῖς ἀποσκευασαμένοις πρότερον ἡμᾶς ἐκπληκτικώτερον τρόπου, καθ' ἡσυχίαν ψηφίζεσθαί τε καὶ δογματίζειν τὰ τοιαῦθ' ἅπαντα κατὰ βούλησιν, μηκέτ' ὄντος ὃς ἀντιστήσεται μηδενός· εἶναι γὰρ ὡς τὰ πολλὰ πολλάκις ἔφασκον τὰ τῶν δρωμένων θρασύτερα πολλῷ τῶν πραοτέρων ἀνυσιμώτερα. Ταῦτα πολὺν ἐνέσταξεν ἵμερον ταῖς τῶν ἐπισκόπων ψυχαῖς, ἐξ ἀμάξης ἀναίδην παῤῥησιάζεσθαι καθ' ἡμῶν. Καὶ τί γὰρ μοχθηροτέραις ψυχαῖς, ἀμαθίᾳ συντεθραμμέναις παντὸς ἀγαθοῦ, ῥᾷον ἄλλο τῶν ἄλλων ἕτερον, ἢ πρὸς ἀτόπους ὁρμὰς προτροπή ; Δείσαντες γὰρ, μὴ πρὸς τῶν θείων Γραφῶν ἀσεβεῖς ἐξελεγχθῶσιν, ἀσέβειαν δρῶσι πάνυ πανηγυρικὴν ὁμοῦ καὶ θεατρικήν · ὅμοιον, ὥσπερ ἂν εἴ τις ἐν πελάγει νηχόμενος, εἶτα ψεκάδας ἰδὼν καὶ βροχῆς ἀμυδρὰ προοίμια, ὄφαλος κατεδύετο πρὸς τὸ πέλαγος, μὴ διάβροχος ὑπὸ τῶν ἀερίων ψεκάδων ἐκείνων γένηται.

XI. Etenim Palamas, paulatim inde abscedens, auxiliares copias accitum ivit, et quoscunque circumstrependi, obstrependi, et importune obloquendi facultate pollentes reperit, eos omnes congregavit. Hi autem insolentes linguas in nos acuebant.

ΙΑ'. Ὁ μὲν γὰρ Παλαμᾶ , παρεγκλίνας μικρὸν, ἐξενολόγει καὶ συνήθροιζε τῶν περιβομβεῖν καὶ παραβομβεῖν καὶ παραφθέγγεσθαι δυναμένων οἷς ἐνετύγχανεν· οἱ δ' ἠχόνουν τὰς ἀτόπους καθ' ἡμῶν γλώττας.

CAPUT VII.

Gregoras aliique orthodoxi introvocantur. Cantacuzenus minatur gravissima. Ejus cum Xerxe, Persarum rege, comparatio. Episcoporum Palamitarum imperitia. Orthodoxi frustra conantur contradicere. Cantacuzeni vultus et verba. Gregoram discipuli timidiores deserunt ; alii silent. Gregoræ et orthodoxorum episcoporum secessio ; quos imperator primum exire vetat ; deinde, suadente Palama, abire patitur. Palamitæ, egressis orthodoxis, imperatorem adulantur. Quidquid libuit decernunt.

I. Tandem et nobis iracunde introvocatis, violenti prorsus et ad omne scelus prompti in nos consurgant ; ac Ecclesiæ Dei antistites, ii scilicet, quibus pastorum munus obtigit, vineam Dei vastant. Omitto cætera, quæ adversus ejusmodi homines sacra Scriptura tragice olim declamavit.

II. Ac primum quidem imperator, illo metu agitatus, quem tridie ante Palamas animo ejus altius impresserat, contumeliis et minis dirissimis, velut

D [P. 624] Α'. Εἰσκεκληκότες γὰρ καὶ ἡμᾶς ὀψὲ μετ' ὀργῆς, βίαιοι καθάπαξ καὶ τάνόσια πάντα γίνονται τολμηροὶ καθ' ἡμῶν· καὶ τῆς τοῦ Θεοῦ ἐκκλησίας προστάται καὶ οἱ ποιμαίνειν λαχόντες τὸν τοῦ Θεοῦ διαφθείρουσιν ἀμπελῶνα· καὶ ὅσα κατὰ τῶν τοιούτων ἡ θεία ἐτραγῴδησε πάλαι Γραφή.

Β'. Καὶ πρῶτον μὲν ὁ βασιλεὺς, ὑπὸ δειλίας ἑλαυνόμενος ἐκείνης, ἣν ὁ Παλαμᾶς πρότριτα ταῖς τῆς ἑαυτοῦ ψυχῆς ἐνέσπειρεν αὐλαξι, τὰς παλαμναιοτά-

Variorum notæ.

(6) Hinc apparet episcopum Tyri in prima tantum actione præsentem concilio interfuisse. Vide adnotata ad lib. XXI, cap. 4, num. 13, infra. BOIVIN.

τας ὕβρεις καὶ ἀπειλὰς καθ' ἡμῶν ἐξετόξευεν, οὐκ A telis quibusdam, nos incessit; non ille incolendum
Ἀτλαντικοῦ (7) κληρουχίας πελάγους, καὶ γῆς Atlanticum mare, nec extra terram habitabilem
ποιήσειν ἔξω τῆς οἰκουμένης (Ξέρξου γὰρ ταῦτα καὶ quærenda exsilia comminatus (quippe hæc Xerxem
τῆς ἐκείνου βαρβαρικῆς ἀπονοίας καὶ τρυφῆς ἦν), et barbaricam ejus dementiam ac lasciviam dece-
ἄλλα δ' ἐκείνων μείζω καὶ σφόδρα ἀπφδόντα, ὡς εἰ- bant), sed alia his graviora et multum abhorrentia,
ρήσεται προϊόντος τοῦ λόγου. Τῶν γὰρ ἀνίσων καὶ ut infra dicetur. Scilicet ubi principia et instituta
ἀνομοίων ἀρχῶν τε καὶ προαιρέσεων ἄνισά τε καὶ inæqualia et dissimilia sunt, ibi etiam inæquales
ἀνόμοια πάντως εἶναι εἰκὸς καὶ τὰ τῶν πραττομένων et dissimiles utrinque esse actionum exitus plane
ἑκατέρωθεν λήγοντα. Οὐδὲ γὰρ πάτριον ἐκεῖνος consentaneum est. Porro ille nec religionem pa-
ἐξώμνυτο σέβας, οὐδὲ θρησκείαν θρησκείας ἠλλάτ- triam abjuraverat, nec morem doctrinamque ve-
τετο, οὐδ' ἐθῶν καὶ δογμάτων ἤθη καὶ δόγματα, terem novo recensque constituto more doctrina-
παλαιῶν καινότερα καὶ νεότακτα· οὐδ' ὅρκους ἐπά- que mutaverat, nec fidem, ei quem colebat Deo
τει θρησκευομένου Θεοῦ. **993** juratam, pedibus subjecerat.

Γ'. Εἰ δέ τις ἐνίσταιτο, Ξέρξην θαυμάζων ἐκεῖνον, III. Quod si quis Xerxem illum miratus instet
ὅτι γῆς καὶ θαλάσσης ἦρχε πάνυ τοι πλείστης, καὶ B ac dicat, eum terræ et maris tractibus quam lon-
στρατὸν ἐπήγετο μυριάριθμον, ὧν ἡμεῖς παντάπασιν gissimis imperasse, et innumerabiles secum exer-
ἐστερήμεθα· ἀλλὰ θεοτήτων καὶ Θεῶν ἀπείρων τε citus ductasse, quibus nos rebus omnino deficia-
καὶ ἀκτίστων ἥκιστα εἶχε στρατόπεδα· ἀλλὰ πάντ' mur : at is (respondebitur) divinitates deosque
ἦσαν αὐτῷ κτιστὰ καὶ θνητὰ κατ' αὐτόν. Ὃ δὴ καὶ infinitos et increatos in castris minime habebat;
αὐτὸς ἑαυτῷ μεμαρτύρηκε, νῦν μὲν γελῶν, νῦν δὲ δα- sed erant illi omnia creata et mortalia, eique si-
κρύων· τὸ μὲν ὅτι πλείστης ἠπείρου καὶ θαλάττης καὶ millia. Cujus rei et ipse sibi testis fuit, nunc ri-
στρατοπέδων ἄρχοι παμπόλλων· τὸ δὲ ὅτι, θνητῶν dendo, nunc flendo. Ridebat autem, quod impe-
καὶ προσκαίρων ὑπαρχόντων, οὐδεὶς ὑπὲρ τὰ ἑκατὸν rium terra et mari latissime patens et exercitus
ἔσται φαινόμενος ἔτη, οὔτ' αὐτὸς, οὔτ' οὐδεὶς οὐδαμῆ numerosissimos haberet; idem flebat, quod cum
τῶν αὐτῷ ἑπομένων. [P. 625] Οὐ γὰρ ἦν πω τότε hi mortales et caduci ad certum tempus duraturi
Παλαμᾶς, οὐδὲ τῷ πολλῷ συνῆν ἐκείνῳ βασιλεῖ πα- essent, nemo post centesimum annum usquam
ραπλήσιος ἐν τοσούτοις στρατεύμασιν οὐδεὶς Παλαμᾷ compariturus foret, non ipse, non ullus alius ex
τουτῳΐ, τεχνητὴν κτίζων ἀθανασίαν καὶ ἀκτισίαν, iis, qui se sequerentur. Nimirum eo tempore Pa-
καθάπερ τοὺς κεραυνοὺς καὶ πρηστῆρας ἐκ γῆς οἱ lamas nondum erat, nec in tanto exercitu cum
Κύκλωπες πάλαι κατὰ τοὺς μύθους τῷ Διΐ· ἐνταῦθα C rege potentissimo versabatur quisquam huic Pa-
δὲ τοὺς τοιούτους φόβους ὑπερορίους εἶναι, καὶ λήθης lamæ similis, qui immortalitatem et increatam na-
καλύπτεσθαι μᾶλλα πυθμέσιν ὑποβρυχίοις, ἅτ' ἀκτί- turam per artem crearet, quemadmodum de terra
στων ἅμα καὶ ἀθανάτων τῶν τ' ὄντων ἅμα καὶ olim fulmina et tela ignea Jovi fabulosi illi Cyclo-
τῶν ἐκ τῶν ὑπαρχόντων (8). Εἶεν. pes. Hinc vero longe absunt ii metus, altissima
oblivione velut demersi, propterea quod increati et immortales sint tum principes, tum ii qui princi-
pibus parent.

Δ'. Ἀρξαμένων δ' ἐξῆς καὶ τῶν ἐπισκόπων λαλεῖν, IV. Deinceps cum et episcopi loqui cœpissent,
ἦν ἀκούειν νῦν μὲν δικτύων καὶ θαλάσσης ἀπόζοντας audire erat eos sermones, qui nunc retia et mare
λόγους· νῦν δὲ σκαπάνης τινὸς καὶ δικέλλης ἀξίους· redolerent, nunc sarculum et ligonem saperent,
νῦν δ' οὐδὲν καμινιαίας αἰθάλης ἀπεοικότας, τῷ nunc fornacis fuligine tincti viderentur. Adeo ob-
ἀμαυρῷ τε καὶ δυσήχῳ καὶ ἀνάρθρῳ τῆς λαλιᾶς. scura, et sono ipso dura, nec bene articulis di-
Καὶ συνελόντι φάναι, πλὴν τῶν ἐπισκοπικῶν ἐνδυμά- stincta, illorum oratio erat. Ut paucis dicam, nihil
των οὐδὲν ὑγιὲς ὁρᾷν καὶ ἀκούειν τέως ἦν ἐκεῖ. tum frugi, **994** præter episcopalem habitum, illic
vel videres vel audires.

Ε'. Βουληθέντων δὲ καὶ ἡμῶν ἀντιφθέγξασθαί τι D V. Volentibus autem nobis paululum contra hi-
μικρὸν, κραυγαῖς ἀσήμοις τε καὶ ἀνάρθροις καὶ συν- scere, illi de industria indistinctis confusisque
εχεῖ πατάγῳ χειρῶν ἐξεπίτηδες ἡμᾶς τε ὑπερεφώ- clamoribus editis, et complosis usque manibus,
νουν ἐκεῖνοι καὶ σιωπᾷν κατηνάγκαζον, καθάπερ nostras voces vincebant, et nos, velut sævientis
ἀγριωμένης θαλάττης μεμηνότα κύματα τοὺς ἀνὰ pelagi furentes undæ eos, qui in littore placide
τὸν αἰγιαλὸν ὁμιλοῦντας ἠρέμα. Ἐῶ γὰρ λέγειν, ὅτι colloquuntur, conticescere cogebant. Nam quod
παρ' οὐδὲν ἐληλύθεσαν ἡμᾶς διαῤῥῆξαι, καθάπερ αἱ nihil abfuerit, quin nos illi, ut olim Pentheum
Βάκχαι πάλαι Πενθέα, φασὶν ἀττικίζοντες μῦθοι. Bacchæ fabulis Atticis celebratæ, membratim dis-
Ἀλλ' ἡμῶν γε ἐπιμενόντων ἔτι, καὶ μικράν τινα cerperent, id quidem ego silco. Ac quanquam ad-
λόγου ζητούντων χώραν ἡμῖν ἐγγενέσθαι, οὔτ' ἤκουεν huc exspectantes maneremus, et ut nobis exiguus
οὔτε προσεῖχεν οὐδείς. saltem dicendi locus esset postularemus, nemo nec
audivit nec animum advertit.

Variorum notæ.

(7) Aristid. in *Panathen.* Boivin.

(8) Ita quoque Vaticanum exemplar. Sensum puto cum esse quem expressi. Boivin.

VI. Demum imperator, torvo quodam et efferato obtutu in nos fixo : «Lepidum sane istud, inquit, homines voluntati meæ infensissimos, quos equidem pro nomine appellem nescio, velle mea in domo me invito orationes habere accurate elaboratas.» Hæc judex æquus, qui se medium et indeclinabilem fore et neutram in partem propensurum nequam juraverat.

VII. Mihi igitur, qui capitis dolore vehementissimo jampridem laborabam, novus dolor accessit, eo quod ab adversariis nec tertia quidem mihi pars relicta esset mei discipulorum chori : quorum plurimos circumstare me, plurimos item proxime assidere, cum vidissent superiori die ; gravi zelotypia affecti multo vehementiorem invidiam in nos suam reconflarunt, ac velut incendium ventilando **995** excitarunt, bonorum publicationem minati, eaque indicta pœna, ut qui mecum in altero consessu affuturus esset, is deprehensus in carcerem duceretur. Hinc factum est, ut quotquot ad ejusmodi certamina et pericula subeunda animo erant minus forti, ii paulatim a latere meo discesserint ; alii vero in priore silentio perstiterint, pro sua quisque voluntate et sententia.

VIII. Ego itaque, cum et hæc viderem, et simul imperatorem multis modis palam nobis adversari intelligerem ; tum præterea episcopos cernerem in nos sævire et cædem spirare, surrexi et e curia excessi ; ac eos, qui partium nostrarum erant, mecum omnes exeuntes conspicatus sum. Ibi magnus rumor exortus, cum et imperator lictoribus ediceret, ne abire sinerent sed tenerent : et nos mortem præoptaremus, quam ut concilium illud latrocinii simile intueremur fixis oculis. Tandem venerabilis ille Palamas, qui absentiam nostram sibi jucundam esse sentiebat, auctor imperatori exstitit, ut nos missos faceret. Facilius quippe futurum sibi aiebat, detrectati judicii nos accusare, atque ita ferendis in nos decretis finem imponere, quam si et adessemus et contradiceremus.

IX. Quare Palamitæ, abeuntibus nobis, imperatorem, quod secundam et optatam puppi suæ auram aspirasset, profusis laudibus remunerabantur, et ejusmodi adulationibus titillatum ejus animum permulcebant. Nempe ut patentes campi equis certantibus facilem cursum offerunt, sic ille **996** assentatoribus vacuas aures commodare omni tempore prorsus consuevit. Itaque illi jam soli secum, quidquid animi libido dictavisset, verbis pariter et factis exsequebantur.

Ϛ'. Ὑφὲ δ' ἑνιδῶν βλοσυρόν τι καὶ ἀπηγριωμένον ὁ βασιλεὺς πρὸς ἡμᾶς, « Χαρίεν, ἐφη, τοῦτο, κατεσπουδασμένους ἐθέλειν ποιεῖσθαι λόγους τῆς ἐμῆς οἰκίας ἐντὸς, οὐχ ἑκόντος ἐμοῦ, τοὺς τῆς ἐμῆς θελήσεως ἐχθίστους, καὶ οὓς οὐκ ἔχω πῶς ὀνομάσαι. » Ταῦτ' ἔλεγεν ὁ ἀῤῥεπὴς ἐκεῖνος κριτὴς, ὁ τὴν μέσην καὶ ἀπαρέγκλιτον καὶ οὐδαμῆ ποθ' ἑτεροῤῥεπῆ βαδίζειν ὁμωμοκώς.

Ζ'. Ἐγὼ τοίνυν, καὶ πάλαι μὲν περιαλγὴς ὢν ἐκ τῆς κεφαλῆς, ἦδη δὲ καὶ λύπῃ λύπην προσειλήφειν, ἐκ τοῦ μηδὲ τριτημόριον πρὸς τῶν ἀντιθέτων ἐμοὶ καταλελεῖφθαι τοῦ χοροῦ τῶν ἐμῶν φοιτητῶν. Ὁδόντες γὰρ ἐκεῖναι τῇ προτεραίᾳ (9) πλείστους μὲν ἐμὲ περιεσταμένους ἐκείνων, πλείστους δ' ἐγγιστα καθημένους ἐμοῦ, ζηλοτυπίᾳ βαρείᾳ τὸν οἰκεῖον καθ' ἡμῶν ἐξελάκευσάν τε καὶ ἀνεπύρσευσαν φθόνον ἐς τὸ πάντη ἀκμαιότερον, καὶ τῶν τε οἰκείων ἐκείνοις ἠπείλησαν δήμευσιν καὶ ἀγώγιμον εἰς εἰρκτὴν τοὐπιτίμιον εἶναι, εἴ τις ἀλοίη τὸ δεύτερον ἔτι συνέδριον ἐμοὶ συμπαρών. Διὸ καὶ ὅσοι τὰς ψυχὰς ἀσθενέστεροι [P. 626] πρὸς τοιούτους ἦσαν ἀγῶνας καὶ πείρας, ἡρέμα τῆς ἐμῆς ἐγγύτητος ἀπηλλάττοντο· οἱ δ' ἔτι παρέμενον τῇ προτέρᾳ σιγῇ, ὡς ἑκάστῳ προαιρέσεώς τε καὶ γνώμης ἐνῆν.

Η'. Ταῦτα τοίνυν ὁρῶν ἐγὼ, καὶ ἅμα τὸν βασιλέα πολυτρόπως ἐπ' αὐτοφώρῳ μαχόμενον ἡμῖν συνορῶν, καὶ πρός γε ἔτι φόνου πνέοντας τοὺς ἐπισκόπους καθ' ἡμῶν, ἀναστὰς ἐξῄειν τοῦ βήματος καὶ ἅμα ἐώρων συνεξιόντας ἅπαν τὸ μέρος ἐμοί (10). Καὶ θροῦς ἐγένει πολὺς, τοῦ μὲν βασιλέως κατέχειν ἐγκελευομένου τοῖς πελεκυφόροις, καὶ μὴ ἐᾷν ἀπιέναι ἡμᾶς· ἡμῶν δὲ αἱρουμένων θάνατον μᾶλλον, ἢ τὸ λῃστρικὸν ἐκεῖνο συνέδριον ἑστῶσιν ὁρᾷν ὀφθαλμοῖς. Ὑφὲ δ' ὁ σεμνὸς Παλαμᾶς, αὐτῷ λογισάμενος εἶναι καθ' ἡδονὴν τὴν ἡμῶν ἀπουσίαν, ἀφιέναι παρῄνει τῷ βασιλεῖ. Ῥᾷον γὰρ εἶναί σφισιν ἔλεγεν ἐντεῦθεν ἡμᾶς τε φυγοδικίας γράφεσθαι καὶ σφᾶς ταχίστην ἐπιτιθέναι ταῖς καθ' ἡμῶν οὕτω ψήφοις τὴν τελευτὴν, ἢ παρόντων καὶ ἀντιλεγόντων ἡμῶν.

Θ'. Διὸ καὶ, ἀπιόντων ἡμῶν, ὕμνοις οἱ περὶ Παλαμᾶν πάνυ παμπόλλοις ἐγέραιρον τὸν βασιλέα, ἐξ οὗπερ ἐκείνοις τὰ κατὰ βούλησιν παρεχόμενον πλεῖν· καὶ τοιαύταις κολακείαις τὸ τῆς ψυχῆς ἐκείνου κατέψων ἡδόμενον. Ὡς γὰρ ἐς τὰς ἱπποδρομίας ῥᾳδίαν ταῖς τῶν ἵππων δίδωσιν ἁμίλλαις τὰ τῶν πεδίων ἱππήλατα, οὕτως ἀνειμένας εἴωθε παρέχειν καὶ αὐτὸς κομιδῇ τοῖς κόλαξι τὰς ἀκοὰς ἀεί. Εἶτα καθ' αὐτοὺς αὐτοὶ καὶ λέγοντες καὶ ὁρῶντες ἐπέραινον ὅτα τὸ βουλόμενόν σφισιν ἐπηγγελλε τῆς ψυχῆς.

Variorum notæ.

(9) *Cum vidissent superiori die ;* non quidem *proxime superiori*, sed eo die qui primus concilii fuit. Sic etiam infra lib. XXI, cap. 3, sect. 13 : Αἱ τῇ προτεραίᾳ σφίσι κολάσεις ἠπείληνται. Vide adnotata ad eum locum. BOIVIN.

(10) Philotheus, *Antirrhet.* I : Τί δὲ, κἀκεῖνο ψεῦδος ἐρεῖς, εἰπέ μοι · ὅτι καὶ ἅπαξ καὶ δὶς ὁμοῦ πάντες ἀπεπηδήσατε τῆς ἱερᾶς ἐκείνης συνόδου · καίτοι γε καὶ βασιλέως καὶ πατριάρχου καὶ πάντων ὁμοῦ παραμένειν ὑμᾶς ἀξιούντων, καὶ μὴ τὴν ὑπόθεσιν ἐπιτρέπειν διαφθείρειν ; cod. Reg. 1996, fol. 8 v. His congruunt et ea quæ ibidem leguntur, fol. 15. BOIVIN.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ
ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
ΛΟΓΟΣ ΚΑ.

NICEPHORI GREGORÆ
BYZANTINÆ HISTORIÆ
LIBER VICESIMUS PRIMUS.

CAPUT PRIMUM.

Cantacuzenus Gregoram arcessit. Animum ejus tentat solitis artibus; nullo autem successu. Quæ hactenus in concilio dixerit, ea pacis et concordiæ studio dixisse se affirmat. Majorem in posterum æquitatem suam fore promittit. Palamitarum doli, consilium, fiducia.

[P. 627] Α'. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον, καὶ οὕτω τὰ τῆς δευτέρας καθέδρας ἠνύετο. Ὁ μέντοι βασιλεὺς καθ' ἑαυτὸν τῇ ὑστεραίᾳ (11) γενόμενος, καὶ συνιδὼν, ὡς οὐκ εὐοδά σφισι τὰ τῆς καθ' ἡμῶν ἔσται ἐπιβουλῆς, εἰ μὴ παροῦσιν ἡμῖν ἐπιθείεν τὰ ψηφιζόμενα, δύο παρῆλθον ἡμέραι, καὶ μετάπεμπτον ἔσχεν ἐμὲ, καὶ ταῖς εἰωθυίαις αὖθις θωπείαις τε καὶ τῶν βασιλικῶν ἐκείνων δωρεῶν ἐπειρᾶτο παραφέρειν ἐπαγγελίαις· οὐκ οἶδα, εἴθ' ἑκὼν ἐπιλανθανόμενος, εἴτ' ἄκων ἀπατώμενός τε καὶ συναρπάζειν ἐπιχειρῶν. Ἃ γὰρ οὐ δὶς καὶ τρὶς μόνον, ἀλλ' ἑπτάκις εἰπεῖν ἑπτὰ διελὼν καὶ εἰπὼν, καὶ ἀποτυχὼν, ταῦτα παρεισκυκλῶν ἀεὶ καὶ ἐς ταυτὰ παλινδρομῶν, ἕτερά τε καὶ διάφορα πρὸς διαφόρους, καὶ οὐ πρὸς ἕνα ἐμὲ τὰ αὐτὰ, λέγειν ᾤετο.

Β'. Ὅμως ταῦτα λέγων προσενεκάλει τὰ πρότριτα γεγονόθ' ἡμῖν, ἡμῶν καθαπτόμενος, μὴ συνιέντων δῆθεν τῆς ὅπουδῆς ἐκείνης καὶ τοῦ σκοποῦ, πρὸς εἰρήνην ἀστασίαστον οἰκονομικῶς σχηματίζοντος καὶ ποικίλλοντος τούς τε λόγους καὶ διὰ κύκλου τινὸς, ἀδήλου τοῖς πλείστοις, περιιόντος καὶ περιάγοντος, καὶ τὰς διαφόρους τῶν πλείστων μετεωρίζοντος γνώμας. Κἀκείνῳ μὲν, ταῦτα καὶ τὰ τοιαῦτα λέγοντι, τὰς εἰωθυίας καὶ μείζους τῶν ἀντιῤῥήσεων ἀντεπῆγον αὐτός. Καὶ πολλὴν ἰδίᾳ διατετριφότες ἐν τούτοις ἡμέραν ἐπ' ἀτελέστοις αὖθις διελύθημεν ταῖς ἐλπίσι. Ὅμως ἤξιου πάλιν καὶ ἐπηγγέλλετο, συνελεύσεσθαι αὖθις ἡμῖν δώσειν τὴν τοῦ λέγειν ἅπασαν ἄδειαν, ὡς εἰκὸς, καὶ μὴ συνηγορεῖν ὁμοίως ἔτι τῷ Παλαμᾷ, μηδὲ τοῖς ἐκείνου πᾶσαν δώσειν ῥοπήν.

998 I. Et hæc quidem ita se habuerunt, et hic finis fuit secundæ sessionis. At imperator, qui postera die secum privatim animadverterat, non cessura esse feliciter ea quæ in nos machinati essent, nisi ipsi præsentibus nobis eam quam tulissent legem imponerent; duobus ex eo diebus elapsis, me arcessitum solitis blanditiis et illarum rursus largitionum principalium pollicitationibus conatur pervertere; nescio utrum sponte oblitus, an præter voluntatem deceptus, et obrependi studio delusus. Nimirum is, quæ dicendo et exponendo, non solum bis terque, sed et septies quasi septimo, nil profecerat, ea cum repeteret semper, et eodem subinde recurreret, alia et diversa apud diversos homines, non autem eadem apud me unum, dictitare se arbitrabatur.

II. Tamen ille hæc sic dicebat, ut etiam ea quæ triduo ante a nobis facta essent, criminaretur, et nos verbis corriperet; qui illud videlicet studium consiliumque ejus non intellexissemus, sermones suos ad pacis concordiam caute et providenter componentis, eosque variantis, ac per circuitus quosdam vulgo ignotos circumducentis, **999** atque ita diversas plurimorum hominum mentes suspendentis. Hæc et talia dicenti solitas ego et validiores solito responsiones opponebam. In his magnam diei partem cum privatim colloquendo consumpsissemus, spe irrita rursus discessimus. Cæterum velle se denuo aiebat spondebatque, ubi nos rursum convenissemus, omnem dicendi licentiam dare, ita ut par esset; ac non æque ut antea patrocinari Palamæ, et ejus partibus favorem omnem accommodare.

Variorum notæ.

(11) Die Maii 31. Boivin.

III. Dies inde sex effluunt, dum relia, quæ nobis tendebantur, perfecte parata et instructa essent. Quæ enim in illis duabus prioribus sessionibus nullo successu gesserant, ea nunc, prout melius sibi futurum esset, reformare se existimantes, majore jam audacia stadium et certamen repetebant. Ac nos rursus idem concilium et illa principalis curia præsentes habuit.

[P. 628] Γ'. Ἐξ παρῆλθον ἐκεῖθεν ἡμέραι, μέχρις ἂν ἐς αὐτάρκη παρασκευὴν τὰ ἐκείνων ἀπαρτισθῇ καθ' ἡμῶν δίκτυα. Ὧν γὰρ ἐν τοῖς δυσὶν ἐκείνοις ἀπετύγχανον συνεδρίοις, ταῦτ' ἐπανορθοῦντες (ὡς ᾤοντο) νῦν πρὸς τὸ σφίσι βέλτιον, θαῤῥαλεώτερον ἤδη τὸ τοῦ ἀγῶνος ἀνεκαλοῦντο στάδιον. Καὶ πάλιν εἶχεν ἡμᾶς τὸ συνέδριον ἐκεῖνο καὶ τὸ βασίλειον βῆμα.

CAPUT II.

Sessionem tertiam orthodoxi a fidei professione auspicantur. Excerpta ex libris Palamæ leguntur et expendantur. Illius in se defendendo labor irritus. Gregoras unum ex discipulis producit, qui disputandi munus excipiat. Palamas, victus ab adolescente, omnibus deridiculo est. Ex viginti capitibus tria tantum excussa. Exitus tertiæ sessionis.

I. Porro melius visum nobis est, insidiantium fraudes in ipso, ut aiunt, limine eludere, sacro catholicæ fidei symbolo palam et alta voce, secundum communem et usitatam orthodoxorum professionem, perlecto.

II. Id ubi factum est, cœperunt deinde impia Palamæ dogmata, ea scilicet quæ vulgo notiora excerpseramus, palam et ipsa a nostris perlegi, appositis ejusdem scriptis, quæ differentiam omnem prorsus abesse luculenter attestabantur. Itaque illi nullum crimen objiciebatur, unde posset fugiendo et elabendo se expedire : quod cum sæpe tentasset, toties hæsit suis **1000** ipsius scriptis manifesto impeditus, et plane obmutescere coactus. Ac pleraque, quod longiora essent, fastidii vitandi causa omissa sunt. Erant quippe illa ejusdem omnia naturæ. Quemadmodum enim mare ita amarum est, ut non aliqua parte gustum repellat, aliqua admittat, sed eumdem ubique gustantibus saporem objicit; ita et hujus viri scripta omnia ad easdem blasphemias pertinere evidens est. In quibus etsi fortasse aliquis majoris minorisque impietatis discrimina reperiat, tamen pars nulla usquam extra mali labem posita deprehendi potest.

Α'. Βέλτιον δ' ἔδοξεν ἡμῖν (12), ἐκ πρώτης εἰπεῖν ἀφετηρίας ἀποκρουομένοις τὰς τῶν ἐφεδρευόντων ἐκείνων ἐπιβουλάς, παῤῥησίᾳ τὸ τῆς καθολικῆς ἀναγνῶναι πίστεως ἱερὸν σύμβολον, ἐς κοινὴν καὶ συνήθη τοῖς ὀρθοδόξοις ὁμολογίαν.

Β'. Οὗ δὴ γενομένου, τῶν τοῦ Παλαμᾶ βλασφήμων δογμάτων τὰ γνωριμώτερα τοῖς πολλοῖς, ὑφ' ἡμῶν ἐκλεγέντα, πρὸς τοῦ ἡμετέρου μέρους ἀνεγινώσκετο παῤῥησίᾳ, παρακειμένων ἅμα καὶ τῶν αὐτοῦ συγγραμμάτων, καὶ τὸ ἀπαράλλακτον ἅπαν περιφανῶς μαρτυρούντων. Ὅθεν οὐκ ἦν αὐτῷ πρὸς οὐδὲν ἀναδύεσθαι τῶν ἐγκεκλημένων, καίτοι πολλάκις μὲν ἐπιχειρήσαντι, πολλάκις δ' ἐπισχεθέντι, ἐμποδὼν τῶν αὐτοῦ συγγραμμάτων ἐκ τοῦ προφανοῦς ἱσταμένων καὶ ἐπιστομιζόντων λαμπρῶς. Καὶ τὰ μὲν πλεῖστα διὰ μῆκος καὶ κόρον παρεῖται. Τῆς γὰρ αὐτῆς κἀκεῖνα ποιότητος ἦν. Ὥσπερ γὰρ ἐπὶ θαλάττης πικρᾶς οὐ τάδε μὲν τῶν μερῶν ἀπωθεῖται τὴν γεῦσιν, ἐκεῖνο δ' οὔ· ἀλλὰ πάνθ' ὁμοῦ τὴν αὐτὴν παρέχει τοῖς γευομένοις ποιότητα· οὕτω καὶ πάντ' ἐκεῖνα τἀνδρὸς τουτουΐ συγγράμματα (13) τῶν αὐτῶν ἐκπέφανται βλασφημιῶν ἐχόμενα. Διαφορὰν μὲν γὰρ ἴσως εὕρεν ἄν τις κατὰ τὸ μᾶλλον καὶ ἧττον τοῦ βλασφημεῖν· κακίας δ' οὐδὲν οὐδαμῇ τῶν μερῶν ἐξιστάμενον.

[P. 629] Γ'. Ἦν γε μὴν τοιαῦτ τὰ προκομισθέντα, καὶ οὕτως ἔχοντα ***.

Δ'. Τούτων ἕνια μὲν κἀν τῷ πρώτῳ τῆς ἡμέρας βήματι, προκομισθέντα πρὸς ἐμοῦ, περιφανῆ τὴν ἀντίῤῥησιν ἔσχηκεν, ὡς ἀνωτέρω μοι γέγραπται· τῶν δ' ἄλλων ἕνια καὶ αὐτὸς ὡμολόγει κατὰ τὴν λέξιν ἡμαρτῆσθαι αὐτῷ, καὶ διορθοῦσθαι ὑπισχνεῖτο· κατὰ μέντοι τὸν νοῦν πάντ' ἔχειν ὑγιῶς διετείνετο. Ἀποδεικνύειν δ' ἀρξάμενος οὐκ εἶχεν ἁγίων οὐδένα σύμμαχον, ὅτι μὴ συγχέων καὶ παραφθείρων καὶ ἅμα παρεξηγούμενος, καὶ οἷον αὐτὸς ἑαυτῷ μαχόμενος. Ὁ γὰρ τῷ οἰκείῳ νῷ τὰς οἰκείας λέξεις μὴ τιθέναι συμφώνους δυνάμενος ἄκων αὐτὸς ἑαυτῷ μάχεται· ὁ δ' ἑαυτῷ μαχόμενος σχολῇ μέντ' ἂν ἑτέρῳ συμφωνοίη τῶν πάντων, σχολῇ δ' ἂν ἀπάσχοιτο πάσαις ἁγίων γραφαῖς διαφέρεσθαι, πῶς μὲν δι' ἀμαθίαν, πῶς δὲ δι' ἀγνωμοσύνην καὶ μοχθηρίαν

Variorum notæ

(12) Sessio 3, Junii die 8 vel 9. Boivin.
(13) Vide lib. xxiii, cap. 3, num. 3, infra. Boivin.

ψυχῆς. Λόγος μὲν γὰρ ἀνθρώποις ἅπασι δίδοται· τρόπος δ' ἀγαθὸς οὐ πᾶσιν, οὐ μὴν οὐδὲ τὸν λόγον εὖ διοικοῦσα σύνεσις. Ὅθεν ἀποκρουόμενος παντα-χόθεν καὶ ἐπιστομιζόμενος καὶ μὴ ἔχων μηδαμῆ βεβαίαν ἀποστροφὴν ἐπὶ τὸ Θαβώριον αὖθις ἐποιεῖτο τὴν ἀναχώρησιν, Βαρλαὰμ καὶ βίον αὐτοῦ προφασι-ζόμενος, καὶ ὅσα τισὶν ἀραχνίοις ὑφαίνεσθαι προσ-εῴκει. Ὅθεν καὶ λίαν εὐχεροῦς καὶ προδήλου τυγ-χάνοντα τῆς ἀναλύσεως μόνον εἶχε τὸν βασιλέα λαμ-πρῶς ὑπερείδοντα, κατὰ τὸ μηδαμῆ προσῆκον, μηδὲ καλύπτειν τὴν ἀδικίαν ἰσχύον, τοσούτου παρόντος πλήθους ἀνδρῶν.

Ε'. Ἐγὼ μὲν οὖν βραχύ τι ὑπεισπών, ἔπειτα πῶς μὲν διὰ τὴν εἰρημένην ἀδικίαν, πῶς δὲ διὰ τὰς τῆς κεφαλῆς ἀλγηδόνας, τοῖς σοφοῖς ἐκείνοις συμμάχοις ἀφῆκα διαγωνίζεσθαι. Ἐπιῤῥαπίζειν δ' ὅμως καὶ οὑτωσί πως τοῦ Παλαμᾶ τὴν ὀφρὺν σκεψαμένῳ ἕνα τῶν ἐμῶν εἰσάγειν ἐπῆει μοι φοιτητῶν ἀντ' ἐμοῦ πρὸς τὴν ἐκείνου πάλην, ἵνα μᾶλλον αἰσχύνοιτο. Τὸ γὰρ ἄντικρυς πρὸς ἐκεῖνον ἐμὲ διαλέγεσθαι καὶ τὴν ἀκαιρίαν ἐκείνου φιλονεικεῖν ἐκείνῳ μὲν εἶχε τιμήν, ἐμοὶ δὲ καὶ μάλα πάντων ἥκιστα. Τοσαύτην τοίνυν ἔδοξε πᾶσι τοῖς τότε παροῦσιν αἰσχύνην ὁ Παλαμᾶς ὤφληκέναι καὶ κωμικήν τινα χλεύην, ὅπ' ἐκείνου τοῦ νεανίου κατὰ κράτος ἡττώμενος, ὅσην λεγόντων ἐστὶν ἀκούειν ἁπάντων. Κοινὸν γὰρ τοῖς ὅλοις ἀφήγημα γέγονε Παλαμᾶς ἐκεῖθεν καὶ γελοῖον τοῖς ὅλοις ἐντρύφημα.

Ϛ'. Ἀλλὰ νὺξ ἐπὶ τούτοις ἰοῦσα τῶν οἴκοι μεμνῆ-σθαι καὶ μάλιστα πάντων τοὺς ἡμετέρους ἠνάγκαζε, νήστεις τ' ὄντας καὶ πόῤῥω που βαδίζειν ἄλλον ἄλ-λοθι τῆς πόλεως ὀφείλοντας, προμηθείας ἁπάσης ἐρήμους, καθάπερ ἀπόλιδάς τε καὶ ἀνεστίους τινὰς γεγονότας ὑπὸ τοῦ διωγμοῦ τουτουΐ. Μετὰ γὰρ τὰς ἀποψηφίσεις καὶ παντελεῖς κατα̃δίκας καὶ τιμωρίας, τά τε δικαστήρια [P. 630] καὶ τὰ τῶν ἐξετάσεων βή-ματα συνιστᾷν ἐπῆει τοῖς ἀῤῥεπέσι τούτοις κριταῖς, τοῖς καὶ ἀκαπήλευτον ὁμωμοκόσι φυλάττειν τὸ συνει-δός. Τριῶν οὖν μόνων, ἠναγκασμένως καὶ τούτων καὶ μάλα μόλις, ἐκ τῶν τῆς διπλῆς δεκάδος κεφαλαίων τὴν ἐξέτασιν εἰληχότων, κἀν τοῖς τρισὶ δημοσίαν τὴν ἥτταν εἰληφότος τοῦ Παλαμᾶ, ἐς τὴν ἐπιοῦσαν τὰ ἐφεξῆς παρεπέμπετο ψῆφον. Καὶ ταῦτα μὲν, ἐς τοῦτο τύχης ἐλάσαντα, τοὺς ἐλέγχους ἐκείνου τὰν-δρὸς καὶ τὸν σύλλογον ἔλυσεν.

A malitia et perverso ingenio, discrepet. Ratio quippe omnibus hominibus data; morum probitas non data omnibus, nec quæ rationem recte moderetur solers intelligentia. Quamobrem undecunque repulsus, quia os ei obstruebatur, nec ullum usquam perfugium erat, in quo posset consistere, rursus se ad Thaborium recipiebat, Barlaamum et illius mores prætexens, et alia aranearum telis similia. Quæ facili et evidenti ratione cum resolverentur, solus imperator aperte tuebatur, idque indecore et eo modo, qui tot hominibus præsentibus iniquitatem velare haud posset.

V. Ego igitur pauca subjeci. Tum doctos illos adjutores, partim ob eam quam dixi iniquitatem, partim ob capitis dolores, sivi decertare. Tamen B Palamæ arrogantiam sic quoque sugillare cum instituissem, libuit unum ex discipulis meis producere, qui, ut major esset illius ignominia, meam cum eo luctam vicarius exciperet. Nam quod per me ipse contra disputarem, et cum homine importuno rixarer, id quidem illi honorificum erat, mihi autem minime. Quanto itaque Palamas pudore affectus, quantum omnibus, quotquot tum aderant cum ab illo adolescente profligatus est, comico risu dignus visus sit, ex omnium sermone accipi potest. Quippe ex eo publica omnium fabula ac omnibus doridiculo et ludibrio Palamas fuit.

VI. Sed nox superveniens cœgit quemque, et C **1002** omnium maxime nostros, domi suæ meminisse; jejunos scilicet, et alium alio per urbem ituros, neglectos prorsus et incuratos, utpote qui per eam persecutionem erronibus urbe et domo carentibus pares evasissent. Etenim æquissimis illis judicibus, qui se juraverant conscientiam integram servaturos, tum demum placuit judicia et tribunalia cognoscendi causa constituere, cum istos abdicationibus, ultima damnatione et suppliciis coercuissent. Idcirco, cum ex bis decem capitibus tria tantum, eaque vix et perquam ægre, excussa essent, et in illis ipsis tribus Palamas victus publice esset, sequentia subsecuturæ sessionis suffragiis reservata sunt. His ad eum exitum deductis, illum hominem refutandi finis factus, D cœtusque dimissus est.

CAPUT III.

Acta post sessionem tertiam. Sessio quarta, eademque ultima. Orthodoxi partim volentes, partim etiam nolentes adsunt. Imperatoris iracundiæ, protinus eruptura, Gregoras caute occurrit. Recitantur aliquot capita, ex libris Palamæ excerpta. Episcopi nonnulli, ex illius amicis, dogmatum novorum insolentia offensi, turbas cient. Palamæ violentia. Cantacuzeni iniquitas. Testimonia a Palamitis allata examinantur. Gregoras fusiorem narrationem et accuratas refutationes editurum se promittit, si mortis pericula imminentia effugiat. Redit ad propositum. Tumultus et confusio. Quid tandem decretum sit. Orthodoxi vapulant. Episcopis duobus adempta insignia dignitatis; barba vellicata. Gregoræ discipulis quid acciderit. Episcopus Tyri cur sessioni ultimæ haud interfuerit. Gregoras et alii ut dimissi sint.

Α'. Οὐκ ἦν δὲ ἠρεμεῖν οὐδαμῇ Παλαμᾶν ἐπὶ τού-τοις, οὐδὲ τὴν τῦφον μετριάζειν ἐκεῖνον, ὡς ποῤῥω-τάτω τὴν λῆξιν ἢ κατὰ τὰ προσδοκώμενα τῶν μελε-τηθέντων οὕτωσὶ σχεδιασάντων. Κενοδοξία γὰρ, ἀποτυγχάνουσα τῆς ἐφέσεως, μεμηνυίας τινὸς ἀναι-δείας γίνεται μήτηρ, καὶ πᾶσαν ψυχῆς ἐλευθερίαν

I. At Palamas, cujus cogitata longe alium quam speravisset exitum sic derepente nacta fuerant, his acquiescere nullo pacto nec modum ponere arrogantiæ suæ poterat. Etenim vanæ gloriæ cupiditas, ubi ea re excidit quam appetebat, furiosæ cujusdam impudentiæ mater efficitur, omnem animi

libertatem captivam rapit, omnia caritatis fundamenta convellit. Sed nec imperatori ipsi illa placuerunt, qui firmissimum præsidium, et murum haud facile perrumpendum, per omne certamen fore se illi promiserat. Quamobrem illa omnia, Euripi instar, statim retro conversa sunt; sancitum **1003** jurejurando fœdus turbatum et confusum; pacificarum promissionum leges et pacta conventa pedibus conculcata. Tum rursus deliberationes et consilia per totam noctem versata in omnem partem ac tesserarum instar jactata sunt. Sic illi principes, cum de sessionibus deinceps futuris consultassent, machinasque et fabricas in nos apparassent, quales et quantas timori suo abstergendo, nobis vero funditus delendis ac pessumdandis pares fore arbitrabantur, concionem vocant sententiis injustis et impiis speciosum justitiæ nomen imponentes.

II. Nos vero affuimus, partim nolentes, partim etiam volentes: nolentes quidem, quoniam structas nobis fraudes haud nesciebamus, sive eas quarum molitio ad exitum perducta esset, sive illas quæ exsecutionem, velut in limine morantem, adhuc integram sibi reservabant, efficiebantque ut introduci nos inutile palam foret: volentes autem, propterea quod in Deum intuentes, et eo præmia statuente istud martyrii stadium currentes, bonas de futuro spes non refugiebamus; tametsi religionis auctoritatem, annis plurimis et sanctorum libris multis firmatam, præsens tempus non admittebat, sed libertate ipsa dicendi nobis prorsus ablata, ac illis qui absurda quælibet facile perpetrarent concessa, sacra veritatis præsidia demoliri et evertere omni armorum genere festinabat, nullis auribus, nullis animis, seu indignationis divinæ metum, seu hominum reverentiam accipientibus.

III. Conflato in **1004** hunc modum tribunali, cum et scirem et viderem imperatorem adversus nos præfari sic velle, ut in ejus verbis magna dominaretur iracundia, primam ipse impressionem, quantum in me fuit, repressi: ac nos (dixi) ad propositum argumentum et ad institutam disceptationem prioribus vestigiis insistendo redeamus, ut hæc disputatio ordine procedat, adeoque bonum exitum sortiatur. Alioqui facere haud possumus, quin præcipites ruamus, ac tanquam in voragines delati, aut ad scopulos allisi, in absurda incidamus, et erroribus gravioribus jactemur quam quibus ipse Ulysses: nec finem nobis, sed aliarum ex aliis turbarum persecutionumque initium, hodiernus dies spondebit. Illis imperator præter sententiam auditis, de vehementia remisit; non quidem libenter, nec more ejus qui haud gravaretur, remisit tamen paululum, quantum scilicet necesse erat ad suspicionem et indignationem eorum qui aderant amovendam.

IV. Ingressus itaque lector a capite quarto exorsus est. Nam superiori die tria perfecta et damnata fuerant: ac nulli mederi is a quo scripta et

ἀνδραποδίζεται. καὶ ὅλους ἀναμοχλεύει θεμελίους ἀγίκης. Ναὶ μὴν οὐδ' αὐτῷ τὰ τοιαῦτ' ἔδοξεν ἀρεστὰ βασιλεῖ, ἔρεισμα κράτιστον ἐπαγγελαμένῳ καὶ τεῖχος εἶναι μὴ ῥᾴστα μηδέσι ῥηγνύμενον παρ' ὅλον αὐτῷ καθίστασθαι ἀγῶνα. Ὅθεν Εὐρίπου δίκην ἅπαντ' εὐθὺς ἐκεῖνα ἀνετρέπετο, καὶ κρατῆρες ὅρκων ἐκείνων ἀνεχίρναντό τε καὶ συνεχέοντο, καὶ εἰρηναίων ἐπαγγελιῶν ἐκείνων ἐπατοῦντο θεσμοὶ καὶ συμβόλαια. Καὶ πάλιν βουλαὶ καὶ μελέται παλίνστροφοι διενυκτέρευόν τε καὶ κύβων δίκην ἀνερρίπτοντο. Οὕτω μὲν οὖν ἡγεμόνες ἐκεῖνοι, τῶν ἑφεξῆς συνεδρίων τὰς καθ' ἡμῶν εἰληφότες μελέτας καὶ συσκευάς, ὁποίας καὶ ὅσας ἱκανὰς ὤφον' εἶναι, τὴν τ' οἰκείαν ἀποτρίψασθαι δειλίαν καὶ ἅμα ἡμᾶς τὴν ταχίστην ἀποσκευάσασθαι, πρὸς βάραθρον ἀφανείας ὠσάμενοι, ἐκκλησίαν ἐκήρυττον, δίκης ὄνομα χρηστὸν ἀναθέμενοι γνώμαις ἀδίκοις καὶ ἀνοσίοις.

[P. 631] Β'. Καὶ παρῆμεν ἡμεῖς, πῶς μὲν οὐ σφόδρα ἑκόντες, πῶς δὲ καὶ σφόδρα τουτί· ἄκοντες μὲν, ἐπεὶ μὴ λέληθεν ἡμᾶς τὰ καθ' ἡμῶν, ἃ τε τὴν μελέτην ἔμπρακτον ἔσχε καὶ ἃ τὴν πρᾶξιν ἐν προθύροις ἔτι σφίσιν αὐλιζομένην ἐταμιεύετο, καὶ μάταιον εἰς τοὔμφανὲς τὴν ἡμῶν παρεῖχεν εἰσαγωγήν· ἑκόντες, ὅτι πρὸς Θεὸν βλέποντες, καὶ τὸν τοιοῦτον τῆς ἀθλήσεως ὑπ' ἀθλοθέτῃ τρέχοντες ἐκείνῳ δίαυλον, τὰς ἀγαθὰς οὐκ ἐφεύγομεν τοῦ μέλλοντος ἐλπίδας, εἰ καὶ τὸ τῆς εὐσεβείας κράτος, ἔτεσι πλείστοις καὶ βίβλοις ἁγίων μακραῖς κυρωθὲν, ὁ παρὼν οὐκ ἠγκαλίζετο χρόνος· ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ λέγειν ἅπασαν ἄδειαν ἡμῶν τε ἀφαιρούμενος καὶ τοῖς δρᾷν εὐχερῶς τὰ κατὰ βούλησιν ἔχουσιν ἔκτοπα χαριζόμενος τὰ τῆς ἀληθείας ἀνάκτορα πᾶσιν ὅπλοις καθαιρεῖν τε καὶ λύειν ἠπείγετο, μήτ' ἀκοῆς μήτε γνώμης οὐδεμιᾶς μήτε νέμεσιν θείαν μήτ' ἀνθρώπων προσδεχομένης αἰδώ.

Γ'. Τοῦ μέντοι βήματος οὕτω συγκροτηθέντος, εἰδώς τε ἅμα καὶ ἰδὼν μεγάλῳ στρατηγουμένους θυμῷ τὸν βασιλέα καθ' ἡμῶν προοιμιάζεσθαι θέλοντα λόγους τὴν πρώτην, ὅσον ἐφικτὸν, ἀνέστελλον ἔφοδον ἐγὼ αὐτὸς, Ἐπὶ τὸ προκείμενον καὶ τὸ πρότερον ἴχνος τοῦ λόγου (φάσκων) ἐπανέλθωμεν, ὡς ἂν ὁ λόγος καθ' εἱρμὸν ὁδεύων λήξεσιν ἐντύχοι χρησταῖς. Οὐ γὰρ ἂν φθάνοιμεν ἄλλως κρημνοῖς καὶ φάραγξι καὶ σκοπέλοις ἀτόποις εἰπεῖν περιπίπτοντες, καὶ πλάνους ἀντλοῦντες τῶν Ὀδυσσέως χαλεπωτέρους· καὶ οὐ τέλος θορύβων ἡμῖν ὁ παρὼν ἔσται καιρὸς ἐγγυώμενος, ἀλλ' ἀρχὰς θορύβων ἐφ' ἑτέροις ἑτέρων, κἀπὶ διωγμοῖς διωγμῶν. Ταῦτα παρὰ τὴν πρόθεσιν τῆς ψυχῆς ἀκηκοότι τῷ βασιλεῖ, οὐ προθύμως μὲν οὐδ' ἀνεπαχθέσιν ἤθεσιν, ἐνδιδόναι δ' οὖν ἐξεγένετο βραχύ τι, καὶ ὅσον ἀφοσιώσασθαι τὴν τῶν παρόντων ὑπόνοιάν τε καὶ νέμεσιν.

Δ'. Ὅθεν εἰσιὼν ὁ ἀναγινώσκων ἀρχὴν ἐποιεῖτο κεφαλαίων τὸ τέταρτον. Τὰ γὰρ τρία τῇ προτεραίᾳ ἀνέγνωσταί τε καὶ κατέγνωσται, μὴ δυνηθέντος τοῦ

γεγραφότος καὶ βεβλασφημηκότος ἰατρεύειν οὐδὲν οὐδαμῇ, οὐ μᾶλλόν γε ἢ λίθοις ὀπτικὴν προσαρμόττειν δύναμιν. Μόλις οὖν καὶ μετὰ μάλα μακροῦ τοῦ τῆς ψυχῆς ἀκουσίου λαληθῆναι συγχωρηθέντων ἑνὸς καὶ δυοῖν κεφαλαίων, ὁ Παλαμᾶς αἰσχυνόμενος αὖθις ἐπὶ μετρίοις οὐκ ἤνεγκεν, ὅτε μᾶλλον ἤδη συνορῶν καὶ τῶν φίλων ἐπισκόπων ἐνίους ταραττομένους πρός γε τὸ ὑπερβάλλον τῶν ἐκτόπων ἐκείνων βλασφημιῶν, καὶ θορυβεῖν ἐπιχειρούντων ἐκεῖνο τὸ βῆμα, καὶ ἀποσκώπτειν πεπαῤῥησιασμένῃ καὶ ἀπαρακαλύπτῳ [P. 632] τῇ γλώσσῃ, μηδὲ δύνασθαι λεγόντων φέρειν τὰς τῶν ἀρχόντων καὶ ἀρχομένων λοιδορίας, διὰ τὸ συσκιάζειν τοσούτους πειρᾶσθαι βλασφημιῶν θησαυροὺς, κἀκ τῶν ἀλλοτρίων κακῶν ἴδιον διαθρον καρποῦσθαι ψυχῆς· ὥστε καὶ πάνυ τοι ἐλαχίστου ἐδέησεν ἐκπολεμωθῆναι κατ' ἀλλήλων ἐκείνους, ἔριδος ἐξ ἀλλήλων μεριζομένων ἀλλήλοις ἐγγινομένης καὶ ἀναῤῥιπιζομένης ἀεὶ πρὸς τὸ μεῖζον, καὶ οὔσης λοιπὸν αὐτάρκους, ἡμῶν σιωπώντων, ἀπονητὶ πρὸς εὐδίαν τοὺς τῆς Ἐκκλησίας κατευνασθῆναι χειμῶνας.

Ε'. Οὐ γὰρ ἔχων οὐδὲν ὑγιὲς ἀντιλέγειν ὁ Παλαμᾶς ἠχθετο, νῦν μὲν πρὸς ἐκείνους θυμομαχῶν καὶ βιαζόμενος ἀνήνυτα· νῦν δ' ὀνειδίζων τῷ βασιλεῖ, καὶ φανερῶς προδοσίαν ἐγκαλῶν, παρὰ τὰς συνθήκας ὅλως ἐνδεδωκότι τοῖς ἐγκαλοῦσιν· ὥστε καὶ τοὺς παρόντας ἐρεθίζειν οἷς διεξίασι κατ' αὐτοῦ. Ὅθεν καὶ συχνὰ στρεφόμενος ἐπὶ τῆς καθέδρας οἷς μὲν διελοιδορεῖτο θρασύτερον μᾶλλον ἢ πικρότερον, καὶ πικρότερον μᾶλλον ἢ κατὰ τὴν οἰκείαν λῆξιν ἕκαστον· οἷς δ' ἠπείλει κολάσεις πικροτέρας μᾶλλον ἢ ἐδύνατο· νῦν δὲ ἐμήνυε κρύφα τῷ βασιλεῖ πρὸς οὓς διὰ τῶν θαλαμηπόλων τὴν ἀπόῤῥητον φλεγμονὴν τῆς ψυχῆς.

ς'. Ὁ δὲ (καὶ γὰρ οὐδὲ πρότερον τελέως ἀπεῖχετο συμμαχῶν αὐτῷ σποράδην κἀκ συχνῶν τῶν διαστημάτων ἀκροβολίζων καὶ ξιφῶν ὀξυτέρους λόγους καθ' ἡμῶν καὶ ὑπὲρ αὐτοῦ) ἀλλὰ νῦν ἁπάσας πύλας ἀναπετάσας ἐκείνης τῆς σκηνῆς καὶ τοῦ δράματος πρὸς ἐμφανοῦς κακίας καθ' ἡμῶν ἐξερράγη πυρσὸν, οὐ θυραῖόν τινα τουτονὶ οὐδ' ἔπηλυν ἢ νέηλυν καὶ ἐπεισόδιον τέως ἀνειληφὼς, ἀλλ' ἐγχώριόν τε καὶ ἐγκείμενον, καὶ ὅλον πάθεσιν ἐμφύτοις συμπεφυρμένων, κἀκ μέσης ἐκπυρσεύμενον νῦν τῆς καρδίας, καθάπερ τοὺς τοῦ Σικελικοῦ πυρὸς ἀναφυσωμένους κρατῆρας ἐκ τῶν ὑποχθονίων τυφώνων ἀκούομεν, καὶ τῷ φίλῳ Παλαμᾷ, καθάπερ θεῷ τινι, πρυθυμούμενον σπένδειν, οὐ μόνον ὅσα γῆ καὶ θάλασσα βαλαντίοις καὶ τραπέζαις ἀναθήματα γεωργεῖ· οὐδ' ὅσα παραπλήσιον ἔχει πρὸς ἡδονὴν, ἀλλ' ἐναγίζειν ἤδη καὶ τὰς ἡμετέρας ὕβρεις τε καὶ τὰς καταδίκας καὶ τοὺς πολυτρόπους θανάτους τὰς καθ' αὐτῶν. Ὡσάμενος οὖν τοὺς ἡμετέρους λόγους, ὡς φορτίον ἀβούλητον καὶ σφόδρα μισούμενον, καὶ τὸ πρόσωπον ἀποστρέψας πρὸς τοὺς ἀμφὶ τὸν Παλαμᾶν ὁ ἀῤῥεπὴς διαμέγειν ὁμωμοκὼς δικαστὴς, ὅλην τε ἐδίδου σφίσι τὴν ἀκοὴν μετὰ τῆς καρδίας καὶ ὅλα τὰ κατὰ βούλησιν ἐπέτρεπε λέγειν τε καὶ ἀνα-

impie pronuntiata erant ullo modo potuerat, non magis quam lapidibus facultatem videndi accommodare. Cum igitur unum et alterum caput recitari ægre et voluntate admodum repugnante permissum esset, Palamas rursum pudore affectus non tulit amplius moderate, præsertim ubi dilectorum etiam episcoporum nonnullos vidit blasphemiarum illarum nimia insolentia vehementius jam commoveri, et illi tribunali turbas ciere, palamque **1005** et aperte mordacibus dictis illudere, ac negare se principum privatorumque convitia posse ferre, ideo in se jacta, quod tot tantosque acervos blasphemiarum obumbrare conarentur, et ex alienis morbis suæ ipsorum animæ exitium colligerent: ut perparum abfuerit, quin sibi invicem bellum indicerent, orta inter dissidentes mutua contentione, quæ magis ac magis instar ventilati incendii exardescens poterat jam sola, tacentibus nobis, tempestates Ecclesiæ sedare, et in serenitatem vertere.

V. Etenim Palamas, qui nihil validi habebat quod reponeret, angebatur, ac nunc quidem cum illis stomachabatur et incassum sæviebat; nunc imperatori convitiabatur, eumque proditionis palam arguebat, quod accusatoribus, præterquam convenerat, omnino cessisset, sic ut illi insectando se eos etiam qui aderant irritarent. Itaque e cathedra, corpore subinde huc illic converso, alios contumeliose objurgabat, audacius quidem ille quam acerbius, et acerbius quam pro sua conditione singulos; aliis pœnas minabatur graviores quam posset decernere: nunc denique imperatori per cubicularios, in aurem insusurrare jussos, arcanum animi dolorem furtim indicabat.

VI. At hic, qui nec antea auxilium ei suum omnino denegarat, sed sparsim et crebris intervallis verba in nos gladiis acutiora pro eo eminus intorserat, tum demum, velut portis omnibus illius scenæ et tragici spectaculi patefactis, aperti furoris flammam in nos effudit; non illam quidem foris **1006** petitam, non adventitiam ac novam, non extrinsecus ascitam; sed domesticam et insitam, et ingenitis affectibus penitus commistam, et nunc de intimo corde accensam, quemadmodum illa Siculi ignis spiracula subterraneorum Typhonum flatu accendi audivimus. Nempe is dilecto Palamæ, velut Deo alicui, non solum quidquid marsupiis et mensis consecrari solitum terra et mare producunt, aut quidquid similem affert voluptatem, cupiebat offerre; sed nostra quoque ignominia et damnatione, et multiplici morte, litare gestiebat. Nostris igitur sermonibus, velut ingrato et importunissimo onere excussis, vultuque a nobis ad Palamitas detorto, hic, qui se æquum judicem fore juraverat, aures iis totas, totum animum applicabat, omnia ipsis, prout vellent, planiora et explicatiora dicere ac legere permittebat; ut haud meticerent, ne quis sibi ulla in re contrariam et ad-

versam rationum vim opponeret. Jam quippe et episcopos illos, qui turbaverant, extrema quæque minatus, eo redegerat, ut mein horrerent, ac trementes obmutescerent.

A γινώσκειν πλατείᾳ τε καὶ ἀπηγκωνισμένῃ τῇ γλώττῃ, μηδεμίαν ὑφορωμένους ἐν οὐδενὶ πρὸς οὐδένων ἀντιφατικὴν καὶ ἀντίπαλον ἐφοδον λόγων. Ἤδη γὰρ καὶ τοῖς τῶν ἐπισκόπων [P. 635] ταραττομένοις τὰ ἔσχατα τῶν κακῶν ἀπειλήσας φρίττειν ἐκεπράχει καὶ τρέμειν σιγῇ.

VII. Cum itaque excerpta ex Scripturis testimonia legerentur, eorum quædam ii qui intelligentiores erant alio spectare, nec ita ut isti perverse interpretarentur accipienda esse demonstrabant: quædam adulterata et omnibus modis inversa ferebantur. Nam quæ saniori doctrinæ necessaria erant, ea illorum proposito nequaquam **1007** conducere videbantur: quæ autem ipsis necessaria fuissent, ea saniori doctrinæ noxia erant et perniciosa. Itaque illi, quæ tanquam sua affectabant et ambitiose ostentabant, eorum sanum usum aud cter cofrumpebant.

Ζ'. Ἀναγινωσκομένων τοίνυν παρεκβολῶν γραφικῶν, αἱ μὲν ἐπ' ἄλλον ἠλέγχοντο τοῖς συνετωτέροις φερόμεναι νοῦν, καὶ οὐδαμῇ κατὰ τὴν σφῶν παραφερομένην ἐξήγησιν· αἱ δ' εἰσήγοντο παρακεκομμέναι τε καὶ ἀνεστραμμέναι παντοδαπῶς. Ἃ γὰρ τοῖς ὑγιαίνουσι δόγμασιν ἀναγκαῖα, ταῦτα τῷ ἐκείνων ἀχρεῖα ἐδόκει σκοπῷ· ἃ δ' ἐκείνοις ἀναγκαῖα, ταῦτα κῆρες ἐπισφαλεῖς καὶ νοσήματα τοῖς ὑγιαίνουσι μέγιστα δόγμασιν ἦν. Δι' ὃ καὶ ὧν τὴν κτῆσιν συνεφιλοτιμοῦντο καὶ ἐπεδείκνυντο, τούτων τὴν ὑγιαίνουσαν χρῆσιν ἐς τὸ νοσῶδες ἤλαυνον ἀδεῶς.

VIII. Nos vero quæ tunc præter jus fasque acta sint, quotque ex abominandis illis dogmatis confirmata fuerint, sigillatim postea fusiori oratione declarabimus. Nam ea quidem nobis, ubi otium nacti, et eam qua egemus libertatem divino munere consecuti fuerimus, facile erit singula exponere; tum deinceps ea ipsa convenientibus refutationibus refellere, quæ propositionibus aliæ aliis copulatæ et alternis subjunctæ continenti ordine procedant, testimoniis et regulis omni exceptione majoribus subnixæ, ipsis sanctorum vocibus; ut hæc posteris contra illorum impietatem arma parata sint, atque ut his propugnaculis, et quibusdam velut clypeis, religio oppugnata protegatur. Mihi enim noctu pariter et interdiu capitis quidem dolores continui metum mortis incutiunt: at ea tempestates, quæ Dei Ecclesiam majori quotidie violentia infestæ adoriuntur mœrorem afferunt morte omni longe acerbiorem. Nihil dico de Palamitarum machinationibus et insidiis, quæ mihi et ipsæ multis modis mortiferas manus intentant, nostrum videlicet sanguinem diu noctuque sitientes; ut periculum sit, ne nos, qui hæc coram ipsi vidimus et audiviqus et perpessi sumus, adeoque explorate cognovimus, ad alteram vitam ante transeamus, **1008** quam hæc posteris tradiderimus; atque hinc, veritatis vi obscurata, magnæ iis difficultates oboriantur, qui rectam divinorum dogmatum viam aliquando vestigaturi sunt, tribulorum, spinarum zizaniorumque adnatorum importuna ac multiplici segete ita obductam, ut pristini splendoris monumenta conjectando agnoscere difficillimum fortasse futurum sit. Neque enim in nos solos manus ii armant sanguinarias; sed ex ipsis sacris libris recisa multa auferunt, folia chartacea

Η'. Ὅσα μὲν οὖν τηνικαῦτα παρηνομήθη, καὶ ὅσα μυσαρῶν ἐκείνων δογμάτων κεκύρωται, ἐροῦμεν ἕκαστα προϊόντες πλουσιωτέρᾳ τῇ γλώττῃ. Κατὰ σχολὴν γὰρ ἡμῖν γενομένοις, καὶ ἀδείας ἐπειλημμένοις ξύν γε Θεῷ τῆς ὀφειλομένης (14), ἐξέσται ῥᾳδίως ἐκτιθέναι μὲν ἐκεῖνα καθ' ἓν, ἐπάγειν δ' ἐξῆς καὶ ὅσαι προσήκουσιν ἀντιῤῥήσεις κατὰ συζυγίαν καὶ στοιχίαν ἀμοιβαδόν, ὑπὸ μάρτυσι καὶ στόμασιν ἀπαραγράπτοις ταῖς τῶν ἁγίων φωναῖς· ὡς ἂν εἴη τοῖς ὀψιγόνοις ὅπλα μὲν κατὰ τῆς σφῶν ἀσεβείας ταυτί, προταιχίσματα δὲ καὶ θυρεοί τινες πολεμουμένης εὐσεβείας. Ἐμοὶ γὰρ νύκτωρ καὶ μεθ' ἡμέραν ἐπισείουσι μὲν τὴν τῆς τελευτῆς ἀπειλὴν αἱ συνεχεῖς τῆς κεφαλῆς ἀλγηδόνες, λύπας δ' ἐπάγουσιν οἱ τῆς τοῦ Θεοῦ Ἐκκλησίας πολεμουμένης ἀεὶ πρὸς τὸ κρατιότερον κλύδωνες, θανάτων πολλῷ πικροτέρας. Ἐῶ λέγειν τὰς τῶν Παλαμιτῶν ἐπιβουλάς τε καὶ πολυτρόπους ἐφεδρείας, αἳ μοι καὶ αὐταὶ τὰς ἀνδροφόνους ἐπιτείνουσι χεῖρας, τοῦ ἡμετέρου νύκτωρ καὶ μεθ' ἡμέραν διψώτας αἵματος· καὶ δέος μὴ, πρὶν ἡμᾶς (οἷς ἀκριβῶς εἰδέναι τὰ τοιαῦτ' ἐγεγόνει, αὐτόπταις καὶ αὐτηκόοις καὶ αὐτοπαθέσιν αὐτοῖς ἡμῖν γεγονόσι) παραδοῦναι ταυτί, τὸν βίον γένηται μεταθεῖναι, κἀντεῦθεν τὸ κράτος τῆς ἀληθείας ἀμαυρωθὲν ἀπορίας παράσχῃ μακρᾶς, οἷς ἀναζητεῖν ποτ' ἐξεῖη τὰ ἴχνη τῆς εὐθείας τῶν θείων δογμάτων ὁδοῦ, τριβόλων καὶ ἀκανθῶν καὶ ζιζανίων ἐκτόπων καὶ πολυτρόπων ἐπιφυέντων, καὶ δυσείκαστά πάνυ τοι αφόδρα πεποιηκότων ἴσως ἧς πάλαι εὐδαιμονίας τὰ ὑπομνήματα. Οὐ γὰρ μόνοις ἡμῖν τὰς ἀνδροφόνους ὁπλίζουσι χεῖρας αὐτῶν· ἀλλὰ καὶ τῶν ἱερῶν βίβλων μεγάλας ἀφαιροῦσιν ἀποτομίας, ὅλας δυάδας (15) καὶ τετράδας φύλλων χαρτίνων ὀξείαις μαχαίραις ἐκτέμνοντες, κἀκεῖνα τῶν θείων ἀποῤῥηγνύντες Γραφῶν, ἃ μὴ παραφέ-

Variorum notæ.

(14) Gregoras promittit se, ubi libertatem receperit, Palamiticæ synodi decreta fusius exposita refutaturum: quæ tamen ille, nondum recuperata libertate, refutavit; siquidem libros in Tomum Palamiticum decem *Antirrheticos* domo sua inclusus, et a monachis contubernalibus obsessus, scripsit; ut adnotatum in ejus Vita. Boivin.

(15) Vide Philothei patriarchæ *Apologeticum*. cod. Reg. 1996, fol. 316 v. Boivin.

ρειν ταῖς παρανομουμέναις ἐξηγήσεσι πρὸς τὸ βουλόμενον δύνανται τῆς ψυχῆς. [P. 654] Ἰσχυρὰν καὶ δυσεκβίαστον τὴν ἀντίπαλον ἰσχὺν κέκτημένα. Τοῖς μὲν γὰρ κεφαλὰς ἀνθρώπων ἀφαιρεῖν οὐ φρίττουσιν οὐδὲ μόγις μέγα ἂν ποτε φανείη γραφῶν κεφαλὰς ἀφαιρεῖν εὐσεβῶν.

sacris Libris ea avellentes, quæ validum et expugnatu difficile robur opponentia, ad suum sensum et libitum iniquis interpretationibus detorquere non possunt. Nimirum qui hominibus capita auferre non exhorrescunt, iis vix magnum videri unquam potest capita ex libris orthodoxis auferre

Θ'. Ἀλλ' ἐκεῖσε ἐπάνειμι, τῶν αὐθημερὸν ἐκεῖ παρανομηθέντων ἑνός που καὶ δυοῖν εἰς ἔνδειξιν μνησθησόμενος, ἐξ ὀνύχων φάναι τὸν λέοντα, κἀκ τοῦ κρασπέδου τὸ ὕφασμα. Ἐπειδὴ γὰρ ἡμῖν μὲν τὸ λέγειν οὐκ ἔτι ἐνῆν, τὸ δὲ σιωπᾷν ἐνῆν, κατοψηφισθὲν οὕτωσί· ἐκείνοις τὸ μὲν σιγᾷν οὐκ ἐνῆν, τὸ δὲ λαλεῖν ἀνέδην καὶ μάλα ἐνῆν ἐκ διαμέτρου τὰ κατὰ βούλησιν ἅπαντα· πολὺς κατέσχε τὸ βῆμα σάλος ἐκεῖνο καὶ θόρυβος, καὶ οἷος ἂν γένοιτο νηΐ, πνευμάτων ἀγρίων τὸ πέλαγος συγκυκιώντων, καὶ βροντῶν αἰθερίων τὸν πέριξ ἀέρα κρατούντων, καὶ πᾶσαν ἐπικλυζόντων ἀκοὴν καὶ σύνεσιν λαλιᾶς. Οὐ γὰρ μόνον ἐκ τῆς πολυγλώσσου κραυγῆς ἐκείνης καὶ τριχυμίας καὶ τῆς τῶν λεγομένων ἀκοσμίας· ἀλλὰ καὶ ὁ τῶν χειρῶν πάταγος πλείονα τὸν θόρυβον ἐνεποίει τῷ συνεδρίῳ, οὐ παροδικῶς πως συνενεχθείς, κατὰ τὰς ἀπροσδοκήτους ἐπιούσας ὁπώστοτε τύχας, ἀλλὰ καὶ μάλα γέ τοι ἐξεπίτηδες· ἵνα μηδὲν τῶν παρανόμως ἐκεῖ δογματιζομένων, κατὰ τὸ πρόσφατόν τε καὶ ἄηθες τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ἡμῖν ἠκουσμένον γένοιτο, μηδὲ μικρά τις ἀντιλογίας ἐκεῖ πρὸς ἡμῶν τολμηθείη ῥοπή. Ὅμως εἰ καὶ μὴ πάντων ἐν ἀκηράτῳ γεγόναμεν ἀκοῇ, ἀλλ' οὖν ἀπέχρησε, τῶν γε πλειόνων ἀκηκοόσιν, ὡς ἔχειν εἰκάζειν ἐντεῦθεν καὶ τῶν μὴ σαφῶς ἠκουσμένων τὴν φύσιν. Οὐδὲ γὰρ οὐδ' ἐκείνων τελέως ἀνηκόους ἡμᾶς γενέσθαι ξυμπέπτωκεν. Τὰ γὰρ ὑστερόφωνα τῆς συνεχοῦς ἑκάστων ἐκείνων ἠχοῦς, τῶν πέριξ τῆς βασιλικῆς ἐκείνης οἰκίας ἐκπηδώντα σφαιρῶν καὶ ἡμισφαιρίων, καί τινων ἴχνῶν ἐκεῖθεν ἀποσυλῶντα μιμήσεις, φιλανθρώπως εἰπεῖν ἡμᾶς ἐδεξιοῦτό τε καὶ ἐξένιζε, τὸ λυπούμενον τῆς ψυχῆς ἡμῶν οὕτωσὶ κολακεύοντα.

IX. Verum ego illuc redeo. Ex iis quæ illa ipsa die præter jus perpetrata sunt, unum alterumque facinus exempli causa commemorabo. Ita leonem ex ungue, et ex limbria textum omne licebit cognoscere. Cum ea in nos sententia lata esset, ut nobis quidem nihil loqui amplius, sed tacere; contra illis non tacere, sed licenter et immodeste quidquid libuisset loqui permitteretur; magna agitatio et turbulentissimi motus in illo tribunali exstiterunt, quales navis experiri possit, æquore sævientibus ventis turbato, cœlo autem ætherils fragoribus, omnem audiendi sensum et cujuscunque vocis intellectum absorbentibus, undique circumtonante. **1009** Quippe non solum ille multorum dissonus clamor, procellosumque murmur, et inconditæ loquentium voces, sed et crepitus manuum complosarum, major ut tumultus in ea concione exsisteret efficiebant; non ille obiter et temere excitatus, ut in iis casibus, qui fortuiti et improvisi quocunque modo accidunt, sed consulto et data plane opera: ne scilicet eorum dogmatum, quæ illic contra fas statuebantur ac in Ecclesiam Dei nova et inaudita invehebantur, ullum ad aures nostras perveniret, atque ut ne ibidem vel minimum contradicendi locum audacius caperemus. Cæterum etsi non omnia distincte et clare, at pleraque a nobis catenus audita sunt, ut quæ non liquido audissemus, eorum etiam sensum facile inde conjecturemus. Nam in illa continua singulorum vociferatione voces, ultimæ superstites, ex circumpositis imperatorii illius domicilii sphæris et hemisphæriis resultantes; et quorumdam quasi vestigiorum imaginem illinc referentes, amice ut ita dicam nos ad se admittebant et velut introducebant, eaque ratione ægritudinem animi nostri blande solabantur.

Γ'. Εἰς τοσαύτην γε μὴν τὸ πρᾶγμα κακίαν ἦλασε τότε, καὶ τοσαύτην εὗρον τὴν εὐκαιρίαν βλασφημίαι μεταξὺ τῆς ἀτόπου καὶ ἀμαθοῦς τῶν ἐπισκόπων ἐκείνης φάλαγγος, ὡς καὶ ψήφῳ κοινῇ βασιλέως ἅμα καὶ πατριάρχου, ξὺν γε πᾶσιν αὐτοῖς, δεδιόσι τὴν ἀρχοντικὴν ἐξουσίαν τοῖς πλείστοις, κυρωθῆναι μὲν, θεότητα λέγεσθαί πως καὶ τὴν οὐσίαν· κυρίως δὲ θεότητα ἄκτιστον καὶ σφόδρα διάφορον τῆς θείας οὐσίας, τὴν ἐνέργειαν, ἀνούσιόν τινα καθ' αὑτὴν οὖσαν· μεριζομένην δ' ὅμως εἰς διαφόρους καὶ μεριχωτέρας ἀκτίστους ἐνεργείας, δύναμιν δηλαδὴ καὶ σοφίαν καὶ ζωὴν καὶ ἀλήθειαν καὶ φῶς καὶ χρίσιν [P 655] καὶ μέθην καὶ ὕπνον καὶ ὅσα ταῖς τῶν ἀνθρώπων ἐφεύρηταί πως ἀπορίαις ὀνόματα. Καὶ ἅμα κατόπιν κεκύρωται, μὴ τὴν οὐσίαν εἶναι, τὴν τὸν ἡμῖν μεταλαμβανόμενον ἁγιάζουσαν ἄρτον, οὐ μὴν οὐδ' ὃ βαπτιζόμεθα θεῖον βάπτισμα,

X. Res porro ipsa in tantum scelus erupit, ita apud illam insanam et rudem pontificum catervam opportunus blasphemiis locus obtigit, ut et imperator et patriarcha, et illi omnes episcopi, supremæ auctoritatis metu plerique, communi decreto pronuntiaverint, ipsam quoque substantiam divinitatem dici aliquatenus: at proprie divinitatem increatam, et a substantia divina longe diversam, [vocari] operationem; quæ quidem per se **1010** substantiæ expers foret, et tamen in diversas specialesque operationes increatas divideretur, potentiam nempe, sapientiam, vitam, veritatem, lumen, judicium, ebrietatem, somnum, et quæcunque nomina, prout fere usus indiguit, ab hominibus excogitata sunt. Tum et illud statim decreto confirmatum est, substantiam non esse, quæ sanctificaret eum panem, quem in communione sumeremus,

sacrumve illud lavacrum, quo baptizaremur, sed increatam quamdam gratiam et operationem, aliam et omnino diversam ab substantia divina. Adeo proterve illi concilio ac tribunali diabolus illusit.

XI. Nobis igitur hæc et videntibus et audientibus (proh justitia et patientia divina!) lacrymæ ibant fluminum more undantes: prono autem in terram vultu silebamus. Nam cum ii qui audiunt ad pejora approbanda conspirant, supervacanea est omnis oratio, qua quid facere debeant admoneantur. Nocte jam multa, paulo postquam faces accensæ et intromissæ essent, gravi iracundia commoti patriarcha et episcopi prosiliunt, et manus in nos injiciunt, qui ea nec audire quidem sustinebamus, sed mutis tantum suspiriis dolorem animi velut fumum quemdam exhalabamus. Quippe nec zeli ardorem levare, nec infixum visceribus vulnus aliter nodare per illud tempus nobis licebat, eo scilicet statu rerum nostrarum, cum in istas feras repente incidissemus, ac nullus esset, a quo mansuetunr et humanum quidquam nobis seu jam tum exsisteret, **1011** seu in posterum sperarctur. Ecquid vero sanum et frugi facere oportuit homines imperitos, qui ad judicandum de divinis dogmatis processissent, plerique ab remo aut ab olla ad episcopalem sedem eodem pene dixerim die evecti: quos proinde multiplici et longa disciplina reformari et fingi valde necesse fuisset; ut inanem saltem doctrinæ umbram præ se ferre, nedum ut aliquam politioris litteraturæ elegantiam perfecte cognoscere viderentur? Scilicet vitiosam indolem, virtutis habitu præter naturam induto, diutissime latere difficillimum est. Nam quod fit præter naturam, id cum sit violentum, a natnra usque sollicitatur, quæ congenita libertate diu fraudari non potest, sed eam abesse ægre patitur, et morem suum tandin refovet atque excitat, donec ad insitum illum habitum, hoc est ad suam pravitatem, recurrerit.

XII. Ac primum quidem in illos duos antistites nostros facta irruptione, velut immanes belluæ, ferino more, vocibus immodestis et furialibus, vestes lacerant, et pontificiæ dignitatis insignia avulsa detrahunt; cum quibus et pili avulsi de mento calamitosorum illorum; non data quidem opera; avulsi tamen, cum hi, effrenatæ violentiæ impetu abrepti, non habuissent spatium consultandi, attendendive per tenebras quid perpetrarent, quidve ex perpetratis consecuturum esset. Nam et iis, qui faces præferebant, et nocturnis illis simul luminibus præ festinatione relictis post terga, eos, in **1012** quos animadvertebatur, sua ipsorum umbra occultant, atque ita per imprudentiam, in illis sceleribus committendis, morem latrocinantium imitantur magis quam velint. Scilicet cæca est quælibet iracundia. Quod si is qui irascitur agrestis sit præterea et indoctus, heu infelices eos, in quos effusus ruit, quovis flammæ impetu torrentior, omni spe citius obvia quæque depascendo devorandoque absumentis ac depopulantis!

A ἀλλ' ἄκτιστόν τινα χάριν καὶ ἐνέργειαν, τῆς θείας οὐσίας ἑτέραν καὶ πάντη διάφορον. Οὕτω τοῦ συνεδρίου καὶ τοῦ βήματος ὁ δαίμων ἀσελγῶς ἐκείνου κατωρχήσατο.

B ΙΑ'. Ταῦτα ὁρώντων τοίνυν καὶ ἀκουόντων ἡμῶν, ὦ δίκη καὶ ἀνοχὴ θεοῦ! κατὰ ποταμοὺς ἐχώρει τὰ δάκρυα, σιωπῇ κυπτόντων εἰς γῆν. Περιττὸς γὰρ ὑπὲρ τοῦ τὰ δέοντα ποιεῖν λόγος ἅπας, ὅτε ᾗ τῶν ἀκουόντων πρὸς τὸ χεῖρον ὁμόνοια. Ἤδη δὲ καὶ πόρρω νυκτῶν ἦν τὸ τῆς ὥρας, καὶ πρὸ μικροῦ τινος δᾷδες εἰσῆεσαν ἡμμέναι, ὅτε καὶ χεῖρας ἐπιβάλλειν ἦρξαντο μετ' ὀργῆς βαθείας ἀναπηδήσαντες σύν γε τῷ πατριάρχῃ οἱ ἐπίσκοποι καθ' ἡμῶν, μηδ' ἀκούειν τά γε τοιαῦτα ἀνασχομένων, ἀλλὰ μόνοις στεναγμοῖς ἀφθόγγοις τοὺς ἀκάπνους καπνοὺς ἀναπεμπόντων τῆς ψυχῆς, τοῦ καιροῦ μὴ διδόντος ἄλλως ἡμῖν θεραπεύειν τοῦ ζήλου τὴν φλόγα καὶ τὴν τῶν σπλάγχνων ὀδύνην ἀποχυμνοῦν, ἐν τοιαύταις τύχαις οὔσι, καὶ τοιούτοις ἐξαίφνης θηρσὶ περιπεπτωκόσι, καὶ μηδενὸς ἡμῖν ἡμέρου καὶ φιλανθρώπου παρ' οὐδένων οὔτε νῦν ἁπάντων, οὔτ' ἔπειτ' ἐλπιζομένου. Καὶ τί γὰρ ἂν ὑγιὲς ἔδει δρᾶν ἀμαθέσιν ἀνδράσιν, ἐς κρίσιν θείων ἐληλυθόσι δογμάτων, ἀπὸ κώπης καὶ χύτρας τοῖς πλείοσιν ἀναχθεῖσιν ἐς τὸ ἐπισκοπεῖον σχεδὸν εἰπεῖν αὐθημερόν, καὶ παντοδαπῆς καὶ μακρᾶς ἀναπλάσεως καὶ τυπώσεως σφόδρα δεομένοις, πρὸς φαντασίαν σκιᾶς γοῦν τινος παιδευτικῆς; Πολλοῦ γὰρ εἰπεῖν δεῖ, πρὸς ἀναθεώρησιν μούσης τινὸς ἐλλογίμου· εἶναι γὰρ τῶν C χαλεπωτάτων, ἔμφυτον μοχθηρίαν ἐπὶ πλεῖστον λανθάνειν, περιστελλομένην τοῖς παρὰ φύσιν σχηματισμοῖς τοῦ βελτίονος. Τὸ γὰρ παρὰ φύσιν, βίαιον ὄν, διηνεκῶς ἐνοχλεῖται τῇ φύσει, μὴ δυναμένῃ πολύν τινα χρόνον τῆς ἐλευθερίας τὸ συμφυὲς ζημιοῦσθαι, ἀλλὰ δυσανασχετούσῃ καὶ ἀναζωπυρούσῃ τὸ ἦθος, μέχρις ἂν εἰς τὸν ἔμφυτον ἐθισμὸν τῆς κακίας ἐκείνης παλινδρομήσῃ.

D ΙΒ'. Καὶ πρῶτον μὲν τοῖς ξυμῖν ἐκείνοις ἀρχιερεῦσιν ἡμῶν, καθάπερ θῆρες, ἐπεισπεσόντες, ἤθεσιν ἀγρίοις καὶ λόγοις ἀσέμνοις τε καὶ μεμηνόσι, κατερρήγνυον τὰς ἐσθῆτας καὶ κατέσπων τὰ τῆς ἀρχιερωσύνης σημεῖα, οἷς συνανεσπῶντο καὶ τρίχες τῆς ὑπήνης τῶν ταλαιπώρων ἐκείνων· οὐκ ἐξεπίτηδες μέν, ἐγίγνετο δ' οὖν τῇ ῥύμῃ τῆς ἀκαθέκτου βίας ἐκείνης, τῇ σκέψει καιρὸν οὐ παρεχομένης, ἐν σκότει [P. 636] προσέχειν ἃ τέ σφισιν ἐδρᾶτο καὶ ἃ τοῖς δρωμένοις ἐπηκολούθει. Τοὺς γὰρ δᾳδούχους μετὰ τῶν ἑσπερίων φώτων ἐκείνων ὀπίσω κατὰ νώτου λιπόντες διὰ σπουδήν, καὶ τισὶ ἑαυτῶν σκιαῖς τοὺς κολαζομένους συγκρύπτοντες, ἔλαθον τἀνόσια ληστρικώτερον ἢ ἐβούλοντο δράσαντες τρόπον. Τυφλὸν γὰρ θυμὸς ἅπας. Ἂν δὲ καὶ τῶν ἀγροίκων καὶ ἀμαθῶν ὁ θυμούμενος ᾖ, βαβαὶ καθ' ὧν ὁρμᾶται, φλογὸς ἁπάσης ὀξύτερον κεχυμένος, ἢ τὰ πρόσω πάντα σφοδρότερον ἐλπὶς ἁπάσης ἐπινεμομένη καὶ κατεσθίουσα δαπανᾷ καὶ κακῶς διατίθησιν.

sacrumve illud lavacrum, quo baptizaremur, sed increatam quamdam gratiam et operationem, aliam et omnino diversam ab substantia divina. Adeo proterve illi concilio ac tribunali diabolus illusit.

XI. Nobis igitur hæc et videntibus et audientibus (proh justitia et patientia divina!) lacrymæ ibant fluminum more undantes: prono autem in terram vultu silebamus. Nam cum ii qui audiunt ad pejora approbanda conspirant, supervacanea est omnis oratio, qua quid facere debeant admoneantur. Nocte jam multa, paulo postquam faces accensæ et intromissæ essent, gravi iracundia commoti patriarcha et episcopi prosiliunt, et manus in nos injiciunt, qui ea nec audire quidem sustinebamus, sed mutis tantum suspiriis dolorem animi velut fumum quemdam exhalabamus. Quippe nec zeli ardorem levare, nec infixum visceribus vulnus aliter nodare per illud tempus nobis licebat, eo scilicet statu rerum nostrarum, cum in istas feras repente incidissemus, ac nullus esset, a quo mansuetunr et humanum quidquam nobis seu jam tum exsisteret, **1011** seu in posterum sperarctur. Ecquid vero sanum et frugi facere oportuit homines imperitos, qui ad judicandum de divinis dogmatis processissent, plerique ab remo aut ab olla ad episcopalem sedem eodem pene dixerim die evecti: quos proinde multiplici et longa disciplina reformari et fingi valde necesse fuisset; ut inanem saltem doctrinæ umbram præ se ferre, nedum ut aliquam politioris litteraturæ elegantiam perfecte cognoscere viderentur? Scilicet vitiosam indolem, virtutis habitu præter naturam induto, diutissime latere difficillimum est. Nam quod fit præter naturam, id cum sit violentum, a natnra usque sollicitatur, quæ congenita libertate diu fraudari non potest, sed eam abesse ægre patitur, et morem suum tandin refovet atque excitat, donec ad insitum illum habitum, hoc est ad suam pravitatem, recurrerit.

XII. Ac primum quidem in illos duos antistites nostros facta irruptione, velut immanes belluæ, ferino more, vocibus immodestis et furialibus, vestes lacerant, et pontificiæ dignitatis insignia avulsa detrahunt; cum quibus et pili avulsi de mento calamitosorum illorum; non data quidem opera; avulsi tamen, cum hi, effrenatæ violentiæ impetu abrepti, non habuissent spatium consultandi, attendendive per tenebras quid perpetrarent, quidve ex perpetratis consecuturum esset. Nam et iis, qui faces præferebant, et nocturnis illis simul luminibus præ festinatione relictis post terga, eos, in **1012** quos animadvertebatur, sua ipsorum umbra occultant, atque ita per imprudentiam, in illis sceleribus committendis, morem latrocinantium imitantur magis quam velint. Scilicet cæca est quælibet iracundia. Quod si is qui irascitur agrestis sit præterea et indoctus, heu infelices eos, in quos effusus ruit, quovis flammæ impetu torrentior, omni spe citius obvia quæque depascendo devorandoque absumentis ac depopulantis!

ΙΓ'. Ἔπειτα τῶν ἐμῶν χειρῶν τοὺς ἐμοὺς βιαίως ἀφήρπαζον μαθητάς, οἳ μέχρι τέλους ἐμοὶ παραμείναντες συνεμάχουν ἐν τῷ σταδίῳ ἐκείνῳ, καὶ τοῖς ἄθλοις τῶν διαλέξεων ἐκείνων συνηγωνίζοντο καθάπερ σκύλακες εὐγενεῖς, ὧν τὸ ὑλακτικὸν ἐγκαίρως γινόμενον καὶ ὁ μέγας ὑμνῶν Χρυσόστομος, διὰ τὸ τῶν ζώων εὐνοϊκὸν, καὶ θεὸν ἀποδέχεσθαι φάσκει τοὺς ὑπὲρ τῆς εὐσεβείας ὑλακτοῦντας ἀνθρώπους καθ' ὁμοιότητα τῶν κυνῶν. Τούτων δὲ τοὺς μὲν δεσμωτηρίοις τοῖς πικροτέροις παρέπεμψαν· τοῖς δ' ἠπείλησαν τὰ δεινότατα, εἰ μὴ τὴν ἐμὴν ὁμιλίαν ἐκόντες ἐξομόσαιντο τέλεον. Οἱ γὰρ πλείους, ὡς εἴρηται, δείσαντες ἐκείνας αἳ τῇ προτεραίᾳ σφίσι κολάσεις ἠπείληνται (16), τὴν ἐμὴν τε ἀπέλιπαντο φθάσαντες; συνδιαίτησιν παραχρῆμα καὶ ᾤχοντο διασπαρέντες ἄλλος ἄλλοθι τῶν τῆς ἀφανείας μυχῶν· ὅτε δηλαδὴ καὶ ὁ τῆς Τύρου διαληφθεὶς ἐπίσκοπος, εἷς τῶν τῇ; Ἀντιοχέων ἐπαρχίας ἐπισκόπων ὑπάρχων, ἰταμώτερον τότε διωχθεὶς ἐκεῖθεν τάς τε συνόδους ἐκείνας ἀπείπατο τοῦ λοιποῦ καὶ τῇ οἰκίᾳ συσπειραθεὶς τὸν ἡσύχιον καὶ ἄκων ἦνυε βίον ἐκεῖθεν. Εἶεν.

ΙΔ'. Ἔμοιγε μέντοι τέως ἐλπόντες μὲν οὐδὲν ἀγεννὲς οὐδ' ἄκοσμον ἀφῆκαν οἴκαδε ἀπιέναι ξύν γε τοῖς δυσὶν ἐκείνοις ἀρχιερεῦσι, καὶ οὓς τῶν ἐλλογίμων ἀνδρῶν λογάδας ἔφημεν συναθλεῖν ἐς τέλος ἡμῖν.

XIII. Deinde iidem discipulos meos per vim e manibus meis abstrahunt, qui mihi in illo stadio ad extremum socii defensoresque assidui fuerant ac mecum in illis disputandi certaminibus propugnaverant, velut catuli generosi; quorum animalium, ut benevolentiam, latratus opportunos Chrysostomus magnus ita celebrat, ut et homines canum more pro religione latrantes ipsi Deo acceptos esse dicat. Horum alios in sævissimas custodias tradunt; aliis, nisi ultro omnem mecum consuetudinem ejurarint, extrema minitantur. Ac jam plerique, ut dictum est, veriti eas pœnas, quæ novissime ipsis denuntiatæ erant, statim mihi societatem renuntiare maturaverant, et alii alio dispersi in ignotas latebras abditum se iverant; tum cum scilicet et ipse quem diximus Tyri episcopus, unus provinciæ Antiochenæ suffragantium, insolentius inde expulsus, et illis conciliis in posterum valedixit, et domi clausum se involvens vitam illic tranquillam et solitariam vel invitus deinceps agere instituit. Sed de his quidem satis.

1013 ΙΔ'. Ἔμοιγε μέντοι τέως ἐλπόντες μὲν οὐδὲν ἀγεννὲς οὐδ' ἄκοσμον ἀφῆκαν οἴκαδε ἀπιέναι ξύν γε τοῖς δυσὶν ἐκείνοις ἀρχιερεῦσι, καὶ οὓς τῶν ἐλλογίμων ἀνδρῶν λογάδας ἔφημεν συναθλεῖν ἐς τέλος ἡμῖν.

XIV. Cæterum me, nullo inter hæc illiberali fœdove dicto violatum, cum iis duobus pontificibus domum abire permiserunt: item eos, quos perpetuos nobis certaminis socios affuisse diximus, viros eruditione præstantes.

CAPUT IV.

Gregorius domo includitur. Silentium ei perpetuum indicitur. Consolatur se melioris fortunæ spe, quam ei spondet ipsa rerum humanarum mutabilitas. Idem cum illustrium sanctorum casibus suam calamitatem comparat. S. Basilii verba ad præsens tempus accommodat. Alia sanctorum Patrum dicta subjuncturum se promittit, quæ tamen haud profert.

[P. 637] Α'. Μετὰ δ' ἡμέρας ἔστιν ἃς πέμψαντες οἱκοι καθεῖρξαν καὶ ἡμᾶς, οὐ πενταετηρικήν τινα σιωπὴν ἡμῖν ἐπιτάξαντες, κατὰ τὴν τῶν Πυθαγορείων ἐκείνων, ἀλλ' ἀΐδιόν τινα καὶ εὖ μάλα ἀτερπῆ, οὐ διὰ τὸ βίαιον καὶ ἀκούσιον μόνον, ἀλλὰ καὶ διὰ τὴν ἔτι προσθήκην τοῦ μήτε γράφειν, μήτε βλέπειν, μήτ' ἀκούειν μηδενὸς τῶν ἁπάντων. Μηδὲ γὰρ μόνων τῶν γνωρίμων καὶ φίλων, οὐδ' αὖ τῶν γνησίων καὶ γειτόνων ἡμᾶς ἐγύμνωσαν, ἀλλὰ καὶ παντὸς θεράποντός τε καὶ ὑπηρέτου, οὗ; ὡς τὰ πολλὰ βακτηρίαν τῷ γήρᾳ γίγνεσθαι εἰώθεν. Οὕτως ἀπηνῶς καὶ αὐτοχειρίᾳ ταῖς ἡμετέραις ψυχαῖς ἐκεῖνοι ἐπεπήδησαν, καὶ οὕτω θηριωδῶς ταῖς ἡμετέραις ἐχρήσαντο συμφοραῖς, μᾶλλον δ' αὐτοί γε αὐτόχρημα συμφορῶν γινόμενοι πλοῦτος ἡμῖν, οἱ ποιμένες τότε τῆς Ἐκκλησίας εἶναι καυχώμενοι. Οἱ δὲ παιδευταὶ τῶν κακῶν κεραυνοὶ ῥᾳθυμεῖν καὶ καθεύδειν ἐῴκεσαν. Ἦ γὰρ ἂν αἰθερίας πληγῆς πειραθέντες, καὶ τῆς τῶν οἰκείων λόγων καὶ πράξεων παρανοίας καὶ ἀσελγείας αἰσθόμενοι, βελτίους; ὄφελ γοῦν ἑαυτῶν ἐγίγνοντο. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

I. Aliquot ex eo diebus elapsis, etiam nos illi missis mandatis domi includunt, ac silentium nobis indicunt, non quinquennale, ut illud Pythagoreorum, sed perpetuum et plane injucundum; non solum quia violentum et minime voluntarium; verum etiam ob additam præterea legem, qua nobis nihil quidquam seu scribere, seu videre, seu audire permissum erat. Neque enim illi nos hominibus notis et amicis, nec cognatis duntaxat vicinisque orbaverunt, sed et famulis et quolibet ministro; quibus senectus ut plurimum tanquam baculis inniti solet. Adeo crudeliter et facinorose il animabus nostris insultarunt; tanta cum feritate abusi sunt calamitatibus nostris: imo ipsi nobis revera quidam veluti calamitatum thesaurus fuerunt; illi scilicet, qui se Ecclesiæ pastores esse tum jactabant. At interim fulmina, per quæ improbi castigantur, desidia et somno torpere videbantur. Alioqui sane cœlestem virgam experti, suorumque cum dictorum tum factorum dementia impudentiaque intellecta, sero saltem ad meliorem frugem evasissent. Et hæc quidem ita se habuerunt

Variorum notæ.

quo tum tenebras tum rudem indigestamque molem ac confusionem depulit. Nec vero, uea quidem sententia, instrumentale illud nec solare ab initio protulit lumen, sed incorporeum quoddam, et a sole minime productum, quod deinceps ad illustrandum terrarum orbem soli datum est. Nam cum aliis in rebus hanc agendi rationem tenuisset, ut materiam prius conderet, ac eam deinde forma convestiret, ordine videlicet, figura, et magnitudine unicuique rei creatæ impositis; hic ut majoris cujusdam miraculi specimen ederet, formam materia priorem produxit (forma enim solis lumen est) ac postea materiam induxit, solem hunc nimirum diei oculum fabricatus. » Ecce sanctus iste doctor aliud a sole lumen asserit, quod ante solare instrumentum per se subsiterit, ac soli deinceps traditum fuerit. Et soli quidem instrumenti nomen tribuit, lumen autem vocat substantialem seu per se subsistentem solis formam, id est substantiam incorporalem, quæ sit illius corporis anima. **1064** Nec enim per se operaretur istud lumen, nisi per se subsisteret; nec per se subsisteret, nisi esset substantia. Nam quemadmodum omnem substantiam definiunt rem per se subsistentem, ita profecto rem omnem per se subsistentem definiunt substantiam Cum igitur hoc loco sanctus Gregorius solis formam, seu lumen, ante materiam (hoc est ante solare instrumentum) declaret habere per se et ex propria natura exsistentiam et substantiam operativam ac illuminativam, neque illa solari materia indiguisse, sed hanc potius materiam illuminativa eguisse forma, qua (ut ita loquar) animata substantiaretur; cum, inquam, ita se res habeat, hæc illuminativa forma longe potiori ratione substantia erit, quam solare illud instrumentum; quod veluti per se minime subsistens atque informe sanctus Gregorius materiam esse affirmat. Quapropter necesse est Deum esse substantiam, quæ propria polleat subsistentia, nec ullius plane rei sit indiga. Nam quod altero indiget, naturaliter eo posterius est, quo indiget; et ei necessario inservit, cujus indigum est. Hinc superest, ut alterum altero indigeat. Porro veri ac proprie dicti principii vera est ac genuina proprietas, nulla re indigere, et hujusmodi principium debet proprie esse, et omni eo prius, quod indigum est. Oportet enim ut principium sit hoc ipsum duntaxat, nempe principium, nec ulla re alia indigeat: « Et vero, » ut ait D. Maximus, « sanctæ Trinitatis substantia universarum rerum opifex est, sola simplex, nihil habens admistum dispar sui atque dissimile, rei nullius indiga et immutabilis; omnis autem creatura ex substantia et accidente composita est ac divina semper eget providentia, quippe quæ non sit a **1065** mutatione

A φωτιστικὴν ὑπόστασιν καὶ ὕπαρξιν εἴκοθεν, μηδαμῆ τῆς ὕλης ταύτης δεηθὲν, τὴν δ' ὕλην μᾶλλον τοῦ φωτιστικοῦ δεηθεῖσαν εἴδους, ἵν', ὡς εἰπεῖν, οὐσιωθῇ ψυχωθεῖσα· μᾶλλον ἂν εἴη τοῦτο τὸ φωτιστικὸν εἶδος ἡ οὐσία, ἢ τὸ ἡλιακὸν σκεῦος; ἐκεῖνο, ὃ ὕλην εἶναί φησιν, οἷον ἀνείδεόν τε καὶ ἀνυπόστατον. Εἶναι τοίνυν διὰ ταῦτα δεῖ καὶ τὸ Θεῖον οὐσίαν αὐθυπόστατον καὶ ἀνενδεᾶ παντάπασι. Τὸ γὰρ ἄλλου δεόμενον ὕστερον εἶναι πέφυκεν οὗ δεῖται, κἀκείνῳ δουλεύειν ἐξ ἀνάγκης, οὗ ἐστιν ἐνδεές. Καὶ δεήσεται λοιπὸν θατέρου θάτερον. Τῇ δὲ κυρίως ἀρχῇ γνήσιον τὸ ἀνενδεὲς, καὶ κυρίως εἶναι ἀνάγκη, καὶ πρότερον τοῦ ἐνδεοῦς. Δεῖ γὰρ τὴν ἀρχὴν αὐτὸ τοῦτο εἶναι μόνον, ἀρχὴν, καὶ μὴ δεῖσθαι μηδενός. Φησὶ γὰρ καὶ ὁ θεῖος Μάξιμος· « Μόνη ἁπλῇ καὶ μονοειδὴς (59) καὶ ἀνενδεὴς καὶ ἄτρεπτος ἡ δημιουργικὴ τῶν ὅλων οὐσία τῆς ἁγίας Τριάδος. Πᾶσα δὲ κτίσις σύνθετός ἐστιν ἐξ οὐσίας καὶ συμβεβηκότος καὶ ἐπιδεὴς ἀεὶ τῆς θείας προνοίας, ὡς οὐκ ἐλευθέρα τροπῆς. Χρὴ οὖν μήτε συμβεβηκὸς ἐπὶ Θεοῦ λέγειν, μήτε ποιότητα. Τῶν γὰρ συνθέτων ταῦτα. Πάντα δ' ὅσα ἔχει Θεὸς, φύσει ἔχει καὶ οὐκ ἐπίκτητα. » Εἶτ' οὖν οὐσίαν εἴποιμεν τὴν ἐνέργειαν ταύτην ἐπὶ Θεοῦ, τῆς οὐσίας ἐκείνης διάφορον, εἴτε ποιότητα συμβεβηκυῖαν οὐσιωδῶς κατά σε, τὸ σφαλερὸν ἀνίατον. Οὔτε γὰρ δύο οὐσίας δύναταί τις τῶν εὐσεβῶν θεῖκὰς ὀνομάσαι, καὶ δύο ποιητικὰς ἀρχὰς (ὡς ἄνω που δεδειχότες ἐφοιτμεν ἐν πολλαῖς διδασκάλων ἁγίαις γραφαῖς), οὔτε τῆς θείας οὐσίας ἐκείνης ποιότης ποτὲ νοηθῆναι δύναται διάφορος, ἢ καὶ οὐσιώδης. Τὸ γὰρ οὐσιῶδες, [P. 670] μέρος οὐσίας φασὶν εἴ τε τῆς Ἐκκλησίας σοφοὶ διδάσκαλοι, ὡς ἀνωτέρω δέδεικται, καὶ οἱ θύραθεν τῆς ἐπιστήμης τῶν λόγων εὑρεταὶ καὶ κανόνες καὶ στάθμαι. Οὗ γὰρ ἀφαιρεθέντος κολοβοῦται τὸ ὅλον, μέρος; ἀνάγκη τοῦτ' εἶναι τοῦ ὅλου. Εἰ οὖν ἡ ἐνέργεια αὐτὴ μέρος ἐστὶ τῆς οὐσίας κατὰ σὲ; ὡς οὐσιώδης, εἰπὲ πῶς ἄλλο παρὰ τὴν οὐσίαν, ἢ πῶς μέρος τοῦ ἀμεροῦς; Εἰ δὲ ποιότης διάφορος, πῶς χωρὶς ὑποκειμένου δύναται νοηθῆναι ἢ φανῆναι; Οὐδὲ γὰρ ἄνευ ὑποκειμένου σχοίη ποτ' ἂν ὕπαρξιν· τὸ δὲ μὴ ὑπάρχον πῶς Θεός; Ὁρᾷς πῶς διὰ τῆς ἐνεργείας ταύτης εἰς ἀθεΐαν ὁ Παλαμᾶς ἐλαύνει τοὺς νῦν ἀμαθεῖς τῆς Ἐκκλησίας προστάτας; Ἔπειτα πῶς διάφορον (60); « Οὐδὲν γάρ, » φησὶ, « τῶν εἶναι λεγομένων τὸ σύνολον ἔχει τὸ κυρίως εἶναι. Οὐκοῦν οὐδὲν τῷ Θεῷ τὸ παράπαν ἐξ ἀϊδίου συνθεωρεῖται κατ' οὐσίαν διάφορον, οὐκ αἰὼν, οὐ χρόνος, οὐδέ τι τῶν τούτοις ἐνδιαιτωμένων. Οὐ γὰρ συμβαίνουσιν ἀλλήλοις ποτὲ τὸ κυρίως εἶναι καὶ οὐ κυρίως. » Καὶ πάλιν· « Ἐπὶ Θεοῦ τὸ ὢν καὶ τὸ ἀγαθὸς καὶ τὸ θεὸς καὶ τὸ δημιουργὸς καὶ τὸ ὑπερούσιος καὶ τὸ ἄπειρος καὶ τὸ ἀθάνατος καὶ τὰ τοιαῦτα οὐ λέγομεν οὐσιώδεις διαφορὰς, ἵνα μὴ σύνθετον αὐτὸν ἐκ τούτων δογματίσωμεν, ἀλλὰ προσηγορία; τινῶν μὲν ἐμφατικὰς τῶν θεωρουμένων περὶ αὐτὸν, οὐδενὸς δὲ τῶν κατὰ τὴν οὐσίαν αὐτοῦ καὶ

B

C

D

Variorum notæ.

(59) *Nihil habens admistum dispar sui atque dissimile.* Ita Cicero vertit τὸ μονοειδὲς apud Platonem, quod ad litteram sonat, *uniforme*. CAPPERONN.

(60) Tractatu cui titulus: *Ducenta capita*, tom. 1, edit. Combefis. Sed ibi paulo aliter jacet hic locus. CAPPERONN.

φύσιν δηλωτικάς. Τινὰ μὲν γὰρ πρέποντα τῇ θείᾳ φύσει σημαίνουσιν, οὐκ αὐτὴν δὲ τὴν φύσιν μηνύουσιν, ὅπερ ἴδιον τῶν οὐσιωδέων καὶ συστατικῶν διαφορῶν. » Καὶ πάλιν· « Πᾶσα οὐσία, τὸν ἴδιον ὅρον ἑαυτῇ συνεισάγουσα, τουτέστιν ὁριζομένη, ἀρχὴ πέφυκεν εἶναι τῆς ἐπιθεωρουμένης αὐτῇ κατὰ δύναμιν κινήσεως, πᾶσα δὲ οὐσιώδης πρὸς ἐνέργειαν κίνησις μεσότης ἐστὶ μετεπινοουμένη μὲν τῆς οὐσίας, προεπινοουμένη δὲ τῆς ἐνεργείας. Καὶ πᾶσα ἐνέργεια, τῷ καθ' ἑαυτὴν λόγῳ φυσικῷς περιγραφομένη, τέλος ἐστὶ τῆς πρὸ αὐτῆς κατ' ἐπίνοιαν θεωρουμένης οὐσιώδους κινήσεως. Ὁ δὲ Θεὸς οὔτε ἀρχή ἐστιν (61), οὔτε μεσότης, οὔτε τέλος. Ταῦτα γὰρ τῶν χρόνῳ διαιρετῶν εἰσι γνωρίσματα· εἴποι δ' ἄν τις, ὅτι καὶ τῶν αἰῶνι συνορωμένων. Ὁ γὰρ χρόνος, μετρουμένην ἔχων τὴν κίνησιν, ἀριθμῷ περιγράφεται· ὁ δὲ αἰών, συνεπινοουμένην ἔχων τῇ ὑπάρξει τὴν ποτὲ κατηγορίαν, πάσχει διάστασιν, ὡς ἀρχὴν τοῦ εἶναι λαβών. [P. 671] Εἰ δὲ χρόνος καὶ αἰὼν οὐκ ἄναρχα, πολλῷ μᾶλλον τὰ ἐν τούτοις περιεχόμενα. Ὁ Θεὸς τοίνυν, οὔτε οὐσία ὤν, ἵνα μὴ ἀρχὴ νομισθείη· οὔτε δύναμις, ἵνα μὴ μεσότης· οὔτε ἐνέργεια, ἵνα μὴ τέλος· ἔστιν οὐσιοποιὸς καὶ ὑπερούσιος ὀντότης, καὶ δυναμοποιὸς καὶ ὑπερδύναμος πανσθένεια, καὶ πάσης ἐνεργείας δραστικὴ καὶ ἀτελεύτητος ἕξις καὶ, συντόμως εἰπεῖν, πάσης οὐσίας καὶ δυνάμεως καὶ ἐνεργείας ἀρχῆς τε καὶ μεσότητος καὶ τέλους ποιητική. » Ὁρᾷς ὅπως οὔτε κατ' οὐσίαν διάφορον, οὔτε καθ' εἷον δή τινα τρόπον, ποιότητα συγχωροῦσιν οἱ θεῖοι Πατέρες ἐπὶ τῆς θείας δογματίζειν ἐκείνης οὐσίας; « Ὥσπερ γὰρ ἡ μονὰς οὐκ ἄν, » φησὶ, « τμηθείη εἰς μονάδας δύο (ἡ γὰρ εἰς ταῦτα διαιρουμένη οὐκ ἄν εἴη μονάς, ἀλλὰ δυάς), οὕτω ἡ ἑνὰς, κατὰ τὴν ἄκραν ἕνωσιν, οὐκ ἄν εἰς δύο διαιρεθείη φύσεις. Οὐ γὰρ ἁπλοῦς ἔσται, φησὶν, ὁ τῶν ὅλων Θεὸς ἔτι τὴν φύσιν, εἴπερ ἔστιν ἑτέρα παρ' αὐτὸν ἡ ἐν αὐτῷ ζωή. Εἴη δ' ἄν καὶ μείζων αὐτοῦ, καὶ ἐν ἀμείνοσιν ἀσυγκρίτως, ὁ ὡς οὐκ ἔχοντι δοὺς τὴν ζωὴν, εἴπερ ὅλως ἀλοίη λαβών.» Ἀλλ' ὁ ὑμέτερος διδάσκαλος Παλαμᾶς (δεῖ γὰρ ἐκείνῳ περιγράφειν τὰς τῶν τοιούτων αἰτίας κακῶν, οὐ μόνοις ὑμῖν ἐκείνῳ μαθητευθεῖσιν ἐγκαλεῖν) οὐ μεθ' ὑποστολῆς τινος, οὐδ' αἰνιγματωδῶς πως, ἀλλ' ἀναιδῶς καὶ διαῤῥήδην, κυρίως θεότητας δογματίζει τὴν ἐνέργειαν, καὶ ἅμα ζωὴν καὶ σοφίαν καὶ βούλησιν καὶ φρόνησιν καὶ ἰσχὺν, καὶ τὰ τοιαῦτα, καὶ ἀσυγκρίτως ἀμείνω τῆς οὐσίας ἕκαστα, διάφορά τε ὄντα τῆς οὐσίας καὶ ἀλλήλων. Περὶ ὧν καὶ ὁ θεῖος ἔφθη προειρηκὼς Ἀθανάσιος (62)· ὡς « Οἱ ἀσεβεῖς οὐ θέλουσι λόγον καὶ σοφίαν καὶ βουλὴν ζῶσαν εἶναι τὸν Υἱὸν, περὶ δὲ τὸν Θεὸν φρόνησιν καὶ βούλησιν καὶ σοφίαν, ὡς ἕξιν συμβαίνουσαν καὶ ἀποσυμβαίνουσαν.» Καὶ αὖθις ὁ μέγας ἔφησε Μάξιμος (63)· « Μὴ ἕξεις καὶ ἐπιτηδειότητας ζητήσῃς ἐπὶ τῆς ἁπλῆς καὶ ἀπείρου οὐσίας τῆς ἁγίας Τριάδος, ἵνα μὴ σύνθετον αὐτὴν

A inanimis. Hinc in Deo neque accidens esse dicendum est, neque qualitatem: hæc enim compositis entibus conveniunt: sed quæcunque Deus habet, sunt illi naturalia, non autem adventitia. » Igitur sive dicamus hanc Dei operationem in eo esse distinctam a substantia, sive (ut existimas) qualitatem esse substantialiter accidentem, in errorem insanabilem impingemus. Nam piorum nemo duas potest Dei substantias nominare, et duo effectiva principia; ut jam antea multis sanctorum doctorum testimoniis demonstravimus. Neque unquam in Deo excogitari qualitas poterit, quæ a divina substantia distinguatur, aut quæ sit substantialis. Quod enim substantiale est, pars est substantiæ, ut docent tum sapientes Ecclesiæ B doctores, tum scriptores profani, qui verborum scientiam adinvenerunt; ad quorum proinde canones et regulas ea perpendenda est. Et certe id, quo sublato mutilatur totum, totius partem esse necesse est. Si ergo ipsa operatio, utpote substantialis, ex tua sententia pars est substantiæ, die nobis qua tandem ratione aliud sit a substantia, aut sit pars illius, quod nullas habet partes? Si vero ista operatio qualitas est a substantia distincta, quomodo sine subjecto intelligi aut conspici potest? Nam sine subjecto exsistentiam habere nunquam poterit. Quod autem non exsistit, quomodo Deus erit? Vides qua ratione, per hanc de divinis operationibus opinionem, imperitos Ecclesiæ antistites in atheismum Palamas impellat? C Deinde vero qui fieri posset, ut ista divina operatio esset a Dei substantia distincta? Ut enim ait sanctus Maximus, « Eorum quæ esse dicuntur nihil habet omnino proprie esse. Igitur nihil prorsus una cum Deo **1066** intelligi ab æterno potest, quod ab ipso substantialiter differat, non ævum, non tempus, neque quidquam eorum, quæ in ævo aut in tempore exsistunt. Nam ista duo, proprie esse, et non proprie esse, nunquam sibi invicem convenient. » Et iterum: « Cum de Deo dicimus, ipsum esse ens, bonum, Deum, opificem, supersubstantialem, infinitum, immortalem, et alia hujusmodi, non substantiales differentias significamus (ne ipsum ex iis compositum esse prædicemus), sed quasdam D denominationes, quæ licet denotent quidpiam eorum, quæ circa ipsum Deum considerantur, nihil tamen de ejus substantia et natura declarant. Quædam enim significant, quæ divinæ naturæ congruunt, ipsam vero naturam non designant: quod constitutivis et substantialibus differentiis proprium est. » Et rursus: « Substantia omnis, cum propriam secum importet definitionem, ex natura sua principium est illius motus, qui ei substantiæ saltem de potentia inesse intelligitur.

Variorum notæ.

(61) *Deus neque principium est... neque substantia.* Subintellige, *creatarum rerum more*, prout luculenter explicat idem sanctus Maximus, tom. I, pag. 462 et 463. Ipsummet consule, si lubet. CAPPERONN.

(62) Orat. 4, contra Arian, tom. I, pag. 515, edit. vet. CAPPERONN.

(63) Capitibus de charitate tom. I, pag. 544. CAPPERONN.

Omnis autem substantialis motus ad operationem, medium locum tenet inter substantiam, quæ posterior concipitur, et operationem, qua prior intelligitur; et omnis operatio propria sua et formali ratione circumscripta finis est motus substantialis, qui saltem per mentem prius ipsa operatione consideratur. Atqui Deus neque principium est, neque medium, neque finis. Hæ siquidem notæ sunt eorum quæ tempore divisibilia sunt, imo (si quis dicere voluerit) etiam eorum quæ in ævo exsistere considerantur. Nam tempus, cujus motus mensuratur, certo numero **1067** circumscribitur: ævum autem, cum in sua exsistentia inclu- dere intelligatur specialem illam categoriam, quæ dicitur *quando*, intervallum et spatium durationis admittit, utpote quod exsistentiæ initium habuerit. Quod si tempus et ævum non sunt sine initio, longe potiori ratione sine initio non erunt ea, quæ in illis comprehenduntur. Itaque Deus, cum non sit substantia, ne principium esse existimetur; neque potentia, ne medium esse putetur; neque operatio, ne finis esse intelligatur; Deus, inquam, entitas est substantiarum creatrix, et supra omnem substantiam posita; omnipotentia est potentiarum effectrix, et supra omnem potentiam posita; habitus est cujuscunque operationis effectivus et fine carens, atque (ut uno verbo complectar omnia) omnis substantiæ, potentiæ, operationis, principii, medii, et finis, causa efficiens. » Vides ut neque secundum substantiam, neque secundum alium quemcunque modum, distinctam qualitatem in divina illa substantia prædicare permittant sancti Patres? « Nam sicut unitas, inquit, in duas unitates dividi non posset (quæ enim unitas ita divideretur, non jam esset unitas, sed dualitas), pariter quod summa unitate unum est, duas in naturas dividi nunquam poterit. Etenim, inquit, universorum Deus non erit amplius natura sua simplex, si vita, quæ in ipso est, aliud ab ipso sit. Præterea Deo major et conditionis incomparabiliter præstantioris esset is, qui Deo ipsi vitam, ut non habenti, dedisset, si omnino accepisse ille deprehenderetur. » Sed magister vester Palamas (horum quippe malorum causa est illi ascribenda, non in vos duntaxat ejus discipulos culpa conferenda) non cum formidine aliqua aut obscuritate, **1068** sed impudenter et conceptis verbis, pravum hoc dogma introducit; quod scilicet, proprie et stricte loquendo, divinitates totidem sint, operatio, vita, sapientia, voluntas, prudentia, fortitudo, et alia generis ejusdem: ita ut horum singula et a se invicem, et ab ipsa Dei substantia distinguantur, qua etiam incomparabiliter sint meliora. De quibus jam prædixerat divus Athanasius ita scribens: « Nolunt, inquit, impii Filium esse Verbum, sapientiam, vivumque consilium; sed contendunt ipsum esse apud Deum pruden-

Πᾶσα δὲ οὐσιώδης κίνησις εἰς ἐνέργειαν, μέσον τόπον ἔχει μεταξὺ οὐσίας, ἧς ὕστερον νοεῖται, καὶ ἐνεργείας, ἣν πρότερον· καὶ πᾶσα ἐνέργεια ἰδία καὶ τῷ εἴδει περιγραφεῖσα τέλος ἐστὶ κινήσεως οὐσιώδους, ἥτις γε κατὰ νοῦν πρότερον αὐτῆς τῆς ἐνεργείας θεωρεῖται. Ἀλλ' ὁ μὲν Θεὸς οὔτε ἀρχή ἐστιν, οὔτε μέσον, οὔτε τέλος. Ταῦτα γὰρ ἴσασι τῶν ἐν χρόνῳ διαιρετῶν, μᾶλλον δὲ (εἴ τις εἰπεῖν ἐθέλοι) καὶ τῶν ἐν αἰῶνι θεωρουμένων. Ὁ μὲν γὰρ χρόνος, οὗ κινεῖται τὸ μέτρον, ὡρισμένῳ ἀριθμῷ περιγράφεται· ὁ δὲ αἰὼν, ἐν τῇ ἰδίᾳ ὑπάρξει κατανοούμενος, τὴν κατηγορίαν ἐκείνην, ἣ λέγεται *πότε*, διαστήματος καὶ παρατάσεως ἀνέχεται, ὡς ἀρχὴν τοῦ εἶναι λαβών. Εἰ δὲ χρόνος καὶ αἰὼν ἄνευ ἀρχῆς οὐκ εἰσὶν, πολλῷ μᾶλλον ἄνευ ἀρχῆς οὐκ ἔσονται τὰ ἐν τούτοις νοούμενα. Ὁ Θεὸς τοίνυν, ἐπειδὴ οὐσία οὐκ ἔστιν, οὐδὲ ἀρχὴ εἶναι νομισθήσεται· οὐδὲ δύναμις, οὐδὲ μέσον εἶναι νοηθήσεται· οὐδὲ ἐνέργεια, οὐδὲ τέλος εἶναι θεωρηθήσεται· ἀλλὰ τῶν οὐσιῶν ἁπασῶν ποιητικὴ οὐσία, καὶ ὑπὲρ πᾶσαν οὐσίαν ὑφεστῶσα· παντοδυναμία ἐστὶ τῶν δυνάμεων ἁπασῶν ἐργαστική, καὶ ὑπὲρ πᾶσαν δύναμιν ἱδρυμένη· ἕξις ἐστὶ πάσης ἐνεργείας ἀποτελεστικὴ καὶ ἀτελὴς, καὶ (ἵνα ἑνὶ ῥήματι πάντα περιλάβω) πάσης οὐσίας, δυνάμεως, ἐνεργείας, ἀρχῆς, μέσου, καὶ τέλους, αἰτία ποιητική. » Ὁρᾷς ὡς οὔτε κατὰ τὴν οὐσίαν, οὔτε κατὰ τὸν ἄλλον τινὰ τρόπον, διακεκριμένην ποιότητα ἐν τῇ θείᾳ ἐκείνῃ οὐσίᾳ κατηγορεῖν ἐπιτρέπουσιν οἱ ἅγιοι Πατέρες; « Καθάπερ γὰρ, φησὶν, ἡ μονὰς εἰς δύο μονάδας διαιρεθῆναι οὐκ ἂν δύναιτο (ἡ γὰρ οὕτω διαιρουμένη μονὰς οὐκέτι μονὰς ἔσται, ἀλλὰ δυάς), ὁμοίως καὶ τὸ πᾶν ἑνὶ ἑνωθὲν εἰς δύο φύσεις διαιρεθῆναι οὐκ ἂν ποτε δύναιτο. Οὐ γὰρ ἔτι, φησὶν, ἁπλῆ ἔσται τῶν ὅλων ἡ φύσις ὁ Θεὸς, εἰ ἄλλο τι παρ' αὐτὸν ἡ ζωὴ ἡ ἐν αὐτῷ ἐστιν. Ἔτι δὲ τοῦ Θεοῦ μείζονος καὶ ἀσυγκρίτως ἀμείνονος ἔσται κατὰ τὴν ὑπόστασιν ὁ τὴν ζωὴν αὐτῷ δεδωκὼς, εἰ μὴ ἔχοντα, ἀλλὰ λαβόντα αὐτὸν εὑρεθείη. » Ἀλλ' ὁ ὑμέτερος διδάσκαλος Παλαμᾶς οὐ βούλεται τοῦτο, οὐδὲ δύναται γινώσκειν, ὡς τὰ ἐκτὰ πάντα καὶ [P. 672] αἱ ἕξεις αὗται λῃσταὶ τοῖς ἔχουσι ποιήμασίν εἰσι, δεκτικοῖς οὖσι τῶν ἔξωθεν ἐπιγινομένων. Καὶ εἰ μὴ λάβοι τις, οὐδ' ἕξει. « Τί γὰρ ἔχεις, » φησὶν, « ὃ οὐκ ἔλαβες; » ὥσθ' ὃ ἔχει τις, ἀλλότριόν τέ ἐστι καὶ ἐπείσακτον· ὥσπερ καὶ τὰ ἔξωθεν οὕτωσί πως ἐπεισιόντα ταῦτα νοήματα τύποι γίνονται καὶ αὐτὰ καὶ παθήματα ταῖς ὑποκειμέναις ψυχαῖς, παθηταῖς οὔσαις φύσει. Ἐπὶ Θεοῦ δὲ τὸ ἔχειν τὰ πρὸς ἡμᾶς ὀνομαζόμενα τίμιά τε καὶ ἀγαθὰ, καταχρηστικῶς λέγεται, οὐ κυρίως. Ἀπαθὴς γάρ. Ἢ λεγέτω μοί τις παρελθών· πόθεν καὶ παρὰ τίνος ἔχει λαβὼν πρεσβυτέρου καὶ μείζονος, ἢ τελειοτέρου; Ἦν μὲν γὰρ αὐτὸς ἀεὶ φύσει πάντα τἀγαθά· παρωνόμασται δ' αὐτὰ πρὸς τῶν ἀνθρώπων ὕστερον, ἀφ' οὗ πρὸς ἔννοιαν τῶν ἐνταῦθα καλῶν καὶ τιμίων ἐληλύθεσαν, καὶ διαιρεῖν ἐκ τῆς χείρονος ἔγνωσαν μοίρας. Καὶ οὐρανὸς γὰρ, σφαιρικός τε καὶ ἀεικίνητος καὶ πρὶν ἀνθρώπους εἶναι ὑπάρχων, ὅμως ἔγνωσται καὶ προσωνόμασται πρὸς ἀνθρώπων ὕστερον, ἃ πρότερον αὐτὸς ἦν. « Οἰκτιρμῶν γὰρ, » φησὶ, « καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος. » Τί τοίνυν; ταῦτα λέγουσιν ἐνεργείας ἔχειν τὴν σημασίαν, ἢ φύσεως; Οὐκ ἄν τις ἄλλο τι παρὰ τὴν ἐνέργειαν εἴποι. Πότε τοίνυν ἐνεργήσας τοὺς οἰκτιρμοὺς ὁ Θεὸς καὶ τὸν ἔλεον ἔσχεν ἐκ τῆς ἐνεργείας τοὔνομα; ἆρα πρὸ τῆς ἀνθρωπίνης ζωῆς; καὶ τίς ὁ τοῦ ἐλέους δεόμενος; Ἀλλὰ μετὰ τὴν ἁμαρτίαν πάντως· ἡ δ' ἁμαρτία μετὰ τὸν ἄνθρωπον. Οὐκοῦν μετὰ τὸν ἄνθρωπον καὶ ἡ τοῦ ἐλεεῖν ἐνέργεια καὶ τοῦ ἐλέου τὸ ὄνομα. Καὶ ὁμοίως ὁ μέγας φησὶν Ἀθανάσιος· « Οὐχ αἱ λέξεις τὴν φύσιν παραιροῦνται· ἀλλὰ μᾶλλον ἡ φύσις τὰς λέξεις εἰς ἑαυτὴν ἕλκουσα μεταβάλλει. Καὶ γὰρ οὐ πρότεραι τῶν οὐσιῶν αἱ λέξεις· ἀλλ' αἱ οὐσίαι πρῶτον, καὶ δεύτεραι τούτων αἱ λέξεις. Ὁ γὰρ Θεὸς, ἁπλοῦς ὢν καὶ ἀσύνθετος φύσει, ἁπλῶς καὶ μονοειδῶς τὰ φύσει πάντα πέφυκεν εἶναι καλὰ ὑπὲρ νοῦν καὶ λόγον ἀνθρώπινον. Τὰ δ' ἐν κόσμῳ καλὰ θέσει καὶ οὐ κυρίως εἰσὶ, καὶ εἰκόνες ἀμυδραὶ τῶν ἐκείνου καλῶν. Ἡμεῖς δ' ὑστερογενεῖς ὄντες ὑστερογενῆ καὶ τὰ ἀγαθὰ διδασκόμεθα ὄντα διὰ τῆς πείρας· κἀντεῦθεν καὶ πρὸς Θεὸν τὰ τοιαῦτα ἀνάγοντες ἐκ πάντων αὐτὸν παρονομάζομεν, ἃ ἐστιν αὐτὸς φύσει, καὶ οὐχ ὡς ἐξ αὐτῶν ὁμοίως ἡμῖν συγκείμενος. Ὀνόματα γάρ εἰσι ταῦτα καὶ νοήματα τῶν ἡμετέρων ψυχικῶν ὠδίνων, ὅσαι πολυπραγμονεῖν τολμῶσι Θεὸν, ἐν πρόθύροις αὐλιζομένων τοῦ ἀδύτου, καὶ οὐδὲν μὲν τῶν ἐκείνου ἐξαγγέλλειν ἐχουσῶν[P.673] τὰ δ' οἰκεῖα πάθη περὶ αὐτὸν καὶ τὰς ἀπορίας τε καὶ διαπτώσεις μηνυουσῶν ἑαυτῶν, οὐδὲ σαφῶς (64), ἀλλὰ

Variorum notæ.

(64) Si legas σαφῶς, vertendum, *non quidem evidenter, sed indiciis quibusdam demonstrant iis qui.* CAPPERONN.

δι' ἐνδείξεων καὶ ταῦτα, καὶ τοῖς ἐπαίειν καὶ τούτων δυναμένοις. Ἀλλ' ὁ ὑμέτερος διδάσκαλος Παλαμᾶς πάντα τὰ θεοπρεπῆ ὀνόματά τε καὶ νοήματα θεότητας ἀκτίστους νομίζει, διῃρημένας ἀλλήλων καὶ ἀτελεῖ καθ' ἑαυτάς, αἷς συνάπτει καὶ τὴν κρίσιν τοῦ Θεοῦ καὶ τὴν αἰδεσιμότητα αὐτοῦ, καὶ μυρίας καὶ ὅσας δείξομεν, εἰς μέσον προαγαγόντες αὐτὰς τὰς ῥήσεις αὐτοῦ (καθὰ καὶ ἀνωτέρω που πεποιήκαμεν ὀλιγάκις τε καὶ μετρίως), μὴ συνιεὶς τῶν ἁγίων λεγόντων· « Πιστεύομεν εἰς ἕνα Θεὸν, μίαν ἀρχὴν ἄναρχον, ἄκτιστον, καὶ τὰ ἑξῆς, μίαν ἐξουσίαν, μίαν κυριότητα, μίαν βασιλείαν, ἐν τρισὶ τελείαις ὑποστάσεσι γνωριζομένην τε καὶ προσκυνουμένην μιᾷ προσκυνήσει. » Ἰδοὺ γὰρ τὰς πολλὰς ὑφ' ἡμῶν ἀναγομένας τῷ Θεῷ προσωνυμίας ὁ πολὺς Ἰωάννης ἑνὶ συνέκλεισε καὶ μοναδικῷ συμπεράσματι. Εἰ γὰρ ταυτὸν κατά τι φύσει καὶ ἄκτιστον ἔχει τὸ πλῆθος τῶν Παλαμικῶν ἀκτίστων θεοτήτων, οὐ πλῆθος ἂν εἴη τὸ πλῆθος, ἀλλὰ μονάς· καὶ λέληθεν ἄρα ταὐτὸν τῇ οὐσίᾳ φάσκων αὐτὰς, καὶ μὴ νοῶν ὑγιῶς ἃ φησιν ὑγιῶς. Τὸ γὰρ ταυτὸν, οὐχ ἕτερον, οὐδὲ πλῆθος τῇ φύσει τε καὶ οὐσίᾳ. Εἰ δὲ χάριτι, καθάπερ καὶ τοὺς ἀνθρώπους νομοθετεῖ, λέληθεν ἄρα ταὐτὸν τοῖς ἀνθρώποις φάσκων τὸ πλῆθος τῶν ἀκτίστων τούτων θεοτήτων· καὶ γίνεταί οἱ τὸ ἄκτιστον οὐκ ἄκτιστον, ἀλλὰ κτιστόν. Ἑνίζονται γὰρ τὰ πολλὰ τῷ ταυτῷ τῆς ὑπάρξεως, φύσιν ἐχόντων ἀλλήλοις τῶν μὴ ἑτέρων ἀεὶ συνεῖναι κατὰ τὸ συμφυὲς καὶ ὁμότιμον, μὴ παρούσης τῆς ἑτερότητος. Πῶς γὰρ ἂν μιγείη τὰ ἐκ διαμέτρου κλῃρωσάμενα τὴν ἀντίθεσιν, καὶ ἀεὶ μαχόμενα κατ' αὐτό γε τοῦτο τὸ τῆς ἑτερότητος μέρος; οὐ γὰρ ἂν φθάνει θάτερον θατέρῳ, θᾶττον λόγου παντὸς, λαμπρὸν τὸν τοῦ θανάτου κηρῶν κρατῆρα. Ὁ γοῦν παρὰ τὴν θείαν οὐσίαν ἄλλας νομοθετῶν ἀκτίστους θεότητας καὶ ἐνεργείας τὸ ἐναίσιον διέφθαρκε τῆς τοῦ πάντων δημιουργοῦ θεότητος· μηδὲ γὰρ εἶναι τῶν δυναμένων, εἰς ταυτότητα φυσικὴν τὴν ἑτερότητα συνιέναι τῶν θεοτήτων. Οὐκ ἄρα θεότης ἄκτιστος, ἑτέρα παρὰ τὴν θείαν καὶ μόνην τρισυπόστατον οὐσίαν, οὔτ' ἔσται, κἂν πάντες διαῤῥαγῶσι φάσκοντες Παλαμῖται· οὐδὲ θεῶν πλῆθος Ἑλληνικόν. Ὁ γὰρ τὰ θεῖα πολὺς Ἰωάννης, « Εἰ πολλοὺς, » φησὶν, « ἐροῦμεν [P. 674] θεοὺς, ἀνάγκη διαφορὰ ἐν αὐτοῖς. Ὁ μὲν κατὰ πάντα τέλειος, οὗτος ἂν εἴη κατὰ πάντα μόνος Θεός· πᾶς δὲ ὁ τοῦ τελείου λειπόμενος, ἢ κατὰ ἀγαθότητα, ἢ κατὰ σοφίαν, ἢ κατὰ δύναμιν, ἢ ὅλως κατά τι, οὐκ ἂν εἴη Θεός. Πῶς δὲ καὶ πολλοῖς οὖσι τὸ ἀπερίγραπτον φυλαχθήσεται; ἔνθα γὰρ ἂν εἴη ὁ εἷς, οὐκ ἂν εἴη ὁ ἕτερος. Δεῖ δὲ τὸν Θεὸν ἀπερίγραπτον εἶναι καὶ πάντα πληροῦντα. » Σκεπτέον οὖν κἀντεῦθεν, ὅπως ἑνὸς Θεοῦ παντάπασιν ἀναίσθητος καὶ πάσης ἀσύνετος θείας Γραφῆς ὁ Παλαμᾶς ἐμεμενήκει διηνεκῶς, διάφορον οὐσίαν καὶ ἐνέργειαν ἐς τοὐμφανὲς δογματίζων, καὶ μὴ μόνον μίαν δεικνὺς ἑτερότητα, ἀλλὰ καὶ ἀπείρους· καὶ μὴ μόνον ἀπείρους, ἀλλὰ καὶ ἀκτίστους· καὶ μὴ μόνον ἀκτίστους, ἀλλὰ καὶ μείζους καὶ ἐλάττους. Ὁ δὲ μείζους καὶ ἐλάττους καὶ διὰ τοῦτο καὶ κτιστὸς, καὶ ἐν χρόνῳ τὴν ἀρχὴν ἔχων, καὶ ἐν χρόνῳ τὸ τέλος ἐκδεχόμενος, καὶ ἐν χρόνῳ τὰ μεταξὺ διαπορευ

pliciter etiam et uniformiter est ex natura sua omne bonum, et omne pulchrum essentiale, supra quam quisquam hominum intelligere possit aut enarrare. Quæ vero in hac rerum universitate pulchra habentur, non ex propria natura, verum dependenter a constituto aliquo, pulchra sunt, et divinæ pulchritudinis nonnisi obscuram imaginem exhibent. Nos autem, posteriores facti, bona quædam exsistere posterius etiam facta, experientia teste discimus: atque exinde ad Deum hujusmodi bona referentes, ex iis omnibus Deum talem denominamus, qualis est ex natura sua: non quod ex illis compositus sit, quemadmodum nobis accidit. Hæc enim sunt nomina et nostrarum cogitationes animarum; quæ cum in adyti vestibulo degant, Dei tamen naturam curiosius audent perscrutari, verum de divinis attributis nihil enuntiare possunt, suas duntaxat passiones et erga Deum affectiones declarant, tum difficultates quas patiuntur et errata in quæ impingunt, non quidem evidenter; sed indiciis quibusdam demonstrant iis qui ea valent intelligere. » Vester autem magister Palamas quæcunque de Deo apte prædicantur, et intelliguntur, totidem divinitates esse increatas, a se invicem distinctas, independentes existimat: quibus Dei judicium et majestatem adnumerat, et alia infinita; quæ, adductis in medium ipsius Palamæ verbis, ostendemus; ut supra, moderate licet et raro, a nobis factum est. Nimirum non intelligit hæc **1071** SS. Patrum verba: « Credimus in unum Deum, unum principium principii expers, increatum etc., unam potestatem, unam dominationem, unum regnum; quod in tribus perfectis personis agnoscitur, et adoratione unica adoratur. » Quas enim Deo tribuimus appellationes plurimas, unica et solitaria conclusione magnus Joannes conclusit. Et vero si multitudo increatarum divinitatum, quas Palamas invexit, habet ex natura sua identitatem, et increatæ rei conditionem, jam illa multitudo non erit multitudo, sed unitas. Hoc igitur non animadvertit Palamas; quod scilicet deitates illas asserat esse quid unum cum substantia: unde non recte intelligit, quæ recte enuntiat. Quod enim idem est, non est aliud, neque multitudo, seu naturam, seu substantiam spectes. Si vero gratia duntaxat, quemadmodum homines illas divinitates esse quid unum et increatum statuat Palamas, non advertit a se affirmari deitatum hujusmodi increatarum multitudinem esse quid idem cum hominibus: et sic juxta Palamæ sententiam, quod increatum est, non erit increatum, sed creatum. Nam quæ multa sunt, exsistentiæ identitate uniuntur: quandoquidem a natura ita comparatum est, ut quæ diversa non sunt, secum invicem conveniant secundum naturæ et gradus similitudinem, ubi nulla est diversitas. Alias quomodo commiscerentur ea quæ directe ac veluti e diametro sibi invicem opponuntur, et saltem ratione suæ diversitatis nunquam non secum pugnant? Neque enim fieri posset, ut alterum alteri luculentum scilicet interitum jamjam omni dicto citius non pararet. Igitur qui præter **1072** divinam substantiam, increatas divinitates alias et operationes statuit, is omnium creatricis divinitatis unitatem evertit. Namque prorsus impossibile est, ut deitatum diversitas in identitatem naturalem coeat. Itaque nulla fuit nec erit unquam increata divinitas alia, præter divinam et solam substantiam in tribus personis subsistentem; etiamsi Palamitæ istud effutientes disrumpantur. Neque vero admittenda est paganicorum deorum multitudo. Ita enim præclare habet celeberrimus theologus sanctus Joannes Damascenus: « Si plures, inquit, esse deos dixerimus, necesse est ut ipsi inter se differant. Et quidem solus ille omnino et totaliter Deus erit, qui totaliter et omnino perfectus erit: quicunque autem a summe perfecto illo superabitur secundum bonitatem, aut sapientiam, aut potentiam, aut secundum aliud quidpiam, Deus non erit. Deinde vero, si multi sint dii, quomodo incircumscripti manebunt? Ubi enim fuerit unus, ibi alter non erit. Atqui tamen necesse est ut incircumscriptus sit Deus, et omnia repleat. » Igitur hinc etiam considerandum est, quomodo stolidus Palamas, neque sacram Scripturam ullatenus intelligens, manifeste semper censuerit et docuerit, unius Dei substantiam et operationem a se invicem differre, neque unam duntaxat divinitatem admitti a se declaraverit, sed infinitas; nec infinitas solum, sed et increatas; nec tantummodo increatas, sed majores et minores. Porro qui majores et minores increatas deitates introducit, is profecto intervallum quoddam inter eas excogitat. Hoc autem intervallum infinitum esse **1073** non patitur ipsius medii, seu intervalli, ratio formalis. Nec enim infinitatis natura ejusmodi est, ut gradibus tum superioribus tum inferioribus mensuretur. »

X. Equidem poteram alia plura SS. Patrum proferre testimonia, quibus constaret, neque operationem, neque ullam qualitatem, neque aliud omnino quidpiam, divinæ substantiæ coæternum et

Ι'. Ἐμὲ δὲ καὶ πλείους μαρτυρίας ἑτέρας ἔχοντα φέρειν ἁγίων, περί γε τοῦ μήτε ἐνέργειαν, μήτε τινὰ ποιότητα μήτε τι τῶν πάντων ἐξ ἀϊδίου συνεῖναι διάφορον δύνασθαι τῇ θείᾳ οὐσίᾳ, καὶ ἅμα τοῖς τῷ Καβασίλᾳ

A τους δογματίζων ἐκείστους θεότητας πάντως διάστημά τι νοεῖ μεταξύ. Τοῦτο δ' ἄπειρον ὁ τῆς μεσότητος εἶναι οὐ δίδωσι λόγος· μηδὲ γὰρ πεφυκέναι τὴν ἀπειρίαν βαθμοῖς καὶ μέτροις τισὶ διακόπτεσθαι. Πῶς γὰρ ἂν (φησὶν ὁ θεῖος Γρηγόριος) μετρηθείη τὸ ἄπειρον, ἵν' ὃ τῶν περατουμένων ἐστί, τοῦτο πάθῃ θεότης, βαθμοῖς μετρουμένη καὶ ὑποβάσεσι;

προτεθεῖσι κενοφωνήμασιν ἐπιφέρειν τὰς τῶν ἁγίων ἀντιλογίας βουλόμενον, ἐπέσχεν ἐπαγγειλάμενος τὴν ἐκείνων ἀντίρρησιν μάλα ἁσμένως ἀκούσεσθαι μετ' ὀλίγον. Αὐτὸς δ' ἐν σπουδῇ μεγίστῃ πεποίητο, πρότερον παρεισενεγκεῖν τὴν συνήθη καὶ κοινὴν καταφυγὴν αὐτῶν ἐν οὐ καιρῷ, τὸ ἐν Θαβωρίῳ λέγω φῶς, ἐνέργειαν ἄκτιστον καὶ θεότητα πρὸς τῶν ἁγίων ὀνομαζόμενον. « Φῶς γάρ, « ἔλεγεν, » ἡ παραδεχθεῖσα θεότης, φησὶν ὁ θεῖος Γρηγόριος, ἐπὶ τοῦ ὄρους. Καὶ ὁ Μελῳδὸς αὖθις τὰς τοιαύτας ἐνεργείας βολίδας γράφει θεότητος. Ἀκτίστου γοῦν οὔσης τῆς θείας οὐσίας, ἄκτιστοι καὶ αἱ βολίδες ἐκείναι, παρὰ τὴν οὐσίαν ἄλλο τι οὖσαι. Τὸ γὰρ ἄλλο παρὰ τὴν οὐσίαν οὐκ ἐκείνη, ἀλλ' ἐκείνης. Εἰ γὰρ ταυτὸν ἦν, μεθεκτὴ ἂν ἦν καὶ οὐσία ἅμοῦ ταῖς ἐνεργείαις, καὶ διαφορά τις οὐκ ἄν ποτ' ἦν οὐδεμία· τοῦτο δ' ἀδύνατον. Ἀμέθεκτος γὰρ τοῖς κτίσμασιν ἅπασι πέφυκεν ἡ οὐσία· καὶ δαιμόνων εὕρημασκο τεινῶν, [P. 675] ἄλλως λέγειν τε καὶ πιστεύειν τοῖς λέγουσι. Διὰ γὰρ τοῦτο καὶ τὴν οὐσίαν τῆς ἐνεργείας διάφορον εἶναί φαμεν, ἐκποδὼν γινομένης ἀτάστης ταυτότητος. » Καὶ ἅμα παρεισῆγεν ἕνια τῶν Παλαμικῶν δογμάτων ἀπὸ γλώττης καὶ μνήμης, σποράδην μὲν, παρῆγε δ' οὖν, ὁλόκληρον τὴν διάνοιαν σώζοντα καὶ ὡς ἔχουσιν ἐπὶ λέξεως ἀκριβῶς. « Κοινὸν γὰρ » « φησὶ, » δόγμα τῶν ἔξωθεν καὶ τῶν καθ' ἡμᾶς φιλοσόφων, ἐπὶ ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον τὴν ἐνέργειαν τῇ οὐσίᾳ. Τὰ δὲ τὸν αὐτὸν λόγον ἐπιδεχόμενα δύο ἐστὶ, καὶ οὐχ ἕν. Καὶ εἰ δύο, πῶς χωρὶς ἡστινοσοῦν πρὸς ἄλληλα διαφορᾶς; Ἆρ' οὖν οὐ διενήνοχε τὸ θεᾶσθαι τοῦ θεοποιοῦν; ἢ καὶ θεοποιεῖ πάνθ' ὅσα θεᾶται Θεός; Ἐπεὶ δὲ διενήνοχε, μή τι τούτων ἐστὶ κτιστόν; » Εἶτα ἐπανελάμβανε καθ' ἕκαστα τὸ προγνωστικὸν, τὸ δημιουργὸν, τὴν πρὸς τὸ ἐνεργεῖν ἑτοιμότητα, καὶ τἄλλα. « Ὡς γὰρ ὁ νοῦς, » φησὶ, « τὰς ἐπιστήμας προσλαμβάνων σύνθετος οὐ γίνεται, τὸν αὐτὸν τρόπον, καὶ πολλῷ μᾶλλον, τὸ προγνωστικὸν καὶ πάσας ἁπλῶς τὰς τοιαύτας δυνάμεις τε καὶ ἐνεργείας φυσικῶς ἡ θεία φύσις ἔχουσα σύνθετος οὐκ ἔστι. » Καὶ λέγειν φανερῶς τοὺς ἁγίους ἔφασκε μὲν, οὐ παρῆγαγε δ' οὔτ' εἰς ὄψιν οὔτ' εἰς ἀκοὴν γραφικὰς οὐδενὸς μαρτυρίας. Καὶ πάλιν· « Ὡς γὰρ ἐκ Θεοῦ Πατρὸς Θεὸς ὢν καὶ ὁ Υἱὸς, οὐκ ἄλλος μὲν καθὸ Θεὸς ἄκτιστός ἐστιν, ἄλλος δὲ καθὸ Υἱός· καὶ καθὸ μὲν ἄκτιστος Θεὸς, ἴσος κατὰ πάντα τῷ Πατρί· καθὸ δὲ Υἱὸς, μείζονα ὡς αἴτιον ἔχων τὸν Πατέρα, δεύτερος ὑπάρχει τοῦ Πατρὸς, οὐ δεύτερος Θεὸς, ἄπαγε, ἀλλὰ δεύτερος τῇ τάξει· καθάπερ ὁ μέγας φησὶ Βασίλειος· οὕτω καὶ ἐκ θεότητος ἀκτίστου τῆς οὐσίας θεότης ἄκτιστος ἡ ἐνέργεια· οὐκ ἄλλη μὲν, καθὸ θεότης ἄκτιστος, ἄλλη δὲ κατ' ἐνέργειαν τῷ μὲν ἀκτίστῳ, τῆς οὐσίας μηδὲν διαφέρουσα μηδὲ διαιρουμένη ὅλως· ὡς δ' αἰτίαν ἑαυτῆς ὑπερκειμένην ἔχουσα. Εἶεν. »

ab ipsa distinctum esse posse. Erat etiam in animo, vanis et futilibus Cabasilæ verbis depromptas e SS. Patribus refutationes subjicere. Sed me interpellavit, pollicitus paulo post lubenter se illorum refutationem esse auditurum. Ipse autem omne studium, omnem operam adhibuit, ut prius consuetum et commune Palamitarum effugium nobis importune obtruderet, Thaboricum lumen intelligo, quod SS. Patres increatam operationem et deitatem appellant. « Nam, inquiebat, deitatem in monte ostensam lumen fuisse dicit divus Gregorius. Et iterum Cosmas Melodus hujusmodi operationes fuisse divinitatis ejaculationes scribit. Cum ergo divina substantia sit increata, istæ pariter ejaculationes increatæ sunt, et a substantia distinctæ. Nam quod aliud est a substantia, non est ipsa substantia, sed ad substantiam pertinet. Si enim esset quid idem cum substantia, hæc simul cum operationibus esset participabilis, nec ulla inter eas foret admittenda distinctio. Atqui hoc impossibile est. Nam substantia Dei ex natura sua participari a creaturis non potest: et quicunque aliud vel dicunt vel dicentibus credunt, ii doctrinam a tenebrionibus diabolis inventam **1074** sectantur. Ideirco quippe substantiam Dei ab ejus operatione distinctam esse asserimus, identitate qualibet e medio sublata. » Pariter nonnulla e Palamæ dogmatibus adducebat, quæ hinc inde nullo fere ordine collecta memoriter ipse recitabat: servata nihilo minus integra scriptoris mente, et ejusdem sententiis de verbo ad verbum accuratissime relatis. « Hæc enim communis est, inquit Palamas, tum gentilium tum Christianorum doctrina philosophorum: nempe in simplici et incorporea natura operationem et substantiam ejusdem prorsus esse rationis. Porro quæ sunt ejusdem rationis, duo sunt, non autem unum quid. Quod si duo sint, quomodo nullam inter se haberent differentiam? Num igitur inter se non differunt videre et deificare? An quæcunque Deus videt, etiam deificat? Jam vero quoniam hæc duo differunt, num quid horum creatum est? » Deinde vim Dei præcognitivam, creativam, et ad operandum promptitudinem, et alia sigillatim repetebat. « Sicut enim, inquit, mens, dum scientias acquirit, non fit composita, ita etiam et longe potiori ratione divina natura, cum vim præcognitivam, præintellectivam, et omnes simpliciter hujusmodi facultates et operationes, naturaliter habeat, composita non est. » Et jactitabat quidem istud a SS. Patribus evidenter affirmari: sed nullius e scriptis testimonia proferebat, quæ videre aut audire possemus. Et iterum: « Nam quemadmodum Filius, ex Deo Patre procedens Deus, non alius est a Patre, quatenus Deus est increatus, sed alius est quatenus Filius: et in quantum Deus est increatus, Patri per omnia æqualis **1075** est; sed in quantum Filius, secundus est a Patre; quem majorem se, ut sui causam, agnoscit, non tamen secundus Deus, absit, sed secundum ordine, ut ait magnus Basilius: sic etiam ex increata divinitate, nempe substantia Dei, procedit divinitas increata, nempe operatio: et hæc quidem non est alia a divinitate, quatenus deitas est increata;

sed alia est secundum formalem operationis rationem; et penes increati rationem, a substantia Dei nullatenus differt nec distinguitur; eam tamen, ut sui causam, se ipsa superiorem agnoscit. Esto. »

XI. Quibus ego ita respondi: « Quam jucundus A es, vir optime. Si quando ipse fuisti aut alius quis fuit jucundus mihi, certe hodie multo jucundior mihi accedis, et longe suavior, quam si Lydorum aut Medorum divitias præberes. Quod enim accessionis loco ac veluti obiter contigit, si non alteri cuipiam, at mihi saltem videtur hoc esse præclarissime factum. Nam quæ me jampridem torquebat, quæstionem nullo negotio solvisti, vir optime. Hoc autem ea in re festivum ac jucundum est, quod invitus volentem me mea e difficultate expedieris; idque nobis acciderit, ut tu quidem invito benefícus in eum esses, adversus quem arma educebas; ego vero a viris hostibus acciperem beneficium, a quibus nihil tale accepturum me unquam esse speravissem. In id enim operis Impræsentiarum incumbebam, ut ostenderem tum alias a vobis prolatas fuisse blasphemias, tum penitus negatam Dei Verbi incarnationem: quod sane blasphemiis et hæresibus velut coronidem imponit; cum omnes simul prophetas, apostolos, martyres, doctores, cum sanctis **1076** omnibus synodis, errore deceptos fuisse manifeste arguat. Tu autem nescio an de industria, alterius cujuscunque rei gratia, an obiter nec data opera; cujusmodi multa casu feruntur, arcanis quibusdam rationibus, supra omnem rationem positis; utut sit, multo decentiorem mihi ut vobis obsisterem ansam præbuisti, quam ego mea cura, omni studio ac providentia propria comparare potuerim. Jampridem C enim nihil mihi potius aut antiquius erat, quam illum Palamam velut in flagranti delicto deprehendere, publicis vocibus confitentem ea, quæ occultis rumoribus alias aliter prædicare convincitur: id videlicet intelligo, quod ubique jactitat, omnes sive Christianos sive paganos sapientes numeroso agmine suis a partibus stare. Hoc autem ultro nobis et libere supra omnem exspectationem nostram hodie ob oculos posuisti: atque hoc est quod trito fertur adagio: Adversus te ipsum Bellerophontes. » Nam tria erant, quibus omnium maxime ad vulgus semper decipiendum usus est. Primo quidem Thaboricum ad montem semper confugiens, claritatem et divinam gratiam, quæ grandi miraculo ibi ostensa est, prava sua explicatione semper corrumpit et calumniatur: idem faciens quod homicidæ, qui apta insidiis loca subeunt, et inconsiderate prætereuntium sanguine luxuriantur: seu potius quod faciunt Barbari præliis victi, dum ad templa et fana nostra confugiunt, et sacris imaginibus quasi scutis et vallis

ΙΑ'. Πρὸς δὲ ταῦτα παρελθὼν ἔγωγε, « Ὡς ἡδὺς εἶ, ὦ λῷστε, » ἔφασκον, « καὶ νῦν μᾶλλον εἴπερ ποτὲ, καὶ σὺ μᾶλλον, εἴπερ τις ἁπάντων, ἔμοιγε τήμερον καὶ πολλῷ μᾶλλον, ἡδίων, ἢ εἴ μοι τὰ Λυδῶν καὶ Μήδων παρεῖχες χρήματα. Πάρεργον γὰρ ὂν τὸ συμπεπτωκὸς, ὅμως, εἰ μή τῳ δὴ τῶν πάντων ἄλλῳ, καὶ τοῦτο δὲ τῶν πάνυ τοι καλλίστων ἔμοιγε δοκεῖ. Χρῄζων γάρ μοι λέλυκας ζήτημα, βέλτιστε, λίαν ἀπονητί· καὶ τὸ τοῦ πράγματος χαρίεν, ὅτι καὶ μάλα ἄκων μάλα ἑκόντι· καὶ συμβέβηκεν ἀμφοῖν, [P. 676] σὲ μὲν εὐεργέτην ἄκοντα γίνεσθαι, καθ' οὗ τὰ ὅπλα ἐξῆγες· ἐμὲ δ' εὖ πάσχειν ὑπ' ἀνδρῶν πολεμίων, ὧν οὐκ ἄν ποτε προσεδόκησα· ἐμοὶ γὰρ ἔργον ἦν ἔν γε τῷ παρόντι, τά τ' ἄλλα δεῖξαι βεβλασφημηκότας ἔτι καὶ ἅμα παντάπασιν ἀρνουμένους τὴν ἔνσαρκον τοῦ Θεοῦ Λόγου οἰκονομίαν, ὃ τῶν αἱρέσεων καὶ βλασφημιῶν κορωνὶς ἐπεφύκει. Πάντας γὰρ ἐν ταυτῷ συλλαβὸν προφήτας, ἀποστόλους, μάρτυρας, διδασκάλους, ὁμοῦ ταῖς ἁγίαις συνόδοις ἁπάσαις, περιφανῶς ἐξηπατημένους δείκνυσι τουτί. Σὺ δ' οὐκ οἶδ' εἴτ' ἐπίτηδες, ἑτέρου χάριν ὅτου δή, εἴτ' ἐκ τοῦ παρήκοντος; οἷα δὴ τὸ αὐτόματον πάμπολλα φέρει μετὰ μυστηρίων τε καὶ λόγων ὑπὲρ λόγον, ὅμως εὐπρεπεστέραν πολλῷ μοι τὴν ἀνθολκὴν ἐπεπράχεις αὐτὸς ἢ κατὰ πᾶσαν ἀγωγὴν καὶ κατεσπουδασμένην πρόνοιαν ἐρρήν. Ἃ γὰρ προὔργου παντὸς ἐποιούμην πάλαι πολύν τινα χρόνον ἐπ' αὐτοφώρῳ κατασχεῖν ἐκεῖνον ὁμολογοῦντα δημοσίαις γλώτταις, ἃ λαθραίαις φήμαις ἄλλοτ' ἄλλως καταγγέλλων ἀλίσκεται πανταχῆ, λέγω δὴ τὸ λέγειν αὐτὸν, ὡς πάντες εἰς τὴν αὐτοῦ συμμαχίαν ποταμηδὸν ἅπαντῶσι σοφοὶ, ὅσοι τε τῶν ἡμετέρων καὶ ὅσοι τῶν ἔξωθεν, ταῦτα φέρων προὐθηκας ἡμῖν παῤῥησίᾳ τήμερον, προσδοκίας ἁπάσης ὑπερβαλόμενος· τοῦτο δὲ τὸ τῆς παροιμίας· κατὰ σαυτοῦ Βελλεροφόντης (65). » Τρία γὰρ ἦν, οἷς μάλιστα κεχρημένος ἁπάντων αὐτὸς παραχρούεται τοὺς πολλοὺς ἀεί. Ἓν μὲν, ὅτι καταφυγὴν ἀεὶ τὸ Θαβώριον ὄρος ποιεῖται, τὴν ἐκεῖθεν θαυματουργηθεῖσαν ἔλλαμψίν τε καὶ θείαν χάριν καπηλεύων καὶ διαβάλλων ἀεί, καὶ τοῖς ἀνδροφόνοις ποιῶν παραπλήσια, οἵ γε λόχμας ὑποδυόμενοι τοῖς τῶν παριόντων ἀπερισκέπτως τρυφῶσιν αἵμασιν· ἢ μᾶλλον ἐπόσα κατὰ τὰς μάχας ἡττώμενοι δρῶσιν οἱ βάρβαροι, τοῖς ἡμετέροις ἱεροῖς καὶ τεμένεσι καταφεύγοντες, καὶ ἀντὶ θυρεῶν καὶ τάφρων κατα- B χρώμενοι ταῖς ἁγίαις εἰκόσι. Τοῦτο δ' εἴ τις μὴ πάρεργον τοῖς ἀνωτέρω λεχθεῖσιν ἡμῖν ἐντετυχηκὼς εἴη, ἔργον Εἰκονομάχων εὑρήσει τὸ σπουδαιότατον λέγω δὴ τὸ τῇ γε τοῦ Σωτῆρος μεταμορφώσει καταφυγῇ κεχρῆσθαι προχείρῳ τῆς ἀτόπου

Variorum notæ.

(65) *Adversus te ipsum Bellerophontes.* Ita effertur hoc proverbium apud Lucianum. Vulgo autem sic efferunt Βελλεροφόντης τὰ γράμματα· *Bellerophontes litteras.* Supple *contra se ipsum affert*, qua de re Græcorum fabulam commemorat et docte exponit Erasmus, chiliad. II, centur. 6, proverb. 82. CARPENTIER.

κακία; αὐτοῦ. Καὶ πάντα λοιπὸν διεξήλθομεν ἤδη καὶ ἐπ' αὐτῶν ἀποτάδην, ὡς ἀνωτέρω που γέγραπται καθ' ἕκαστα ἡμῖν· καὶ οἷς ἔστι βουλομένοις, ἔξεστιν ἐπιέναι. Δεύτερον δ' αὐτῷ κακουργίας μηχάνημα κατὰ τῶν ἀπειροκάλων, ἢ μᾶλλον κατὰ τῆς ἰδίας ψυχῆς, ἐξεύρηται· [P. 677] κουρέων δίκην, παμπόλλους ἀνὰ πᾶν ἔτος συνάγειν εἰς τὸ κουρεῖον αὐτοῦ, ὁπόσοι πρὸς τὸ ξέειν καὶ τέμνειν πεφύκασιν ἔχοντες εὐφυῶς, καὶ γραμμάτων γράμμασι, καὶ φύλλα φύλλων ἀλλάττεσθαι, ἴσα, τῶν ἀντιῤῥήσεων αὐτοῖς προβαλλομένων, ὡς διαβάλλοντας παρὰ φαῦλον ἐκ τοῦ ῥᾴστου ποιῆται τοὺς ἀντιλέγοντας· ὡς ἀπαγορεύειν τοὺς διώκοντας, ὁμοίως τοῖς τοξεύουσιν ἐς ἀνθρώπους ὑπὸ δειλίας φυγομαχοῦντας. καὶ μηδὲ βραχύ τι μόριον ὥρας στῆναι γοῦν ἐφ' ἑνὸς δυναμένους. Περὶ δὲ τῶν τοιούτων καὶ ὁμοίως δρώντων αἱρετικῶς καὶ ὁ μέγας διέξεισιν Ἀθανάσιος τοῖς ἐπισκόποις Αἰγύπτου καὶ Λιβύης ἐπιστέλλων. « Κατ' ἐνιαυτὸν γάρ, » φησίν, « ὡς οἱ τὰς διαθήκας γράφοντες, συνερχόμενοι καὶ αὐτοὶ, προσποιοῦνται περὶ πίστεως γράφειν, ἵνα κἀ τούτῳ γέλωτά μᾶλλον ὀφλήσωσι καὶ αἰσχύνωνται, ὅτι μὴ παρ' ἑτέρων, ἀλλὰ παρ' αὐτῶν ἐκβάλλεται. Εἰ γὰρ ἐθάῤῥουν οἷς ἔγραφον προτέροις, οὐκ ἂν δεύτερα γράφειν ἐζήτουν, οὐδ' ἂν πάλιν ἔγραφον νῦν, ἀφέντες ἅπερ ἔγραψαν· πάντως τοῦτο μελετήσαντες, ὅτι πάλιν ἀλλάξουσιν, ἐὰν ὀλίγος παρέλθῃ χρόνος, καὶ πρόφασιν λάβωσι τοῦ συνήθως τισὶν ἐπιβουλεύειν. Τότε γὰρ, ὅταν ἐπιβουλεύωσι, μάλιστα προσποιοῦνται περὶ πίστεως γράφειν, ἵν' ὡς Πιλάτος ἐνίψατο τὰς χεῖρας, οὕτω καὶ οὗτοι γράφοντες ἀποκτείνωσι τοὺς εἰς Χριστὸν εὐσεβοῦντας· καὶ ἵν', ὡς περὶ πίστεως ὁρίζοντες, δόξωσιν (ὡς πολλάκις εἶπον) φεύγειν τὸ τῆς ἑτεροδοξίας ἔγκλημα. Ἀλλ' οὔτε λαθεῖν οὔτε φυγεῖν δυνήσονται. Ἕως γὰρ ἑαυτοῖς ἀπολογοῦνται, ἑαυτῶν ἀεὶ κατήγοροι γίνονται· καὶ δικαίως γε. Οὐ γὰρ τοῖς ἐλέγχουσιν αὐτοὺς ἀποκρίνονται· ἀλλ' ἑαυτοὺς, ὡς βούλονται, πείθουσι. Πότε οὖν, τοῦ ὑπευθύνου κρίνοντος ἑαυτὸν, λύσις γίνεται τοῦ ἐγκλήματος; Διὰ τοῦτο γοῦν ἀεὶ γράφουσι, καὶ ἀεὶ τὰ ἴδια μεταποιοῦντες ἄδηλον ἔχουσι τὴν πίστιν, μᾶλλον δὲ φανερὰν ἔχουσι τὴν ἀπιστίαν καὶ τὴν κακοφροσύνην. » Ὁρᾶτε πῶς ὁ μέγας τῆς ἀληθείας ἀγωνιστὴς Ἀθανάσιος σαφέστατα πάνυ παρέστησεν ἡμῖν, ὡς τὰ νῦν πρὸς τοῦ Παλαμᾶ γιγνόμενα τῶν πάλαι γενομένων τῆς κακίας εἰκόνων καὶ ἀρχετύπων μακρὰν ἀποσώζουσι μίμησιν. Ἐῶ γὰρ νῦν λέγειν, οὓς ἐπὶ κακοῖς κακοὺς προσέθηκεν Ὀλύμπους οὗτος. Διὰ δὴ ταῦτα καὶ χαίρω νῦν, εἴπερ ποτὲ, μᾶλλον ἐγὼ, καὶ ἡδίους μοι νῦν μᾶλλον ὑμεῖς εἴπερ ποτὲ φαίνεσθε, ἄφυκτόν μοι τὸ πάλαι ζητούμενον θήραμα νῦν παραθέντες, ὡς μηκέτι μὴ δεῖσθαι μηδ' ὅλως μήτ' ἐμὲ μαρτύρων, μήτ' ἐκεῖνον ἔχειν ἔτι ἀρνεῖσθαι, μήθ' ἡμᾶς τἀκείνου διὰ μνήμης ἄγοντας, καὶ γινομένους μάρτυρας ἀπαραγράπτους τῶν ἐκείνου βλασφημιῶν· [P. 678] ὡς ἐξεῖναι κἀμὲ τῶν ἐλέγχων ἤδη μὴ πρὸς ἀνέδραστα καὶ ἀστατοῦντα σημεῖα τὴν τοξικὴν μετὰ τῶν βελῶν ἀναλοῦν, μηδὲ τυφλὰ

A abutuntur. Porro si quis non obiter aut perfunctorie quæ supra sunt a nobis dicta legerit, is comperiet **1077** hoc opus esse, in quod Iconomachi diligentissime incubuerint; prompte videlicet confugere ad Salvatoris transfigurationem, eaque ad absurdas et pravas opiniones suas facile abuti. Cæterum hæc omnia dicendo jam percurrimus, et supra de iisdem prolixe ac sigillatim scripsimus, quæ qui voluerint legere ac perpendere poterunt. Altera, quam contra rudes et imperitos, seu potius contra propriam animam commolitur Palamas, improbitatis machina hæc est; quod nempe tonsorum in morem quotannis in tonstrinam suam permultos congreget, quicunque ad radendum et secandum idonei sint, et litteras litteris, librorum folia foliis, apprime possint commutare: ut cum prolata fuerint contraria opinioni suæ testimonia, statim adversarios suos velut calumniantes nihili faciat, sicque ipsius oppugnatores incepto desistere cogantur: quemadmodum qui homines ignavos, pugnam fuga detrectantes, neque vel brevissimo saltem horæ spatio ibidem consistentes, sagittis impetunt. De hujusmodi et hac se ratione gerentibus hæreticis magnus Athanasius in epistola, quam ad Ægypti et Libyæ episcopos misit, ita loquitur: « Nam singulis annis, inquit, velut qui pacta scribunt, ipsi quoque conveniunt, et de fide scripto statuere simulant, ut etiam inde potius deridendos se et ignominia notandos præbeant: quippe quorum decreta non ab aliis sed ab ipsis rescindantur. Si enim his, quæ prius definierunt, confiderent certe, secundam fidei non quærerent **1078** conscriptionem; neque rursus nunc scriberent, dimissis iis quæ olim scripserunt; cum utique meditarentur, se post aliquod tempus ea esse immulaturos, ubi scilicet novam insidiis aliqui, ut assolent, struendi ansam nacti fuissent. Si quidem tunc in primis cum insidias alicui parant, fingunt se de fide scribere; ut, quemadmodum Pilatus manus lavit, sic et illi scribendo pios Christi cultores interimant; et ut, quod quidem sæpius dixi, tanquam qui definienda fide sint distenti, hæresis accusationem possint declinare. Verum nec latere nec fugere poterunt. Quandiu enim se ipsi sibi duntaxat purgabunt, sui semper accusatores erunt: et merito quidem; cum illis non respondeant, a quibus coarguuntur, sed sibi tantum quidquid voluerint persuadeant. Quis igitur unquam reus absolvitur, qui sui ipsius sit judex? Hinc ergo nunquam cessant scribere; atque ita sua perpetuo decreta mutantes incertam fidem, vel potius certam manifestamque infidelitatem et mentis pravitatem habent. » Magnus, ut videtis, propugnator veritatis Athanasius manifeste prorsus nobis ostendit, Palamam iis quæ nunc agit, antiquas improbitatis imagines et primigenia exemplaria imitando maxime assequi. Jam enim silentio prætermittam quos hic malis malos cumulos ac veluti Olympos imposuerit. Quapropter

majori quam alias unquam lætitia nunc afficior, et si quando gratam mihi rem fecistis, nunc certe multo facitis gratiorem, cum id qu d olim adinstar **1079** prædæ conquirebam, ita mihi offeratis, ut effugere amplius non possit, nec ego jam testibus ullo pacto indigeam, nec ipse negare quæ illi ascribuntur valeat; quemadmodum nec vos, qui opiniones ejus memoria tenetis, et ipsius blasphemiarum testes estis omni exceptione majores. Unde mihi licebit non jam in signa inconstantia et instabilia refutationes nostras quasi totidem tela per artem sagittariam contorquere, nec cæca hosti vulnera infligere, sed manifesta, et quæ indubitatam veritatem præ se ferant. Tertio suis libris passim inserit et prædicat, sibi assentiri multos, ut dictum est, sapientia mirabiles, tum Christianos, tum paganos; quorum omnium nomen aut alto silentio prætermittit, neque quales sint nec quæ dicant explicat; aut quorumdam quidem acervatim nomina recenset, sed quæ aut qualia dicant nullatenus, quod saltem sciam, præmittit aut subjungit: ut illorum nominibus aures auditorum suorum suspensas teneat et conturbet, sicque facillime quidquid voluerit eis persuadeat (qui enim novas introducere voces videtur, a vulgo plane repudiatur), sed eorum dicta reticendo reprehensionem effugiat, quasi minime illis dissona proferret. Hic autem pro unico ac simplici duplex malum perpetrat. Nam et ipse impune blasphemat et illos simul philosophos calumniatur, et tanquam ejusdem secum blasphemiæ reos in medium adducit.

A παρίχειν τὰ τραύματα τῷ ἐχθρῷ, ἀλλὰ σαφῆ καὶ ἀναμφισβήτητον ἔχοντα τὴν ἀλήθειαν. Καὶ τρίτον, ὅτι συχνὰ ταῖς τῶν αὐτοῦ λόγων αὐλαξιν ἐντίθησι καὶ διασπείρει, κηρύττων εἶναι πολλοὺς τοὺς αὐτῷ συμφωνοῦντας, ἐπὶ σοφίᾳ καὶ θαυμαζομένους. ὡς εἴρηται, ὅσοι τε τῶν ἡμετέρων καὶ ὅσοι τῶν θύραθεν. Ὧν ἑκάστων τοὔνομα ἢ σιγῇ παντελεῖ παραπέμπει, μήθ' ὁποῖοί τινες, μήθ' ἃ φασι, διασαφῶν οὐδέν· ἢ λέγει μὲν ἐνίων ὀνόματα σωρηδόν· ἃ δ' εἰσὶν ἃ λέγουσιν ἐκεῖνοι, καὶ οἷα, τὸ παράπαν οὐδὲν οὔτε προτίθησιν, οὔτ' ἐπιτίθησιν, ὅσα γ' εἰδέναι ἐμὲ, ἵνα διὰ μὲν τῶν ὀνομάτων τὰς τῶν ἀκροωμένων ἀναρτῶν καὶ ἀνασοβῶν ἀκοὰς ῥᾷστα καὶ ἀπονητὶ πρὸς τὸ βουλόμενον πειθομένους ἔχῃ (τοῦ γε καινοφωνεῖν δοκεῖν τοῖς πολλοῖς ἀπεωσμένου δῆθεν παντάπασι), διὰ δὲ τῆς τῶν ῥητῶν ἐκείνων σιγῆς διαδιδράσκῃ τὸν ἔλεγχον, ἅτ' ἐκείνοις ἧκιστ' ἀπάδοντα λέγων. Καὶ ποιεῖ διπλοῦν ἀνθ' ἁπλοῦ κακὸν, αὐτός τε βλασφημιῶν ἀνέγκλητα καὶ ἅμα κἀκείνους διαβάλλων, καὶ φέρων εἰς μέσον ὁμοίως αὐτῷ βλασφημοῦντας.

B

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ
ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
ΛΟΓΟΣ ΚΓ'.

NICEPHORI GREGORÆ
BYZANTINÆ HISTORIÆ
LIBER VICESIMUS TERTIUS.

Pergit Gregoras disputare cum Cabasila.

CAPUT PRIMUM.

1080 1. Verum nos ipsum non imitabimur, nec improbitatis machinas et fraudes æmulabimur, quandiu saltem solius Dei dextra nobis mentem sanam conservabit. Nam ut contrariorum principiorum contrarii sint effectus, consentaneum esse omnibus patet. Et vero Palamas Græcanicæ omnis litteraturæ imperitus est, et longe remotus ab omni quæ

Α'. Ἀλλ' ἡμεῖς γε οὐκ αὐτὸν μιμησόμεθα, οὐδὲ τὰς τῆς κακίας ζηλώσομεν μηχανὰς, οὔκουν οὐχ ἕως γ' ἂν ἐν τῷ τοῦ φρονεῖν ἡμᾶς καθεστῶτι φυλάττουσαν ἔχωμεν τὴν τοῦ μόνου Θεοῦ δεξιάν. Τῶν γὰρ ἐναντίων ἀρχῶν ἐναντίας καὶ τὰς ἀποβάσεις εἶναι τῶν εἰκότων παντί που δῆλον. Πάσης γὰρ ὢν αὐτὸς ἀπύνετος Μούσης Ἑλληνικῆς καὶ πάσης ἐπιστημο-

νικῆς μαθήσεως (ἧς οἱ μὲν θύραθεν ἐφθησαν παραδόντες σοφοὶ, τῶν τε θείων προστάται δογμάτων τῆς Ἐκκλησίας ἐκεῖθεν παρειλῆφότες τήν τε γλῶτταν ὥπλισαν ἀσφαλῶς καὶ ἅμα κατ' ἐκλογὴν τὸ μὲν ἐξεταστικόν τε καὶ θεωρητικὸν ἐδέξαντο, ὅσον δ' εἰς δαίμονας φέρει καὶ ἀπωλείας βοθὸν διέπτυσαν, ἐκ τοῦ χείρονος τὸ κρεῖττον καταμαθόντες, καὶ τὴν ἐκείνων ἀσθένειαν ἰσχὺν τοῦ εὐσεβοῦς ποιησάμενοι λόγου) ἀνέδραστον οὗτος ἔσχε λοιπὸν τὴν βάσιν τῆς γλώττης, καὶ ἀπαγεῖς τὰς τοῦ λόγου κρηπῖδας, ἐν ὠμῷ τῷ τόκῳ φάναι τὰς [P. 679] τῆς γαστρὸς ἀναλύσας ὠδῖνας, καὶ τὸ κύημα τῶν πρώτων ἐξαμβλώσας τοῦ λόγου στοιχείων. Διὸ καὶ νοῶν οὐ νοεῖ, καὶ βλέπων οὐ βλέπει, καὶ τὴν ἐγκειμένην ταῖς λέξεσι βουλόμενος μὲν, οὐ δυνάμενος δὲ, συναρμόττειν διάνοιαν ἐκεῖνο σαφῶς ἐπεπόνθει τὸ τοῦ Ἰκάρου. Τά τε γὰρ ἄλλα διαπορθμεύουσι ταῖς ἡμῶν ἀκοαῖς τὸν μακρὸν δολιχεύοντες χρόνον οἱ μῦθοι, καὶ δὴ καὶ Ἰκάρου τινὸς ὑπομνήματα ἔχομεν ἐξ αὐχῶν· ὡς ἐπιθυμήσειεν ὁ μάταιος πτερῶν, ἐπεὶ μὴ ἐβούλετο μήτε γῆν ἐκεῖνος ἔτι πατεῖν· ὁ δὲ καὶ φύσεως ὑπερόρια διὰ θράσους πλεονεξίαν ἤδη ἐπόθει, καὶ ἦν ταῦτα ἐφόδια τάνδρὶ σφαλερὰ καὶ πρόσω ἢ ὥστε σωφρονοῦντος εἶναι δοκεῖν. Τῆς ὁμοίας εἶναι κακοβουλίας δοκῶ μοι, καὶ ὅπερ ὁ βαρυδαίμων ἄνθρωπος οὗτος ἐπεπόνθει τὰ νῦν. Λέληθε γὰρ τοῖς ὑπὲρ δύναμιν καὶ αὐτὸς ἑαυτὸν ἐξαρτήσας (λέγω δὴ ταῖς τῶν γραφῶν διανοίαις τῶν τε ἡμετέρων σοφῶν καὶ τῶν θύραθεν), κἄπειτα, διὰ ξενίζοντα κρότον ἀμαθῶν ἀκοῶν, ἐνίας τῶν Ἑλληνίδων ἐρανισάμενος λέξεων, αἷς περὶ τὰ σφέτερα αὐτῶν ἐκεῖνοι κέχρηνται δόγματα, καὶ τοῖς θείοις ἀναιδῶς παραμιγνὺς καὶ ὑποσπείρων αὐτὸς δόγμασιν, ἔλαθε κατὰ τῆς τοῦ Θεοῦ Ἐκκλησίας σφοδρὸν ἀναρριπίσας κυκεῶνα καὶ θόρυβον καὶ μετάμελον ὀφὲ ποτε λαμβάνειν ὀφειλῶν, ἐφ' οἷς ἁμαρτάνων οὐκ ἤσθετο. Ὁ δ' ἐξαμάνη κατὰ τῶν διορθοῦν πειρωμένων ἡμῶν, καὶ ἔρᾷ λοιπὸν ἀκρατῶς μείζω μὲν ἢ κατὰ θηρίου μανίαν παντὸς, ἧττω δ' ἢ κατὰ βούλησιν τὴν αὐτοῦ· καὶ τοῖς μὲν ἄρχουσιν ὑπέρχεται, πορίζόμενος ἰσχὺν ἑαυτῷ, τὴν δ' εὐσέβειαν ἀδικεῖ· κἀκείνων μὲν τὴν εὐμένειαν πραγματεύεται, τὴν δὲ τοῦ Θεοῦ διωθεῖται· καὶ οὗ μὲν ἡττᾶται, δεινῶς φεύγει· καθ' ὃ δὲ ὑπερέχειν νομίζει, πρὸς τοῦτο συχνὰ καταφεύγει. Ἀληθείας γὰρ σὺν παῤῥησίᾳ δικάζειν ζητούσης, ἡττώμενος φεύγει· μοχθηρίᾳ δὲ γνώμης εὐδοκιμῶν πρὸς διαβολὰς, ταύτης ἀντέχεται. Δικαιοσύνης γὰρ καὶ ἀληθείας κρινούσης, ἣν μὲν ἔφευγε πολλάκις δίκην ἦλω· ἣν δ' ἐδίωκεν, οὐχ εἷλεν.

